# ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
# ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ
# 6

## ΥΠΟΜΝΗΜΑ

## ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ
## (ΜΔ΄–ΡΚΓ΄)

ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ

Ἀπὸ τὸν
ΕΛΕΥΘΕΡΙΟ Γ. ΜΕΡΕΤΑΚΗ
Θεολόγο

# 56 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 56

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς

ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας

ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1982

# ΠΕΡΙΕΧΟΜΕΝΑ

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΜΔ΄ ΨΑΛΜΟΝ

*«Ἐπινίκιος ὑπὲρ τῶν ἀνθῶν τῶν υἱῶν Κορέ». Ἄλλος, «Τῷ νικοποιῷ ἐπὶ τοῖς κρίνοις τῶν υἱῶν Κορέ». Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, «Κρίνοις», «Ἀλ σωσανεὶμ» λέγει. «Συνέσεως ᾆσμα εἰς τὸν ἀγαπητόν». Ἄλλος, «Ἐπιστήμονος ᾆσμα πρὸς φιλίας». Ἄλλος, «Τοῖς ἠγαπημένοις»· ὁ δὲ Ἑβραῖος «Ἰδιδὼθ» φησιν. Οἱ δὲ ἑβδομήκοντα, «Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορέ, εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ».*

*«Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν». Ἄλλος, «Ἐξείρπυσεν». Ἄλλος «Ἐκινήθη ἡ καρδία μου λόγῳ ἀγαθῷ».*

*1. Ἐβουλόμην παρεῖναι νυνὶ Ἰουδαίους ἅπαντας καὶ Ἕλληνας, καὶ τὸ βιβλίον τοῦτο παρὰ Ἰουδαίων λαβών, οὕτως ἀναγνῶναι τὸν ψαλμόν. Ἴστε γὰρ δήπου τοῦτο, ὅτι καὶ ἐν τοῖς δικαστηρίοις καὶ πανταχοῦ τότε μάλιστα ἀνύποπτος ἡ μαρτυρία τῶν πραγμάτων γίνεται, ὅταν παρὰ τῶν ἐχθρῶν αὕτη φέρηται. Ἵν' οὖν καὶ σήμερον τοῦτο συμβαίη, ἀπὸ τῆς Παλαιᾶς παρεχόμεθα τὴν μαρτυρίαν, ἵνα καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καταισχύνωνται· Ἰουδαῖοι μέν, ἀναγινώσκοντες, καὶ οὐ γινώσκοντες, Ἕλληνες δέ, ὁρῶντες παρὰ τῶν ἐχθρῶν τὰ βιβλία ἡμῖν φερόμενα. Οὐ γὰρ δήπου πεπλάσθαι παρ' ἡμῶν*

---

1. Ψαλμὸς διδακτικὸς ποὺ συντάχθηκε ἀπὸ ποιητὴ τῆς οἰκογένειας Κορέ, στὸν ὁποῖο ἐξυμνοῦνται οἱ γάμοι βασιλέως περίλαμπρου γιὰ τὴν ὡραιότητα, ἀνδρεία, δικαιοσύνη καὶ τὸ θεῖο χαρακτῆρα του, μὲ πριγκήπισσα ἄλλου γένους, ἀλλ' ἀνταξίας αὐτοῦ, καὶ τέτοιος βασιλεὺς εἶναι μᾶλλον ὁ Μεσσίας. Συνεπῶς εἶναι προφητικὸς ψαλμός, ἀναφερόμενος στοὺς μυστικοὺς γάμους τοῦ νυμφίου Χριστοῦ μετὰ τῆς ἐκκλησίας του γενικὰ καὶ μὲ κάθε ψυχὴ εἰδικά.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΜΔ΄ ΨΑΛΜΟΝ[1]

«Ἐπινίκιος ὕμνος ὑπὲρ τῶν ἀνθῶν τῶν υἱῶν Κορέ». Ἄλλος, «Στὸ νικητὴ γιὰ τὰ κρίνα τῶν υἱῶν Κορέ». Ὁ δὲ ἑβραῖος ἀντὶ τοῦ«κρίνα» λέγει «Ἀλ σωσανείμ». «Ἆσμα συνέσεως στὸν ἀγαπητό». Ἄλλος, «ἆσμα ἐπιστήμονος ὑπὲρ φιλίας». Ἄλλος, «στοὺς ἀγαπημένους»· ὁ δὲ ἑβραῖος λέγει, «Ἰδιθώθ». Οἱ δὲ ἑβδομήκοντα λέγουν· «Στὸ τέλος ὑπὲρ ἐκείνων ποὺ θὰ μεταμορφωθοῦν ἠθικά· πρὸς τοὺς υἱοὺς Κορὲ γιὰ σύνεση· ᾠδὴ πρὸς χάρη τοῦ ἀγαπητοῦ».

«Ξεχείλισε ἀπὸ τὴν καρδιά μου λόγος καλὸς καὶ σωτήριος». Ἄλλος, «Ἐξῆλθε». Ἄλλος, «Παρακινήθηκε ἡ καρδιά μου ἀπὸ λόγο ὡραῖο».

1. Ἤθελα αὐτὴ τὴ στιγμὴ νὰ ἦταν παρόντες ὅλοι οἱ Ἰουδαῖοι καὶ οἱ ἐθνικοί, καὶ παίρνοντας αὐτὸ τὸ βιβλίο τῶν ψαλμῶν ἀπὸ τοὺς Ἰουδαίους νὰ ἀναγνώσω αὐτὸν τὸν ψαλμό. Διότι γνωρίζετε βέβαια αὐτό, ὅτι καὶ στὰ δικαστήρια καὶ παντοῦ τότε πρὸ πάντων ἡ μαρτυρία γιὰ τὴν ἀλήθεια τῶν πραγμάτων καθίσταται ἀναμφισβήτητη, ὅταν αὐτὴ προέρχεται ἀπὸ τοὺς ἐχθρούς. Γιὰ νὰ συμβεῖ λοιπὸν καὶ σήμερα αὐτό, λαμβάνομε τὴ μαρτυρία ἀπὸ τὴν Παλαιὰ Διαθήκη, ὥστε νὰ νοιώσουν ἐντροπὴ καὶ οἱ Ἰουδαῖοι καὶ οἱ ἐθνικοί· οἱ μὲν Ἰουδαῖοι, μὲ τὸ νὰ ἀναγινώσκεται ὁ ψαλμὸς καὶ νὰ μὴ καταλαβαίνουν τὸ νόημά του, οἱ δὲ ἐθνικοί, βλέποντας νὰ παίρνομεν τὰ βιβλία ἀπὸ τοὺς ἐχθρούς. Διότι βέβαια δὲν θὰ μπορέσουν νὰ λέγουν

αὐτὰ δυνήσονται λέγειν, οὐχ ἡμῶν, ἀλλὰ τῶν τὸν Χριστὸν σταυρωσάντων τὰ βιβλία παρεχομένων ἡμῖν τὰ περὶ τῆς αὐτοῦ δυνάμεως διαλεγόμενα. Ἀλλ' εἴτε πάρεισιν, εἴτε μὴ πάρεισιν οὗτοι, ἡμεῖς τὸ ἡμέτερον ποιήσωμεν, καὶ τῆς ἑρμηνείας ἁψώμεθα. Εἰς γὰρ τὸν Χριστὸν ὁ ψαλμὸς οὗτος ἀναγέγραπται· διὸ καὶ «Εἰς τὸν ἀγαπητόν, καὶ Ὑπὲρ τῶν ἀλλοιωθησομένων τὴν προγραφὴν ἔχει. Ἀλλοίωσιν γὰρ μεγάλην ἡμῖν καὶ οὗτος εἰργάσατο, καὶ πραγμάτων μεταβολὴν καὶ μετάστασιν. Ταύτην τὴν ἀλλοίωσιν δηλῶν καὶ ὁ Παῦλος ἔλεγεν· «Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις». Διὸ καὶ ἀρχόμενος οὐχ οὕτω φησίν, 'εἶπεν ἡ καρδία μου'. Ἐπειδὴ γὰρ οὐδὲν ἀνθρώπινον ἦν τῶν λεγομένων, ἀλλ' οὐράνια καὶ πνευματικὰ διηγεῖσθαι ἔμελλε, καὶ οὐκ ἐξ οἰκείας εὑρέσεως, ἀλλ' ἐκ θείας ἐνεργείας, τῷ ὀνόματι τῆς ἐρυγῆς τοῦτο παρίστησιν. Ἐρευγόμεθα γὰρ οὐχ ὅτε βουλόμεθα· τὸν μὲν γὰρ λόγον τοῦτον φθεγγόμεθα ὅτε θέλομεν, καὶ λέγομεν, καὶ κατέχομεν· τὴν δὲ ἐρυγὴν οὐχ ὁμοίως. Δεικνὺς τοίνυν ὅτι οὐκ ἀνθρωπίνης σπουδῆς ἐστι τὰ λεγόμενα, ἀλλὰ θείας ἐπιπνοίας τῆς κινούσης αὐτόν, ἐρυγὴν τὴν προφητείαν ἐκάλεσεν. Ὥσπερ γὰρ ἐπὶ τῆς ἐρυγῆς τῆς τῶν σιτίων ποιότητός ἐστι τὸ γινόμενον, οὕτω καὶ ἐπὶ τῆς πνευματικῆς διδασκαλίας. Τοιαῦτα τοίνυν ἠρεύγετο, οἷα καὶ ἐσιτεῖτο.

Ὅρα δὲ καὶ ἀλλαχοῦ ἕτερον προφήτην αἰσθητῇ εἰκόνι ταύτην παραβάλλοντα τὴν ἐνέργειαν, καὶ ἐσθίοντα τὴν κεφαλίδα τοῦ βιβλίου, καὶ μεθ' ἡδονῆς ἐσθίοντα. «Ἐγένετο», γάρ, φησίν, «ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον». Ἐπεὶ οὖν ἐδέχοντο τὴν πνευματικὴν χάριν, τοιαῦτα καὶ ἠρεύγοντο. Ὅτι

---

1α. Β΄ Κορ. 5, 17.
2. Ἐρυγὴ εἶναι τὸ ρέψιμο.
3. Ἰεζ. 3, 3.

ὅτι αὐτὰ ἐπινοήθηκαν καὶ γράφηκαν ἀπὸ μᾶς˙ δὲν εἶναι δικά μας, ἀλλὰ τὰ βιβλία ἐκείνων ποὺ σταύρωσαν τὸ Χριστὸ παρέχουν σὲ μᾶς τὶς πληροφορίες γιὰ τὴ δύναμη αὐτοῦ. Ἀλλ' εἴτε εἶναι αὐτοὶ παρόντες, εἴτε εἶναι ἀπόντες, ἐμεῖς θὰ κάνουμε τὸ καθῆκον μας καὶ θὰ προσπαθήσουμε νὰ τὸν ἑρμηνεύσομε. Διότι ὁ ψαλμὸς αὐτὸς γράφηκε γιὰ τὸ Χριστό· γι' αὐτό καὶ ἔχει τὴν ἐπιγραφή˙ «Στὸν ἀγαπητό», καὶ «Ὑπὲρ τῶν ἀλλοιωθησομένων». Καθόσον αὐτὸς ἐπέφερε σὲ μᾶς μεγάλη ἀλλοίωση καὶ μεταβολὴ πραγμάτων καὶ μεταμόρφωση. Θέλοντας αὐτὴ τὴν ἀλλοίωση νὰ δηλώσει καὶ ὁ Παῦλος, ἔλεγε˙ «Ὥστε, ἂν κάποιος εἶναι ἑνωμένος μὲ τὸ Χριστό, ἀποτελεῖ νέο δημιούργημα»[1α]. Γι' αὐτό καὶ ἀρχίζοντας τὸν ψαλμὸ δὲν λέγει αὐτό, 'εἶπε ἡ καρδιά μου'. Διότι, ἐπειδὴ τὰ λεγόμενα δὲν ἦταν κάτι τὸ ἀνθρώπινο, ἀλλ' ἐπρόκειτο νὰ διηγηθεῖ οὐράνια καὶ πνευματικὰ πράγματα, ποὺ δὲν προέρχονταν ἀπὸ τὴ δική του σκέψη, ἀλλ' ἀπὸ τὴν θεία ἐπενέργεια, παρουσιάζει αὐτὸ μὲ τὸ ὄνομα τῆς ἐρυγῆς[2]. Καθόσον ρευγόμαστε χωρὶς νὰ θέλομε˙ διότι τὸν μὲν λόγο τὸν συνηθισμένο τὸν ἐκφραζόμαστε ὅταν θέλομε καὶ τὸν λέγομε καὶ εἶναι ὑπὸ τὴν ἐξουσία μας, ὅμως δὲν συμβαίνει τὸ ἴδιο καὶ μὲ τὸ ρέψιμο. Γιὰ νὰ δείξει λοιπὸν ὅτι τὰ λεγόμενα δὲν εἶναι ἀνθρώπινης ἐπινοήσεως, ἀλλὰ θείας ἐμπνεύσεως ποὺ κινεῖ αὐτόν, ὀνόμασε τὴν προφητεία ἐρυγή. Διότι, ὅπως ἀκριβῶς ἡ περίπτωση τοῦ ρεψίματος ἐξαρτᾶται ἀπὸ τὴν ποιότητα τῶν τροφῶν, ἔτσι συμβαίνει καὶ μὲ τὴν πνευματική διδασκαλία. Τέτοια δηλαδὴ ρευόταν, τέτοια ποὺ ἦταν καὶ ἐκεῖνα ποὺ τρεφόταν.

Πρόσεχε δὲ καὶ ἀλλοῦ ἄλλον προφήτη ποὺ παρομοιάζει μὲ αἰσθητὴ εἰκόνα αὐτὴ τὴν ἐνέργεια καὶ νὰ τρώγει τὴν ἐπικεφαλίδα τοῦ βιβλίου καὶ μάλιστα νὰ τὴν τρώγει μὲ εὐχαρίστηση. Διότι λέγει, «ἔγινε στὸ στόμα μου γλυκὸ σὰν τὸ μέλι»[3]. Ἐπειδὴ λοιπὸν δέχονταν τὴν πνευματικὴ χάρη, γι' αὐτό καὶ τέτοια ρεύονταν. Τὸ ὅτι βέβαια ἡ αἰσθη-

γὰρ οὐ περὶ ἐρυγῆς ὁ λόγος τῆς αἰσθητῆς ταύτης, οὐδὲ περὶ σιτίων, ἄκουσον τί ἐρεύγεται, καὶ τίς ἐστιν ὁ ἐρευγόμενος. Οὐχ ὁ στόμαχος ὁ τὰ σιτία δεχόμενος, ἀλλ' ἡ καρδία. «Ἐξηρεύξατο» γάρ, φησίν, «ἡ καρδία μου». Καὶ τί ἐρεύγεται; Οὐ σῖτον, οὐδὲ ποτόν, ἀλλὰ τὰ συγγενῆ τῇ τραπέζῃ, «Λόγον ἀγαθόν», τὸν περὶ τοῦ Μονογενοῦς· οὗτος γὰρ μάλιστα ἀγαθός. «Ἦλθον» γάρ, φησίν, «οὐχ ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον». Πάντα προσηνῆ, πάντα κολάσεως ἀπηλλαγμένα. Ἐρεύγεται δὲ τοιαῦτα, ἐπειδὴ τὴν καρδίαν αὐτοῦ ἐξεκάθαρεν. Ὥσπερ γὰρ ἡ γαστήρ, ὅταν μὲν ῥυπαρῶν γέμῃ χυμῶν, συγγενῆ τούτοις ἐρεύγεται, ὅταν δ' ὑγιεινή τις οὖσα τυγχάνῃ, κατάλληλον ποιεῖται τὴν ἐρυγήν, οὕτω καὶ ἡ καρδία τοῦ προφήτου, ἐπειδὴ ἁμαρτημάτων ἦν ἀπηλλαγμένη, Πνεύματος ἐδέξατο χάριν, καὶ λόγον ἐρεύγεται ἀγαθόν. Ἐντεῦθεν καὶ ἕτερόν τι μανθάνομεν, ὅτι οἱ προφῆται οὐχ ὡς οἱ μάντεις ἦσαν. Ἐκεῖ μὲν γὰρ ὁ δαίμων, ὅταν εἰς τὴν ψυχὴν ἐμπέσῃ, πηροῖ τὴν διάνοιαν καὶ σκοτοῖ τὸν λογισμόν, καὶ οὕτως ἅπαντα φθέγγονται, οὐδὲν τῶν λεγομένων ἐπισταμένης τῆς διανοίας αὐτῶν, ἀλλ' οἷον αὐλοῦ τινος ἀψύχου φθεγγομένου. Τοῦτο καί τις τῶν παρ' αὐτοῖς φιλοσόφων ἔφη οὕτως εἰπών· 'Ὥσπερ οἱ χρησμῳδοὶ καὶ οἱ θεομάντεις λέγουσι μὲν πολλά, ἴσασι δὲ μηδὲν ὧν λέγουσιν'.

Ἀλλ' οὐ τὸ Πνεῦμα τὸ ἅγιον οὕτω ποιεῖ, ἀλλὰ καρδίαν ἀφίησιν εἰδέναι τὰ λεγόμενα. Εἰ γὰρ μὴ ᾔδει, πῶς ἔλεγεν, «Λόγον ἀγαθόν»; Ὁ μὲν γὰρ δαίμων, καθάπερ ἐχθρὸς καὶ πολέμιος, πολεμεῖ τῇ φύσει τῇ ἀνθρωπίνῃ, τὸ δὲ Πνεῦμα ἅγιον, καθάπερ κηδόμενον, καὶ εὐεργετοῦν, κοινωνεῖν τῆς γνώμης τοὺς δεχομένους ποιεῖ, καὶ μετὰ τῆς ἐκείνων διανοίας ἀποκαλύπτει τὰ λεγόμενα. «Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασι-

4. Ἰω. 12, 47.

τὴ αὐτὴ εἰκόνα δὲν ἀναφέρεται στὸ ρέψιμο, οὔτε στὶς τροφές, ἄκουσε τί ρεύεται καὶ ποιὸς εἶναι αὐτὸς πού ρεύεται. Δὲν εἶναι τὸ στομάχι πού δέχεται τὶς τροφές, ἀλλ' ἡ καρδιά. Διότι λέγει, «Ρεύθηκε ἡ καρδιά μου». Καὶ τί ρεύεται; Ὄχι τροφή, οὔτε ποτό, ἀλλὰ τὰ συγγενὴ μὲ τὴν τράπεζα, «Λόγο ἀγαθό», γιὰ τὸν μονογενή· διότι αὐτὸς ὁ λόγος πρό πάντων εἶναι ἀγαθός. Διότι λέγει, «Ἦλθα ὄχι νὰ κρίνω τὸν κόσμο, ἀλλὰ γιὰ νὰ σώσω τὸν κόσμο»[1]. Ὅλα γεμάτα ἀπὸ πραότητα, ὅλα ἀπαλλαγμένα ἀπὸ τιμωρία. Ρεύεται δὲ τέτοια, ἐπειδὴ καθάρισε τὴν καρδιά του. Διότι, ὅπως ἀκριβῶς ἡ κοιλιά, ὅταν μὲν εἶναι γεμάτη ἀπό βρώμικα ὑγρά, ρεύεται ἀνάλογα μὲ αὐτά, ὅταν δὲ συμβαίνει νὰ εἶναι ὑγιής, εἶναι κατάλληλο καὶ τὸ ρέψιμο, ἔτσι καὶ ἡ καρδιὰ τοῦ προφήτη, ἐπειδὴ ἦταν ἀπαλλαγμένη ἀπὸ ἁμαρτήματα, δέχθηκε τὰ χάρη τοῦ ἁγίου Πνεύματος καὶ ἀφήνει ν' ἀνεβεῖ στὰ χείλη λόγος ἀγαθός. Ἀπὸ αὐτὸ μαθαίνομε καὶ κάτι ἄλλο, ὅτι οἱ προφῆτες δὲν ἦταν ὅπως οἱ μάντεις. Διότι στὴν περίπτωση τῶν μάντεων, ὅταν ὁ δαίμονας εἰσορμήσει στὴν ψυχή, τυφλώνει τὴ διάνοια καὶ σκοτίζει τὴ σκέψη, καὶ ἔτσι ἀρχίζουν νὰ ὁμιλοῦν χωρὶς νὰ γνωρίζει ἡ διάνοιά τους τίποτε ἀπὸ ἐκεῖνα πού λέγουν, ἀλλὰ μοιάζουν μὲ κάποιο αὐλὸ πού παράγει φθόγγους. Αὐτὸ τὸ εἶπε καὶ κάποιος ἀπὸ τοὺς φιλοσόφους τους μὲ τὰ ἑξῆς λόγια· 'Ὅπως ἀκριβῶς οἱ χρησμωδοὶ καὶ οἱ θεομάντεις λέγουν μὲν πολλά, ἀλλὰ δὲν γνωρίζουν τίποτε ἀπὸ αὐτὰ πού λέγουν'.

Ὅμως τὸ Πνεῦμα τὸ ἅγιο δὲν ἐνεργεῖ ἔτσι, ἀλλ' ἀφήνει τὴν καρδιὰ νὰ γνωρίζει τὰ λεγόμενα. Διότι, ἂν δὲν γνώριζε, πῶς θὰ ἔλεγε, «Λόγο ἀγαθό»; Ὁ μὲν λοιπὸν δαίμονας σὰν ἐχθρός καὶ πολέμιος πού εἶναι, πολεμεῖ τὴν ἀνθρώπινη φύση, ἐνῶ τὸ ἅγιο Πνεῦμα ἐπειδὴ φροντίζει καὶ εὐεργετεῖ τὸν ἄνθρωπο, κάμνει, αὐτοὺς πού τὸ δέχονται, κοινωνοὺς τῆς θείας σκέψεως καὶ ἀποκαλύπτει μὲ τὴ διάνοια τῶν προφητῶν τὰ λεγόμενα. «Ἀπαγγέλλω ἐγὼ

λεῖν. Ἄλλως, «Τὰ ποιήματά μου». Ἔργα ποῖά φησι; Τὴν προφητείαν. Καθάπερ γὰρ τοῦ χαλκέως ἔργον, τὸ σκέπαρνον ἐργάσασθαι, καὶ τοῦ οἰκοδόμου τὴν οἰκίαν ποιῆσαι, καὶ τοῦ ναυπηγοῦ τὸ πλοῖον συγκολλῆσαι, οὕτω καὶ τοῦ προφήτου τὸ προφητείαν ἐφθέγξασθαι. Ὅτι γὰρ καὶ τοῦτο ἔργον ἐστίν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος περὶ τῶν ἀποστόλων· «Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ». Καὶ Παῦλος· «Μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ». Εἰ δὲ μὴ ἔργον ἦν, πῶς κόπον εἶχε; Τί γὰρ τοῦ ἔργου τούτου τιμιώτερον; τί δὲ χρησιμώτερον, Πασῶν τῶν τεχνῶν ἐστιν ἀνώτερον.

Τί οὖν ἐστι τὸ ἔργον, ὃ λέγει τῷ βασιλεῖ; Τὸν ὕμνον τοῦτον, τὴν προφητείαν ταύτην. Καὶ οὐκ εἶπε ποίῳ βασιλεῖ, δηλῶν ὅτι τῷ Θεῷ τῶν ὅλων. Ὥσπερ γὰρ ὅταν λέγωμεν τὸν Περσῶν βασιλέα, οὐχ ἁπλῶς βασιλέα καλοῦμεν, ἀλλὰ τὸν τῶν Περσῶν προστίθεμεν, καὶ τὸν τῶν Ἀρμενίων ὁμοίως, ὅταν δὲ τὸν ἡμέτερον λέγωμεν, οὐ δεόμεθα προσθήκης, ἀλλ' ἀρκούμεθα τῷ εἰπεῖν βασιλέα, οὕτω καὶ ὁ προφήτης, ἐπειδὴ περὶ τοῦ ὄντως βασιλέως ἔλεγεν, ἀρκεῖται τῷ εἰπεῖν Βασιλεῖ. Ὥσπερ γὰρ παντοκράτορα εἰπόντες, οὐ δεόμεθα προσθήκης, διὰ τὸ μὴ εἶναι ἕτερον παντοκράτορα, οὕτω βασιλέα λέγοντες, οὐ δεόμεθα ἑτέρας προσθήκης, διὰ τὸ μὴ εἶναι ἕτερον βασιλέα Θεόν. Ἄλλως δὲ καὶ ὁ λέγων βασιλεὺς ἦν. Ὅθεν δῆλον ὅτι οὐ περὶ ἀνθρώπου ἔλεγεν, ἀλλὰ περὶ τοῦ τῶν ὅλων Θεοῦ· διὰ τοῦτο οὐκ εἶπε 'βασιλεῖ', ἀλλὰ «Τῷ βασιλεῖ», τῇ προσθήκῃ τοῦ ἄρθρου τὴν κυριότητα παριστάς.

2. Εἶτα πάλιν δεικνὺς ὅτι οὐκ ἀνθρωπίνης ἦν ἐννοίας τὰ λεγόμενα, καὶ μελέτης καὶ συνθήκης, ἀλλὰ θείας χάριτος.

---

8. Λουκᾶ 10, 7.
9. Α' Τιμ. 5, 17.

τὰ ἔργα μου στὸ βασιλιά». Ἄλλος λέγει, «Τά ποιήματά μου». Ποιὰ ὀνομάζει ἔργα; Τὴν προφητεία. Διότι, ὅπως ἀκριβῶς ἔργο τοῦ χαλκουργοῦ εἶναι τὸ νὰ κατασκευάσει τὸ σκεπάρνι, καὶ τοῦ οἰκοδόμου τὸ νὰ κατασκευάσει οἰκία, καὶ τοῦ ναυπηγοῦ τὸ νὰ ἁρμολογήσει τὸ πλοῖο, ἔτσι καὶ τοῦ προφήτη τὸ ἔργο εἶναι ἡ δημιουργία τῆς προφητείας. Τὸ ὅτι βέβαια καὶ αὐτὸ εἶναι ἔργο, ἄκουσε τὸ Χριστὸ ποὺ λέγει γιὰ τοὺς ἀποστόλους· «ὁ ἐργάτης εἶναι ἄξιος τοῦ μισθοῦ του»[5]. Καὶ ὁ Παῦλος λέγει, «Πρὸ πάντων ἐκεῖνοι ποὺ κοπιάζουν μὲ τὸ κήρυγμα καὶ τὴ διδασκαλία»[6]. Ἂν ὅμως δὲν ἦταν ἔργο, πῶς θὰ εἶχε κόπο; Διότι τί εἶναι τιμιώτερο ἀπὸ αὐτὸ τὸ ἔργο; Τί χρησιμώτερο; Εἶναι ἀνώτερο ἀπὸ ὅλες τὶς τέχνες.

Ποιὸ λοιπὸν εἶναι τὸ ἔργο ποὺ ἀπαγγέλλει στὸ βασιλιά; Εἶναι αὐτὸς ὁ ὕμνος, αὐτὴ ἡ προφητεία. Καὶ δὲν εἶπε σὲ ποιὸ βασιλιά, δηλώνοντας ὅτι ἀπευθύνεται πρὸς τὸ Θεὸ τῶν ὅλων. Διότι, ὅπως ἀκριβῶς ὅταν ὁμιλοῦμε γιὰ τὸ βασιλιὰ τῶν Περσῶν, δὲν τὸν ὀνομάζομε ἁπλῶς βασιλιά, ἀλλὰ προσθέτομε, τὸ βασιλιὰ τῶν Περσῶν, καὶ ὅμοια καὶ τὸ βασιλιά τῶν Ἀρμενίων, ὅταν ὅμως ὁμιλοῦμε γιὰ τὸ δικό μας, δὲν χρειαζόμαστε προσθήκη, ἀλλ' ἀρκούμαστε στὸ νὰ τὸν ὀνομάσομε βασιλιά, ἔτσι καὶ ὁ προφήτης, ἐπειδὴ μιλοῦσε γιὰ τὸν πραγματικὸ βασιλιά, ἀρκεῖται στὸ νὰ τὸν ὀνομάσει «βασιλιά». Διότι, ὅπως ἀκριβῶς λέγοντας τὴν λέξη 'παντοκράτορας» δὲν χρειαζόμαστε προσθήκη, ἐπειδὴ δὲν ὑπάρχει ἄλλος παντοκράτορας, ἔτσι λέγοντας βασιλιά, δὲν χρειαζόμαστε ἄλλη προσθήκη, ἐπειδὴ δὲν ὑπάρχει ἄλλος βασιλεὺς Θεός. Ἄλλωστε δὲ καὶ αὐτὸς ποὺ τὰ λέγει αὐτά ἦταν βασιλεύς. Ἄρα γίνεται φανερό, ὅτι δὲν μιλοῦσε γιὰ ἄνθρωπο, ἀλλά γιὰ τὸ Θεὸ τῶν ὅλων· γι' αὐτὸ δὲν εἶπε, σὲ βασιλιά, ἀλλὰ «στὸ βασιλιά», γιὰ νὰ παραστήσει μὲ τὴν προσθήκη τοῦ ἄρθρου τὴν κυριότητά του.

2. Στὴ συνέχεια πάλι γιὰ νά δείξει ὅτι τὰ λεγόμενα δὲν ἦταν ἀνθρώπινα ἐπινοήματα καὶ μελέτη καὶ σύνθεση,

καὶ τὴν γλῶτταν μόνην αὐτὸς ἐδάνεισεν, ἐπήγαγεν· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου». Ὁ δὲ κάλαμος ταῦτα γράφει, ἅπερ ἂν ἡ κατέχουσα αὐτὸν κελεύῃ χείρ. Ἕτερος δέ φησιν· «Ἡ γλῶσσά μου ὡς γραφεῖον γραφέως ταχινοῦ». Τί βούλεται τό, «Ταχινοῦ»; Ἵνα κἀντεῦθεν τὴν χάριν δείξῃ. Ὁ μὲν γὰρ οἴκοθεν φθεγγόμενος, μέλλει καὶ βραδύνει μελετῶν, συντιθείς, ἐμποδιζόμενος καὶ ἀγνοίᾳ καὶ ἀμαθίᾳ καὶ μελλήσει, καὶ πολλά ἐστι τὰ λυμαινόμενα τῷ τάχει τοῦ λόγου, ὅταν δὲ Πνεῦμα κινῇ τὴν διάνοιαν, οὐδὲν τὸ κωλῦον, ἀλλ' ὥσπερ ὕδατος ῥύμη πολλῷ τῷ ῥοίζῳ φερομένη προέρχεται, οὕτω καὶ ἡ τοῦ Πνεύματος χάρις μετὰ πολλῆς τῆς ταχύτητος πρόεισι, πάντα λεῖα, πάντα εὐμαρῆ προφέρουσα.

Εἶτα πάλιν αὐτὸ τοῦτο διακαθαίρων, καὶ δεικνὺς οὐδὲν ἀνθρώπινον ὂν τῶν λεγομένων ἐπήγαγεν· «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων». Τινὲς μὲν οὖν περὶ τῆς γλώττης εἰρῆσθαι τοῦτο λέγουσιν, ὅτι κάλαμος ὡραῖος κάλλει, ἐμοὶ δὲ δοκεῖ λοιπὸν περὶ τοῦ Χριστοῦ λέγειν αὐτόν. Διὸ καὶ ἕτερός φησιν ἑρμηνευτής· «Κάλλει ἐκαλλωπίσθης ἀπὸ υἱῶν ἀνθρώπων». Εἰς γὰρ αὐτὸν τρέπει τὸν λόγον ὑπὸ πολλῆς θερμότητος, καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ὡς καὶ Ἰακὼβ ἔλεγεν· «Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων». Ἔνθους γὰρ γενόμενος αὐτῷ λοιπὸν διαλέγεται, καὶ πρὸς αὐτὸν ἀποτείνει τὸν λόγον. **Τοῦτο δὲ οὐ κατὰ** σύγκρισίν φησιν· οὐ γὰρ εἶπεν, ὡραιότερος, ἀλλ', «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων». Ἄλλο τοῦτο, φησί,

---

7. Γεν. 49, 9.

ἀλλ' ἦταν ἔργο τῆς θείας χάριτος, καὶ ὅτι αὐτὸς μόνο τὴ γλώσσα δάνεισε, πρόσθεσε· «Ἡ γλώσσα μου εἶναι σὰν πέννα ταχυγράφου γραφέα». Ἡ δὲ πέννα αὐτὰ γράφει, αὐτὰ ποὺ ἤθελε διατάξει τὸ χέρι ποὺ τὴν κρατᾶ. Ἄλλος δὲ λέγει· «Ἡ γλώσσα εἶναι σὰν γραφίδα γρήγορου γραφέα». Ποιὰ ἡ σημασία τοῦ «ταχινοῦ»; Γιὰ νὰ δείξει καὶ μὲ αὐτὸ τὴ θεία χάρη. Διότι ἐκεῖνος μὲν ποὺ ὁμιλεῖ ἀπὸ μόνος του, προετοιμάζεται καὶ ἀργεῖ νὰ μιλήσει μὲ τὸ νὰ μελετᾶ καὶ νὰ ἑτοιμάζει τὴν ὁμιλία του, ἐμποδιζόμενος καὶ ἀπὸ τὴν ἀμάθεια καὶ ἀπὸ τὴν προετοιμασία, καὶ πολλὰ εἶναι ἐκεῖνα ποὺ ἐμποδίζουν τὴν ταχύτητα τοῦ λόγου, ὅταν ὅμως τὸ Πνεῦμα κινεῖ τὴ σκέψη, δὲν ὑπάρχει κανένα ἐμπόδιο, ἀλλ' ὅπως ἀκριβῶς ἡ ὁρμὴ τοῦ νεροῦ προχωρεῖ προκαλώντας πολὺ θόρυβο, ἔτσι καὶ ἡ χάρη τοῦ Πνεύματος ἐνεργεῖ μὲ πολλὴ ταχύτητα, καὶ ὅλα λέγονται μὲ φυσικὸ τρόπο καὶ μὲ εὐκολία.

Ἔπειτα πάλι, γιὰ νὰ ξεκαθαρίσει αὐτὸ τὸ ἴδιο καὶ γιὰ νὰ δείξει, ὅτι τίποτε ἀπὸ τὰ λεγόμενα δὲν εἶναι ἀνθρώπινο, πρόσθεσε· «Εἶναι ὡραῖο τὸ κάλλος σου, διαφορετικὸ ἀπὸ ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων». Ὁρισμένοι βέβαια λέγουν ὅτι αὐτὸ λέχθηκε γιὰ τὴ γλώσσα, ὅτι εἶναι σὰν πέννα ποὺ γράφει πάρα πολὺ ὡραῖα, ἐγὼ ὅμως νομίζω ὅτι αὐτὸς ὁμιλεῖ πλέον περὶ τοῦ Χριστοῦ. Γι' αὐτὸ καὶ ἄλλος ἑρμηνευτὴς λέγει· «Στολίσθηκες μὲ ὀμορφιὰ περισσότερο ἀπὸ ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων». Δηλαδὴ στρέφει τὸ λόγο πρὸς αὐτὸν μὲ πολλὴ θερμότητα καὶ πολὺ πάθος γι' αὐτόν, ὅπως καὶ ὁ Ἰακὼβ ἔλεγε· «Προῆλθες, υἱέ μου, ἀπὸ βλαστό· ἀφοῦ ξάπλωσες, κοιμήθηκες σὰν λιοντάρι»[7]. Διότι, ἀφοῦ κυριεύθηκε ἀπὸ θεία ἔμπνευση, συνομιλεῖ πλέον μὲ αὐτὸν καὶ πρὸς αὐτὸν ἀπευθύνει τὸ λόγο. Αὐτὸ δὲ δὲν τὸ λέγει γιὰ νὰ κάμει σύγκριση· διότι δὲν εἶπεν, 'ὡραιότερο', ἀλλὰ «Εἶναι ὡραῖο τὸ κάλλος σου, διαφορετικὸ ἀπὸ ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων». Εἶναι, λέγει, αὐτὸ τὸ κάλλος διαφορετικὸ ἀπὸ τὸ κάλλος τῶν

τὸ κάλλος παρ' ἐκεῖνο. Καὶ σκόπει πῶς τὸν περὶ τῆς οἰκονομίας πρῶτον κινεῖ λόγον. Ὅτι δὲ περὶ τῆς οἰκονομίας ἐστὶ τοῦτο, δῆλον ἐκ τῶν ἑξῆς. Εἰπὼν γάρ, «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων», ἐπήγαγεν· «Ἐξεχύθη χάρις ἐν χείλεσί σου». Χείλη δὲ ὁ Θεὸς οὐκ ἔχει, ἀλλὰ τῆς οἰκονομίας ἐστὶν ὁ λόγος. Ἕτερος δὲ ἑρμηνευτὴς εἰπών, «Ἀνεχύθη χάρις τοῖς χείλεσί σου», σαφέστερον τοῦτο ἐποίησε. Τί δέ ἐστιν, «Ἀνεχύθη», ἤ, ὡς ἂν εἴποι τις, ἡ ἔνδον οὖσα ἀνέβλυσεν, ἐπήγασε; Πῶς οὖν ἕτερος προφήτης λέγει, «Εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων»; Οὐ περὶ ἀμορφίας λέγων, μὴ γένοιτο, ἀλλὰ περὶ τοῦ εὐκαταφρονήτου. Καταδεξάμενος γὰρ ἅπαξ γενέσθαι ἄνθρωπος, διὰ τῶν εὐτελῶν ἁπάντων διῆλθεν, οὔτε μητέρα βασιλίδα ἐπιγραψάμενος, οὔτε ἐν καιρῷ τῶν σπαργάνων ἐπὶ κλίνης τεθεὶς χρυσῆς, ἀλλ' ἐν φάτνῃ, οὔτε ἐν οἰκίᾳ τραφεὶς πολυτελεῖ, ἀλλ' ἐν εὐτελεῖ τέκτονος δωματίῳ. Καὶ λαβὼν μαθητὰς πάλιν, οὐ ῥήτορας καὶ φιλοσόφους καὶ βασιλέας ἔλαβεν, ἀλλ' ἁλιέας, καὶ τελώνας· καὶ τὸν βίον τὸν λιτὸν τοῦτον μετῄει, οὔτε οἰκίαν ἔχων, οὔτε ἱμάτια περιβεβλημένος πολυτελῆ, οὔτε τραπέζης ἀπολαύων τοιαύτης, ἀλλὰ παρ' ἑτέρων τρεφόμενος, ὑβριζόμενος, καταφρονούμενος, ἐλαυνόμενος, διωκόμενος. Ταῦτα δὲ ἐποίει ἐκ πολλῆς τῆς περιουσίας τὸν τῦφον πατῶν τὸν ἀνθρώπινον. Ἐπεὶ οὖν οὔτε φαντασίαν τινὰ καὶ κόμπον περιεβέβλητο, οὔτε ἀκολούθους εἶχε καὶ δορυφόρους, ἀλλ' ἔστιν ὅτε καὶ μόνος περιῄει, ὡς εἷς τῶν πολλῶν, διὰ τοῦτο ἐκεῖνος μέν φησιν, «Εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος, οὔτε κάλλος», οὗτος δέ

8. Ἡσ. 53, 2-3.

ἀνθρώπων. Καὶ πρόσεχε πῶς διατυπώνει ἀπὸ τὴν ἀρχὴ τὸν περὶ τῆς θείας οἰκονομίας λόγο. Τὸ ὅτι δὲ αὐτὸ ἀναφέρεται στὴ θεία οἰκονομία, γίνεται φανερὸ ἀπὸ τὰ ἑξῆς. Διότι, ἀφοῦ εἶπε, «Ἡ ὡραιότητά σου εἶναι διαφορετικὴ ἀπὸ τοὺς υἱοὺς τῶν ἀνθρώπων», πρόσθεσε· «Ξεχύθηκε ἄφθονη ἡ χάρη σου στὰ χείλη σου». Χείλη δὲ ὁ Θεὸς δὲν ἔχει, ἀλλ᾽ αὐτὸς ὁ λόγος ἀναφέρεται στὴ θεία οἰκονομία. Ἄλλος δὲ ἑρμηνευτὴς ἔκαμε αὐτὸ πιὸ σαφὲς μὲ τὸ νὰ πεῖ, «Ἀναχύθηκε χάρη στὰ χείλη σου». Τί ἄλλο δὲ σημαίνει τὸ «Ἀναχύθηκε» παρὰ σὰν νὰ ἔλεγε κάποιος, ἡ χάρη ποὺ ἦταν μέσα σου ἀνέβλυσε, πήγασε; Πῶς λοιπὸν ἄλλος προφήτης λέγει, «Εἴδαμε αὐτὸν καὶ δὲν εἶχε ἐξωτερικὴ μορφὴ ἐμφανίσιμη, οὔτε κάλλος, ἀλλ᾽ ἡ μορφή του ἦταν ἄσχημη, καὶ ὑπολειπόταν ἀπ᾽ ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων»; Δὲν ἐννοεῖ τὴν ὀμορφιὰ τοῦ προσώπου του, μὴ γένοιτο, ἀλλ᾽ ὁμιλεῖ γιὰ τὸ εὐκαταφρόνητο αὐτοῦ. Διότι, ἀφοῦ καταδέχθηκε νὰ γίνει ἄνθρωπος, πέρασε ἀπὸ ὅλες τὶς εὐτελεῖς καταστάσεις, οὔτε μητέρα βασίλισσα δέχθηκε νὰ ἔχει, οὔτε τότε ποὺ σπαργανώθηκε, τοποθετήθηκε μέσα σὲ χρυσὴ κλίνη, ἀλλὰ στὴ φάτνη, οὔτε τράφηκε σὲ πολυτελὴ οἰκία, ἀλλὰ σὲ ταπεινὸ δωμάτιο τοῦ μαραγκοῦ. Καὶ ὅταν πάλι ἔλαβε μαθητὲς δὲν ἔλαβε ρήτορες καὶ φιλοσόφους καὶ βασιλεῖς, ἀλλ᾽ ἁλιεῖς καὶ τελῶνες· καὶ ζοῦσε μὲ αὐτὸν τὸν ὁπλοϊκὸ τρόπο, μὴ ἔχοντας οὔτε οἰκία, οὔτε φορώντας ἐνδύματα πολυτελή, οὔτε ἀπολαμβάνοντας πολυτελὴ τράπεζα, ἀλλὰ τρεφόταν ἀπὸ ἄλλους, ὑβριζόμενος, περιφρονούμενος, καταφεύγοντας πότε ἐδῶ καὶ πότε ἐκεῖ καὶ καταδιωκόμενος. Αὐτὰ δὲ τὰ ἔκαμνε γιὰ νὰ κατασυντρίψει τὴν ἀνθρώπινη ὑπερηφάνεια. Ἐπειδὴ λοιπὸν οὔτε φανταχτερὰ πράγματα φοροῦσε, οὔτε καυχιόταν, οὔτε εἶχε ἀκολούθους καὶ δορυφόρους, ἀλλὰ πολλὲς φορὲς καὶ μόνος του περιερχόταν, σὰν κάποιος ἀπὸ τοὺς πολλούς, γι᾽ αὐτὸ ἐκεῖνος μὲν λέγει, «Εἴδαμε αὐτὸν καὶ δὲν εἶχε πρόσωπο ἐμφανίσιμο καὶ κάλλος», αὐτὸς δὲ λέγει, «Ἡ

*φησιν, «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων», τὴν χάριν δηλῶν, τὴν σοφίαν, τὴν διδασκαλίαν, τὰ θαύματα.*

*Εἶτα ὑπογράφων τὴν ὡραιότητα, φησίν «Ἐξεχύθη χάρις ἐν χείλεσί σου». Ὁρᾷς ὅτι περὶ τῆς οἰκονομίας ὁ λόγος; Τίς δέ ἐστιν αὕτη ἡ χάρις; Δι' ἧς ἐδίδασκε, δι' ἧς ἐθαυματοποίει. Τὴν χάριν ἐνταῦθα λέγει τὴν ἐλθοῦσαν ἐπὶ τὴν σάρκα· «Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα», φησί, «καταβαῖνον ὡσεὶ περιστεράν, καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων». Πᾶσα γὰρ ἡ χάρις ἐξεχύθη εἰς τὸν ναὸν ἐκεῖνον. Οὐ γὰρ ἐν μέτρῳ δίδωσιν ἐκείνῳ τὸ Πνεῦμα· «Ἡμεῖς μὲν γὰρ ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν, ὁ δὲ ναὸς ἐκεῖνος ὁλόκληρον τὴν χάριν ἔλαβε». Τοῦτο καὶ ὁ Ἠσαΐας δηλῶν ἔλεγεν· «Ἀναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας. Πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν». Ἀλλ' ἐκεῖ μὲν ὁλόκληρος ἡ χάρις, ἐπὶ δὲ τῶν ἀνθρώπων μικρόν τι, καὶ ῥανὶς ἀπὸ τῆς χάριτος ἐκείνης. Διὰ τοῦτο οὐκ εἶπε, 'δίδωμι τὸ Πνεῦμα', ἀλλ', «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα».*

*3. Τοῦτο γοῦν καὶ ἐξέβη. Πᾶσα γὰρ ἡ οἰκουμένη ἐκ τοῦ Πνεύματος ἐδέξατο ἐκείνου. Ἤρξατο μὲν γὰρ ἐκ Παλαιστίνης τὸ δῶρον, προῆλθε δὲ εἰς Αἴγυπτον, εἰς Φοινίκην, τὴν τῶν Σύρων, τὴν Κιλίκων, τὸν Εὐφράτην, τὴν Μέσην τῶν ποταμῶν, τὴν Καππαδοκῶν, τὴν Γαλατῶν, τὴν Σκυθῶν, τὴν Θρακῶν, τὴν Ἑλλάδα, τὴν Γάλλων, τὴν Ἰταλῶν, τὴν Λιβύην ἅπασαν, τὴν Εὐρώπην, τὴν Ἀσίαν, εἰς αὐτὸν τὸν Ὠκεανόν. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; Ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ἐπῆλθεν ἡ χάρις αὕτη· καὶ ἡ σταγὼν αὕτη καὶ ἡ ῥανὶς τοῦ Πνεύματος τὴν οἰκουμένην ἅπασαν ἐνέπλησε τῆς γνώσεως. Διὰ ταύτης τὰ σημεῖα ἐγίνετο, τὰ ἁμαρτήματα πάντων ἐλύετο. Ἀλλ' ὅμως ἡ ἐν τοσούτοις κλίμασι διδομένη χάρις,*

---

9. Ἰω. 1, 33.
10. Ἡσ. 11, 2.
11. Ἰωὴλ 3, 1.

ὡραιότης σου διαφέρει ἀπὸ ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων», γιὰ νὰ δηλώσει τὴν χάρη, τὴ σοφία, τὴ διδασκαλία, τὰ θαύματα.

Ἔπειτα ἐπιβεβαιώνοντας τὴν ὡραιότητα, λέγει· «Ξεχύθηκε ἡ χάρη σου στὰ χείλη μου». Βλέπεις ὅτι ὁμιλεῖ γιὰ τὴ θεία οἰκονομία; Ποιὰ δὲ εἶναι αὐτὴ ἡ χάρη; Εἶναι ἐκείνη μὲ τὴν ὁποία δίδασκε, μὲ τὴν ὁποία ἔκαμνε τὰ θαύματα. Ἐδῶ ὁμιλεῖ γιὰ τὴ χάρη, ποὺ ἦλθε στὴ σάρκα· «Σὲ ὅποιον δεῖς τὸ Πνεῦμα», λέγει, «νὰ κατεβαίνει σὰν περιστέρι καὶ νὰ μένει ἐπάνω σ' αὐτόν, αὐτὸς εἶναι ποὺ βαπτίζει»[9]. Καθόσον ὅλη ἡ χάρη ξεχύθηκε σ' ἐκεῖνο τὸ ναό. Διότι τὸ Πνεῦμα δὲν δίνει σ' ἐκεῖνον μὲ μέτρο. Ἐμεῖς μὲν λάβαμε ἀπὸ τὸ πλήρωμα αὐτοῦ, ἐνῶ ἐκεῖνος ὁ ναὸς ἔλαβε ὁλόκληρη τὴ χάρη. Αὐτὸ δηλώνοντας καὶ ὁ Ἡσαΐας, ἔλεγε· «Θ' ἀναπαυθεῖ σ' αὐτὸν Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ δυνάμεως, Πνεῦμα γνώσεως καὶ εὐσεβείας. Μὲ πνεῦμα φόβου Θεοῦ θὰ γεμίσει αὐτόν»[10]. Ἀλλὰ στὸ μὲν Χριστὸ δόθηκε ὁλόκληρη ἡ χάρη, στοὺς ἀνθρώπους ὅμως δίνεται ἐλάχιστο μέρος καὶ σταγόνα ἀπὸ τὴν χάρη ἐκείνη ποὺ δόθηκε σ' ἐκεῖνον. Γι' αὐτὸ δὲν εἶπε, 'δίνω τὸ Πνεῦμα', ἀλλὰ «θὰ ἐκπέμψω τὸ Πνεῦμα μου σὲ κάθε ἄνθρωπο»[11].

3. Αὐτὸ λοιπὸν καὶ συνέβηκε. Καθόσον ὅλη ἡ οἰκουμένη ἔλαβε ἀπὸ ἐκεῖνο τὸ Πνεῦμα. Διότι ἄρχισε μὲν τὸ δῶρο ἀπὸ τὴν Παλαιστίνη, ἁπλώθηκε στὴν Αἴγυπτο, στὴ Φοινίκη, στὴ χώρα τῶν Σύρων, τὴν Κιλικία, τὸν Εὐφράτη, τὴ Μεσοποταμία, τὴν Καππαδοκία, τὴ Γαλατία, τὴ Σκυθία, τὴ Θράκη, τὴν Ἑλλάδα, τὴ Γαλλία, τὴν Ἰταλία, σ' ὁλόκληρη τὴ Λιβύη, τὴν Εὐρώπη, τὴν Ἀσία καὶ μέχρι σ' αὐτὸν τὸν Ὠκεανό. Καὶ γιατί νὰ τ' ἀναφέρω ὅλα; Ὅση γῆ ἐποπτεύει ὁ ἥλιος, σ' ὅλη αὐτὴ ἔφθασε ἡ χάρη αὐτή· καὶ ἡ σταγόνα αὐτὴ καὶ ἡ σταλαγματιὰ τοῦ Πνεύματος γέμισε ὅλη τὴν οἰκουμένη ἀπὸ τὴν θεία γνώση. Μ' αὐτὴ γίνονταν τὰ θαύματα καὶ συγχωροῦνταν τὰ ἁμαρτήματα ὅλων. Ἀλλ'

μέρος τι τῆς δωρεᾶς ἐστι καὶ ἀρραβών. «Δοὺς» γάρ, φησί, «τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν»· τὸ μέρος λέγει τῆς ἐνεργείας. Οὐ γὰρ δὴ ὁ Παράκλητος μερίζεται.

Ὅρα δὲ τὴν πηγήν, ὅση τίς ἐστιν. «Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἑτέρῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ προφητεῖαι, ἑτέρῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν». Καὶ τοσαῦτα χαρίσματα ἐν τοσούτοις ἔθνεσιν ἡ ἐν τῷ βαπτίσματι χάρις ἐπὶ τὴν γῆν ἅπασαν ἐξέτεινε· καὶ πάντα ταῦτα ἡ ῥανὶς τοῦ Πνεύματος ἐργάζεται. Ὅτι γὰρ ῥανὶς ἦν, ἐδήλωσε τῷ εἰπεῖν, «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου», καὶ τῷ ἀρραβῶνα καλέσαι. Διὰ γὰρ τούτου δῆλον, ὅτι μικρόν τι τοῦ παντὸς ἐδόθη. Διὰ τοῦτο καὶ Ἰωάννης τοῦτο αὐτὸ δηλῶν ἔλεγεν· «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν», ἐκ τοῦ ὑπερβλύζοντος, ὡς ἂν εἴποι τις, ἐκ τοῦ περιττεύοντος, ἐκ τοῦ ὑπερεκχεομένου πάντες ἐλάβομεν. Ἐννόησον τοίνυν Πνεύματος χάριν, πῶς ἐστι παναρχής, τοσαύτη οἰκουμένῃ ἐπὶ τοσούτοις ἀρκοῦσα χρόνοις, καὶ οὐδὲ οὕτω περιγράφεται, οὔτε ἀναλίσκεται, ἀλλὰ πάντας μὲν ἐμπίπλησι πλούτου καὶ χάριτος, αὐτὴ δὲ οὐδαμοῦ δαπανᾶται.

Εἶτα ἐπειδὴ πολυώνυμόν τί ἐστι τὸ ὄνομα τοῦ πνεύματος (καὶ γὰρ καὶ ἄγγελος, καὶ ψυχή, καὶ ἄνεμος τοῦτο καλεῖται, καὶ ἕτερα πλείονα), ἐπήγαγεν, «Ἀπὸ τοῦ Πνεύματός μου». Ὥσπερ οὖν ἀνθρώπου πνεῦμα συγγενές ἐστι τοῦ ἀνθρώπου, οὕτω καὶ τὸ τοῦ Θεοῦ, ἀλλ' ἐν ἰδίᾳ ὑποστάσει μένον. Καὶ τοῦ-

12. Β΄ Κορ. 1, 22.
13. Α΄ Κορ. 12, 8-10.
14. Ἰωὴλ 2, 28.
15. Ἰω. 1, 16.
16. Ἰωὴλ 2, 28.

ὅμως ἡ χάρη ποὺ δόθηκε σὲ τόσες πολλὲς χῶρες εἶναι ἕνα μικρὸ μέρος τῆς δωρεᾶς καὶ ὑπόσχεση. Διότι λέγει, «ἔδωσε στὶς καρδιές μας τὴν ὑπόσχεση τοῦ Πνεύματος»[12], ἐννοώντας ἕνα μέρος τῆς ἐνέργειας. Καὶ βέβαια ὁ παράκλητος δὲν μερίζεται.

Πρόσεχε δὲ τὴν πηγή, πόση εἶναι. «Διότι σ' ἄλλον μὲν δίνεται ἀπὸ τὸ Πνεῦμα λόγος σοφίας, σ' ἄλλον δίνεται ἀπὸ τὸ ἴδιο τὸ Πνεῦμα λόγος γνώσεως, σ' ἄλλον πίστη, σ' ἄλλον τὸ χάρισμα θεραπείας ἀσθενειῶν, σ' ἄλλον ἐνέργειες τοῦ ἁγίου Πνεύματος γιὰ ἐπιτέλεση ὑπερφυσικῶν ἔργων, σ' ἄλλον προφητεῖες, σ' ἄλλον ἡ ἱκανότητα νὰ διακρίνει τὰ πνεύματα, καὶ σ' ἄλλον τὸ χάρισμα νὰ ὁμιλεῖ πλῆθος γλωσσῶν»[13]. Καὶ τόσα πολλὰ χαρίσματα σὲ τόσα ἔθνη ὁλόκληρης τῆς γῆς σκόρπισε ἡ χάρη τοῦ ἁγίου Πνεύματος μὲ τὸ βάπτισμα· καὶ ὅλα αὐτὰ τὰ κάμνει ἡ σταγόνα τοῦ ἁγίου Πνεύματος. Διότι, τὸ ὅτι ἦταν σταγόνα, τὸ δήλωσε μὲ τὸ νὰ πεῖ, «Θὰ σκορπίσω ἀπὸ τὸ Πνεῦμα μου»[14], καὶ μὲ τὸ νὰ τὸ ὀνομάσει ἀρραβῶνα. Διότι μὲ αὐτὸ γίνεται φανερό, ὅτι ἕνα πολὺ μικρὸ μέρος ἀπὸ τὸ ὅλο δόθηκε. Γι' αὐτὸ καὶ ὁ Ἰωάννης γιὰ νὰ δηλώσει αὐτὸ τὸ ἴδιο, ἔλεγε· «Ὅλοι ἐμεῖς λάβαμε ἀπὸ τὸ πλήρωμα αὐτοῦ»[15], ὅλοι λάβαμε ἀπ' αὐτὸ ποὺ ὑπερχειλίζει, ὅπως θὰ μποροῦσε κανεὶς νὰ πεῖ, ἀπ' αὐτὸ ποὺ δίνει μὲ ἀφθονία, ἀπ' αὐτὸ ποὺ πλημμυρίζει ἀπὸ παντοῦ. Ἀναλογίσου λοιπὸν τὴ χάρη τοῦ Πνεύματος, πόσο ὑπεράφθονη καὶ πανίσχυση εἶναι, ὥστε νὰ ἀρκεῖ ἐπὶ τόσα πολλὰ χρόνια γιὰ μιὰ τόσο μεγάλη οἰκουμένη, καὶ οὔτε περιορίζεται, οὔτε δαπανιέται, ἀλλ' ὅλους μὲν τοὺς γεμίζει ἀπὸ πλοῦτο καὶ χάρη, ἐνῶ αὐτὴ δὲν λιγοστεύει καθόλου.

Στὴ συνέχεια, ἐπειδὴ τὸ Πνεῦμα ἔχει πολλὰ ὀνόματα (καθόσον καὶ ἄγγελος ὀνομάζεται καὶ ψυχὴ καὶ ἄνεμος καὶ πολλὰ ἄλλα), πρόσθεσε, «Ἀπὸ τὸ Πνεῦμα μου»[16]. Ὅπως ἀκριβῶς λοιπὸν τὸ πνεῦμα τοῦ ἀνθρώπου συνυπάρχει μετὰ τοῦ ἀνθρώπου, ἔτσι καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, ἀποτελεῖ

το δηλῶν ὁ Παῦλος ἔλεγε· «Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»· οὐ συγχέων τὰς ὑποστάσεις, μὴ γένοιτο, ἀλλὰ τὴν εὐγένειαν τοῦ Πνεύματος δηλῶν. Ὅση γοῦν ψυχῆς αὐτῆς πρὸς ἑαυτὴν ἡ συμφωνία, τοσαύτη τοῦ Πνεύματος πρὸς τὸν Πατέρα ἡ συγγένεια. Ὥσπερ οὖν καὶ ὁ Υἱὸς Λόγος λέγεται, ἀλλ' οὐκ ἀνυπόστατος, ἀλλὰ διὰ τοῦτο τὸ πρὸς τὸν Πατέρα συγγενὲς ἵνα μάθωμεν, οὕτω καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα λέγεται, ἀλλ' οὐκ ἀνυπόστατον. Καὶ ὥσπερ ἐπειδὴ γνήσιός ἐστιν Υἱὸς τοῦ Πατρὸς, διὰ τοῦτο υἱοθεσίαν ἡμῖν χαρίζεται, οὕτω καὶ τὸ Πνεῦμα, ἐπειδὴ φύσει τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ, τὰ χαρίσματα ἡμῖν παρέχει. Ἐπεὶ καὶ ἄνθρωπος, ἐπειδὴ φύσει ἄνθρωπός ἐστι, διὰ τοῦτο γράψαι δύναται εἰκόνα ἀνθρώπου.

«Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα». Ἄλλος λέγει, «Ἐπὶ τούτῳ». Ὁρᾷς πῶς δι' ὅλου πρὸς αὐτὸν ἀποτείνεται ἐκ διαθέσεως; Διὰ τοῦτο καὶ ἀλλαχοῦ οὐχ ἁπλῶς προφητεύει, ἀλλ' ἐν σχήματι ἐγκλήματος, ὡς ὅταν λέγῃ· «Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;» οὕτω δὴ καὶ ἐνταῦθα λέγων, «Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα». Οὐδὲν γὰρ περὶ τῆς γεννήσεως αὐτοῦ διαλεχθείς, οὐδὲ περὶ ἀνατροφῆς, οὐδὲ περὶ τῶν ἄλλων, ἐντεῦθεν ἐμβάλλει τὸν περὶ αὐτοῦ λόγον. Τί δήποτε; Ὅτι τὸ μὲν ἅπαντα κατὰ ἀκολουθίαν λέγειν, τῶν εὐαγγελιστῶν ἐστι· διὸ καὶ ἐκείνοις αὐτὰ ἐτήρησε· καὶ γὰρ τῆς ἐκείνων διηγήσεως ἦν· προφητείας δέ ἐστιν ἔργον, μέρη τινὰ ἀπολαμβάνειν, καὶ περὶ τού-

17. Α΄ Κορ. 2, 11.
18. Ψαλ. 2, 1.

ὅμως ἰδιαίτερη ὑπόσταση. Καὶ γιὰ νὰ δηλώσει αὐτὸ ὁ Παῦλος, ἔλεγε˙ «Διότι ποιὸς ἀπὸ τοὺς ἀνθρώπους γνωρίζει τὰ τοῦ ἀνθρώπου, παρὰ μόνον τὸ πνεῦμα τοῦ ἀνθρώπου ποὺ ὑπάρχει μέσα σ' αὐτόν; Ἔτσι καὶ τὰ τοῦ Θεοῦ κανεὶς δὲν τὸ γνωρίζει, παρὰ τὸ Πνεῦμα τοῦ Θεοῦ»[17], χωρὶς φυσικὰ νὰ συγχέει τὶς ὑποστάσεις, μὴ γένοιτο, ἀλλὰ θέλει νὰ δηλώσει τὴν ἔνδοξη καταγωγὴ τοῦ Πνεύματος. Ὅση λοιπὸν συμφωνία τῆς ψυχῆς ὑπάρχει πρὸς τὸν ἑαυτό της, τόση εἶναι ἡ συγγένεια τοῦ Πνεύματος πρὸς τὸν Πατέρα. Ὅπως ἀκριβῶς λοιπὸν καὶ ὁ Υἱὸς ὀνομάζεται Λόγος, ὅμως δὲν εἶναι ἀνυπόστατος, ἀλλ' ὀνομάζεται ἔτσι γιὰ νὰ μάθουμε τὴν συγγένειά του πρὸς τὸν Πατέρα, ἔτσι καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, ὀνομάζεται Πνεῦμα, ἀλλὰ δὲν εἶναι χωρὶς ὑπόσταση. Καὶ ὅπως ἀκριβῶς, ἐπειδὴ εἶναι γνήσιος υἱὸς τοῦ Πατέρα, γι' αὐτὸ μᾶς χαρίζει τὴν υἱοθεσία, ἔτσι καὶ τὸ Πνεῦμα, ἐπειδὴ ἐκ φύσεως εἶναι τῆς ἴδιας οὐσίας μὲ τοῦ Θεοῦ, μᾶς παρέχει τὰ χαρίσματα. Διότι καὶ ὁ ἄνθρωπος, ἐπειδὴ ἐκ φύσεως εἶναι ἄνθρωπος, γι' αὐτὸ μπορεῖ νὰ ζωγραφίσει τὴν εἰκόνα τοῦ ἀνθρώπου.

*«Γι' αὐτὸ καὶ σὲ εὐλόγησε ὁ Θεὸς γιὰ νὰ ὑπάρχεις στὸν αἰώνα».* Ἄλλος λέγει, «ἐξ αἰτίας αὐτοῦ». Βλέπεις πῶς μὲ πολὺ πόθο ἀπευθύνεται πρὸς αὐτὸν καὶ ὅλα τὰ λέγει γι' αὐτόν; Γι' αὐτὸ καὶ ἀλλοῦ, δὲν προφητεύει ἁπλῶς, ἀλλὰ προφητεύει ὑπὸ μορφὴ κατηγορίας, ὅπως ὅταν λέγει˙ «Γιατί ἀφηνίασαν οἱ ἐθνικοὶ καὶ οἱ λαοὶ συνέλαβαν σχέδια ἀνόητα καὶ μάταια;»[18], ἔτσι λοιπὸν καὶ ἐδῶ, λέγοντας, «Γι' αὐτὸ σὲ εὐλόγησε ὁ Θεὸς γιὰ νὰ ὑπάρχεις στὸν αἰώνα». Χωρὶς λοιπὸν νὰ πεῖ τίποτε γιὰ τὴν γέννηση αὐτοῦ, οὔτε γιὰ τὴν ἀνατροφή του, οὔτε γιὰ τίποτε ἄλλο, ἀπὸ ἐδῶ ἀρχίζει τὸ λόγο γι' αὐτόν. Γιατί τέλος πάντων; Ἐπειδὴ ἡ μὲν λεπτομερὴς ἐξιστόρηση τῆς ζωῆς του εἶναι ἔργο τῶν εὐαγγελιστῶν, γι' αὐτὸ καὶ τὰ φύλαξε αὐτὰ γι' αὐτούς˙ καθόσον ἦταν κάτι ποὺ ἔπρεπε νὰ τὸ διηγηθοῦν ἐκεῖνοι˙ ἔργο ὅμως τῆς προφητείας εἶναι νὰ παραλαμβά-

*των διαλέγεσθαι. Διὰ δὴ τοῦτο οἱ προφῆται πανταχοῦ τοῦτο ποιοῦσιν· ὀλίγα τινὰ γὰρ εἰς τὴν ἱστορίαν ἐμβάλλοντες καὶ συσκιάζοντες ἀναχωροῦσι. Διὰ τοῦτο καὶ οὗτος, «Εὐλόγησέ σε», φησίν, «ὁ Θεὸς εἰς τὸν αἰῶνα»· οὕτως εἰπών, ὅτι τοσαύτης χάριτος ἔγεμεν αὐτοῦ τὰ ῥήματα.*

*Σκόπει γοῦν τὴν δύναμιν τῆς χάριτος. Παρεπορεύετό ποτε παρὰ τὴν θάλασσαν, καὶ εὑρίσκει Ἰάκωβον καὶ Ἰωάννην, καὶ λέγει αὐτοῖς· «Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων». Οἱ δὲ καὶ τὸν πατέρα ἀφέντες καὶ τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. Εἶτα ἄλλοτε πᾶσι τοῖς μαθηταῖς λέγων, «Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;», λέγει αὐτῷ Πέτρος· «Κύριε, ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· καὶ πρὸς τίνα ἀπελευσόμεθα;». Τί λέγω τοὺς μαθητάς; Αὐτοὶ οἱ Φαρισαῖοι ἀποστείλαντες ὑπηρέτας, ἤκουον λεγόντων· «Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος». Καὶ ἕτεροι πάλιν ἔλεγον, «Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ». «Καὶ ἐξεπλήσσοντο», φησίν, «ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι».*

*4. Εἰ δὲ βούλει μαθεῖν καὶ σὺ τὴν χάριν, ἄκουε τῶν ἐπιταγμάτων αὐτοῦ τὸν ὄγκον, καὶ ὄψει ταύτης τὴν δύναμιν. «Ἐὰν μή τις ἀποτάξηται πᾶσιν, ἔτι δὲ μισήσῃ καὶ τὴν ἑαυτοῦ ψυχήν», φησίν, «οὐκ ἔστι μου ἄξιος». Ἀλλ' ὅμως ἴσχυσεν ὁ λόγος ἔργον γενέσθαι· τοσαύτη ἦν αὐτοῦ ἡ χάρις. Καίτοι τί ψυχῆς οἰκειότερον; Ἀλλὰ καὶ αὕτη καταπεφρόνηται διὰ τὸ πρόσταγμα τὸ ἐκείνου. Σὺ δὲ ἀκούων, «Εὐλόγησέ σε ὁ Θε-*

19. Ματθ. 4, 21.
20. Ἰω. 6, 68 - 70.
21. Ἰω. 7, 46.
22. Ματθ. 9, 33.
23. Ματθ. 7, 28 - 29.
24. Λουκᾶ 14, 33 καὶ Ἰω. 12, 25.

νουν μερικὰ μέρη ἀπὸ αὐτὰ καὶ νὰ μιλοῦν γι' αὐτά· Γι' αὐτὸ λοιπὸν οἱ προφῆτες πάντοτε αὐτὸ κάμνουν· ἀφοῦ δηλαδὴ διηγηθοῦν λίγα καὶ αὐτὰ συσκιασμένα, μεταφέρουν τὸ λόγο σ' ἄλλα. Γι' αὐτὸ καὶ αὐτὸς λέγει, «Σὲ εὐλόγησε ὁ Θεὸς γιὰ νὰ ὑπάρχεις στὸν αἰώνα»· μίλησε ἔτσι, ἐπειδὴ τὰ λόγια του ἦταν γεμάτα ἀπὸ τόση πολλὴ χάρη.

Σκέψου λοιπὸν τὴ δύναμη τῆς χάριτος. Περπατοῦσε κάποτε κοντὰ στὴ θάλασσα καὶ βρίσκει τὸν Ἰάκωβο καὶ τὸν Ἰωάννη καὶ λέγει σ' αὐτούς· «Ἀκολουθεῖστε με καὶ θὰ σᾶς κάμω ἁλιεῖς ἀνθρώπων»[19]. Ἐκεῖνοι δέ, ἀφοῦ ἐγκατέλειψαν καὶ τὸν πατέρα τους καὶ τὰ δίχτυα, ἀκολούθησαν αὐτόν. Ἄλλη φορὰ πάλι ἀπευθυνόμενος πρὸς ὅλους τοὺς μαθητές του καὶ λέγοντας, «Μήπως καὶ σεῖς θέλετε νὰ φύγετε;», λέγει σ' αὐτὸν ὁ Πέτρος· «Κύριε, ἔχεις λόγια ζωῆς αἰώνιας καὶ ἐμεῖς ἔχομε πιστέψει καὶ ἔχομε γνωρίσει, ὅτι σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζωντανοῦ· σὲ ποιὸν λοιπὸν νὰ πᾶμε;»[20]. Καὶ γιατί ἀναφέρω τοὺς μαθητές; οἱ ἴδιοι οἱ φαρισαῖοι, ὅταν ἀπέστειλαν ὑπηρέτες πρὸς τὸν Ἰησοῦ, ὅταν ἐπέστρεφαν αὐτοὶ ἄκουαν νὰ τοὺς λέγουν· «Οὐδέποτε μίλησε ἔτσι ἄνθρωπος, ὅπως αὐτὸς ὁ ἄνθρωπος»[21]. Καὶ ἄλλοι πάλιν ἔλεγαν, «Οὐδέποτε φάνηκαν τέτοια πράγματα στὸν Ἰσραήλ»[22]. «Καὶ ἔμεναν κατάπληκτοι», λέγει, διότι δίδασκε αὐτοὺς σὰν κάποιος ποὺ εἶχε ἐξουσία καὶ ὄχι ὅπως οἱ γραμματεῖς αὐτῶν καὶ οἱ φαρισαῖοι»[23].

4. Ἐὰν ὅμως θέλεις καὶ σὺ νὰ γνωρίσεις τὴ δύναμη τῆς χάριτος, ἄκουε τὸν ὄγκο τὸν ἐντολῶν του, καὶ θ' ἀντιληφθεῖς τὴ δύναμη αὐτῆς. «Ἂν κανεὶς δὲν ἀπαρνηθεῖ ὅλα», λέγει, «καὶ ἀκόμη, ἂν δὲν μισήσει καὶ τὴν ψυχή του, δὲν εἶναι ἄξιος μαθητής μου»[24]. Ἀλλ' ὅμως ὁ λόγος αὐτὸς κατόρθωσε νὰ γίνει πραγματικότητα· τόσον μεγάλη ἦταν ἡ χάρη του. Καὶ ὅμως τί εἶναι πιὸ ἀγαπητὸ ἀπὸ τὴν ψυχή μας; Ἀλλὰ καὶ αὐτὴ ἀκόμη περιφρονήθηκε ἐξ αἰτίας τῆς ἐντολῆς ἐκείνου. Σὺ ὅμως ἀκούοντας, «Σὲ εὐλόγησε ὁ

*ός», μὴ καταπέσῃς, μηδὲ ταπεινόν τι ἐννοήσῃς. Ὅπερ γὰρ ἔφθην εἰπών, περὶ τῆς σαρκὸς ὁ λόγος ἐστί, τῆς χείλη ἐχούσης, περὶ τῆς δεχομένης τὴν χάριν, περὶ τῆς δεχομένης τὴν εὐλογίαν. Ὁ γὰρ Θεὸς εὐλογίας οὐ δεῖται, οὐδὲ χάριτος· ἀνενδεὲς γὰρ τὸ Θεῖον. «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει», φησί, «τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Καὶ πάλιν· «Τὰ ἔργα ἃ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»· καὶ πάλιν· «Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα». Τὸ γάρ, «Οὕτω» καὶ τό, «Ὁμοίως», καὶ τό, «Καθώς», ἀπαραλλαξίας ἐστίν.*

*Ἀλλ' ἐνταῦθα περὶ τῆς οἰκονομίας ὁ λόγος. Ἀκούομεν δὲ καὶ αὐτοῦ πάλιν λέγοντος· «Διὰ τοῦτό με ὁ Πατὴρ ἀγαπᾷ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων». Ἆρα οὖν πρὸ τούτου αὐτὸν οὐκ ἠγάπα; Πῶς οὖν ἔλεγεν, «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»; Ἀλλὰ θέλων δεῖξαι τὸ μέγεθος τοῦ κατορθώματος, τοῦτο τέθεικεν. Ὥσπερ οὖν ἐκεῖ ἡ αἰτιολογία ἔχει τινὰ αἰτίαν, οὕτω καὶ ἐνταῦθα ἡ αἰτία δήλη. Διὰ γὰρ τοῦτο προλαβὼν εἶπεν, «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων», καί, «Ἐξεχύθη χάρις ἐν χείλεσί σου», καί, «Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα», εἰς τὸν τῆς οἰκονομίας ἕλκων λόγον, ἵνα ὅταν μέλλῃ τι πάλιν λέγειν τῆς αὐτοῦ ἀξίας καταδεές, μὴ καταπέσῃς, ἀλλ' ἴδῃς περὶ τίνος ὁ λόγος. Οὕτω καὶ ὁ Ἰακὼβ τὴν οἰκονομίαν δηλῶν μετὰ τὸ πολλὰ εἰπεῖν ἔλεγε· «Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς οἶνος, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα». Ὀδόντας δὲ ἡ θεότης οὐκ ἔχει. Καὶ ἄλλος προφήτης φησί· «Πατάξει τὴν γῆν λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ πνεύματι χειλέων ἀνελεῖ*

---

25. Ἰω. 5, 21.
26. Ἰω. 5, 19.
27. Ἰω. 10, 15.
28. Ἰω. 10, 17.
29. Ματθ. 3, 17.
30. Γεν. 49, 12.
31. Ἠσ. 11, 4.

Θεός», μὴ ταραχθεῖς, οὔτε νὰ σκεφθεῖς κάτι τὸ ταπεινό. Διότι, ὅπως προανέφερα, τὰ λόγια αὐτὰ ἀναφέρονται στὴ σάρκα, ποὺ ἔχει χείλη, ποὺ δέχεται τὴ χάρη, ποὺ δέχεται τὴν εὐλογία. Καθόσον ὁ Θεὸς δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτα. Διότι λέγει· «Ὅπως ἀκριβῶς ὁ Πατέρας ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ζωοποιεῖ ὅποιους θέλει»[25]. Καὶ πάλι· «Τὰ ἔργα ποὺ κάμνει ἐκεῖνος, αὐτὰ ὅμοια κάμνει καὶ ὁ Υἱὸς»[26]· καὶ πάλι· «Ὅπως ἀκριβῶς ὁ Πατέρας γνωρίζει ἐμένα, ἔτσι καὶ ἐγὼ γνωρίζω τὸν Πατέρα»[27]. Καθόσον τὸ «οὕτω καὶ τὸ «ὁμοίως» καὶ τὸ «καθώς», φανερώνουν τὸ ἀκριβῶς ὅμοιο.

Ἀλλ' ἐδῶ τὰ λόγια ἀναφέρονται στὴν οἰκονομία τοῦ Θεοῦ. Ἀκοῦμε δὲ καὶ τὸν ἴδιο πάλι νὰ λέγει· «Γι' αὐτὸ ὁ Πατέρας μου μὲ ἀγαπᾶ, διότι ἐγὼ θυσιάζω τὴν ψυχή μου ὑπὲρ τῶν προβάτων»[28]· Μήπως ὅμως πρὶν ἀπὸ τὴ θυσία δὲν τὸν ἀγαποῦσε; Πῶς λοιπὸν ἔλεγε, «Αὐτὸς εἶναι ὁ Υἱός μου ὁ ἀγαπητὸς»[29]; Τὸ ἀνέφερε αὐτό, ἐπειδὴ θέλει νὰ δείξει τὸ μέγεθος τοῦ κατορθώματος. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖ ἡ αἰτιολογία ἔχει κάποια αἰτία, ἔτσι καὶ ἐδῶ ἡ αἰτία εἶναι φανερή. Γι' αὐτὸ λοιπὸν ἐκ τῶν προτέρων λέγει, «Ἡ ὡραιότητά σου διαφέρει ἀπὸ ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων», καὶ «πλημμύρισε ἡ χάρη σου τὰ χείλη μου», καὶ «Γι' αὐτὸ σὲ εὐλόγησε ὁ Θεὸς γιὰ νὰ ὑπάρχεις στὸν αἰώνα», φέροντας τὴ σκέψη μας στὸ ἔργο τῆς θείας οἰκονομίας, ὥστε, ὅταν πρόκειται πάλι νὰ πεῖ κάτι ποὺ ὑπολείπεται τῆς ἀξίας, νὰ μὴ ἀνησυχήσεις, ἀλλὰ ν' ἀντιληφθεῖς τὸ νόημα τῶν λόγων του. Ἔτσι καὶ ὁ Ἰάκωβος, θέλοντας νὰ δηλώσει τὴν οἰκονομία τοῦ Θεοῦ, μετὰ ἀπὸ πολλὰ ποὺ εἶπε, ἔλεγε· «Οἱ ὀφθαλμοί του λάμπουν ἀπὸ χαρά, ὅπως ὁ οἶνος, καὶ τὰ δόντια του εἶναι λευκὰ ὅπως τὸ γάλα»[30]. Δόντια ὅμως ὁ Θεὸς δὲν ἔχει. Καὶ ἄλλος προφήτης λέγει· «Θὰ πατάξει τὴ γῆ μὲ τὸν λόγο τοῦ στόματός του καὶ μὲ τὴν πνοὴ τῶν χειλιῶν του θὰ καταστρέψει τὸν ἀσεβῆ»[31], λέγοντας τὰ ἴδια μὲ τὸν Παῦλο,

*ἀσεβῆ», τὰ αὐτὰ τῷ Παύλῳ φθεγγόμενος λέγοντι· «Ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ». Ἵν' οὖν μὴ ἀκούσας σὺ ταῦτα καταφρονήσῃς, δείκνυσί σοι τῆς θεότητος τὴν ἰσχύν.*

*Οὐδὲ γὰρ τὴν σάρκα διαιρεῖ τῆς θεότητος, οὔτε τὴν θεότητα τῆς σαρκός, οὐχὶ τὰς οὐσίας συγχέων, μὴ γένοιτο, ἀλλὰ τὴν ἕνωσιν δεικνύς. Διὰ τοῦτό φησιν· «Εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα». Τίς δὲ τῆς εὐλογίας ὁ τρόπος; Ἄγγελοι, ἀρχάγγελοι παρεστήκασι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, αἶνον ἀναπέμποντες· πᾶσα ἡ γῆ ἀπὸ περάτων εἰς τὰ πέρατα δοξολογεῖ καὶ ὑμνεῖ καὶ εὐφημεῖ τὸν σαρκωθέντα Θεόν. Ὁ μὲν γὰρ πρῶτος Ἀδὰμ μυρίας ἐνεπλήσθη κατάρας, οὗτος δὲ ἀπεναντίας ἐκείνῳ πολλῆς τῆς εὐλογίας. Ἐκεῖνος ἤκουσεν, «Ἐπικατάρατος σὺ ἐν τοῖς ἔργοις σου»· καὶ ὁ μετ' ἐκεῖνον πάλιν, καί, «Ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς»· καί, «Ἐπικατάρατος, ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ»· καί, «Ἐπικατάρατος ὁ κρεμάμενος ἐπὶ ξύλου». Ὁρᾷς πόσαι κατάραι; Τούτων ἠλευθέρωσέ σε ὁ Χριστός, γενόμενος κατάρα. Ὥσπερ γὰρ ἐταπείνωσεν ἑαυτόν, ἵνα σε ὑψώσῃ, καὶ ἀπέθανεν, ἵνα σε ἀθάνατον ἐργάσηται, οὕτω καὶ κατάρα ἐγένετο, ἵνα σε εὐλογίας ἐμπλήσῃ. Τί τῆς εὐλογίας ταύτης ἴσον, ὅταν διὰ κατάρας εὐλογίαν χαρίζηται; Οὐ γὰρ αὐτὸς ἐδεήθη εὐλογίας, ἀλλὰ σοί ταύτην δίδωσιν. Ὥσπερ γὰρ ὅταν εἴπω, ὅτι ἐταπεινώθη, οὐ μεταβολὴν λέγω, ἀλλὰ τῆς οἰκονομίας τὴν συγκατάβασιν, οὕτω καὶ ὅταν εἴπω ὅτι ηὐλογήθη, οὐ τοῦτο λέγω, ὅτι ἐδεήθη εὐλογίας, ἀλλὰ πάλιν τῆς οἰκονομίας δείκνυμι τὴν συγκατάβα-*

---

32. Β΄ Θεσ. 2, 8.
33. Γεν. 3, 17.
34. Ἱερ. 48, 10.
35. Δευτ. 27, 26.
36. Δευτ. 21, 23.
37. Γαλ. 3, 13.

πού λέγει· «Τὸν ὁποῖο ὁ Κύριος θὰ ἐξολοθρεύσει μὲ τὴν πνοὴ τοῦ στόματός του καὶ θὰ τὸν ἐξαφανίσει μὲ τὴν πραγματοποίηση τῆς ἐλεύσεώς του»[32]. Γιὰ νὰ μὴ τὰ περιφρονήσεις λοιπὸν αὐτά, ὅταν τὰ ἀκούσεις, σοῦ δείχνει τὴ δύναμη τῆς θεότητας.

Οὔτε βέβαια χωρίζει τὴ σάρκα ἀπὸ τὴ θεότητα, οὔτε τὴ θεότητα ἀπὸ τὴ σάρκα, οὔτε συγχέει τὶς οὐσίες, μὴ γένοιτο, ἀλλὰ δείχνει τὴν ἕνωση. Γι' αὐτὸ λέγει· «Σὲ εὐλόγησε ὁ Θεὸς στὸν αἰώνα». Ποιὸς δὲ εἶναι ὁ τρόπος τῆς εὐλογίας; Ἄγγελοι, ἀρχάγγελοι παρέστησαν, θρόνοι καὶ κυριότητες, ἀρχὲς καὶ ἐξουσίες, ἀναπέμποντας ὕμνο πρὸς αὐτόν· ὅλη ἡ γῆ ἀπὸ τὸ ἕνα ἄκρο μέχρι τὸ ἄλλο δοξολογεῖ καὶ ὑμνεῖ καὶ ἐπαινεῖ τὸ σαρκωθέντα Θεό. Διότι, ὁ μὲν πρῶτος Ἀδὰμ φορτώθηκε μὲ ἀμέτρητες κατάρες, ἐνῶ αὐτὸς ἀντίθετα μὲ ἐκεῖνον, ἔλαβε πολλὴ εὐλογία. Ἐκεῖνος ἄκουσε, «καταραμένος νὰ εἶσαι σὺ στὰ ἔργα σου»[33]· καὶ ὁ μετὰ ἀπὸ ἐκεῖνον πάλι λέγει «καταραμένος νὰ εἶναι αὐτὸς πού ἐκτελεῖ μὲ ἀδιαφορία τὰ ἔργα τοῦ Κυρίου»[34]· καί, «Καταραμένος νὰ εἶναι ἐκεῖνος πού δὲν θὰ μείνει πιστὸς σ' ὅλα αὐτὰ πού εἶναι γραμμένα σ' αὐτὸ τὸ βιβλίο»[35]· καί, «καταραμένος νὰ εἶναι αὐτὸς πού κρεμιέται ἐπάνω σὲ ξύλο»[36]. Βλέπεις πόσες κατάρες; Ἀπὸ αὐτὲς σὲ ἐλευθέρωσε ὁ Χριστός, γενόμενος γιὰ χάρη σου κατάρα»[37]. Διότι, ὅπως ἀκριβῶς ταπείνωσε τὸν ἑαυτό του γιὰ νὰ ὑψώσει ἐσένα, καὶ πέθανε γιὰ νὰ σὲ κάμει ἀθάνατο, ἔτσι ἔγινε καὶ κατάρα, γιὰ νὰ σὲ γεμίσει μὲ εὐλογία. Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴν εὐλογία, ὅταν μὲ τὴν κατάρα χαρίζει εὐλογία; Καθόσον δὲν εἶχε ἀνάγκη αὐτὸς ἀπὸ εὐλογία, ἀλλὰ τὴ δίνει σ' ἐσένα. Διότι ὅπως ἀκριβῶς ὅταν λέγω, ὅτι ταπεινώθηκε, δὲν ἐννοῶ μεταβολή, ἀλλ' ἐννοῶ τὴ συγκατάβαση τῆς θείας οἰκονομίας, ἔτσι καὶ ὅταν λέγω, ὅτι εὐλογήθηκε, δὲν ἐννοῶ αὐτό, ὅτι εἶχε ἀνάγκη τῆς εὐλογίας, ἀλλὰ πάλι δείχνω τὴ συγκατάβαση τῆς θείας οἰκονομίας. Εὐλογήθηκε

σιν. Εὐλογήθη τοίνυν ἡ ἀνθρωπίνη φύσις. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει, οὐδὲ κατάρᾳ ὑπόκειται· μᾶλλον δὲ οὐδὲ πρὸ τούτου ὑπέκειτο, ἀλλ' ἀνέλαβε τὴν κατάραν, ἵνα σε ταύτης ἀπαλλάξῃ.

«Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ». Ἄλλος, «Ζῶσαι μάχαιράν σου ἐπὶ μηρόν». «Περίθου ὡς μάχαιράν σου ἐπὶ τοῦ μηροῦ». Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου». Ἄλλος φησί, «Τὸν ἔπαινόν σου καὶ τὸ ἀξίωμά σου». Ἄλλος, «Ἐπιδοξότητί σου καὶ διαπρεπείᾳ σου». Τίς ἡ μεταβολὴ καὶ τίς ἡ μετάστασις τῶν ῥημάτων; Περὶ γὰρ διδασκάλου διαλεγόμενος (τοῦτο γάρ ἐστι τό, «Ἐξεχύθη χάρις ἐν χείλεσί σου»), ἐξαίφνης ἡμῖν βασιλέα καθωπλισμένον ὑπογράφει, καὶ οὐκ ἐν τάξει προφητείας, ἀλλ' ἐν τάξει ἱκετηρίας. Οὐ γὰρ εἶπε, 'περιζώσεται τὴν ῥομφαίαν αὐτοῦ', ἀλλὰ ἀξιοῖ καί φησι, «Περίζωσαι τὴν ῥομφαίαν σου». Εἶτα καὶ τῇ ὁπλίσει ταύτῃ κάλλος ἀναμίγνυσι, νῦν μὲν ὁπλίτην δηλῶν, νῦν δὲ ὡραϊζόμενον· «Τῇ γὰρ ὡραιότητί σου φησί, «καὶ τῷ κάλλει σου». Εἶτα τοξότην· «Τὰ βέλη γάρ σου», φησίν, «ἠκονημένα, δυνατέ». Καὶ πάλιν νικητὴν καὶ τροπαιοῦχον· «Λαοὶ ὑποκάτω σου», φησί, «πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως». Καὶ τοῦτον δὲ αὐτὸν πάλιν εἰσάγει μύροις χριόμενον τὸν ὁπλίτην, καὶ βασιλέα, καὶ τοξότην, καὶ νικητήν· «Σμύρνα» γάρ, φησί, «καὶ στακτή, καὶ κασσία ἀπὸ τῶν ἱματίων σου».

5. Τίς οὖν κοινωνία ὅπλοις καὶ μύροις, χρίσματι καὶ ῥομφαίᾳ, διδασκαλίᾳ καὶ πολέμῳ, τόξοις καὶ ὡραϊσμῷ; Τὰ μὲν γάρ ἐστιν εἰρήνης σύμβολα, τὰ δὲ μάχης καὶ παρατάξεως. Τίς οὖν ἐστιν ὁ εἰρηνικὸς ὁμοῦ καὶ πολεμικός; ὁ μύρον

---

38. Ρωμ. 6 9.

λοιπὸν ἡ ἀνθρώπινη φύση. Διότι, ἀφοῦ ἀναστήθηκε ὁ Χριστὸς ἀπὸ τοὺς νεκρούς, δὲν πεθαίνει πλέον[18], οὔτε ὑπόκειται σὲ κατάρα, ἀλλ' ἔλαβε ἐπάνω του τὴν κατάρα, γιὰ νὰ ἀπαλλάξει ἐσένα ἀπὸ αὐτή.

«Ζῶσε καὶ κρέμασε τὴ ρομφαία σου ἀπὸ τὸ μηρό σου, δυνατέ». Ἄλλος λέγει, «Ζῶσε καὶ κρέμασε μάχαιρα ἀπὸ τὸ μηρό σου». Ἄλλος, «Θέσε γύρω ἀπὸ τὸ μηρό σου σὰν μάχαιρα». «Μαζὶ μὲ τὴν ὡραιότητά σου καὶ τὸ κάλλος σου». Ἄλλος λέγει, «Τὸν ἔπαινό σου καὶ τὸ ἀξίωμά σου». Ἄλλος, «πρὸς δόξα καὶ μεγαλοπρέπειά σου». Γιατί αὐτὴ ἡ μεταβολὴ καὶ ἀλλαγὴ τῶν λέξεων; Διότι, ἐνῶ ὁμιλεῖ περὶ διδασκάλου (καθόσον αὐτὸ σημαίνει τὸ «Ξεχύθηκε χάρη στὰ χείλη σου») ξαφνικὰ μᾶς παρουσιάζει βασιλιὰ ὁπλισμένο καὶ ὄχι μὲ μορφὴ προφητείας, ἀλλ' μὲ μορφὴ ἱκεσίας. Διότι δὲν εἶπε, 'Θὰ ζωσθεῖ τὴ ρομφαία του', ἀλλὰ προβάλλει τὴν ἀξίωση καὶ λέγει, «Ζῶσε τὴ ρομφαία σου». Ἔπειτα ἀναμιγνύει μὲ αὐτὸ τὸν ὁπλισμὸ καὶ κάλλος, καὶ ἄλλοτε τὸν δείχνει σὰν ὁπλίτη, ἄλλοτε δὲ σὰν στολισμένο μὲ ὡραιότητα· διότι λέγει· «Μὲ τὴν ὡραιότητα καὶ τὸ κάλλος σου». Ἔπειτα τὸν δείχνει σὰν τοξότη, διότι λέγει· «Τὰ βέλη σου εἶναι ἀκονισμένα». Καὶ πάλι τὸν δείχνει σὰν νικητὴ καὶ τροπαιοῦχο· «Θὰ πέφτουν», λέγει, «οἱ λαοὶ πληγωμένοι μπροστά σου καὶ τὰ βέλη σου θὰ εἰσχωροῦν στὴν καρδιὰ τῶν ἐχθρῶν τοῦ βασιλέως». Καὶ αὐτὸν τὸν ἴδιο πάλι, τὸν ὁπλίτη, τὸν βασιλέα, τὸν τοξότη καὶ νικητή, μᾶς τὸν παρουσιάζει νὰ χρίεται μὲ μύρο· διότι λέγει· «Σμύρνα καὶ σταχτόνερο καὶ κιννάμωμο ἐκπέμπουν τὴν εὐωδιά τους ἀπὸ τὰ ἐνδύματά σου».

5. Ποιά λοιπὸν σχέση ὑπάρχει μεταξὺ τῶν ὅπλων καὶ μύρων, μεταξὺ χρίσματος καὶ ρομφαίας, μεταξὺ διδασκαλίας καὶ πολέμου, μεταξὺ τόξων καὶ καλλωπισμοῦ; Διότι τὰ μὲν πρῶτα ἀπὸ τὰ ζεύγη εἶναι σύμβολα εἰρήνης, τὰ δὲ δεύτερα μάχης καὶ παρατάξεως πολεμικῆς. Ποιὸς λοιπὸν εἶναι ὁ εἰρηνικὸς καὶ συγχρόνως καὶ πολεμικός; αὐ-

*στάζων, καὶ ὅπλοις φραττόμενος; ὁ προϊὼν ἀπὸ βάρεων ἐλεφαντίνων, καὶ μυρίους βάλλων τῶν ἐχθρῶν, καὶ τοσαύτας ἐργαζόμενος σφαγάς; Πῶς λύσομεν τὴν ἀπορίαν ταύτην; Ἂν γνῶμεν ἀκριβῶς ὅτι καὶ περὶ τοῦ Πατρὸς αὐτοῦ ταῦτα λέγεται. Καὶ γὰρ καὶ αὐτὸν εἰσάγει ὁ προφήτης ἀλλαχοῦ ὁπλιζόμενον, ὡς ὅταν λέγῃ· «Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ρομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου». Καὶ πάλιν ἀλλαχοῦ· «Ἐνδύσεται θώρακα δικαιοσύνην». Ὅρα δὲ καὶ αὐθεντίαν τὴν αὐτήν. Ὥσπερ γὰρ ἐκεῖ φησι, «Τὴν ρομφαίαν αὐτοῦ στιλβώσει», οὐ παρά τινος κελευσθείς, ἀλλ' αὐτὸς ἀφ' ἑαυτοῦ, οὕτω καὶ ἐνταῦθα, «Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως».*

*Εἶτα δεικνύς, ὅτι οἴκοθεν πάντα ποιεῖ, λέγει· «Ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου». Οὐχ ἑτέρωθεν, φησίν, ἐνέργειαν δέχῃ, ἀλλ' αὐτὸς ἑαυτῷ ἀρκεῖς. Ἄκουε δὲ καὶ αὐτοῦ λέγοντος τοῦ τῆς εἰρήνης Θεοῦ πρὸς τοὺς μαθητάς· «Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν». Καὶ πάλιν· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη;». Οὗτος δὲ περὶ αὐτοῦ λέγων, πῶς ἥξει, φησί· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν». Ταῦτα λέγω, ἵνα διεγηγερμένοι ἦτε, καὶ τὰ ἀπὸ τῶν λέξεων σημαινόμενα μετὰ ἀκριβείας ἐκλαμβάνοντες, λύητε παρ' ἑαυτοῖς καὶ ἀπορίαν. Ταῦτα γὰρ τὰ ὀνόματα τῶν ἐνεργειῶν αὐτοῦ ἐστι σημαντικά. Οὕτω τοίνυν καὶ ἐνταῦθα ὅταν ἀκούσῃς, «Περίζωσαι τὴν ρομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ», τῆς ἐνεργείας αὐτοῦ εἶναι ὄνομα νόμιζε καὶ τὰ τόξα καὶ τὰ βέλη. Ὥσπερ γὰρ ὀργίζεσθαι*

---

39. Ψαλμ. 7, 13.
40. Σοφ. Σαλ. 5, 18.
41. Ματθ. 10, 34.
42. Λουκᾶ 12, 49.
43 Ψαλμ. 71, 6.

τός πού στάζει μύρο καὶ εἶναι ἁρματωμένος μὲ ὅπλα; αὐτός πού βγαίνει ἀπό πύργους ἐλεφάντινους καὶ ρίχνει τὰ βέλη του ἐναντίον μυριάδων ἐχθρῶν καὶ κάμνει τόσες πολλὲς σφαγές; Πῶς θά λύσουμε αὐτή τὴν ἀπορία; Ἂν γνωρίσουμε καλὰ ὅτι αὐτὰ λέγονται καὶ γιὰ τὸν Πατέρα αὐτοῦ. Καθ' ὅσον καὶ αὐτὸν ἀναφέρει ἀλλοῦ ὁ προφήτης ὁπλιζόμενο, ὅπως ὅταν λέγει· «Ἂν δὲν ἐπιστρέψετε, θὰ ἀκονίσει τὴ ρομφαία του· τὸ τόξο του τὸ τέντωσε καὶ τὸ ἑτοίμασε καὶ ἔθεσε σ' αὐτὸ τὰ θανατηφόρα βέλη»[39]. Καὶ πάλι ἀλλοῦ λέγει· «Θὰ ἐνδυθεῖ ἀντὶ γιὰ θώρακα, δικαιοσύνη»[40]. Πρόσεχε δὲ καὶ ἐξουσία τὴν ἴδια. Διότι ὅπως ἀκριβῶς ἐκεῖ λέγει, «Θ' ἀκονίσει τὴ ρομφαία του», χωρὶς νὰ διαταχθεῖ ἀπὸ κάποιον, ἀλλ' ἐνεργεῖ ἀπὸ μόνος του, ἔτσι καὶ ἐδῶ λέγει, «Τὰ βέλη τοῦ δυνατοῦ ἔχουν ἀκονισθεῖ, λαοὶ θὰ πέφτουν κάτω πληγωμένοι ἀπὸ τὰ βέλη σου ποὺ θὰ καρφώνονται στὴν καρδιὰ τῶν ἐχθρῶν τοῦ βασιλιᾶ».

Ἔπειτα, γιὰ νὰ δείξει, ὅτι ὅλα αὐτὰ τὰ κάμνει ἀπὸ μόνος του, λέγει· «Ἡ δύναμη τῆς δεξιᾶς σου θὰ σὲ ὁδηγήσει σὲ ἀξιοθαύμαστα κατορθώματα». Δὲν δέχεσαι, λέγει, ἀπὸ ἀλλοῦ ἐνέργεια, ἀλλ' ὁ ἴδιος ἐπαρκεῖς γιὰ τὸν ἑαυτό σου. Ἄκουε δὲ καὶ αὐτόν, τὸ Θεὸ τῆς εἰρήνης, νὰ λέγει πρὸς τοὺς μαθητές του· «Δὲν ἦλθα νὰ βάλω εἰρήνη στὴ γῆ, ἀλλὰ μάχαιρα»[41]. Καὶ πάλι· «Ἦλθα γιὰ νὰ βάλω φωτιὰ στὴ γῆ, καὶ τί θὰ ἤθελα ἂν ἤδη ἔχει ἀνάψει;»[42]. Ὁ ἴδιος δὲ μιλώντας γιὰ τὸν ἑαυτό του, πῶς θὰ ἔλθει, λέγει· «Θὰ κατεβεῖ ὅπως ἡ βροχὴ ἐπάνω στὸ μαλλὶ ποὺ μόλις κουρεύθηκε καὶ σὰν σταγόνα ποὺ στάζει πάνω στὴ γῆ»[43]. Αὐτὰ τὰ λέγω γιὰ νὰ εἶσθε προσεκτικοὶ καὶ ἑρμηνεύοντας μὲ ἀκρίβεια αὐτὰ ποὺ σημαίνουν οἱ λέξεις νὰ λύνετε μόνοι σας καὶ τὴν ἀπορία. Διότι αὐτὰ τὰ ὀνόματα φανερώνουν τὶς ἐνέργειες αὐτοῦ. Ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅταν ἀκούσεις «Ζῶσε καὶ κρέμασε τὴ ρομφαία σου στὸ μηρό σου, δυνατέ», νὰ θεωρεῖς, ὅτι ἔτσι ὀνομάζει τὴν ἐνέργεια αὐτοῦ· τὸ ἴδιο καὶ γιὰ τὰ τόξα καὶ τὰ βέλη. Διότι, ὅπως ἀκριβῶς

τὸν Θεὸν ἡ Γραφὴ λέγει, οὐ πάθος αὐτῷ περιάπτουσα, ἀλλὰ διὰ τῆς λέξεως ταύτης τὴν ἐνέργειαν αὐτοῦ τὴν κολαστικὴν παριστῶσα, καὶ τῶν παχυτέρων καθαπτομένη, οὕτω καὶ τὰ ὅπλα λέγουσα τοῦτο δηλοῖ. Ἐπειδὴ γὰρ ἡμεῖς οὐ δι' ἑαυτῶν, ἀλλὰ δι' ἑτέρων ὀργάνων τιμωρούμεθα, θέλων δεῖξαι τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν διὰ τῶν γνωρίμων ἡμῖν ὀνομάτων ἐδήλωσεν, οὐχ ἵνα ὅπλα περὶ Θεὸν νοήσωμεν, ἀλλ' ἵνα ἐμφαντικώτερον τὴν κόλασιν αὐτοῦ ἀκούσωμεν.

Ἀλλὰ πολλοί, φησίν, ἐντεῦθεν ἐβλάβησαν· ἀλλ' εἰκῇ καὶ μάτην καὶ ὑπὸ τῆς οἰκείας ἀνοίας· μάλιστα μὲν γὰρ ἀκούοντες Θεόν, ὤφειλον συνιέναι, ὅτι τροπικώτερον εἴρηται, νυνὶ δὲ οὐ διὰ ῥημάτων ἑτέρων αὐτοὺς παιδεῦσαι τὸ ἀπαθὲς τοῦ Θεοῦ ἠμέλησεν ἡ Γραφή. Ἄκουσον γοῦν ἀλλαχοῦ πῶς αὐτοῦ δείκνυσι τὴν εὐκολίαν τῆς τιμωρίας, λέγων· «Ἀναστήτω ὁ Θεός, διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ». Μὴ χρεία ὅπλων; μὴ χρεία ῥομφαίας; Ἀρκεῖ μόνον, φησίν, ἡ ἀνάστασις. Ἀλλὰ καὶ τοῦτο πάλιν παχύ· διὸ πολλαχοῦ λέγει· «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν». Καὶ πάλιν· «Ἀπὸ προσώπου αὐτοῦ ἐσαλεύθη ἡ γῆ». Ἀλλὰ καὶ τοῦτο παχύ. Ἄκουσον τὸ ὑψηλότερον· «Πάντα, ὅσα ἠθέλησεν, ἐποίησεν»· ἀρκεῖ γὰρ αὐτῷ τὸ θελῆσαι μόνον. Σκόπει δὲ πῶς καὶ ἐν αὐτοῖς τοῖς παχυτέροις τούτοις δείκνυσι τὸ ἀνενδεὲς τοῦ Θεοῦ. Οὐ γὰρ πρότερον ὅπλων ἐμνημόνευσεν, ἕως ὅτε δυνατὸν αὐτὸν ἐκάλεσε· καὶ πάλιν καταλέξας τὰ ὅπλα, ὅλην τὴν νίκην τῇ δεξιᾷ αὐτοῦ ἐλογίσατο, τουτέστι, τῇ φύσει αὐτοῦ καὶ τῇ δυνάμει αὐτοῦ. Ὅπερ καὶ ἄλλος προφήτης δηλῶν, ἔλεγεν· «Ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ», οὐχ ἵνα ὦμον

---

44. Ψαλμ. 67, 2.
45. Ψαλμ. 103, 32.
46. Ψαλμ. 113, 7.
47. Ψαλμ. 134, 6.
48. Ἠσ. 9, 5.

λέγει ἡ Γραφή, ὅτι ὀργίζεται ὁ Θεός, χωρὶς ν' ἀποδίδει πάθος σ' αὐτόν, ἀλλὰ μέ τή λέξη αὐτή παριστᾶ τὴν τιμωρητική ἐνέργεια αὐτοῦ, προσελκύοντας ἔτσι καὶ τοὺς πνευματικὰ ἀνώριμους, ἔτσι καὶ ὅταν ἀναφέρει τὰ ὅπλα, αὐτὸ δηλώνει. Ἐπειδή δηλαδή ἐμεῖς δέν τιμωροῦμε μόνοι μας τόν ἑαυτό μας, ἀλλά τιμωρούμαστε μέ ἄλλα ὄργανα, θέλοντας νὰ δείξει τὴν τιμωρητική δύναμη αὐτοῦ, τὸ δήλωσε μὲ τὰ γνωστὰ σὲ ἐμᾶς ὀνόματα, ὄχι γιὰ νὰ σκεφθοῦμε, ὅτι ὁ Θεός ἔχει ὅπλα, ἀλλὰ γιὰ νὰ ἀκούσουμε μὲ πιὸ παραστατικὸ τρόπο τὴν τιμωρία αὐτοῦ.

Ἀλλὰ πολλοί, λέγει, ζημιώθηκαν ἀπὸ αὐτό· ὅμως χωρὶς λόγο καὶ ἄδικα καὶ ἐξ αἰτίας τῆς ἀνοησίας τους· διότι ἔπρεπε βέβαια ν' ἀντιληφθοῦν ὅτι λέγονταν ἀλληγορικά, ἀκούοντας νὰ λέγονται αὐτὰ γιὰ τὸ Θεό, τώρα ὅμως δὲν παραμέλησε ἡ Γραφὴ νὰ διδάξει αὐτοὺς μέ ἄλλες λέξεις τὴν ἀπάθεια τοῦ Θεοῦ. Ἄκουσε λοιπόν ἀλλοῦ πῶς δείχνει τὴν εὐκολία τῆς τιμωρίας αὐτοῦ, λέγοντας· «Ἂς ἀναστηθεῖ ὁ Θεὸς καὶ ἂς διασκορπισθοῦν οἱ ἐχθροί του»[44]. Μήπως χρειάζονται τὰ ὅπλα; Μήπως χρειάζεται ἡ ρομφαία; Ἀρκεῖ μόνο, λέγει, ἡ ἀνάσταση. Ἀλλὰ καὶ αὐτὸ πάλι παχυλό· γι' αὐτὸ σὲ πολλὰ μέρη λέγει· «Αὐτὸς ποὺ ρίχνει τὸ βλέμμα του στὴ γῆ καὶ τὴν κάμνει καὶ τρέμει»[45]. «Ἀπὸ τὴν παρουσία του σαλεύθηκε ἡ γῆ»[46]. Ἀλλὰ καὶ αὐτὸ πνευματικὰ εἶναι κατώτερο. Ἄκουσε τὸ ὑψηλότερο. «Ὅλα, ὅσα θέλησε, τὰ ἔκαμε»[47]· διότι ἀρκεῖ σ' αὐτὸν μόνο νὰ θελήσει. Πρόσεχε δέ πῶς καὶ σ' αὐτὰ ἀκόμη τὰ παχυλότερα δείχνει, ὅτι ὁ Θεός δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε. Διότι δὲν μίλησε προηγουμένως γιὰ ὅπλα, μέχρις ὅτου ὀνόμασε αὐτὸν δυνατό· καὶ πάλι, ἀφοῦ ἀνέφερε τὰ ὅπλα, ὅλη τὴ νίκη τὴν ἀπέδωσε στὴ δεξιά του, δηλαδή, στὴ φύση καὶ τὴ δύναμή του. Πράγμα ποὺ γιὰ νὰ δηλώσει καὶ ἄλλος προφήτης, ἔλεγε· «Ἡ ἐξουσία του βρίσκεται στοὺς ὤμους του»[48], ὄχι γιὰ νὰ σκεφθεῖς ὦμο, μὴ γένοιτο, ἀλλὰ γιὰ νὰ

*νοήσῃς, μὴ γένοιτο, ἀλλ' ἵνα εἰδῇς, ὅτι οὐ δεῖται ἑτέρων Θεὸς συμμαχίας.*

*«Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου». Τί οὖν ἐνταῦθα λέγει; Διὰ τῶν παχυτέρων ὀνομάτων τούτων τὴν ἐνέργειαν αὐτοῦ δείκνυσι, δι' ἧς τὴν οἰκουμένην κατώρθωσε, δι' ἧς τὸν πόλεμον ἔλυσε, καὶ τὸ τρόπαιον ἔστησε. Καὶ γὰρ πόλεμος ἦν χαλεπός, πολέμων ἁπάντων ὁ πικρότατος, οὐ βαρβάρων πολεμούντων, ἀλλὰ τῶν δαιμόνων ἐπιβουλευόντων, καὶ τὴν οἰκουμένην διαφθειρόντων ἅπασαν. Διὰ δὴ τοῦτο καὶ ὁ Ἠσαΐας ἔλεγε· «Καὶ τῶν ἰσχυρῶν μεριεῖται σκῦλα»· καὶ πάλιν· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ· οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν». Διὰ δὴ τοῦτο καὶ Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν προγράφων ἔλεγε· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν». Καὶ πάλιν· «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν».*

*Ἵνα δὲ μὴ ἀκούων, «Περίζωσαι τὴν ῥομφαίαν σου», μάχαιραν νομίσῃς αἰσθητήν, ἄκουε τῶν ἑξῆς. Εἰπὼν γάρ, «Περίθου τὴν μάχαιράν σου», ἐπήγαγε, «Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου»· τοῦτό ἐστιν ἡ μάχαιρα, ἡ ὡραιότης αὐτοῦ, καὶ τὸ κάλλος αὐτοῦ, καὶ ἡ δόξα, καὶ τὸ ἀξίωμα, καὶ ἡ μεγαλωσύνη, καὶ ἡ μεγαλοπρέπεια. Οὐδενὸς γὰρ δεῖται ἡ οὐσία ἐκείνη εἰς τὸ κατορθῶσαι τὰ προκείμενα· ἀνενδεὴς γάρ ἐστι. Παρακαλεῖ τοίνυν ὁ προφήτης, ὑπὲρ τῆς οἰκουμένης εἰς πόλεμον αὐτὸν ἐξάγων. Εἶτα ἀπὸ τῶν ὑψηλῶν πάλιν ἐπὶ τὰ παχύτερα κατάγει τὸν λόγον. Εἰπὼν γὰρ μάχαιραν καὶ μηρόν, ἀνῆλθεν εἰς τὴν ὡραιότητα· καὶ πάλιν ἐκεῖθεν κάτεισιν ἐπὶ τὰ σωματικώτερα, καί φησιν· «Καὶ ἔντεινε, καὶ κατευο-*

49. Ἠσ. 53, 12.
50. Ἠσ. 61, 1.
51. Ἐφ. 1, 2.
52. Ἐφ. 2, 24.

μάθεις, ὅτι ὁ Θεὸς δὲν ἔχει ἀνάγκη ἀπὸ τὴ συμμαχία τῶν ἄλλων.

«Ζῶσε καὶ κρέμασε τὴ ρομφαία σου στὸ μηρό σου, δυνατέ, σὰν πρόσθετο ὁπλισμὸ μαζὶ μὲ τὴν ὡραιότητά σου καὶ τὸ κάλλος σου». Τί ἐννοεῖ λοιπὸν ἐδῶ; Μὲ τὶς παχύτερες αὐτές λέξεις δείχνει τὴν ἐνέργεια τοῦ Πνεύματος, μὲ τὴν ὁποία κυριάρχησε στὴν οἰκουμένη, μὲ τὴν ὁποία τερμάτισε τὸν πόλεμο καὶ ἔστησε τὸ τρόπαιο. Καθόσον ἦταν πόλεμος φοβερός, ὁ πιὸ χειρότερος ἀπὸ ὅλους τοὺς πολέμους, διότι δὲν πολεμοῦσαν βάρβαροι, ἀλλ' οἱ δαίμονες πολεμοῦσαν μὲ ὕπουλο τρόπο καὶ κατέστρεφαν ὅλη τὴν οἰκουμένη. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Ἡσαΐας ἔλεγε· «Καὶ ἀπὸ τοὺς ἰσχυροὺς θὰ μοιράσει λάφυρα»[49]· καὶ πάλι· «Πνεῦμα Κυρίου ὑπάρχει σ' ἐμένα, μὲ τὸ ὁποῖο μὲ ἔχρισε καὶ μὲ ἀπέστειλε νὰ φέρω τὴ χαρμόσυνη εἴδηση στούς φτωχούς καὶ νὰ κηρύξω τὴν ἐλευθερία στοὺς αἰχμαλώτους»[50]. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος σ' ὅλες τὶς ἐπιστολές του ἔγραφε στὴν ἀρχὴ καὶ ἔλεγε «Χάρη καὶ εἰρήνη νὰ εἶναι σὲ σᾶς ἀπὸ τὸ Θεὸ τὸν Πατέρα μας»[51]. Καὶ πάλι· «Διότι αὐτὸς εἶναι ἡ εἰρήνη μας, ποὺ ἕνωσε τὰ δυὸ ἀντίθετα»[52].

'Αλλ' ὅμως γιὰ νὰ μὴ νομίσεις, ἀκούοντας «Ζῶσε τὴ ρομφαία», ὅτι πρόκειται γιὰ μάχαιρα αἰσθητή, ἄκουε τὰ ἑξῆς. Διότι, ἀφοῦ εἶπε, «Κρέμασε τὴ μάχαιρά σου», πρόσθεσε, «μὲ τὴν ὡραιότητά σου καὶ τὸ κάλλος σου»· αὐτὸ εἶναι ἡ μάχαιρα, ἡ ὡραιότητα αὐτοῦ, καὶ τὸ κάλλος του, καὶ ἡ δόξα του, καὶ τὸ ἀξίωμά του καὶ ἡ μεγαλωσύνη του καὶ ἡ μεγαλοπρέπειά του. Καθόσον ἡ οὐσία ἐκείνη δὲν χρειάζεται τίποτε γιὰ νὰ κατορθώσει τὰ προλεχθέντα, διότι εἶναι πέρα ἀπὸ κάθε ἀνάγκη. Παρακαλεῖ λοιπὸν ὁ προφήτης καὶ παροτρύνει αὐτὸν σὲ πόλεμο ὑπὲρ τῆς οἰκουμένης. Ἔπειτα πάλι μεταφέρει τὸ λόγο ἀπὸ τὰ ὑψηλὰ πνευματικὰ πρὸς τὰ κατώτερα. Διότι, ἀφοῦ ἀνέφερε τὴ μάχαιρα καὶ τὸ μηρό, μετέφερε τὸ λόγο στὴν ὡραιότητα· καὶ ἀπὸ ἐκεῖ πάλι κατεβαίνει στὰ σωματικώτερα, καὶ λέγει· «Καὶ τέντωσε

*δοῦ, καὶ βασίλευε». Εἰπὼν δέ, «Ἔντεινε», τὸ τόξον ἡμῖν ἐδήλωσε καὶ τὸ βέλος. Εἶτα δεικνὺς πάλιν, ὅτι οὐχ ὅπλων αὐτῷ δεῖ, ἐπήγαγε, «Καὶ κατευοδοῦ καὶ βασίλευε». Ἕτερος δὲ ἑρμηνευτής φησι, «Πρόκοπτε». Βασιλείαν δὲ ἐνταῦθα λέγει, ἣν ἐλθὼν κατώρθωσεν ἐν ὑστάτοις καιροῖς, τὴν κατ' οἰκείωσιν καὶ γνῶσιν.*

*6. Ταῦτα δὲ τὰ ῥήματα τοῦ πόθου μάλιστά ἐστι τοῦ προφητικοῦ, ὁρῶντος ἤδη τὰ κατορθώματα, καὶ τὴν οἰκουμένην πρὸς ἀλήθειαν χειραγωγουμένην. Διὰ τοῦτο τρόπῳ παρακελευομένῳ κέχρηται τῷ σχήματι τῆς λέξεως. Ἔθος γὰρ καὶ τοῖς ἐλάττοσιν, ὅταν διαθερμαινόμενοι πρὸς τοὺς μείζους ὦσι, ταύταις κεχρῆσθαι ταῖς λέξεσιν. «Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. Ἐπιρρήματι ἀληθείας χρῆται. Ὁρᾷς πῶς ἑαυτὴν ἑρμηνεύει ἡ Γραφή, καὶ δείκνυσι νοερὰν οὖσαν τὴν νίκην καὶ πνευματικήν; Ὁ γὰρ ὅπλων μνημονεύσας καὶ ῥομφαίας καὶ τόξων πῶς πραότητος ἐνταῦθα μέμνηται; Ποία γὰρ κοινωνία πραότητι καὶ πολέμῳ, ἐπιεικείᾳ καὶ μάχῃ; Πολλὴ μὲν οὖν, ἐάν τις ἀκριβῶς ἐξετάσῃ. Ἐπεὶ καὶ Δαυίδ καὶ Μωϋσῆς πρᾶοι ἦσαν. Διὸ περὶ μὲν ἐκείνου φησὶν ἡ Γραφή· «Μνήσθητι, Κύριε, τοῦ Δαυὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ», περὶ δὲ Μωϋσέως, ὅτι «Ἦν πραότατος Μωϋσῆς πάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς», ἀλλ' ὅμως φαίνονται οὗτοι οἱ πάντων πραότατοι, μάλιστα πάντων ἀμυνόμενοι. Ἀλλ' εἰ βούλεσθε, πρότερον τὴν πραότητα αὐτῶν εἴπωμεν. Πολλάκις λαβὼν ὁ μακάριος οὗτος τὸν Σαούλ, καὶ γενόμενος κύριος ἀνελεῖν, οὐκ ἐπήγαγε τὴν χεῖρα· ἀλλὰ καὶ ἑτέρων ἐγκελευομένων, ἐφείσατο, καὶ τὸν θυμὸν ἐχάλασε. Καὶ τοῦ Σεμεεὶ δὲ τοιαῦτα ὑβρίζοντος, καὶ τῇ συμφορᾷ τότε*

---

53. Ψαλμ. 131, 1.
54. Ἀριθμ. 12, 3.
55. Α΄ Βασ. 24, 11 καὶ 26, 7 - 12.

τὸ τόξο σου καὶ προχώρα ἀνεμπόδιστα καὶ βασίλευε». Μὲ τὸ νὰ πεῖ «τέντωσε», δήλωσε τὸ τόξο καὶ τὸ βέλος. Ἔπειτα γιὰ νὰ δείξει πάλι, ὅτι δέν χρειάζεται αὐτὸς ὅπλα, πρόσθεσε, «Καὶ προχώρα ἀνεμπόδιστα καὶ βασίλευε». Ἄλλος δὲ ἑρμηνευτὴς λέγει, «Πρόκοπτε». Βασιλεία δὲ ἐδῶ ὀνομάζει ἐκείνη ποὺ πέτυχε κατὰ τοὺς τελευταίους χρόνους, ὅταν ἦλθε στόν κόσμο, ποὺ μποροῦμε νὰ τὴ γνωρίσουμε καὶ νὰ τὴν ἀποκτήσουμε.

6. Τὰ λόγια ὅμως αὐτὰ πηγάζουν πρὸ πάντων ἀπὸ τὸν πόθο τοῦ προφήτη, ποὺ βλέπει ἤδη τὰ κατορθώματα καὶ τὴν οἰκουμένη νὰ ὁδηγεῖται πρός τὴν ἀλήθεια. Γι' αὐτὸ χρησιμοποιεῖ στὶς λέξεις τρόπο ἱκετευτικό. Διότι συνηθίζουν καὶ οἱ κατώτεροι νὰ χρησιμοποιοῦν τέτοια λόγια, ὅταν κυριεύονται ἀπὸ ἐνθουσιασμὸ πρὸς τοὺς ἀνωτέρους τους. «Ἐξ αἰτίας τῆς ἀλήθειας, τῆς πραότητας καὶ τῆς δικαιοσύνης». Χρησιμοποιεῖ λέξεις ἀλήθειας. Βλέπεις πῶς ἡ Γραφὴ ἑρμηνεύει αὐτὰ ποὺ λέγει καὶ δείχνει ὅτι ἡ νίκη εἶναι νοερὴ καὶ πνευματική; Διότι ἐκεῖνος, ποὺ ἀνέφερε ὅπλα καὶ ρομφαία καὶ τόξα, πῶς ἐδῶ ἀναφέρει πραότητα; Ποιὰ δηλαδὴ σχέση ὑπάρχει μεταξὺ πραότητας καὶ πολέμου, μεταξὺ ἐπιείκιας καὶ μάχης; Ὑπάρχει πράγματι μεγάλη σχέση, ἂν κανεὶς τὸ ἐξετάσει μὲ προσοχή. Διότι καὶ ὁ Δαυὶδ καὶ ὁ Μωϋσῆς ἦταν πρᾶοι. Γι' αὐτὸ ἡ Γραφὴ λέγει γιὰ τὸ Δαυίδ· «Θυμήσου, Κύριε, τὸ Δαυὶδ καὶ ὅλη τὴν πραότητά του»[53]· ἐνῶ γιὰ τὸ Μωυσῆ λέγει, ὅτι «Ἦταν ὁ Μωυσῆς ὁ πιὸ πρᾶος ἀπὸ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς»[54], ἀλλ' ὅμως φαίνονται αὐτοί, ποὺ ἦταν οἱ πιὸ πρᾶοι ἀπὸ ὅλους, οἱ πιὸ πολεμικοὶ ἀπὸ ὅλους. Ἀλλ' ἐὰν θέλετε ἂς μιλήσουμε πρῶτα γιὰ τὴν πραότητά τους. Ἂν καὶ ὁ Δαυίδ, ὁ μακάριος αὐτός, πολλές φορές συνέλαβε τόν Σαοὺλ καὶ μποροῦσε νὰ τὸν θανατώσει, δὲν σήκωσε χέρι ἐπάνω του, ἀλλὰ καὶ ὅταν ἀκόμη ἄλλοι τὸν πρότρεπαν νὰ τὸν σκοτώσει, τὸν λυπήθηκε καὶ χαλάρωσε τὸ θυμό του[55]. Καὶ ὁ Σεμεεὶ δέ, ἐνῶ τόν ἔβριζε κατὰ τέτοιο τρόπο καὶ ἀναμειγνυό-

*ἐπεμβαίνοντος ἐκείνου, καὶ τῶν στρατηγῶν ἀξιούντων διαβῆναι καὶ ἀποτεμεῖν τὸν ὑβριστὴν τοιαῦτα ἐμπαροινοῦντα, οἷα φθέγγεται ῥήματα πάσης σοφίας γέμοντα; Τὸν δὲ πατραλοίαν ἐκεῖνον καὶ ἀκόλαστον νεανίσκον, πῶς παρακατατίθεται τοῖς ἑαυτοῦ στρατηγοῖς λέγων, «Φείσασθέ μοι τοῦ παιδαρίου Ἀβεσσαλώμ»; Ὅτε δὲ ἐν προοιμίοις πρὸς τοὺς ἀδελφοὺς διελέγετο διαφθονουμένους καὶ βασκαίνοντας διὰ τὴν ἐσομένην νίκην, ἐννόησον πῶς πράως διαλέγεται, «Μὴ οὐχὶ ῥῆμά ἐστι;» λέγων.*

*Τί δὲ Μωϋσῆς; Ὑπὲρ τῶν λιθασάντων αὐτόν, ὑπὲρ τῶν ἀνελόντων, τό γε εἰς αὐτοὺς ἧκον, ἄκουσον τί φησιν· «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας». Ἑτέρων δὲ πάλιν αὐτὸν εἰς ζῆλον κινούντων, καὶ παροξυνόντων εἰς ἀγανάκτησιν, τὰ φιλόσοφα ἐκεῖνα ἐφθέγξατο ῥήματα λέγων· «Τίς δώῃ πάντα τὸν λαὸν Κυρίου προφήτας εἶναι;». Ὑπὲρ δὲ τῆς ἀδελφῆς πάλιν λοιδορησάσης αὐτόν, ὅσην τίθεται τὴν ἱκετηρίαν; Καὶ πολλαχόθεν ἑτέρωθεν ἴδοι τις ἂν αὐτοῦ τὴν πραότητα, ὅτε καὶ τῆς γῆς ἐκπεσών, καὶ εἰς τὴν Παλαιστίνην κωλυθεὶς εἰσελθεῖν, μετὰ πάσης ἐπιεικείας διαλέγεται τοῖς Ἰουδαίοις. Ἀλλ' ὅμως οὗτος ὁ πρᾶος τὸν Δαθὰν καὶ Ἀβειρὼν καὶ Κορὲ ἠξίωσε καταποθῆναι, ἡνίκα τῇ ἱερωσύνῃ ἐπανέστησαν, ὑπὸ τῆς γῆς, καὶ τοὺς ἄλλους ἐμπρησθῆναι, ὅτε προσήνεγκαν πῦρ ἀλλότριον. Καὶ ὁ Δαυὶδ δὲ τὸν Γολιὰθ κατήνεγκεν ὁ πρᾶος, καὶ τὸ στρατόπεδον ἤλασε, καὶ τὴν νίκην ἤρατο.*

*Τοῦτο γὰρ μάλιστά ἐστι πράου, τὰ μὲν εἰς ἑαυτὸν ἀφεῖ-*

---

56. Β΄ Βασ. 16, 5 ἑξ.
57. Β΄ Βασ. 18, 5
58. Α΄ Βασ. 17, 29.
59. Ἔξ. 17, 4.
60. Ἔξ. 32, 32.
61. Ἀρ. 11, 29.
62. Ἀρ. 12, 13.
63. Ἀρ. 16, 15
64. Α΄ Βασ. κεφ. 17.

ταν τότε στὴ συμφορά του αὐξάνοντας αὐτή, καὶ ἐνῶ οἱ στρατηγοί του ζητοῦσαν νὰ περάσει ἀπέναντι καὶ νὰ ἀποκεφαλίσει τὸν ὑβριστὴ ποὺ τὸν πρόσβαλλε μὲ τέτοιες ὕβρεις, ποιὰ λόγια, γεμάτα ἀπὸ ὅλη τὴ σοφία, λέγει[56]; Πῶς δὲ παραδίνει στοὺς στρατηγούς του τὸ διεφθαρμένο ἐκεῖνο νεανίσκο ποὺ ἤθελε νὰ φονεύει τὸν πατέρα του, λέγοντας, «Λυπηθεῖτε, σᾶς παρακαλῶ, τὸ παιδί μου τὸν Ἀβεσσαλώμ»; Ὅταν δὲ συνομιλοῦσε μὲ τοὺς ἀδελφούς του, ποὺ τὸν φθονοῦσαν καὶ τὸν κακολογοῦσαν, πρὶν ἀπὸ τὸν ἀγώνα του μὲ τὸν Γολιάθ, ποὺ θὰ χάριζε τὴ νίκη, μὲ πόση πραότητα συνομιλεῖ μαζί τους, λέγοντας· «Δὲν εἶναι αὐτὸ ποὺ εἶπα ἕνας ἁπλὸς λόγος;»[58].

Τί κάμνει δὲ ὁ Μωυσῆς; Ἄκουσε, μιὰ ποὺ τὸ ἔφερε ὁ λόγος, τί λέγει πρὸς χάρη ἐκείνων ποὺ τὸν λιθοβόλησαν, ποὺ ἐπιχείρησαν νὰ τὸν φονεύσουν[59]· «Ἂν μὲν συγχωρήσεις τὴν ἁμαρτία, συγχώρησέ την, ἀλλοιῶς ξέγραψε καὶ ἐμένα ἀπὸ τὸ βιβλίο ποὺ μὲ ἔγραψες»[60]. Ὅταν δὲ πάλι ἄλλοι ἐπιχειροῦσαν νὰ τὸν κάνουν νὰ φθονήσει καὶ τὸν παρότρυναν σὲ ἀγανάκτηση, εἶπε τὰ γεμάτα ἀπὸ φιλοσοφία ἐκεῖνα λόγια· «Ποιὸς δὲν θὰ ἤθελε νὰ δώσει ὁ Κύριος ὅλος ὁ λαός του νὰ εἶναι προφῆτες;»[61]. Ὑπὲρ δὲ τῆς ἀδελφῆς του πάλι ποὺ τὸν συμπεριφέρθηκε ἄπρεπα, μὲ πόση πραότητα παρακαλεῖ τὸ Θεό[62]. Καὶ ἀπὸ πολλὲς ἄλλες περιπτώσεις θὰ μποροῦσε κανεὶς νὰ διαπιστώσει τὴν πραότητα αὐτοῦ, καὶ ὅταν στερήθηκε τὴ γῆ τῆς ἐπαγγελίας καὶ ἐμποδίσθηκε νὰ εἰσέλθει στὴν Παλαιστίνη, συνομιλεῖ μὲ ὅλη τὴν ἐπιεικιά του πρὸς τοὺς Ἰουδαίους. Ἀλλ' ὅμως αὐτὸς ὁ πρᾶος ζήτησε νὰ καταπιεῖ ἡ γῆ τοὺς Δαθάν, Ἀβερὼν καὶ Κορέ, ὅταν θέλησαν νὰ ἁρπάξουν τὴν ἱερωσύνη, καὶ τοὺς ἄλλους νὰ τοὺς κατακάψει ἡ φωτιά, ὅταν πρόσφεραν ξένη φωτιὰ γιὰ θυσία[63]. Καὶ ὁ Δαυὶδ δὲ ὁ πρᾶος φόνευσε τὸ Γολιὰθ καὶ τὸ στρατό ἔτρεψε σὲ φυγὴ καὶ τὴ νίκη κέρδισε[64].

Πράγματι αὐτὸ πρὸ πάντων εἶναι τὸ γνώρισμα τοῦ

*ναι, τοῖς δὲ ἀδικουμένοις ἀμύνειν, καθάπερ καὶ ὁ Χριστὸς ἐποίησεν. Εἰς γὰρ τὸν σταυρὸν ἀναβὰς ἔλεγε· «Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι». Καὶ θρηνῶν πάλιν τὴν Ἱερουσαλὴμ ἔλεγε· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος». Καὶ ῥαπιζόμενος, οὐκ ἀντερράπισεν, ἀλλ' ἀπολογεῖται τῷ ῥαπίζοντι· καὶ δαιμονῶν καλούμενος, δαίμονας ἐξέβαλε· καὶ πλάνος καὶ ἀντίθεος καλούμενος, εἰς τὴν βασιλείαν αὐτοὺς ἐχειραγώγει. Καὶ τοῖς μαθηταῖς ἐκέλευσε πανταχοῦ μαστιγοῦσθαι, διώκεσθαι, ἐλαύνεσθαι, καὶ τὴν ἐλάττω καταδέχεσθαι τάξιν. «Ὁ γὰρ θέλων ἐν ὑμῖν εἶναι πρῶτος», φησίν, «ἔστω ὑμῶν διάκονος». Καὶ τὸ ὑπόδειγμα οἴκοθεν ἐπῆγε λέγων· «Καθάπερ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν». Εἰ δὲ ἐλαύνει δαίμονας, καὶ πολεμεῖ τῷ διαβόλῳ, καὶ τὴν πλάνην ἀναιρεῖ, καὶ τοῦτο μάλιστα πραότητός ἐστι, τὸ τὴν κακίαν μὲν πᾶσαν λύειν, τοὺς δὲ κατεχομένους ἐλευθεροῦν, τὸ τοὺς ἐπιβουλεύοντας δαίμονας ἀναστέλλειν, τοὺς δὲ ἐπηρεασθέντας ἀπαλλάττειν τῶν δεινῶν.*

*Τί δέ ἐστιν, «Ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης»; Εἶπε τὸν πόλεμον, εἶπε τὴν παράταξιν, ἔδειξε τὸν ὁπλίτην· λέγει λοιπὸν καὶ τῆς βασιλείας αὐτοῦ τὰ κατορθώματα, λέγει τοῦ τροπαίου τὸ εἶδος, λέγει τῆς νίκης τὴν φύσιν. Οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι βασιλεύοντες πολεμοῦσιν, ἢ πόλεων ἕνεκεν, ἢ χρημάτων, ἢ ἔχθρας, ἢ κενοδοξίας, αὐτὸς δὲ δι' οὐδὲν τούτων, ἀλλ' ἕνεκεν ἀληθείας, ἵνα*

---

65. Λουκᾶ 23, 34.
66. Ματθ. 23, 37-38.
67. Ἰω. 18, 22-23.
68. Ματθ. 9, 32-34.
69. Ἰω. 7, 12.
70. Ματθ. 20, 26.
71. Ματθ. 20, 28.

πράου, τὶς μὲν βλάβες πρὸς αὐτὸν νὰ τὶς παραβλέπει καὶ νὰ τὶς συγχωρεῖ, νὰ ὑπερασπίζεται ὅμως τοὺς ἀδικουμένους, ὅπως ἀκριβῶς ἔκαμε καὶ ὁ Χριστός. Καθόσον, ὅταν ἀνέβηκε στὸ σταυρό, ἔλεγε˙ «Πατέρα συγχώρησέ τους, διότι δὲν γνωρίζουν τί κάμνουν»[65]. Καὶ θρηνώντας πάλι τὴν Ἱερουσαλήμ, ἔλεγε˙ «Πόσες φορὲς θέλησα νὰ συγκεντρώσω τὰ τέκνα σας καὶ δὲν θελήσατε˙ νά, τώρα ἀφήνεται ὁ οἶκος σας ἔρημος»[66] καὶ ραπιζόμενος, δὲν ἀνταπέδωσε τὸ ράπισμα, ἀλλὰ ζητεῖ τὸ λόγο ἀπὸ ἐκεῖνον ποὺ τόν ράπισε[67]˙ καὶ ὀνομαζόμενος δαιμονισμένος, ἔδιωχνε δαίμονες[68]˙ καὶ ὀνομαζόμενος λαοπλάνος καὶ ἀντίθεος, ὁδηγοῦσε αὐτοὺς στὴν οὐράνια βασιλεία[69]. Καὶ στοὺς μαθητές του ἔδινε ἐντολὴ παντοῦ νὰ ὑπομένουν τὶς μαστιγώσεις, τὶς διώξεις, τὴν ἐξορία καὶ νὰ προτιμοῦν τὴν πιὸ ἀσήμαντη θέση. Διότι λέγει˙ «Ἐκεῖνος ποὺ θέλει ἀπὸ σᾶς νὰ εἶναι πρῶτος, ἄς εἶναι ὑπηρέτης σας»[70]. Καὶ σὰν παράδειγμα ἀνέφερε τὸν ἑαυτό του, λέγοντας˙ «Ὅπως ἀκριβῶς ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθε γιὰ νὰ ὑπηρετηθεῖ, ἀλλὰ νὰ ὑπηρετήσει καὶ νὰ δώσει τὴ ζωή του σὰν λύτρο γιὰ χάρη τῶν πολλῶν»[71]. Ἐὰν δὲ ἐκδιώκει δαίμονες καὶ πολεμεῖ τὸ διάβολο καὶ καταργεῖ τὴν πλάνη, καὶ αὐτὸ πρὸ πάντων εἶναι τὸ γνώρισμα τῆς πραότητας, τὸ νὰ καταλύει ὅλη τὴν κακία, τὸ νὰ ἐλευθερώνει ἐκείνους ποὺ εἶναι αἰχμάλωτοι ἀπ' αὐτή, τὸ νὰ ἐμποδίζει τοὺς δαίμονες ποὺ ἐπιδιώκουν τὸ κακό μας καὶ ν' ἀπαλλάσσει ἀπὸ τὰ δεινὰ ἐκείνους ποὺ κυριεύθηκαν ἀπὸ τοὺς δαίμονες.

Τί σημαίνει δὲ «Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης»; Ἀνέφερε τὸν πόλεμο, ἀνέφερε τὴν παράταξη, ἔδειξε τὸν ὁπλίτη, ἀναφέρει στὴ συνέχεια καὶ τῆς βασιλείας τὰ κατορθώματα, ἀναφέρει τὸ εἶδος τοῦ τροπαίου, ἀναφέρει τὴ φύση τῆς νίκης. Διότι ὅλοι μὲν οἱ ἄλλοι ἄνθρωποι πολεμοῦν ἢ γιὰ τὴν ἐξουσία, ἢ γιὰ τὴν κατάκτηση πόλεων ἢ γιὰ χρήματα ἢ ἀπὸ ἔχθρα ἢ ἀπὸ ματαιοδοξία, αὐτὸς ὅμως δὲν πολεμᾶ γιὰ τίποτε ἀπὸ αὐτά,

*αὐτὴν ἐν τῇ γῇ φυτεύσῃ· καὶ πραότητος, ἵνα θηρίων ὄντας χαλεπωτέρους, πράους ἐργάσηται· καὶ δικαιοσύνης, ἵνα ὑπὸ τῆς ἀνομίας τυραννουμένους, δικαίους ποιήσῃ, πρῶτον μὲν ἀπὸ χάριτος, δεύτερον δὲ καὶ ἀπὸ κατορθωμάτων.*

*7. «**Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου**». Ἄλλος, «Καὶ φωτίσει σε ἐπὶ φοβερὰ ἡ δεξιά σου». Ἄλλος, «Καὶ ὑποδείξει σοι φοβερὰ ἡ δεξιά σου». Εἶδες πῶς πάλιν παρήνοιξεν ἡμῖν τοῦ τὰ τοιαῦτα κατορθοῦντος τὸ ἀξίωμα; Ὥσπερ γὰρ ἀνωτέρω εἰπὼν ὅπλα καὶ ῥομφαίαν, ἐπὶ τὴν ὡραιότητα ἀνέβη, καὶ πρὸς τὰς ἀσωμάτους ἐννοίας τὸν ἀκροατὴν ἤγαγεν, οὕτω πάλιν ἐπὶ τὸ παχύτερον καταβάς, τὰ τόξα καὶ τὰ βέλη, κατὰ μικρὸν ἀνάγει πάλιν τὸν ἀκροατήν, λέγων τοῦ πολέμου τὰς αἰτίας, ἀλήθειαν καὶ πραότητα καὶ δικαιοσύνην· εἶτα πάλιν καὶ τὸν τρόπον τῆς νίκης. Ποῖον δὲ τοῦτον; «Καὶ ὁδηγήσει σε», φησί, «θαυμαστῶς ἡ δεξιά σου». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· αὐτὴ ἑαυτῇ ἀρκεῖ ἡ φύσις, αὐτὴ ἑαυτῇ ἀρκεῖ ἡ δύναμις εἰς τὸ καὶ ἰδεῖν τὰ πρακτέα, καὶ τέλος αὐτοῖς ἐπιθεῖναι. Καὶ καλῶς ἕτερος εἶπε, «Φοβερὰ ἡ δεξιά σου»· πολὺ γὰρ φοβερὰ τὰ κατωρθωμένα καὶ φρίκης γέμοντα. Θάνατος ἐλύθη, ᾅδης ἀνερράγη, παράδεισος ἀνεῴχθη, ὁ οὐρανὸς ἀνεπετάσθη, δαίμονες ἐπεστομίσθησαν, ἀνεμίγη τὰ κάτω τοῖς ἄνω, Θεὸς ἄνθρωπος γέγονεν, ἄνθρωπος ἐπὶ βασιλικοῦ κάθηται θρόνου· ἀναστάσεως ἐλπίδες ἠνοίγησαν, ἀθάνατοι προσδοκίαι, ἀγαθῶν ἀπορρήτων ἀπόλαυσις, τὰ ἄλλα ὅσα διὰ τῆς αὐτοῦ παρουσίας κατώρθωσε. Διὰ δὴ τοῦτο εἶπεν, «Ὁδηγήσει σε ἐπὶ τὰ φοβερὰ ταῦτα ἡ δεξιά σου», δεικνὺς ὅτι ἀρκεῖ ἑαυτῇ ἡ φύσις, φησί, καὶ*

ἀλλὰ γιὰ τὴν ἀλήθεια, γιὰ νὰ φυτέψει αὐτὴ στὴ γῆ, καὶ γιὰ τὴν πραότητα, ὥστε, ἐνῶ εἴμαστε φοβερώτεροι ἀπὸ τὰ θηρία, νὰ μᾶς κάνει πράους, καὶ γιὰ δικαιοσύνη, ὥστε, ἐνῶ τυραννιόμαστε ἀπὸ τὴν ἀνομία, νὰ μᾶς καταστήσει δικαίους, πρῶτα μὲν μὲ τὴ χάρη, δεύτερον δὲ καὶ μὲ τὰ κατορθώματα.

7. «Καὶ θὰ σὲ ὁδηγήσει ἡ δεξιά σου σὲ θαυμαστὰ ἔργα». Ἄλλος λέγει· «Καὶ θὰ σὲ φωτίσει ἡ δεξιὰ σου σὲ φοβερὰ πράγματα». Ἄλλος, «Καὶ θὰ σοῦ ὑποδείξει ἡ δεξιά σου φοβερὰ πράγματα». Εἶδες πῶς πάλι μᾶς φανέρωσε τὸ ἀξίωμα αὐτοῦ ποὺ κατορθώνει αὐτὰ τὰ πράγματα; Διότι, ὅπως ἀκριβῶς προηγουμένως, ἀφοῦ ἀνέφερε τὰ ὅπλα καὶ τὴ ρομφαία, ἀνέβηκε στὴν ὡραιότητα καὶ μετέφερε τὸν ἀκροατὴ πρὸς τὶς ἀσώματες ἔννοιες, ἔτσι πάλι, ἀφοῦ μίλησε γιὰ ὑλικὰ πράγματα, τὰ τόξα καὶ τὰ βέλη, σιγὰ - σιγὰ ἀνεβάζει πάλι τὸν ἀκροατή, ἀναφέροντας τὶς αἰτίες τοῦ πολέμου, τὴν ἀλήθεια. τὴν πραότητα καὶ τὴ δικαιοσύνη· ἔπειτα πάλι ἀναφέρει καὶ τὸν τρόπο τῆς νίκης. Ποιὸς δὲ εἶναι αὐτός; «Καὶ θὰ σὲ ὁδηγήσει», λέγει, «ἡ δεξιά σου σὲ θαυμαστὰ κατορθώματα». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· εἶναι ἀρκετὴ ἡ φύση του αὐτὴ καθ' ἑαυτή, καὶ ἀρκεῖ ἡ δύναμή του αὐτὴ καθ' ἑαυτὴ γιὰ νὰ δεῖ αὐτὰ ποὺ πρέπει νὰ γίνουν καὶ νὰ πραγματοποιήσει αὐτά. Καὶ καλὰ εἶπε ἄλλος «θὰ ἐπιτελέσει φοβερὰ ἡ δεξιά σου»· διότι εἶναι πολὺ φοβερὰ τὰ κατορθώματά του καὶ γεμάτα ἀπὸ φρίκη. Ὁ θάνατος καταλύθηκε, ὁ ᾅδης κατακρημνίσθηκε, ὁ παράδεισος ἄνοιξε, ὁ οὐρανὸς ἄνοιξε, οἱ δαίμονες ἀποστομώθηκαν, ἀναμίχθηκαν τὰ οὐράνια μὲ τὰ ἐπίγεια, ὁ Θεὸς ἔγινε ἄνθρωπος, ὁ ἄνθρωπος κάθεται ἐπάνω σὲ βασιλικὸ θρόνο, ἐλπίδες ἀναστάσεως ἄνοιξαν, προσδοκίες ἀθανασίας, ἀπόλαυση ἀπορρήτων ἀγαθῶν, καὶ ὅλα τὰ ἄλλα ποὺ κατόρθωσε μὲ τὴν παρουσία του. Γι' αὐτὸ λοιπὸν εἶπε, «Θὰ σὲ ὁδηγήσει ἡ δεξιά σου σὲ φοβερὰ κατορθώματα», γιὰ νὰ δείξει, λέγει, ὅτι ἀρκεῖ αὐτὴ καθ' ἑαυτὴ ἡ φύση καὶ

ἡ δύναμις εἰς τὸ καὶ εὑρεῖν καὶ ἀνῦσαι τὰ προκείμενα. Οἱ δὲ ἑβδομήκοντά φασιν, «Ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου»· τουτέστιν, οὐ μόνον τὰ κατωρθωμένα δεῖ θαυμάζειν, ἀλλ' ὅτι καὶ παραδόξως κατωρθώθη. Διὰ θανάτου γὰρ θάνατος ἐλύθη, διὰ κατάρας κατάρα ἀνῃρέθη, καὶ εὐλογία ἐδόθη· διὰ βρώσεως ἐξεβλήθημεν πρώην, διὰ βρώσεως εἰσήχθημεν πάλιν. Παρθένος ἡμᾶς ἐξέβαλε παραδείσου, διὰ παρθένου ζωὴν εὕραμεν αἰωνίαν. Δι' ὧν κατεκρίθημεν, διὰ τούτων ἐστεφανώθημεν. Ταῦτα τοίνυν ἐννοῶν ὁ προφήτης, ἔλεγεν· «Ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου». Μή τι ὅπλων χρεία; μή τι ρομφαίας; μή τι τόξων καὶ βελῶν; Εἶδες πῶς αὐτάρκης αὐτὴ ἑαυτῇ ἡ φύσις, ἡ δύναμις; Ἀλλ' ὅρα πάλιν αὐτόν, καθάπερ ἄριστον χορευτήν, πάλιν ἀπὸ τῶν ὑψηλῶν ἐπὶ τὰ παχύτερα καταβαίνοντα.

«Τὰ βέλη σου ἠκονημένα, δυνατέ. Λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως». Ἄλλος φησί, «Κατὰ καρδίας οἱ ἐχθροὶ τοῦ βασιλέως». Ὅρα πάλιν, ὅτε βελῶν ἐμνημόνευσε, πῶς τὸ ρῆμα τοῦ δυνατοῦ προσέλαβεν, ἵνα μάθῃς, ὅτι οὐ βελῶν δεῖται, ἀλλ' αὐτὸς ἑαυτῷ ἀρκεῖ. Ἡ δὲ ἀκολουθία αὕτη ἐστί· «Τὰ βέλη σου ἠκονημένα, δυνατέ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως». Τὸ δέ, «Λαοὶ ὑποκάτω σου πεσοῦνται», παρέγκειται μέσον. Ἐνταῦθα τοίνυν διπλῆ εἶναί μοι δοκεῖ ἡ ἐξήγησις· ἢ γὰρ τὴν ἅλωσίν φησι τὴν Ἰουδαϊκήν, καὶ τὸν τῆς πόλεως ἀνδραποδισμὸν καὶ τὴν πανωλεθρίαν, ἢ κατὰ ἀναγωγὴν τὴν τοῦ λόγου δύναμιν βέλη καλεῖ. Καὶ γὰρ βελῶν ὀξύτερον τὴν οἰκουμένην περιῆλθεν ἅπασαν,

ἡ δύναμή του γιὰ νὰ βρεῖ καὶ νὰ κατορθώσει τὰ ἀναφερθέντα. Οἱ δὲ ἑβδομήκοντα λέγουν, «Θὰ σὲ ὁδηγήσει ἡ δεξιά σου σὲ θαυμαστὰ κατορθώματα»˙ δηλαδή, ὄχι μόνο πρέπει νὰ θαυμάζουμε τὰ ὅσα κατόρθωσε, ἀλλὰ πρέπει νὰ τὰ θαυμάζουμε καὶ ἐπειδὴ κατορθώθηκαν κατὰ τρόπο παράδοξο. Διότι μὲ τὸ θάνατό του καταλύθηκε ὁ θάνατος, μὲ τὴν κατάρα καταργήθηκε ἡ κατάρα καὶ δόθηκε ἡ εὐλογία˙ μὲ τό νὰ φᾶμε τὸν ἀπαγορευμένο καρπό διωχθήκαμε ἀπὸ τὸν παράδεισο στὴν ἀρχή, μὲ τὸ νὰ φᾶμε δὲ ἀπὸ τὸ σῶμα καὶ τὸ αἷμα του εἰσήλθαμε καὶ πάλι στὸν παράδεισο, μὲ παρθένο δὲ βρίκαμε ζωὴ αἰώνια. Μὲ ἐκεῖνα ποὺ καταδικασθήκαμε, μὲ αὐτὰ καὶ στεφανωθήκαμε. Αὐτὰ λοιπὸν σκεπτόμενος ὁ προφήτης, ἔλεγε˙ «Θὰ σὲ ὁδηγήσει ἡ δεξιά σου σὲ θαυμαστὰ κατορθώματα». Μήπως χρειάσθηκαν ὅπλα; μήπως ρομφαία; μήπως τόξα καὶ βέλη; Εἶδες πῶς ἡ φύση του καὶ ἡ δύναμή του ἀρκεῖ γιὰ ὅλα αὐτὰ αὐτὴ καθ' ἑαυτή; Ἀλλὰ πρόσεχε πάλι αὐτόν, πού, σὰν ἄριστος χορευτής, κατεβαίνει πάλι ἀπὸ τὰ ὑψηλὰ πρὸς τὰ παχύτερα.

«Τὰ βέλη σου εἶναι ἀκονισμένα, δυνατέ. Οἱ λαοὶ θὰ πέφτουν κάτω ἀπὸ τὸ ἅρμα σου πληγωμένοι ἀπὸ τὰ βέλη σου ποὺ εἰσέρχονται στὶς καρδιές τῶν ἐχθρῶν τοῦ βασιλέως». Ἄλλος λέγει˙ «Οἱ ἐχθροὶ τοῦ βασιλέως θὰ κτυπηθοῦν στὴν καρδιά». Πρόσεχε πάλι, πῶς, ὅταν μίλησε γιὰ βέλη, ἀνέφερε τὴν λέξη «δυνατός», γιὰ νὰ μάθεις, ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ βέλη, ἀλλ' ἀρκεῖ ἡ δύναμή του αὐτὴ καθ' ἑαυτή. Ἡ λογικὴ σειρὰ τῶν λέξεων εἶναι αὐτή˙ «Τὰ βέλη σου, δυνατέ, εἶναι ἀκονισμένα, καὶ πλήττουν τὴν καρδιὰ τῶν ἐχθρῶν τοῦ βασιλέως». Τὸ δὲ «Οἱ λαοὶ θὰ πέφτουν πληγωμένοι κάτω ἀπὸ τὸ ἅρμα σου», βρίσκεται στὸ μέσο. Ἐδῶ λοιπὸν νομίζω ὅτι εἶναι διπλὴ ἡ ἐξήγηση˙ ἢ δηλαδὴ ἐννοεῖ τὴν ἅλωση τῆς Ἰουδαίας καὶ τὴν αἰχμαλωσία τῶν κατοίκων τῆς πόλεως καὶ τὴν καταστροφή, ἢ ἀλληγορικὰ βέλη ὀνομάζει τὴ δύναμη τοῦ λόγου. Καθόσον γρηγορώτερα καὶ ἀπὸ τὰ βέλη περιέτρεξε ὅλη τὴν οἰκουμένη καὶ ἐκέντησε

καὶ τῶν πρὸ τούτου ἐχθρῶν τοῦ βασιλέως τῆς καρδίας ἥψατο, οὐχ ἵνα ἀνέλῃ, ἀλλ' ἵνα ἐπισπάσηται· ὅπερ καὶ ἐπὶ Παύλου γέγονεν. Οὐ γὰρ ἄν τις ἁμάρτοι τὸ ῥῆμα ἐκεῖνο βέλος εἰπών, ὅπερ ἐξ οὐρανοῦ ἀκοντισθὲν ἥψατο τῆς καρδίας τοῦ πρὸ τούτου ἐχθροῦ, καὶ φίλον ἐποίησε.

«Λαοὶ ὑποκάτω σου πεσοῦνται». Εἶδες τοῦ πολέμου τὸ κατόρθωμα; τὴν προσαγωγὴν τῶν πρὸ τούτου στασιαζόντων; τὴν διδασκαλίαν; τὴν κατήχησιν; Ἡ γὰρ πρόσπτωσις αὕτη, καὶ τὸ ὑποκάτω αὐτοῦ, πᾶσιν ὕψους ἐστὶν ὑπόθεσις καὶ ῥίζα. Ἀπαλλάξας γὰρ αὐτοὺς ἀπονοίας καὶ κενοῦ τύφου, καὶ τῆς τῶν δαιμόνων πλάνης, ἑαυτῷ ὑπέταξεν. Οὕτω καὶ ἕτερος προφήτης δείκνυσιν αὐτὸν ᾑμαγμένον, οὕτω λέγων· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ;». Οὐδαμοῦ ὅπλα ἐκεῖ, καὶ τόξα καὶ βέλη, ἀλλ' ἱμάτια. Παχύτερον μὲν τὸ ῥῆμα, πλὴν τούτου λεπτότερον· ὅμως καὶ ἐν τῇ παχύτητι, κἀκεῖ κατὰ μικρὸν πρὸς τὰ ἀσώματα ἀνάγει τὸν λόγον. Ἐπειδὴ γὰρ ἐρωτᾷ ὁ προφήτης πόθεν ἐρυθρὰ τὰ ἱμάτια, φησί· «Ληνὸν ἐπάτησα μονώτατος», τὴν εὐκολίαν δεικνὺς τῆς νίκης, καὶ τὸ μηδένα σχεῖν τὸν συνεργοῦντα αὐτῷ, ἀλλ' ὅτι αὐτὸς ἑαυτῷ ἤρκεσεν. Ὥσπερ γὰρ ἐνταῦθά φησιν, «Ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου», οὕτω καὶ ἐκεῖ, «Ληνὸν ἐπάτησα μονώτατος». Ὃν τρόπον γὰρ τῷ ληνοβάτῃ ῥάδιον καταπατεῖν τοὺς βότρυς, οὕτω τῷ Θεῷ, ἐργάσασθαι ἅπερ ἠθέλησε, μᾶλλον δὲ οὐδὲ οὕτως, ἀλλὰ καὶ πολλῷ πλεῖον.

«Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος».

72. Ἡσ. 63, 1.
73. Ἡσ. 63, 2.

τὴν καρδιὰ ἐκείνων ποὺ ἦταν πρὶν ἀπὸ αὐτό ἐχθροὶ τοῦ βασιλέως, ὄχι γιὰ νὰ τοὺς φονεύσει, ἀλλὰ γιὰ νὰ τοὺς προσελκύσει, πράγμα ποὺ συνέβηκε καὶ στὴν περίπτωση τοῦ Παύλου. Καθόσον δὲν θὰ ἔσφαλλε κανεὶς ἂν ὀνομάσει βέλος τὰ λόγια ἐκεῖνα ποὺ ρίχθηκαν ἀπὸ τὸν οὐρανὸ καὶ κέντησαν τὴν καρδιὰ ἐκείνου ποὺ ἦταν πρὶν ἀπὸ αὐτὸ τὸ συμβὰν ἐχθρός, καὶ τὸν ἔκαμε φίλο.

«Οἱ λαοὶ θὰ πέφτουν πληγωμένοι ἀπὸ τὸ ἅρμα σου». Εἶδες τοῦ πολέμου τὸ κατόρθωμα; τὴν προσέλκυση ἐκείνων ποὺ πρὶν ἀπὸ αὐτὸ ἦταν ἐπαναστάτες; τὴ διδασκαλία; τὴν κατήχηση; Καθόσον αὐτὴ ἡ πτώση μπροστά του καὶ κάτω ἀπὸ αὐτόν, ἀποτελεῖ ἀφορμὴ καὶ ρίζα ἐξυψώσεως ὅλων. Διότι, ἀφοῦ τοὺς ἀπάλλαξε ἀπὸ τὴν ἀναισθησία καὶ τὴν κενοδοξία καὶ τὴν πλάνη τῶν δαιμόνων, τοὺς ὑπέταξε στὸν ἑαυτό του. Ἔτσι καὶ ἄλλος προφήτης παρουσιάζει αὐτὸν αἱματωμένο, λέγοντας τὰ ἑξῆς· «Ποιός εἶναι αὐτὸς ποὺ ἔρχεται ἀπὸ τὴν Ἐδώμ; Τὰ ἐνδύματά του εἶναι κόκκινα ἀπὸ τὴν Βοσόρ;»[72]. Πουθενὰ ἐκεῖ δὲν γίνεται λόγος γιὰ τόξα καὶ βέλη, ἀλλὰ γιὰ ἐνδύματα. Καὶ ἐδῶ τὰ λόγια ἀναφέρονται σὲ ὑλικὰ πράγματα, ἀλλ' εἶναι λεπτότερα ἀπὸ τὰ προηγούμενα· ὅμως καὶ μὲ τὰ ὑλικὰ αὐτὰ ποὺ ἀναφέρει, ἀνυψώνει τὸ λόγο σιγὰ-σιγὰ καὶ ἀπὸ ἐκεῖ πρὸς τὰ ἀσώματα. Ἐπειδὴ δηλαδὴ ὁ προφήτης ἐρωτᾶ, ἀπὸ ποῦ εἶναι κόκκινα τὰ ἐνδύματα, λέγει· «Πάτησα ὁλομόναχος τὰ σταφύλια στὸ πατητήρι»[73], γιὰ νὰ δείξει τὴν εὐκολία τῆς νίκης καὶ ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ κανένα συνεργάτη, ἀλλ' ἀρκεῖ αὐτὸ γιὰ τὸν ἑαυτό του. Διότι, ὅπως ἀκριβῶς ἐδῶ λέγει, «Θὰ σὲ ὁδηγήσει ἡ δεξιά σου σὲ κατορθώματα θαυμαστά», ἔτσι καὶ ἐκεῖ λέγει, «Πάτησα ὁλομόναχος σταφύλια στὸ πατητήρι». Διότι ὅπως εἶναι εὔκολο στὸ ληνοβάτη νὰ πατᾶ τὰ σταφύλια, ἔτσι εἶναι εὔκολο στὸ Θεὸ νὰ κάμει ἐκεῖνα ποὺ θέλησε, μᾶλλον δὲ ὄχι ἔτσι ἀκριβῶς, ἀλλὰ καὶ πολὺ περισσότερο.

«Ὁ θρόνος σου, Θεέ μου, ἀκλόνητος στὸν αἰώνα.

*Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως, παρὰ τοὺς μετόχους σου». Ἄλλος, «Ὁ θρόνος σου, ὁ Θεὸς αἰώνιος», καὶ ἔτι, ὁ δὲ Ἑβραῖός φησι τό, «Ὁ Θεός, ὁ Θεός σου», «Ἐλωείμ, Ἐλωάχ». Τί ἐνταῦθα εἴποι ὁ Ἰουδαῖος; Περὶ τίνος γὰρ τὰ λεγόμενα; Τί δὲ ὁ αἱρετικός; Εἰ γὰρ δὴ λέγοι περὶ τοῦ Πατρὸς λέγεσθαι «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος», πῶς ἁρμόσει αὐτῷ τὸ ἑξῆς, «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου»; Οὐ γὰρ δὴ ὁ Πατήρ ἐστιν ὁ Χριστός, οὐδὲ αὐτὸς κέχρισται. Ὅθεν δῆλον ὅτι περὶ τοῦ Μονογενοῦς ὁ λόγος, περὶ οὗ καὶ τὰ ἔμπροσθεν εἴρηται· ὅπερ καὶ ὁ Ἠσαΐας ἔλεγεν, ὅτι «τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος».*

*8. Ἀλλ' ἴσως ἄν τις ἐκεῖνο ζητήσειε, τί δήποτε νῦν περὶ τῆς θεότητος διαλέγεται, πρότερον περὶ τῆς οἰκονομίας ποιησάμενος τὸν λόγον; Ὅτι καὶ ὁ Ματθαῖος οὕτω ποιεῖ. Ἀπὸ γὰρ τῆς σαρκὸς ἄρχεται καὶ προοιμιάζεται οὕτω· «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ». Ὁμοίως καὶ Λουκᾶς καὶ Μᾶρκος· ὁ Ἰωάννης δὲ μόνος ἑτέρως. Πρότερον γὰρ περὶ τῆς θεότητος εἰπών, «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος», καὶ πολλὰ περὶ αὐτῆς διαλεχθείς, τότε εἶπε· «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν». Εἰ δὲ καὶ ἀπεναντίας τοῖς ἄλλοις ἐχρήσατο τῇ γραφῇ τοῦ εὐαγγελίου, ἀλλὰ καὶ οὕτω μεγάλην πρὸς αὐτοὺς τὴν συμφωνίαν ἐπέδειξε. Καὶ πῶς ἂν ἔχοι λόγον, φησίν, ἐν τῷ ἐναντίῳ συμφωνίαν εἶναι; Οὐκ οἶσθα, ὅτι καὶ τὸ ἐσθίειν τῷ μὴ ἐσθίειν ἐναντίον ἐστί, καὶ τὸ πίνειν τῷ μὴ*

74. Ἠσ. 9, 6.
75. Ματθ. 1, 1.
76. Ἰω. 1, 1.
77. Ἰω. 1, 14.

Τὸ σκῆπτρο καὶ ἡ βασιλική σου ἐξουσία εἶναι ἐξουσία εὐθύτητας καὶ δικαιοσύνης. Ἀγάπησες τὴ δικαιοσύνη καὶ μίσησες τὴν ἀνομία. Γι' αὐτὸ σ' ἔχρισε, Θεέ μου, ὁ Θεός σου μὲ ἔλαιο ποὺ χαρίζει ἀγαλλίαση σ' ὅλους ἐκείνους ποὺ μετέχουν σ' αὐτὴ τὴ χρίση». Ἄλλος λέγει· «Ὁ θρόνος σου, Θεέ μου, εἶναι αἰώνιος» καὶ τὰ στὴ συνέχεια, ὁ δὲ Ἑβραῖος λέγει τὸ «Ὁ Θεός, ὁ Θεός σου», «Ἐλωείμ, Ἐλωάχ». Τί θὰ μποροῦσε ὁ Ἰουδαῖος νὰ πεῖ ἐδῶ; Γιὰ ποιὸν λέγονται αὐτά; Τί θὰ μποροῦσε νὰ πεῖ ὁ αἱρετικός; Διότι βέβαια, ἐὰν ἤθελε πεῖ, ὅτι λέγονται γιὰ τὸν Πατέρα τὸ «Ὁ θρόνος σου, Θεέ μου, μένει στὸν αἰῶνα τοῦ αἰῶνα», πῶς ταιριάζει σ' αὐτὸ τὸ στὴ συνέχεια «Γι' αὐτὸ σὲ ἔχρισε, Θεέ μου, ὁ Θεός σου»; Διότι ὁπωσδήποτε δὲν εἶναι ὁ Πατέρας ὁ Χριστός, οὔτε αὐτὸς ἔχει χρισθεῖ. Ἑπομένως γίνεται φανερό, ὅτι ὁ λόγος γίνεται γιὰ τὸ Μονογενῆ, γιὰ τὸν ὁποῖο ἔχουν λεχθεῖ καὶ τὰ προηγούμενα, πράγμα ποὺ καὶ ὁ προφήτης Ἠσαΐας ἔλεγε, ὅτι «Δὲν θὰ ὑπάρξει τέλος τῆς βασιλείας αὐτοῦ»[74].

8. Ἀλλ' ἴσως θὰ μποροῦσε νὰ ρωτήσει κανείς, γιατί τέλος πάντων τώρα ὁμιλεῖ γιὰ τὴ θεότητα, ἐνῶ προηγουμένως μίλησε γιὰ τὴ θεία οἰκονομία; Διότι καὶ ὁ Ματθαῖος ἔτσι κάμνει. Καθόσον ἀρχίζει ἀπὸ τὴ σάρκωση τοῦ Κυρίου καὶ ἀναφέρει στὴν ἀρχὴ τὰ ἑξῆς· «Βίβλος τῆς γενεαλογίας τοῦ Ἰησοῦ Χριστοῦ»[75]. Ὅμοια καὶ ὁ Λουκᾶς καὶ ὁ Μάρκος, ἐνῶ ὁ Ἰωάννης μόνος ὁμιλεῖ κατὰ διαφορετικὸ τρόπο. Διότι, ἀφοῦ προηγουμένως εἶπε γιὰ τὴ θεότητα, «Στὴν ἀρχὴ ὑπῆρχε ὁ Λόγος καὶ ὁ Λόγος ἦταν πρὸς τὸ Θεὸ καὶ ὁ Θεὸς ἦταν ὁ Λόγος»[76], καὶ ἀνέφερε πολλὰ ἄλλα γι' αὐτή, τότε εἶπε· «Καὶ ὁ Λόγος ἔγινε ἄνθρωπος καὶ ἔμεινε μεταξύ μας»[77]. Ἂν καὶ ἀντίθετα πρὸς τοὺς ἄλλους ἔγραψε τὸ εὐαγγέλιό του, ἀλλὰ καὶ ἔτσι παρουσίασε μεγάλη τὴ συμφωνία πρὸς αὐτούς. Καὶ πῶς θὰ μποροῦσε νὰ δικαιολογηθεῖ, λέει, ἡ ὕπαρξη συμφωνίας στὸ ἀντίθετο; Δὲν γνωρίζεις, ὅτι καὶ τὸ νὰ τρώγει κανεὶς εἶναι ἀντίθετο τοῦ

*πίνειν, τὸ δοῦναι τῷ μὴ δοῦναι; Πολλάκις δὲ καὶ ἰατρὸς πολλὰ τοιαῦτα ποιεῖ ,οὐχ ἑαυτῷ μαχόμενος, ἀλλὰ καὶ σφόδρα συμφωνῶν· πρὸς γὰρ ἓν ὁρᾷ τέλος, τοῦ κάμνοντος τὴν ὑγείαν. Τοῦτο δὴ καὶ ἐπὶ τῶν εὐαγγελιστῶν γέγονεν. Ἐπεὶ καὶ τὸ θέρος ἀπεναντίας τοῦ χειμῶνός ἐστιν, ἀλλὰ πρὸς ἓν βλέπει τέλος, τὴν τῶν καρπῶν ἀκμὴν καὶ εὐθηνίαν. Καὶ ὁ κόσμος ἅπας ἐξ ἐναντίων συνέστηκεν, ἀλλὰ πολλὴν εἰς τὴν ζωὴν τὴν ἡμετέραν ἐπιδείκνυται τὴν συμφωνίαν. Καὶ πρὸς τὸν Ἰωάννην δὲ ἀπεναντίας ὁ Χριστὸς ἦλθεν. Ὁ μὲν γὰρ ἤσθιεν, ὁ δὲ οὐκ ἤσθιεν. «Ἦλθε γὰρ Ἰωάννης», φησί, «μήτε ἐσθίων, μήτε πίνων, καὶ λέγουσι, δαιμόνιον ἔχει. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων καὶ λέγουσιν, ἰδοὺ ἄνθρωπος φάγος, καὶ οἰνοπότης». Ἀλλ' εἰ καὶ ἐναντία ἦν τὰ γινόμενα, ἀλλ' ὅμως πρὸς ἓν ἔβλεπε τέλος, τῶν μελλόντων σαγηνεύεσθαι τὴν σωτηρίαν.*

*Οὕτω δὴ καὶ ἡ τάξις αὕτη ἡ περὶ τῆς θεότητος καὶ περὶ τῆς οἰκονομίας, εἰ καὶ ἀπεναντίας τοῖς ἄλλοις γέγονε παρὰ Ἰωάννου, ἀλλ' ὅμως σφόδρα συμφώνως αὐτοῖς. Καὶ πῶς, ἐγὼ λέγω. Ὅτι παρὰ μὲν τὴν ἀρχὴν οὐδέπω τοῦ λόγου σπαρέντος, ἀκόλουθον ἦν τῷ τῆς οἰκονομίας ἐνδιατρίβειν λόγῳ, καὶ περὶ τὴν τῆς σαρκὸς γυμνάζειν διδασκαλίαν, ἀπὸ τῶν παχυτέρων καὶ αἰσθητῶν προοιμιαζομένους, ἐπειδὴ δὲ ἐπάγη τὰ τῆς γνώσεως, καὶ ἐδέξαντο τὸ κήρυγμα, λοιπὸν εὔκαιρον ἦν ἄνωθεν ἄρχεσθαι. Διὰ τοῦτο καὶ οἱ προφῆται, εἴ ποτε περὶ αὐτοῦ διαλέγονται, ἀπὸ τῆς οἰκονομίας ποιοῦνται τὴν ἀρχὴν καὶ τὰ προοίμια. Ὅρα γοῦν ὁ Μιχαίας πῶς κάτω-*

---

78. Λουκᾶ 7, 33.

νὰ μὴ τρώγει, καὶ τὸ νὰ πίνει ἀντίθετο τοῦ νὰ μὴ πίνει, καὶ τὸ νὰ δίνει τοῦ νὰ μὴ δίνει; πολλὲς φορὲς δὲ καὶ ὁ ἰατρὸς πολλὰ τέτοια κάμνει, ὄχι ἀντιμαχόμενος τὸν ἑαυτό του, ἀλλὰ βρισκόμενος σὲ πάρα πολὺ μεγάλη συμφωνία· διότι σὲ ἕνα σκοπὸ ἀποβλέπει, τὴν ὑγεία τοῦ ἀσθενῆ. Αὐτὸ λοιπὸν συνέβηκε καὶ μὲ τοὺς εὐαγγελιστές. Ἄλλωστε καὶ τὸ θέρος εἶναι ἀντίθετο πρὸς τὸ χειμώνα, ἀλλὰ πρὸς ἕνα σκοπὸ ἀποβλέπει, τὴν ὡριμότητα καὶ τὴν ἀφθονία τῶν καρπῶν. Καὶ ὁ κόσμος ὅλος ἀπὸ ἀντίθετα πράγματα συνίσταται, ἀλλὰ παρουσιάζει μεγάλη ἁρμονία στὴ ζωή μας. Καὶ ὁ Χριστὸς ἦλθε στὸν κόσμο ἐνεργώντας ἀντίθετα πρὸς τὸν Ἰωάννη. Καθόσον ὁ μὲν ἔτρωγε, ὁ δὲ δὲν ἔτρωγε· διότι λέγει· «Ἦλθε ὁ Ἰωάννης χωρὶς νὰ τρώγει καὶ χωρὶς νὰ πίνει καὶ λέγουν, ὅτι ἔχει δαιμόνιο. Ἦλθε ὁ Υἱὸς τοῦ ἀνθρώπου τρώγοντας καὶ πίνοντας καὶ λέγουν, νὰ ἕνας ἄνθρωπος φαγὰς καὶ οἰνοπότης»[78]. Ὅμως ἂν καὶ ἦταν ἀντίθετα τὰ ὅσα συνέβαιναν, ἀλλ' ὅμως πρὸς ἕνα σκοπὸ ἀπέβλεπε, στὴν προσέλκυση ἐκείνων ποὺ ἐπρόκειτο νὰ σωθοῦν.

Ἔτσι λοιπὸν καὶ ὁ τρόπος αὐτὸς τῆς διηγήσεως περὶ τῆς θεότητος καὶ περὶ τῆς θείας οἰκονομίας, ἂν καὶ στὸν Ἰωάννη εἶναι ἀντίθετος πρὸς τοὺς ἄλλους εὐαγγελιστές, ἀλλ' ὅμως βρίσκεται σὲ πλήρη συμφωνία πρὸς αὐτούς. Καὶ πῶς, θὰ σᾶς τὸ ἐξηγήσω. Στὴν ἀρχὴ δηλαδὴ ποὺ ἀκόμη δὲν εἶχε διαδοθεῖ τὸ κήρυγμα, ἑπόμενο ἦταν νὰ ἀσχολοῦνται μὲ τὰ σχετικὰ τῆς θείας οἰκονομίας καὶ νὰ περιστρέφουν τὴν διδασκαλία γύρω ἀπὸ τὴν ἐνσάρκωση τοῦ Κυρίου, μεταφέροντας πρὸς τὰ ὑψηλότερα ἀπὸ τὰ κατώτερα καὶ αἰσθητά, ὅταν ὅμως σταθεροποιήθηκαν τὰ τῆς γνώσεως καὶ δέχθηκαν τὸ κήρυγμα, εὐκαιρία πλέον ἦταν ν' ἀρχίσει ἡ περὶ τῆς θεότητας διδασκαλία. Γι' αὐτὸ καὶ οἱ προφῆτες, κάθε φορὰ ποὺ ὁμιλοῦν περὶ αὐτοῦ, ἀρχίζουν ἀπὸ τὴν θεία οἰκονομία καὶ τὰ σχετικὰ μὲ τὴν ἐνσάρκωση. Πρόσεχε λοιπὸν ὁ Μιχαίας πῶς ἀρχίζει ἀπὸ

*θεν ἔρχεται· «Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. Ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ». Καίτοι οὐχ ἡ θεότης ἦν ἀπὸ τῆς Βηθλεέμ, ἀλλ' ἡ σάρξ. Ἀλλ' οὐκ ἐναπέμενε τούτῳ μόνῳ, ἀλλὰ καὶ ἀνέβη πρὸς τὴν θεότητα, λέγων· «Καὶ ἡ ἔξοδος αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος». Καὶ ὁ Ἠσαΐας πάλιν· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός». Ὁρᾷς πῶς καὶ οὗτος ἀπὸ τῆς σαρκὸς πρὸς τὴν θεότητα ἀνέβη; Καὶ πάλιν ἀλλαχοῦ σκόπει τοῦτο αὐτὸ γινόμενον· φησὶ γάρ· «Παιδίον ἐγεννήθη ἡμῖν υἱός, καὶ ἐδόθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος». Ὁρᾷς πῶς πάλιν ἀπὸ παιδίου, καὶ τῆς κατὰ σάρκα οἰκονομίας, ὥσπερ διά τινων βαθμῶν ἀναβαίνων ἵσταται περὶ τὴν θεότητα;*

*Οὕτω καὶ ὁ Πατὴρ αὐτοῦ ἐγνωρίσθη ἀπὸ τῆς κτίσεως πρῶτον. «Τὰ γὰρ ἀόρατα αὐτοῦ», φησὶν ὁ Παῦλος «ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται». Διὰ δὴ τοῦτο καὶ αὐτὸς σχηματίζει πολλάκις ἑαυτὸν εἰς αἰσθητὴν ὄψιν, κατὰ μικρὸν ἀνάγων τὸ γένος τῶν ἀνθρώπων ἐπὶ τὰς ἀσωμάτους ἐννοίας. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν δογμάτων οὕτως ἐχρήσατο τῇ οἰκονομίᾳ, ὅπου γε καὶ ἐπὶ τῶν παραγγελμάτων καὶ ἐπὶ τῶν ἐντολῶν αὐτὸ τοῦτο ποιεῖ; Διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὕτως ἐνταῦθα κέχρηται τῷ λόγῳ, ἀπὸ τῆς σαρκὸς ἐπὶ τὴν θεότητα ἀναβαίνων (τὰ γὰρ χείλη τῆς σαρκός ἐστι), καὶ ἀπὸ τῆς θεότητος πάλιν ἐπὶ τὴν σάρκα κατελθὼν καὶ τῇ ποικιλίᾳ τοῦ λόγου πρὸς τὴν τῶν κατηχου-*

---

79. Μιχ. 5, 1.
80. Αὐτόθι
81. Ἠσ. 7, 14 καὶ Ματθ. 1, 23.
82. Ἠσ. 9, 6.
83. Ρωμ. 1, 20.

τὰ κατώτερα· «Καὶ σὺ Βηθλεὲμ γῆ τοῦ Ἰούδα, δὲν εἶσαι καθόλου ἀσήμαντη μεταξὺ τῶν ἡγεμώνων τοῦ Ἰούδα. Διότι ἀπό σένα θὰ προέλθει ἀρχηγός, ποὺ θὰ ποιμάνει τὸ λαό μου τὸν Ἰσραήλ»[79]. Ἂν καὶ βέβαια δὲν προερχόταν ἡ θεότητα ἀπό τὴ Βηθλεέμ, ἀλλ' ἡ σάρκα. Ἀλλ' ὅμως δὲν σταμάτησε μόνο σ' αὐτό, ἀλλ' ἀνέβηκε καὶ πρὸς τὴ θεότητα, λέγοντας· «Καὶ ἡ ἀρχὴ τῆς ὑπάρξεώς του φθάνει στὴν αἰωνιότητα»[80]. Καὶ ὁ Ἠσαΐας πάλι λέγει· «Νὰ ἡ παρθένος θὰ συλλάβει καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ τὸν ὀνομάσουν Ἐμμανουήλ, ποὺ μεταφραζόμενο σημαίνει, ὁ Θεὸς εἶναι μαζί μας»[81]. Βλέπεις πῶς καὶ αὐτὸς ἀπὸ τὴν σάρκα ἀνέβηκε πρὸς τὴ θεότητα; Καὶ πάλιν πρόσεχε ἀλλοῦ ὅτι γίνεται τὸ ἴδιο· διότι λέγει· «Γεννήθηκε παιδὶ καὶ μᾶς δόθηκε υἱὸς καὶ θὰ καλεῖται τὸ ὄνομα αὐτοῦ ἀγγελιαφόρος τῆς μεγάλης βουλῆς τοῦ Θεοῦ, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχοντας εἰρήνης, πατέρας τοῦ μέλλοντα αἰώνα»[82]. Βλέπεις πῶς πάλι ἀπὸ τὸ παιδὶ καὶ ἀπὸ τὴν ἔνσαρκο οἰκονομία, σὰν μὲ κάποιες βαθμίδες, ἀνεβαίνει καὶ σταματᾶ στὴ θεότητα;

Κατὰ τὸν ἴδιο τρόπο καὶ ὁ Πατέρας αὐτοῦ γνωρίσθηκε κατὰ πρῶτον ἀπὸ τοὺς ἀνθρώπους μὲ τὴν κτίση. Διότι λέγει ὁ Παῦλος «Οἱ ἀόρατες ἰδιότητες αὐτοῦ βλέπονται καθαρὰ ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος καὶ νοεῖται μέσω τῶν δημιουργημάτων»[83]. Διὰ τοῦτο λοιπὸν καὶ ὁ ἴδιος ἐμφανίζεται πολλὲς φορὲς ὑπὸ μορφὴ αἰσθητοῦ προσώπου, μεταφέροντας σιγὰ - σιγὰ τὸ ἀνθρώπινο γένος πρὸς τὶς ἀσώματες ἔννοιες. Καὶ γιατί θαυμάζεις, ἂν ὡς πρὸς τὶς δογματικὲς ἀλήθειες χρησιμοποίησε ἔτσι τὴν θεία οἰκονομία, τὴ στιγμὴ βέβαια ποὺ κάμνει τὸ ἴδιο καὶ ὡς πρὸς τὰ παραγγέλματα καὶ τὶς ἐντολές; Γι' αὐτὸ λοιπὸν καὶ ὁ προφήτης ἐδῶ ἔτσι χρησιμοποιεῖ τὸ λόγο, ἀνεβαίνοντας ἀπὸ τὴ σάρκα πρὸς τὴ θεότητα (διότι τὰ χείλη ἀνήκουν στὴ σάρκα) καὶ ἀπὸ τὴ θεότητα πάλι κατεβαίνει στὴ σάρκα καὶ χρησιμοποιεῖ τὴν ποικιλία αὐτὴ τοῦ λόγου

μένων χρώμενος σωτηρίαν. «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»· θρόνον ἐνταῦθα οὐ θρόνον ἁπλῶς λέγων, ἀλλὰ τὴν βασιλείαν. Ἐνταῦθα μὲν αἰώνιον λέγει, ἀλλαχοῦ δὲ ὑψηλόν· «Εἶδον» γάρ, φησί, «τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ». Καὶ πάλιν· «Ὅτι ὑψηλός σου ὁ θρόνος». Καὶ ἄλλος δὲ προφήτης βλέπει καθήμενον ἐπὶ θρόνου δόξης· ὁ δὲ Δαυὶδ καὶ φιλανθρωπίας τὸν θρόνον δείκνυσιν· «Ἔλεος» γάρ, φησί, «καὶ κρίσις κατόρθωσις τοῦ θρόνου αὐτοῦ».

9. Ταῦτα δὲ πάντα περὶ τῆς βασιλείας αὐτοῦ εἴρηται, ὅτι ἀτελεύτητος (τοῦτο γάρ ἐστιν, εἰς αἰῶνα αἰῶνος), ὅτι ἔνδοξος, ὅτι ὑψηλή, ὅτι κραταιὰ καὶ ἰσχυρά. Πάλιν ὅτι ἄναρχος, ὅταν λέγῃ· «Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων». Ὥσπερ οὖν ὁ θρόνος τῆς βασιλείας σύμβολον, οὕτω καὶ ἡ ῥάβδος καὶ τῆς βασιλείας, καὶ τῆς δικαστικῆς ἐξουσίας. Διό φησι· «Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου». Καθαρὸν γὰρ ἐκεῖ τὸ δίκαιον, καθαρὸν ἐκεῖ τὸ ὀρθόν, οὐδὲν ἐκεῖ ἐπισκιαζόμενον. Ἀκουέτωσαν οἱ μαινόμενοι, καὶ παραπλῆγες· μᾶλλον δὲ οἱ τούτων χείρους. Τίνες δέ εἰσιν οὗτοι; Οἱ τῇ τοῦ Θεοῦ προνοίᾳ ἐγκαλοῦντες καὶ λέγοντες· διὰ τί τὸ καὶ τὸ οὕτω γέγονε; Πῶς γὰρ οὐκ ἄτοπον τέκτονι μὲν παρακαθήμενον, καὶ διακλῶντα ξύλα, καὶ διαπρίζοντα θεώμενον, μὴ ἀπαιτεῖν λόγον, μηδὲ εὐθύνας· καὶ ἰατρὸν τέμνοντα καὶ καίοντα σάρκα, καὶ ἐν οἰκίσκῳ κατακλείοντα καὶ λιμῷ ἄγχοντα τὸν κάμνοντα, μήτε τῶν παρεστώτων τινά, μηδὲ αὐτὸν τὸν πάσχοντα περιεργάζεσθαι τὰ γινόμενα· καὶ κυβερνήτην τείνοντα σχοινίον, καὶ χαλῶντα ἱστία, καὶ πάλιν ἀνιέντα καὶ βαπτίζοντα τοῖχον νηός, μὴ πολυπραγμονεῖν, μηδὲ πα-

84. Ἡσ. 6, 1.
85. Δαν. 7, 9.
86. Ψαλμ. 96, 2.
87. Ψαλμ. 144, 13.

πρὸς σωτηρία τῶν ἀνθρώπων. «Ὁ θρόνος σου, Θεέ μου, θὰ μένει ἀσάλευτος στὸν αἰώνα»· θρόνο ἐδῶ δὲν ἐννοεῖ ἁπλῶς τὸ θρόνο, ἀλλὰ τὴν βασιλεία. Ἐδῶ μὲν τὸν ὀνομάζει αἰώνιο, ἀλλοῦ δὲ ὑψηλό· διότι λέγει· «Εἶδα τὸν Κύριο νὰ κάθεται ἐπάνω σὲ ὑψηλὸ θρόνο»[84]. Καὶ πάλι· «Διότι ὁ θρόνος σου εἶναι ὑψηλός». Καὶ ἄλλος δὲ προφήτης τὸν βλέπει νὰ κάθεται ἐπάνω σὲ θρόνο δόξας[85], ὁ δὲ Δαυΐδ τὸν παρουσιάζει καὶ σὰν θρόνο φιλανθρωπίας· διότι λέγει· «Ἡ εὐσπλαγχνία καὶ ἡ δικαιοσύνη θὰ ἀποτελοῦν τὸ στήριγμα τοῦ θρόνου του»[86].

9. Ὅλα αὐτὰ δὲ λέχθηκαν γιὰ τὴ βασιλεία του, διότι εἶναι χωρὶς τέλος (διότι αὐτὸ σημαίνει τὸ «εἰς αἰῶνα αἰῶνος»), διότι εἶναι ἔνδοξη, διότι εἶναι ὑψηλή, διότι εἶναι δυνατὴ καὶ ἰσχυρή. Ἐπίσης ὅτι εἶναι χωρὶς ἀρχή, ὅταν λέγει· «Ἡ βασιλεία σου εἶναι βασιλεία ὅλων τῶν αἰώνων»[87]. Ὅπως ἀκριβῶς λοιπὸν ὁ θρόνος εἶναι σύμβολο τῆς βασιλείας, ἔτσι καὶ ἡ ράβδος εἶναι σύμβολο καὶ τῆς βασιλείας καὶ τῆς δικαστικῆς ἐξουσίας. Γι' αὐτὸ λέγει· «Ἡ ράβδος τῆς βασιλείας σου θὰ εἶναι ράβδος δικαιοσύνης». Διότι ἐκεῖ τὸ δίκιο εἶναι καθαρό, ἐκεῖ καθαρὸ τὸ ὀρθό, τίποτε ἐκεῖ δὲν ἐπισκιάζεται. Ἂς τὰ ἀκούουν οἱ μανιακοὶ καὶ παράφρονες, μᾶλλον δὲ οἱ χειρότεροι ἀπὸ αὐτούς. Ποιοὶ δὲ εἶναι αὐτοί; Ἐκεῖνοι ποὺ κατηγοροῦν τὴν πρόνοια τοῦ Θεοῦ καὶ λέγουν· γιατί αὐτὸ καὶ αὐτὸ ἔγιναν ἔτσι; Πῶς λοιπὸν δὲν εἶναι παράλογο, ὅταν, καθισμένος κανεὶς πλησίον τοῦ ξυλουργοῦ καὶ βλέποντας αὐτὸν νὰ σπάζει καὶ νὰ πριονίζει ξύλα, δὲν ζητεῖ τὸ λόγο, οὔτε καὶ εὐθύνες, καὶ βλέποντας τὸν ἰατρὸ νὰ κόπτει καὶ νὰ καυτηριάζει τὴ σάρκα καὶ νὰ περιορίζει τὸν ἀσθενὴ σὲ δωμάτιο καὶ νὰ τὸν βασανίζει μὲ πείνα, νὰ μὴ ἀσχολεῖται μὲ τὰ ὅσα συμβαίνουν κανείς, οὔτε ἀπὸ τοὺς παραβρισκομένους ἐκεῖ, οὔτε ἀπὸ τοὺς ἀσθενεῖς, καὶ τὸν κυβερνήτη νὰ τεντώνει τὸ σχοινὶ καὶ νὰ κατεβάζει τὰ πανιὰ καὶ πάλι νὰ τὰ ἀνεβάζει καὶ νὰ βυθίζει τὶς πλευρὲς τοῦ πλοίου στὸ νερό,

*ριεργάζεσθαι καθ' ἕκαστον τῶν δημιουργῶν τούτων, ἀλλ' ἡσυχάζειν καὶ σιγᾶν, καίτοι γε πολλάκις αὐτῶν διαμαρτανόντων περὶ τὴν τέχνην· τὴν δὲ ἄφατον σοφίαν, τὴν ἄφατον φιλανθρωπίαν τὴν κηδεμονίαν τὴν ἀπέραντον ταύτην περιεργάζεσθαι καὶ πολυπραγμονεῖν; Καὶ ποίας ταῦτα οὐ μανίας; Καὶ βοηθῆσαι μέν, καὶ προέσθαι χρήματα ὑπὲρ ἀδικουμένων, καὶ πενομένων, οὐκ ἂν ῥαδίως ἕλοιντο, ἐξετάζουσι δὲ δι' ὅλου, διὰ τί ὁ δεῖνα πένης, διὰ τί ὁ δεῖνα πτωχός, διὰ τί ὁ δεῖνα πλούσιος.*

*Πονηρὲ δοῦλε καὶ ἀνόητε, οὐ κύπτεις κάτω, οὐδὲ καταγινώσκεις σαυτοῦ, οὐδὲ ἐπιτίθης χαλινὸν τῇ γλώσσῃ, οὐδὲ καταστέλλεις τὴν διάνοιαν, οὐδὲ ἀφεὶς τὸ ταῦτα πολυπραγμονεῖν, τὴν περιεργίαν ταύτην ἐπὶ τὸν βίον στρέφεις τὸν σόν; Διάκυψον εἰς τὰ πεπραγμένα σοι, εἰς τὸ πέλαγος τῶν ἁμαρτημάτων, καὶ εἰ περίεργος εἶ καὶ πολυπράγμων, ἀπαίτησον ἑαυτὸν εὐθύνας τῶν ῥημάτων, τῶν πραγμάτων, ὧν κακῶς εἶπες, ὧν κακῶς ἐποίησας· νῦν δὲ σαυτὸν μὲν ἀνεξέταστον ἀφείς, καίτοι γε τῆς ῥᾳθυμίας ταύτης κόλασιν φερούσης, τῆς δὲ πολυπραγμοσύνης σωτηρίαν, τῷ Θεῷ κάθῃ δικάζων, καὶ προστιθείς σου τοῖς ἁμαρτήμασιν. Οὐκ ἀκούεις τοῦ προφήτου πρὸς αὐτὸν λέγοντος, «Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου»; Καὶ ἑτέρου πάλιν· «Τὸ κρίμα αὐτοῦ ὡς φῶς ἐξελεύσεται». Εἰ δὲ οὐκ οἶσθα ἀκριβῶς πάντα τὰ τοῦ Δεσπότου σου, καὶ διὰ τοῦτο αὐτὸν δόξασον, διὰ τοῦτο μάλιστα αὐτὸν προσκύνησον, διὰ τὸ ἄφατον αὐτοῦ τῆς μεγαλωσύ-*

---

**88. Ὠσηὲ 6, 5.**

νὰ μὴ πολυπραγμονεῖ καὶ νὰ μὴ περιεργάζεται τὸν καθένα ἀπὸ τοὺς τεχνίτες αὐτούς, ἀλλὰ νὰ ἡσυχάζει καὶ νὰ σιωπᾶ, ἂν καὶ βέβαια πολλές φορές αὐτοὶ κάμνουν σφάλματα γύρω ἀπὸ τὴν τέχνη τους, ἐνῶ τὴν ἀπεγίγραπτη σοφία, τὴν ἀνεκδιήγητη φιλανθρωπία καὶ τὴν ἀπέραντη αὐτὴ φροντίδα τοῦ Θεοῦ νὰ περιεργάζεται καὶ νὰ ἀσχολεῖται λεπτομερειακὰ μὲ αὐτή; Καὶ ποιᾶς μανίας δὲν εἶναι αὐτὰ γνωρίσματα; Καὶ τὸ νὰ βοηθήσουν μὲν καὶ νὰ δώσουν χρήματα ὑπὲρ τῶν ἀδικουμένων καὶ πεινασμένων δὲν θὰ μποροῦσαν νά τὸ ἀποφασίσουν καὶ νὰ τὸ κάμουν εὔκολα, ἀλλ' ὅμως ἐξετάζουν μὲ λεπτομέρεια, γιατὶ ὁ τάδε δὲν ἔχει νὰ φάγει, γιατὶ ὁ τάδε εἶναι φτωχός, καὶ γιατὶ ὁ τάδε εἶναι πλούσιος.

Πονηρὲ δοῦλε καὶ ἀνόητε, δὲν σκύβεις τὸ κεφάλι σου κάτω, δὲν κατακρίνεις τὸν ἑαυτό σου, δὲν βάζεις χαλινάρι στὴ γλώσσα σου, δὲν ταπεινώνεις τὴ διάνοιά σου, δὲν ἀφήνεις κατὰ μέρος αὐτὴ τὴ λεπτομερειακὴ ἐξέταση αὐτῶν τῶν πραγμάτων, καὶ νὰ στρέψεις τὴν περιέργεια αὐτὴ στὸν τρόπο ζωῆς σου; Ρίξε τὸ βλέμμα σου στὶς πράξεις σου, στό πέλαγος τῶν ἁμαρτημάτων σου, καὶ ἐὰν εἶσαι περίεργος καὶ πολυπράγμονας, ζήτησε εὐθύνες ἀπὸ τὸν ἑαυτό σου γιὰ τὰ λόγια σου, γιὰ τὰ ἔργα σου, γιὰ ἐκεῖνα πού εἶπες κακῶς καὶ γιὰ ἐκεῖνα πού ἔπραξες κακῶς· τώρα ὅμως τόν μὲν ἑαυτό σου τόν ἀφήνεις ἀνεξέταστο, ἂν καὶ βέβαια ἡ ἀδιαφορία σου αὐτὴ ἐπιφέρει τιμωρία, ἡ δὲ λεπτομερειακὴ ἐξέταση τοῦ ἑαυτοῦ σου ὁδηγεῖ στὴ σωτηρία, καὶ κάθεσαι καὶ δικάζεις τὸ Θεὸ καὶ προσθέτεις στ' ἁμαρτήματά σου καὶ ἄλλα; Δὲν ἀκούεις τὸν προφήτη πού λέγει πρὸς αὐτόν «Ἡ ράβδος τῆς βασιλείας σου εἶναι ράβδος δικαιοσύνης»; Καὶ ἀλλοῦ πάλι πού λέγει· «Ἡ δίκαια κρίση αὐτοῦ θὰ ἔλθει σὰν φῶς»[**]. Ἀλλ' ἐὰν δὲν γνωρίζεις ἀκριβῶς τὰ ὅσα ἔχουν σχέση μὲ τὸν Κύριό σου, καὶ γι' αὐτὸ δόξασέ τον, γι' αὐτὸ πρὸ πάντων προσκύνησέ τον, γιὰ τὴν ἀπερίγραπτη μεγαλωσύνη του, γιὰ τὸ ἀκα-

νης, διὰ τὸ ἀκατάληπτον αὐτοῦ τῆς προνοίας, διὰ τὸ ποικίλον αὐτοῦ καὶ σοφὸν τῆς κηδεμονίας.

«Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν». Ἐπειδὴ γὰρ εἶπεν ἄνω τὰ κατορθώματα, τὰς νίκας, τὰ τρόπαια, τῆς οἰκουμένης τὴν σωτηρίαν, ὅτι ἀληθείας αὐτὴν ἐνέπλησεν, ὅτι πραότητος, ὅτι δικαιοσύνης, δεικνὺς ὅτι οὐδὲν ἀπεικὸς ταῦτα γενέσθαι, διαλέγεται λοιπὸν περὶ τοῦ ἀξιώματος τοῦ κατωρθωκότος, ὅτι Θεός, ὅτι βασιλεύς, ὅτι ἀτελεύτητος, ὅτι δικαστὴς ἀδέκαστος, ὅτι τῶν δικαίων ἐραστής, ὅτι μισοπόνηρος. Ἐπειδὴ τοιοῦτός ἐστιν, φησί, διὰ τοῦτο τοιαῦτα αὐτῷ κατώρθωται. Μηδεὶς τοίνυν ἀπιστείτω, φησίν. Ὁ γὰρ κατορθώσας τοσαῦτα, καὶ δυνάμενος καὶ βουλόμενος ταῦτα κατώρθωσε.

Τὰ τῆς θεότητος ὑψηλὰ γοῦν αὐτοῦ εἰπών, πάλιν ἐπὶ τὴν σάρκα κατάγει τὸν λόγον, καί φησι· «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου». Ἄλλος φησίν, «Ἐπὶ τούτῳ ἤλειψέ σε. Ἐπὶ τῷ κατορθῶσαι τὰ εἰρημένα, φησίν, ἀνομίαν ἐκβαλεῖν, δικαιοσύνην φυτεῦσαι, ποιῆσαι ἅπερ ἐποίησας. Σὺ δὲ μὴ θορυβηθῇς ἀκούων, ὅτι ταῦτα τῷ Πατρὶ λογίζεται. Οὐ γὰρ αὐτὸν ἀποστερῶν τῶν κατορθωμάτων ταῦτά φησιν, ἀλλὰ τὰ τοῦ Παιδὸς τῷ Πατρὶ ἀνατιθείς, ὥσπερ καὶ τὰ τοῦ Πατρὸς αὐτοῦ φησιν εἶναι· «Πάντα γὰρ τὰ ἐμὰ σά ἐστιν, καὶ τὰ σὰ ἐμά». Ἐπεὶ καὶ περὶ τῆς ἀναστάσεως ὁ μὲν Παῦλος διαλεγόμενος λέγει, ὅτι «Ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν», ὁ δὲ Ἰωάννης φησί· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν». Τί δέ ἐστιν, «Ἔλαιον ἀγαλλιάσεως»; Καὶ μὴν ἐλαίῳ ὁ Χριστὸς οὐδαμοῦ ἐχρίσθη, ἀλλὰ Πνεύματι ἁγίῳ. Διὰ τοῦτο προσέθηκε, «Παρὰ τοὺς μετόχους σου· τοῦτο

---

89. Ἰω. 17, 10.
90. Α΄ Κορ. 6, 14.
91. Ἰω. 2, 19.

τάληπτο τῆς πρόνοιάς του, γιὰ τὴν ποικιλόμορφη καὶ γεμάτη ἀπὸ σοφία κηδεμονία του.

«Ἀγάπησες τὴν δικαιοσύνη καὶ μίσησες τὴν ἀνομία». Ἐπειδὴ δηλαδὴ ἀνέφερε προηγουμένως τὰ κατορθώματα, τὶς νίκες, τὰ τρόπαια, τὴ σωτηρία τῆς οἰκουμένης, ὅτι τὴν γέμισε αὐτὴ ἀπὸ ἀλήθεια, ἀπὸ πραότητα, ἀπὸ δικαιοσύνη, γιὰ νὰ δείξει, ὅτι τίποτε ἀπὸ αὐτὰ δὲν ἔγινε παράλογα, ὁμιλεῖ πλέον γιὰ τὸ ἀξίωμα ἐκεῖνο ποὺ κατόρθωσε αὐτή, ὅτι δηλαδὴ εἶναι Θεός, ὅτι εἶναι βασιλεύς, ὅτι εἶναι αἰώνιος, ὅτι εἶναι δικαστὴς ἀπροσοπώληπτος, ὅτι ἀγαπᾶ τούς δικαίους καὶ ὅτι μισεῖ τοὺς πονηρούς. Ἐπειδή, λέγει, τέτοιος εἶναι, γι᾽ αὐτό πέτυχε τέτοια κατορθώματα. Κανεὶς λοιπόν, λέγει, ἄς μὴ ἀπιστεῖ. Διότι ἐκεῖνος ποὺ κατόρθωσε τέτοια κατορθώματα, τὰ κατόρθωσε καὶ ἐπειδὴ μποροῦσε καὶ ἐπειδὴ ἤθελε.

Ἀφοῦ λοιπὸν μίλησε γιὰ τὰ ὑψηλὰ τῆς θεότητάς του, πάλι μεταφέρει τὸ λόγο στὴ σάρκα καὶ λέγει· «Γι᾽ αὐτὸ σὲ ἔχρισε, Θεὲ μου, ὁ Θεός σου». Ἄλλος λέγει, «Γιὰ τὸ σκοπὸ αὐτό σὲ ἄλειψε». Γιὰ νὰ κατορθώσεις, λέγει, τὰ ὅσα ἀναφέρθηκαν, γιὰ νὰ ἐξαλείψεις τὴν ἀνομία, νὰ φυτέψεις δικαιοσύνη, νὰ κάνεις ἐκεῖνα ποὺ ἔκανες. Σὺ ὅμως μὴ θορυβηθεῖς ἀκούοντας ὅτι αὐτὰ ἀναφέρονται στὸν Πατέρα. Διότι δὲν τὰ λέγει αὐτὰ ἀποστερώντας αὐτὸν ἀπὸ τὰ κατορθώματα, ἀλλ᾽ ἀποδίδοντας στὸν Πατέρα τὰ τοῦ Υἱοῦ, ὅπως ἀκριβῶς λέγει ὅτι καὶ τὰ τοῦ Πατέρα εἶναι δικά του. «Ὅλα τὰ δικά μου εἶναι δικά σου καὶ τὰ δικά σου εἶναι δικά μου». Καθόσον καὶ γιὰ τὴν ἀνάσταση, ὁ μὲν Παῦλος μιλώντας γι᾽ αὐτὴ λέγει, ὅτι «ὁ Θεὸς ἀνέστησε αὐτὸν ἀπὸ τούς νεκρούς»[90], ὁ δέ Ἰωάννης λέγει· «Γκρεμίστε αὐτό τὸ ναὸ καὶ σέ τρεῖς ἡμέρες θὰ τὸν ἀνοικοδομήσω»[91]. Τί σημαίνει δέ, «ἔλαιον ἀγαλλιάσεως»; Καὶ βέβαια ὁ Χριστὸς πουθενὰ δὲν χρίσθηκε μὲ ἔλαιο, ἀλλὰ μὲ ἅγιο Πνεῦμα. Γι᾽ αὐτό πρόσθεσε· «Πολὺ περισσότερο ἀπὸ ἐκείνους ποὺ μετέχουν σ᾽ αὐτὴ τὴ χρίση», γιὰ νὰ δηλώσει

*αὐτὸ δηλῶν, ὅτι οὐδεὶς οὕτως ὡς αὐτός. Πολλοὶ μὲν γὰρ πρὸ αὐτοῦ χριστοί, οὕτως δὲ οὐδὲ εἷς· ὥσπερ πολλοὶ ἀμνοί, αὐτὸς δὲ ἐξαίρετος, οὕτω πολλοὶ υἱοί, αὐτὸς δὲ ὁ Μονογενής. Πάντα γὰρ τὰ αὐτοῦ ἐξαίρετα, οὐ τὰ τῆς θεότητος μόνον, ἀλλὰ καὶ τὰ τῆς οἰκονομίας· Πνεύματι γὰρ οὐδεὶς ἐχρίσθη τοιούτῳ. Εἰ δὲ «ἔλαιον» αὐτὸ καλεῖ, μὴ θαυμάσῃς· προφήτης γὰρ ὤν, αἰνιγματωδέστερον διαλέγεται. Καὶ καλῶς εἶπεν, «Ἀγαλλιάσεως», ἵνα δείξῃ, ὅτι εὐφροσύνης. «Ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἀγάπη, χαρά, εἰρήνη». Ἄλλος δέ, «Ἐλαίῳ ἀγλαϊσμοῦ», εἶπεν. Ὁ δὲ Ἑβραῖος, «Σασών», τουτέστι, καλλωπισμοῦ, δόξης, κόσμου. Εἰ δὲ καὶ εὐφροσύνης, καὶ τοῦτο ἀληθές. Ὥσπερ οὖν ῥομφαίαν ἀκούσας, οὐ ῥομφαίαν νοεῖς, καὶ βέλη καὶ τόξα, οὐ τόξα καὶ βέλη, ἀλλὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν τὰ τοιαῦτα κατορθώσασαν, ἅπερ προεῖπον, οὕτω καὶ ἔλαιον ἀκούσας, μὴ ἁπλῶς ἔλαιον νόμιζε, ἀλλὰ τὴν χρῖσιν νόει. Καὶ γὰρ τὸ ἔλαιον σύμβολον τοῦ Πνεύματος ἦν, καὶ τὸ προηγούμενον καὶ ἀναγκαῖον τὸ Πνεῦμα ἦν.*

*Τούτου τοίνυν τοιούτου ὄντος μηδὲν ἀμφίβαλλε Χριστὸν αὐτὸν καλεῖν, ἐπεὶ καὶ ὁ Ἀβραὰμ χριστὸς ἐκαλεῖτο, καὶ οἱ προφῆται, ἀλλ' οὐ πάντες ἐλαίῳ ἐχρίσθησαν· ὥσπερ ὅταν λέγῃ· «Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε». Πότε δὲ ἐχρίσθη ὁ Χριστός; Ὅτε ὡς ἐν εἴδει περιστερᾶς τὸ Πνεῦμα ἦλθεν ἐπ' αὐτόν. Μετόχους δὲ ἐνταῦθα πάντας καλεῖ τοὺς πνευματικούς, καθάπερ Ἰωάννης φησίν· «Ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν»· περὶ δὲ αὐτοῦ, «Οὐκ ἐκ μέτρου δίδωσι τὸ Πνεῦμα ὁ Θεός». Καὶ πάλιν, «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα». Ἐκεῖ δὲ οὐκ ἀπὸ τοῦ Πνεύματος, ἀλλ' ὁ-*

---

92. Ἰω. 1, 29.
93. Γαλ. 5, 22.
94. Ψαλμ. 104, 15.
95. Ματθ. 3, 16.
96. Ἰω. 1, 16.
97. Ἰω. 3, 34.
98. Ἰωὴλ 3, 2.

ἀκριβῶς αὐτό, ὅτι κανεὶς δὲν χρίσθηκε ἔτσι, ὅπως αὐτός. Πολλοὶ βέβαια πρὶν ἀπ' αὐτὸν χρίσθηκαν, οὔτε ἕνας ὅμως ἔτσι· ὅπως ἀκριβῶς ὑπάρχουν πολλοὶ ἀμνοί, αὐτὸς ὅμως εἶναι ὁ ξεχωριστός[92], ἔτσι ὑπάρχουν πολλοὶ υἱοί, αὐτὸς ὅμως εἶναι ὁ Μονογενής. Διότι ὅλα τὰ δικά του εἶναι ξεχωριστά, ὄχι μόνο τὰ τῆς θεότητας, ἀλλὰ καὶ τὰ τῆς οἰκονομίας· διότι κανεὶς δὲν χρίσθηκε μὲ τέτοιο Πνεῦμα. Ἂν δὲ ὀνομάζει αὐτὸ «ἔλαιο», μὴ θαυμάσεις· διότι, σὰν προφήτης ποὺ εἶναι, ὁμιλεῖ πιὸ αἰνιγματικά. Καὶ καλῶς τὸ ὀνόμασε, «ἀγαλλιάσεως», γιὰ νὰ δείξει, ὅτι χαρίζει εὐφροσύνη. «Διότι ὁ καρπὸς τοῦ Πνεύματος εἶναι ἀγάπη, χαρά, εἰρήνη»[93]. Ἄλλος δὲ εἶπε, «μὲ ἔλαιο καλλωπισμοῦ». Ὁ δὲ ἑβραῖος λέγει «Σασών», δηλαδὴ καλλωπισμοῦ, δόξας, στολισμοῦ. Ἂν δὲ τὸ ὀνομάσεις καὶ εὐφροσύνης, καὶ αὐτὸ εἶναι ἀληθές. Ὅπως ἀκριβῶς δηλαδὴ ἀκούοντας ρομφαία, δὲν ἐννοεῖς τόξα καὶ βέλη, ἀλλὰ τὴν ἐνέργεια αὐτοῦ ποὺ κατόρθωσε αὐτά, ποὺ προανέφερα, ἔτσι ἀκούοντας καὶ ἔλαιο, μὴ νομίζεις ἁπλῶς ἔλαιο, ἀλλὰ νὰ ἐννοεῖς τὴ χρίση. Καθόσον τὸ ἔλαιον ἦταν σύμβολο τοῦ Πνεύματος, καὶ συνεπῶς τὸ σπουδαιότερο καὶ τὸ ἀναγκαῖο ἦταν τὸ Πνεῦμα.

Ἀφοῦ λοιπὸν τὸ ἔλαιο εἶναι σύμβολο τοῦ Πνεύματος, μὴ ἀμφιβάλλεις καθόλου νὰ ὀνομάζεις αὐτὸν Χριστό, καθόσον καὶ ὁ Ἀβραὰμ ὀνομαζόταν Χριστός, καθὼς καὶ οἱ προφῆτες, ἀλλὰ δὲν χρίσθηκαν ὅλοι μὲ ἔλαιο· ὅπως ἀκριβῶς ὅταν λέγει· «Μὴ ἐγγίζετε τοὺς χριστούς μου καὶ μὴ σκέπτεσθε κακὰ γιὰ τοὺς προφῆτες μου»[94]. Πότε δὲ χρίσθηκε ὁ Χριστός; Ὅταν κατέβηκε σ' αὐτὸν ὑπὸ μορφὴ περιστερᾶς τὸ Πνεῦμα[95]. Μετόχους δὲ ἐδῶ ὀνομάζει ὅλους τοὺς πνευματικούς, ὅπως ἀκριβῶς λέγει ὁ Ἰωάννης. «Ὅλοι ἐμεῖς λάβαμε ἀπὸ τὸ πλήρωμα αὐτοῦ»[96], ἐνῶ γι' αὐτὸν λέγει· «Δὲν δίνει ὁ Θεὸς τὸ Πνεῦμα μὲ μέτρο»[97]. Καὶ πάλι, «Θ' ἀφήσω νὰ χυθεῖ χάρη ἀπὸ τὸ Πνεῦμα μου σὲ κάθε ἄνθρωπο»[98]. Στὸ Χριστὸ ὅμως δὲν κατέβηκε μόνο

λόκληρον τὸ Πνεῦμα ἦλθε· διὸ καὶ ἔφησεν· «Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα».

10. «Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου». Ἄλλος, «Εἰς τὸν ἱματισμόν σου». Ἄλλος, «Πάντα τὰ ἱμάτιά σου». Τίνες μὲν οὖν φασι, τὸν τάφον αἰνίττεσθαι διὰ τούτων τὸν προφήτην, ἄλλοι δέ, τὸ ἐνηλλαγμένον τῆς χρίσεως δηλοῦν. Οὐ γὰρ ἐκ τούτων τῶν μύρων τὸ χρῖσμα συνέκειτο τὸ παλαιόν, ἀλλ' ἐξ ἑτέρων. Καὶ ἵνα μάθῃς, ὅτι ἕτερος χρίσεως τρόπος οὗτός ἐστι, τῇ διαφορᾷ τῶν ὑλῶν τὴν διαφορὰν τῆς ἐνεργείας ἐδήλωσε. Τὸ δέ, «Ἀπὸ τῶν ἱματίων σου», δείκνυσιν, ὅτι καὶ τὰ ἱμάτια αὐτοῦ τῆς χάριτος ἔγεμεν. Οὕτω γοῦν ἡ αἱμόρρους τοὺς τῶν αἱμάτων ἔπηξε κρουνούς, τοῦ κρασπέδου ἁψαμένη. Εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνο ἐκληπτέον, οὐδεὶς κωλύει λόγος· ἀμφότερα γὰρ ἐμοὶ ἀποδεκτά. Ὥσπερ οὖν (οὐδὲν γὰρ κωλύει πάλιν τὰ αὐτὰ λέγειν) τόξον καὶ ῥομφαίαν ἀκούων, καὶ ὅσα τοιαῦτα, οὐκ αἰσθητῶς ἀκούεις, οὕτω μηδὲ σμύρναν, μηδὲ κασσίαν ἀκούσας, αἰσθητῶς νοήσῃς, ἀλλὰ νοερῶς. «Ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου». Ἄλλος φησίν, «Ἀπὸ ναῶν ἐλεφαντίνων, ὅθεν εὔφρανάν σε, ἐν τῷ τιμᾶν σε». Ἄλλος, «Ἐν τοῖς ἐνδόξοις σου». Εἰπὼν ἃ κατώρθωσε, λέγει καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων αὐτοῦ ἀκολουθήσασαν τιμήν· ὅτι ἐν ναοῖς μέλλει προσκυνεῖσθαι πολυτίμοις. Τὸ γὰρ παλαιὸν αὕτη μάλιστα ἡ ὕλη τιμία, καὶ περισπούδαστος ἦν ἡ ἀπὸ τῶν ἐλεφαντίνων. Διὸ καὶ ἄλλος προφήτης ἔλεγεν· «Οὐαὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων». Καὶ δείκνυσι πάλιν ὅτι τὸ κήρυγμα οὐκ ἰδιωτῶν ἅψεται μόνον,

99. Ἰω. 3, 34.
100. Ματθ. 9, 20.
101. Ἀμὼς 6. 4.

μέρος ἀπὸ τὸ Πνεῦμα, ἀλλ' ὁλόκληρο τὸ Πνεῦμα ἦλθε· γι' αὐτὸ καὶ εἶπε· «Δὲν δίνει ὁ Θεὸς τὸ Πνεῦμα μὲ μέτρο»[99].

10. «Ἄρωμα ἀπὸ σμύρνα καὶ σταχτόνερο καὶ κασσία ἐκπέμπεται ἀπὸ τὰ ἐνδύματά σου». Ἄλλος, «Στὰ ἐνδύματά σου». Ἄλλος, «Ὅλα τὰ ἐνδύματά σου». Μερικοὶ βέβαια ἰσχυρίζονται, ὅτι ὑπονοεῖ ὁ προφήτης μὲ αὐτὰ τὸν τάφο, ἄλλοι δὲ λέγουν, ὅτι φανερώνει τὴ διαφορὰ τῆς χρίσεως. Διότι τὸ χρίσμα τὸ παλαιὸ δὲν ἀποτελοῦνταν ἀπὸ αὐτὰ τὰ μύρα, ἀλλ' ἀπὸ ἄλλα. Καὶ διὰ νὰ μάθεις, ὅτι αὐτὸς εἶναι διαφορετικὸς τρόπος χρίσεως, μὲ τὴ διαφορὰ τῶν ὑλικῶν δήλωσε τὴ διαφορὰ τῆς ἐνέργειας. Τὸ δέ, «Ἀπὸ τὰ ἐνδύματά σου», δείχνει, ὅτι καὶ τὰ ἐνδύματα αὐτοῦ ἦταν γεμάτα ἀπὸ τὴ χάρη. Πράγματι ἔτσι ἀποξηράνθηκε τὸ αἷμα τῆς αἱμορροούσας, ποὺ ἔτρεχε σὰν βρύση, μόλις ἄγγισε τὸ ἄκρο τοῦ ἐνδύματος τοῦ Κυρίου[100]. Τίποτε δὲν μᾶς ἐμποδίζει νὰ δεχθοῦμε εἴτε τὴ μιά, εἴτε τὴν ἄλλη· διότι ἐγὼ τὶς ἀποδέχομαι καὶ τὶς δυό. Ὅπως ἀκριβῶς λοιπὸν (διότι τίποτε δὲν ἐμποδίζει νὰ ἐπαναλαμβάνω τὰ ἴδια) ἀκούοντας τόξο καὶ ρομφαία καὶ ὅλα τὰ παρόμοια, δὲν τὰ ἐννοεῖς σὰν αἰσθητὰ πράγματα, ἔτσι ἀκούοντας τώρα σμύρνα καὶ κασσία, μὴ τὰ ἐννοήσεις μὲ αἰσθητὴ ἔννοια, ἀλλὰ μὲ πνευματική. «Προερχόμενα ἀπὸ πύργους ἐλεφαντίνους, μὲ τὰ ὁποῖα σὲ γέμισαν ἀπὸ εὐφροσύνη θυγατέρες βασιλέων ποὺ ἀποτελοῦν τὴν τιμητικὴ συνοδεία σου». Ἄλλος λέγει, «Ἀπὸ ναοὺς ἐλεφαντίνους, ἀπὸ ὅπου σὲ γέμισαν ἀπὸ εὐφροσύνη μὲ τὸ νὰ σὲ τιμοῦν». Ἄλλος, «Στὰ ἔνδοξά σου». Ἀφοῦ ἀνέφερε ἐκεῖνα ποὺ κατόρθωσε, λέγει, καὶ τὴν τιμὴ ποὺ ἀκολούθησε ἀπὸ τὰ κατορθώματά του· καθόσον πρόκειται νὰ προσκυνεῖται σὲ ναοὺς πολυτίμους. Διότι τὴν παλιὰ ἐποχὴ αὐτὴ ἡ ὕλη ἦταν ἡ κατ' ἐξοχὴ πολύτιμη καὶ περιζήτητη, ποὺ προερχόταν ἀπὸ ἐλεφαντόδοντο. Γι' αὐτὸ καὶ ἄλλος προφήτης ἔλεγε· «Ἀλλοίμονο σ' ἐκείνους ποὺ κοιμοῦνται σὲ ἐλεφάντινα κρεββάτια»[101]. Καὶ δείχνει πάλι, ὅτι τὸ κήρυγμα δὲν θὰ προσελκύσει μόνο

ἀλλὰ καὶ βασιλείας ὑποτάξει, καὶ ἀναστήσουσιν αὐτῷ οἴκους πολυτίμους. Ταῦτα ἤδη ὁρᾶται ἐπὶ τῶν πραγμάτων γινόμενα.

Βουλόμενος γὰρ ὁ προφήτης δεῖξαι τοῦ κηρύγματος τὴν ἰσχύν, λέγει πῶς εἷλε, πῶς ἐχειρώσατο γυναῖκας, ἄνδρας, ἰδιώτας, πλουσίους, αὐτοὺς τοὺς τὰ διαδήματα περικειμένους, καὶ τὰς συνοικούσας αὐτοῖς, ὡς πανταχοῦ ναοὺς ἐγείρειν τῷ Θεῷ. Εἶτα ἐπειδὴ λοιπὸν εἰς τοῦτον ἐξέβη τὸν λόγον, πλατύτερον αὐτὸν ὑφαίνει, τοὺς θεραπευτὰς αὐτοῦ καὶ ἱκέτας ὑπογράφων. Καὶ πῶς λαοὶ ὑπέπεσον δεικνύς, πῶς τῆς καρδίας αὐτῶν ἥψατο, πῶς τῶν ἐχθρῶν περιεγένετο, πῶς ἡ δεξιὰ αὐτοῦ κατευώδωσεν αὐτῷ, πῶς ἀλήθειαν καὶ πραότητα καὶ δικαιοσύνην κατεφύτευσε· καὶ πάλιν μεταφορικῶς κέχρηται τῷ λόγῳ, ὥσπερ ἐν εἰκόνι τὴν Ἐκκλησίαν ὑπογράφων, καὶ ἅπερ μετὰ ταῦτα οἱ ἀπόστολοι εἰρήκασιν, ὁ μὲν λέγων «Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ», ὁ δέ, «Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν», ὁ δέ, «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμον τῷ υἱῷ αὐτοῦ», ταῦτα καὶ οὗτος προαναφωνεῖ, τὴν νύμφην εἰσάγων ὁμοῦ καὶ βασιλίδα· διό φησι, «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου». Ἄλλος, «Ἐστηλώθη», τουτέστι, βεβαίως ἔστη, ἀκινήτως ἔστη, ὅπερ ὁ Χριστὸς ἀλλαχοῦ φησιν, ὅτι «Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς».

Εἶδες τιμῆς ὑπερβολήν; εἶδες ὄγκον ἀξιώματος; τὴν πεπατημένην, τὴν κάτω συρομένην εἰς ὅσον ὕψος ἀνήγαγεν, ὥστε αὐτῷ παρεστάναι; ἔγνως, ἡ αἰχμάλωτος, ἡ ἀπηλλοτριωμένη, ἡ πόρνη, ἡ ἐναγής, εἰς ὅσον ἀνέβη ἀξίωμα; Μετὰ τῶν λειτουργικῶν παρέστηκε δυνάμεων. Ὁ μὲν γὰρ Υἱός, ἅτε

---

102. Β΄ Κορ. 11, 2
103. Ἰω. 3, 29.
104. Ματθ. 22, 2.
105. Ματθ. 16, 18.

ἀπλοϊκοὺς ἀνθρώπους, ἀλλὰ θὰ ὑποτάξει καὶ βασιλεῖες καὶ θὰ ἀνοικοδομήσουν γι' αὐτὸ οἴκους πολυτίμους. Αὐτὰ ἤδη τὰ βλέπετε νὰ γίνονται πραγματικότητα.

Θέλοντας λοιπὸν ὁ προφήτης νὰ δείξει τοῦ κηρύγματος τὴ δύναμη λέγει πῶς κατέκτησε, πῶς ὑπέταξε γυναῖκες, ἄνδρες, ἀπλοϊκοὺς ἀνθρώπους, πλουσίους, αὐτοὺς ποὺ φοροῦν τὰ βασιλικὰ στέμματα, καὶ αὐτὲς ποὺ συνοικοῦν μαζί τους, ὥστε παντοῦ νὰ ἀνεγείρουν ναοὺς στὸ Θεό. Ἔπειτα, ἐπειδὴ πλέον ἔφθασε σ' αὐτὸ τὸ θέμα, τὸ ἀναπτύσσει πλατύτερα, περιγράφοντας αὐτοὺς ποὺ τὸν λατρεύουν καὶ τὸν ἰκετεύουν. Καὶ δείχνει πῶς λαοὶ ὑποτάγηκαν σ' αὐτόν, πῶς συγκίνησε τὴν καρδιὰ αὐτῶν, πῶς ὑπερίσχυσε τῶν ἐχθρῶν του, πῶς ἡ δεξιὰ αὐτοῦ τὸν κατευόδωνε, πῶς φύτεψε στὸν κόσμο ἀλήθεια, πραότητα καὶ δικαιοσύνη· καὶ πάλι ὁμιλεῖ μεταφορικά, περιγράφοντας τὴν ἐκκλησία σὰν εἰκόνα καὶ ἐκεῖνα ποὺ ἀργότερα εἶπαν οἱ ἀπόστολοι, λέγοντας ὁ μὲν ἕνας, «Σᾶς ἀρραβώνιασα μὲ ἕνα ἄνδρα, γιὰ νὰ σᾶς παρουσιάσω στὸ Χριστὸ σὰν παρθένα ἁγνή»[102], ὁ ἄλλος, «Ἐκεῖνος ποὺ ἔχει τὴ νύμφη, εἶναι νυμφίος»[103], ὁ δὲ ἄλλος, «Ἡ βασιλεία τῶν οὐρανῶν μοιάζει μὲ βασιλιά, ποὺ ἔκαμε γάμο στὸν υἱό του»[104], αὐτὰ καὶ αὐτὸς προλέγει, μιλώντας γιὰ τὴ νύμφη ποὺ εἶναι συγχρόνως καὶ βασίλισσα· γι' αὐτὸ λέγει, «παραστάθηκε ἡ βασίλισσα στὰ δεξιά σου». Ἄλλος λέγει, «στηλώθηκε», δηλαδὴ στάθηκε ἀκλόνητη, στάθηκε ἀμετακίνητη, πράγμα ποὺ ὁ Χριστὸς λέγει σὲ ἄλλη περίπτωση, ὅτι «Πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς»[105].

Εἶδες ὑπερβολικὴ τιμή; εἶδες μέγεθος ἀξιώματος; τὴν περιφρονημένη, αὐτὴ ποὺ συρόταν κάτω, σὲ ποιὸ ὕψος τὴν ἀνέβασε, ὥστε νὰ στέκεται δίπλα του; Σκέφθηκες σὲ ποιὸ ἀξίωμα ἀνέβηκε ἡ αἰχμάλωτη, ἡ ἀποξενωμένη, ἡ πόρνη, ἡ ἁμαρτωλή; Στάθηκε πλησίον του μαζὶ μὲ τὶς λειτουργικὲς δυνάμεις. Διότι ὁ μὲν Υἱός, ἐπειδὴ εἶναι ἰσότιμος μὲ τὸν Πατέρα, κάθεται στὰ δεξιά, ἐνῶ αὐτὴ στέκε-

*ὁμότιμος ὤν, ἐκ δεξιῶν κάθηται, αὕτη δὲ ἕστηκεν. Εἰ γὰρ καὶ βασίλισσά ἐστιν, ἀλλὰ κτιστῆς οὐσίας ἐστί. Πῶς οὖν ὁ Παῦλός φησι, «Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ»; Ἀλλὰ πρόσεχε τῇ ἀκριβείᾳ. Οὐχ ἁπλῶς εἶπε, «Συνήγειρε καὶ συνεκάθισεν», ἀλλ', «Ἐν Χριστῷ», τουτέστι, διὰ Χριστοῦ. Ἐπειδὴ γὰρ ἡ κεφαλὴ ἡμῶν ἄνω, φησίν, ἐστίν, ἡμεῖς δὲ σῶμα, τῆς κεφαλῆς ἄνω καθημένης, καὶ ἡμεῖς τῆς τιμῆς μετέχομεν, εἰ καὶ ἑστήκαμεν. «Ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη». Ἄλλος, «Ἐν διαδήματι χρυσοῦ ἐκ Σουφείρ». Ὥσπερ ἐπὶ τοῦ βασιλέως οὐ τόξα καὶ βέλη νοοῦμεν, οὕτω μηδὲ ἐπὶ τῆς νύμφης ἱμάτια νόει, ἀλλὰ διὰ τῶν αἰσθητῶν θεοπρεπῆ νοήματα ἐκλάμβανε. Ἵνα γὰρ μηδέν τι τοιοῦτόν τις ὑποπτεύσῃ, ἐπήγαγε λέγων· «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν». Καὶ μὴν τὰ ἱμάτια μάλιστα πάντων ἔξωθεν, καὶ χάριν τῶν ὁρωμένων ἐστίν, ἀλλ' ὅταν ᾖ σωματικά, ὅταν δὲ περὶ πνευματικῶν ὁ λόγος ᾖ, ἔνδον στρέφε τὸ ὄμμα τῆς διανοίας.*

*Τοῦτο τὸ ἱμάτιον ὁ βασιλεὺς ὕφηνε, καὶ ἐνέδυσεν αὐτὴν διὰ τοῦ βαπτίσματος. «Ὅσοι» γάρ, φησίν, «εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε». Πρὸ γὰρ τούτου γυμνὴ ἦν καὶ ἀσχημονοῦσα, προκειμένη πᾶσι τοῖς παραπορευομένοις ὁδόν, ἀφ' οὗ δὲ τὸ ἱμάτιον ἐνεδύσατο τοῦτο, πρὸς τὸ ὕψος ἀνηνέχθη ἐκεῖνο, καὶ τῆς ἐκ δεξιῶν στάσεως ἠξιώθη. Καλῶς δὲ αὐτὸ καὶ ποικίλον φησίν. Οὐ γὰρ μονοειδὲς τὸ ἱμάτιον. Οὐ γὰρ ἐκ χάριτός ἐστι σωθῆναι μόνον, ἀλλὰ χρεία καὶ πίστεως, καὶ μετὰ τὴν πίστιν καὶ ἀρετῆς. Ἀλλὰ νῦν οὐ περὶ*

---

106. Ἐφ. 2, 6.
107. Γαλ. 3, 27.

ται πλησίον του. Διότι, μολονότι εἶναι βασίλισσα, ὅμως εἶναι κτιστῆς οὐσίας. Πῶς λοιπὸν ὁ Παῦλος λέγει, «Μᾶς ἀνέστησε μαζὶ καὶ μᾶς ἔβαλε νὰ καθήσουμε μαζὶ στὰ ἐπουράνια διὰ τοῦ Ἰησοῦ Χριστοῦ»[106]; Ἀλλὰ πρόσεχε τὴν ἀκρίβεια τῶν λόγων του. Δέν εἶπε ἁπλῶς, «Μᾶς συνανέστησε καὶ μᾶς ἔβαλε νὰ καθήσουμε μαζί», ἀλλ' «Ἐν Χριστῷ», δηλαδὴ διὰ τοῦ Χριστοῦ. Διότι, ἐπειδή, λέγει, ἡ κεφαλή μας βρίσκεται ἄνω, ἡμεῖς δέ εἴμαστε σῶμα, ἐφόσον ἡ κεφαλὴ κάθεται στὰ ἐπουράνια, καὶ ἐμεῖς μετέχομε τῆς τιμῆς, σὰν νὰ στεκόμαστε ἐκεῖ «φορώντας ἐνδύματα διάχρυσα καὶ πολυποίκιλα». Ἄλλος, «Μὲ στέμμα χρυσὸ ἀπὸ τὴ Σουφείρ». Ὅπως ἀκριβῶς στὴν περίπτωση τοῦ βασιλιᾶ δὲν ἐννοοῦμε τόξα καὶ βέλη, ἔτσι οὔτε καὶ στὴν περίπτωση ἐδῶ τῆς νύμφης νὰ μὴ ἐννοεῖς ἐνδύματα, ἀλλὰ μὲ τὰ αἰσθητὰ αὐτὰ νὰ βάζεις στὸ νοῦ σου θεοπρεπεῖς σκέψεις. Γιὰ νὰ μὴ ὑποπτευθεῖ δηλαδὴ κανεὶς κάτι παρόμοιο, πρόσθεσε τὰ ἑξῆς· «Ὅλη ἡ δόξα τῆς θυγατέρας τοῦ βασιλιᾶ προέρχεται ἀπὸ τὸν ἐσωτερικὸ κόσμο τῶν ἀρετῶν της». Καὶ βέβαια τὰ ἐνδύματα κυρίως εἶναι ἔξω ἀπὸ ὅλα καὶ προκαλοῦν εὐχαρίστηση σ' ἐκείνους ποὺ τὰ βλέπουν, ἀλλ' ὅταν εἶναι σωματικά, ὅταν ὅμως ὁ λόγος γίνεται γιὰ πνευματικά, στρέφε τὸ βλέμμα τῆς διάνοιάς σου στὸν ἐσωτερικὸ κόσμο.

Αὐτὸ τὸ ἔνδυμα τὸ ὕφανε ὁ βασιλεὺς καὶ τὴν ἔντυσε μὲ τὸ βάπτισμα. Διότι λέγει, «Ὅσοι βαπτισθήκατε στὸ ὄνομα τοῦ Χριστοῦ, ντυθήκατε τὸ Χριστό»[107]. Διότι πρὶν ἀπὸ αὐτὸ ἦταν γυμνὴ καὶ ἔκαμνε ἀσχημοσύνες, βρισκόταν δὲ στὴ διάθεση ὅλων ἐκείνων ποὺ βάδιζαν μαζί της τὴν ὁδό, ἀπὸ τότε ὅμως ποὺ ντύθηκε αὐτὸ τὸ ἔνδυμα, ἀνέβηκε πρὸς τὸ ὕψος ἐκεῖνο καὶ ἀξιώθηκε νὰ σταθεῖ στὰ δεξιά του. Καλῶς δὲ τὸ ὀνομάζει αὐτὸ καὶ πολυποίκιλο. Καθόσον δὲν εἶναι αὐτὸ τὸ ἔνδυμα ἁπλό. Διότι δὲν εἶναι δυνατὸ νὰ σωθεῖ κανεὶς μόνο μὲ τὴ χάρη, ἀλλὰ χρειάζεται καὶ πίστη καὶ μετὰ τὴν πίστη καὶ ἀρετή. Ἀλλὰ τώρα ὁ λόγος δὲν

ἱματίων ὁ λόγος. Οὐδὲ γὰρ τῷ Πνεύματι τοσαύτη σπουδὴ ἦν, ὥστε ἱμάτια γυναικὸς διαγράφειν χρυσᾶ. Εἰ γὰρ ταῖς καλλωπιζομέναις γυναιξὶν ὁ Ἡσαΐας ἐγκαλεῖ, καὶ πανταχοῦ τὰ τῆς τρυφῆς ἐκβέβληται, πῶς ἂν ἐνταῦθα ἐπῄνεσε γυναῖκα καλλωπιζομένην; «Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου». Ἄλλος φησίν, «Ἵνα ἐπιθυμήσῃ». «Ὅτι αὐτός ἐστι Κυριός σου». Ἄλλος, «Αὐτὸς γὰρ Κύριός σου». «Καὶ προσκυνήσουσιν αὐτῷ». Ἄλλος, «Καὶ προσκύνει αὐτῷ». «Καὶ θυγάτηρ Τύρου ἐν δώροις». Ἄλλος, «Ἡ δὲ θυγάτηρ κραταιὰ δῶρα οἴσει». «Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ».

11. Ὁρᾷς πῶς οὐδὲν αἰσθητόν; πῶς οὐδὲν σωματικόν, ἀλλὰ πάντα νοερά; Πῶς γὰρ ἡ νύμφη θυγάτηρ τοῦ αὐτοῦ ἐστι; πῶς δὲ ἡ θυγάτηρ νύμφη; Ἐπὶ μὲν τῶν σωματικῶν οὐκ ἔνι τοῦτο, ἀλλ' ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο, ἐπὶ δὲ τοῦ Θεοῦ ἀμφότερα ἔνι. Αὐτὸς γὰρ αὐτὴν ἀνεγέννησε διὰ τοῦ βαπτίσματος, αὐτὸς αὐτὴν ἡρμόσατο. «Ἄκουσον, θύγατερ, καὶ ἴδε». Δύο αὐτῇ παρέσχε, καὶ διδασκαλίαν τὴν διὰ τῶν ῥημάτων, καὶ ὄψιν τὴν διὰ τῶν θαυμάτων, καὶ τὴν διὰ τῆς πίστεως· καὶ τὰ μὲν ἔδωκεν, τὰ δὲ ἐπηγγείλατο. Ἄκουσον τοίνυν τῶν ῥημάτων τῶν ἐμῶν, ἴδε μου τὰ θαύματα καὶ τὰ ἔργα, καὶ ἀνέχου τῶν παραινέσεων. Καὶ ὅρα ποῖον παράγγελμα ποιεῖται πρότερον. «Ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου». Ἐπειδὴ γὰρ ἐξ ἐθνῶν αὐτὴν ἡρμόσατο, τοῦτο αὐτῇ πρότερον παραγγέλλει, ἀποξῦσαι τὴν συνήθειαν ἐκείνην, ἀποστῆσαι τῆς μνήμης, ἐκβαλεῖν αὐτὰ τῆς διανοίας, μὴ μόνον αὐτὰ φυγεῖν, ἀλλὰ μηδὲ μεμνῆσθαι αὐτῶν παραινῶν. «Καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου».

108. Ἡσ. 3, 16 ἑ.

εἶναι γιὰ τὰ ἐνδύματα. Διότι δὲν ἐνδιαφερόταν τόσο πολὺ τὸ ἅγιο Πνεῦμα, ὥστε νὰ περιγράψει χρυσὰ ἐνδύματα γυναίκας. Διότι ἐὰν ὁ Ἠσαΐας κατηγορεῖ τὶς γυναῖκες ποὺ καλλωπίζονται[108] καὶ παντοῦ καταδικάζεται ἡ ἀπολαυστικὴ ζωή, πῶς θὰ ἦταν δυνατὸ ἐδῶ νὰ ἐπαινέσει γυναίκα καλλωπιζόμενη; «Ἄκουσε, θυγατέρα, καὶ δὲς καὶ κλίνε τὸ αὐτί σου καὶ λησμόνησε τὸ λαό σου καὶ τὸν οἶκο τοῦ πατέρα σου. Καὶ θὰ ἐπιθυμήσει ὁ βασιλεὺς τὸ κάλλος σου». Ἄλλος λέγει, «Γιὰ νὰ ἐπιθυμήσει». «Διότι αὐτὸς εἶναι ὁ Κύριός σου». Ἄλλος, «Διότι αὐτὸς εἶναι ὁ Κύριός σου». «Καὶ θὰ προσκυνήσουν αὐτόν». Ἄλλος, «Καὶ προσκύνα αὐτόν». Καὶ ἡ θυγατέρα τῆς *Τύρου* μὲ *δῶρα*». Ἄλλος, «Ἡ δὲ ἰσχυρὴ θυγατέρα θὰ προσφέρει δῶρα». «Τὸ πρόσωπό σου θὰ ἱκετεύουν οἱ πλούσιοι τοῦ λαοῦ».

11. Βλέπεις πῶς τίποτε δὲν εἶναι αἰσθητό; πῶς τίποτε δὲν εἶναι σωματικό, ἀλλ' ὅλα εἶναι πνευματικά; Διότι πῶς ἡ νύμφη εἶναι θυγατέρα Αὐτοῦ; πῶς δὲ ἡ θυγατέρα νύμφη; Στὰ μὲν σωματικὰ αὐτὸ δὲν εἶναι δυνατό, ἀλλ' ἄλλο εἶναι αὐτὸ καὶ ἄλλο ἐκεῖνο, στὴν περίπτωση ὅμως τοῦ Θεοῦ εἶναι δυνατὰ καὶ τὰ δυό. Διότι ὁ ἴδιος ἀναγέννησε αὐτὴ μὲ τὸ βάπτισμα, ὁ ἴδιος καὶ νυμφεύθηκε αὐτή. «Ἄκουσε, θυγατέρα, καὶ πρόσεξε». Δυὸ πράγματα χάρισε σ' αὐτή, καὶ διδασκαλία μὲ λόγια, καὶ θέαμα μὲ τὰ θαύματα καὶ τὴν πίστη· καὶ ἄλλα μὲν τὰ ἔδωσε, ἄλλα δὲ τὰ ὑποσχέθηκε. Ἄκουσε λοιπὸν τὰ λόγια μου, πρόσεξε τὰ θαύματα καὶ τὰ ἔργα μου καὶ κράτησε καλὰ τὶς συμβουλές μου. Καὶ πρόσεχε ποιὸ παράγγελμα δίνει πρῶτα. «Λησμόνησε τὸ λαό σου καὶ τὸν οἶκο τοῦ πατέρα σου». Ἐπειδὴ δηλαδὴ νυμφεύθηκε αὐτὴ ἀπὸ τοὺς ἐθνικούς, αὐτὸ πρῶτα τῆς παραγγέλλει, νὰ ἐξαλείψει τὴ συνήθεια ἐκείνη, νὰ τὴν ξεχάσει, νὰ τὴ βγάλει ἀπὸ τὴν σκέψη της, ὄχι μόνο ν' ἀποφεύγει αὐτά, ἀλλὰ συμβουλεύει οὔτε νὰ τὰ θυμᾶται αὐτά. «Καὶ ξέχασε τὸ λαό σου καὶ τὸν οἶκο τοῦ πατέρα σου». Ὅταν δὲ λέγει καὶ λαὸ καὶ οἶκο, ἐννοεῖ ὅλα ὅσα

Ὅταν δὲ εἴπῃ καὶ λαὸν καὶ οἶκον, πάντα τὰ ἐκεῖ πραττόμενα λέγει παρ' αὐτῶν, καὶ βίον καὶ δόγματα.

«Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου». Ὁρᾷς ὅτι οὐ περὶ σωματικοῦ κάλλους ὁ λόγος· ἂν γὰρ ταῦτα ποιήσῃς, τότε ἔσῃ καλή, τότε ὁ βασιλεὺς ἐπιθυμήσει τοῦ κάλλους. Καὶ μὴν σωματικὸν κάλλος ταῦτα οὐκ ἐργάζεται. Καὶ γὰρ ἐν ἀπίστοις ὁρῶμεν κάλλος σωματικόν, καὶ γυναῖκας εὐμόρφους Ἑλληνίδας οὔσας. Ἀλλ' ἵνα μάθῃς, ὅτι οὐ περὶ σωματικοῦ κάλλους ὁ λόγος, ἐκ τῆς ὑπακοῆς αὐτοῦ συνίστασθαι τοῦτό φησιν· ἡ ὑπακοὴ δὲ οὐ τὸ σωματικὸν κάλλος συνίστησιν, ἀλλὰ τὸ ψυχικόν. «Ἐὰν γὰρ ταῦτα ποιήσῃς», φησί, «τότε ἔσῃ καλή, τότε ἐπέραστος τῷ νυμφίῳ. «Ὅτι αὐτός σού ἐστι κύριος». Ἰδοὺ ὁ πατὴρ καὶ νυμφίος καὶ δεσπότης ἀνεφάνη. Ἐπειδὴ γὰρ ἐπέταξεν ἀποστῆναι πατρῴων, ἐπιλαθέσθαι λαῶν, ἐκβαλεῖν τὴν συνήθειαν, δείκνυσι τῶν ἐπιταγμάτων τὸ δικαίωμα μέγιστον ὄν, καὶ πολλὴν οὖσαν τὴν ἀκολουθίαν τοῦ λόγου, καὶ ὀφεῖλον τοῦτο γενέσθαι. Εἰ γὰρ καὶ πατήρ σου αὐτός, καὶ νυμφίος αὐτός καὶ κύριος αὐτός, δίκαιον ἂν εἴη πάντων ἐκείνων ἀποστᾶσαν, τούτῳ ἑαυτὴν ἀναθεῖναι. Καὶ οὐκ εἶπεν, ὅτι αὐτός σού ἐστι πατήρ, ἀλλ', «Ὅτι αὐτός σού ἐστι κύριος», ἵνα τούτῳ μάλιστα αὐτῆς καθίκηται· ὅτι καὶ ὁ κύριος καὶ δεσπότης καὶ πατήρ σου εἵλετο γενέσθαι καὶ νυμφίος· μᾶλλον δὲ καὶ αὐτὸ τὸ γενέσθαι κύριον πολλῆς κηδεμονίας ἐστὶ καὶ φιλανθρωπίας, τὸ τὴν δαιμόνων δούλην καὶ ὑπὸ τῆς πλάνης πατουμένην, ταύτην ἑλέσθαι ἑαυτῷ. Οὐ μόνον δὲ δούλην, ἀλλὰ καὶ θυγατέρα καὶ νύμφην ἐποίησεν.

«Ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου». Οὐ γὰρ πρὸς ἀλλότριόν τινα ἔρχῃ, ἀλλὰ πρὸς τὸν ποιήσαντά σε, καὶ πάντων ἐκείνων οἰκειότερον, καὶ κηδόμενόν σου καὶ φρον-

γίνονται ἐκεῖ ἀπὸ αὐτούς, καὶ τὸν τρόπο ζωῆς, καὶ τὰ δόγματά τους.

«Καὶ θὰ ἐπιθυμήσει ὁ βασιλεὺς τὸ κάλλος σου». Βλέπεις ὅτι ὁ λόγος δὲν εἶναι γιὰ τὸ σωματικὸ κάλλος· διότι, ἂν τὰ κάνεις αὐτά, τότε θὰ γίνεις καλή, τότε ὁ βασιλεὺς θὰ ἐπιθυμήσει τὸ κάλλος σου. Καὶ ὅμως τὸ σωματικὸ κάλλος δὲν μπορεῖ νὰ τὸ ἐπιτύχει αὐτό. Καθόσον καὶ μεταξὺ τῶν ἀπίστων βλέπουμε κάλλος σωματικὸ καὶ γυναῖκες ὄμορφες ποὺ εἶναι εἰδωλολάτρισσες. Ἀλλά γιὰ νὰ μάθεις, ὅτι ὁ λόγος δὲν εἶναι γιὰ τὸ σωματικὸ κάλλος, λέγει ὅτι αὐτὸ καθορίζεται ἀπὸ τὴν ὑπακοὴ αὐτοῦ, ἡ δὲ ὑπακοὴ δὲν συνιστᾶ τὸ σωματικὸ κάλλος, ἀλλὰ τὸ ψυχικό. Διότι, λέγει, ἂν τὰ κάμεις αὐτά, τότε θὰ γίνεις καλή, τότε θ' ἀρέσεις στὸ νυμφίο. «Διότι αὐτὸς εἶναι ὁ Κύριός σου». Νὰ ὁ Πατέρας ἔγινε καὶ νυμφίος καὶ Κύριος. Διότι, ἐπειδὴ διέταξε αὐτὴ νὰ ἐγκαταλείψει τὸν πατρικὸ οἶκο της, νὰ ξεχάσει τὸ λαό της, ν' ἀποβάλει τὴ συνήθειά της, δείχνει ὅτι εἶναι πολὺ μεγάλο τὸ δικαίωμά του νὰ δίνει ἐντολὲς καὶ μεγάλη ἡ συνέπεια τοῦ λόγου του, καὶ πρέπει αὐτὸ νὰ γίνει. Διότι, ἂν ὁ ἴδιος εἶναι καὶ Πατέρας σου καὶ νυμφίος καὶ Κύριός σου, δίκιο θὰ ἦταν, ἀφοῦ ἀπομακρυνθεῖ ἀπὸ ὅλα ἐκεῖνα, νὰ ἀφοσιωθεῖ σ' αὐτόν. Καὶ δὲν εἶπε, ὅτι αὐτὸς εἶναι ὁ Πατέρας σου, ἀλλ' «Ὅτι αὐτὸς εἶναι ὁ Κύριός σου», ὥστε μὲ αὐτὸ πρὸ πάντων νὰ τὴ συγκινήσει· διότι καὶ ὁ Κύριός σου καὶ ὁ Δεσπότης σου καὶ ὁ Πατέρας σου θέλησε νὰ γίνει καὶ νυμφίος· μᾶλλον δὲ καὶ αὐτὸ τὸ νὰ γίνει κύριος εἶναι δεῖγμα πολλῆς κηδεμονίας καὶ φιλανθρωπίας, τὸ νὰ προτιμήσει δηλαδὴ γιὰ τὸν ἑαυτό του ἐκείνη ποὺ ἦταν δούλη τῶν δαιμόνων καὶ βρισκόταν κάτω ἀπὸ τὴν ἐξουσία τῆς πλάνης. Καὶ δὲν τὴν ἔκαμε μόνον δούλη του, ἀλλὰ καὶ θυγατέρα καὶ νύμφη.

«Λησμόνησε τὸ λαὸ σου καὶ τὸν οἶκο τοῦ Πατέρα σου». Καθόσον δὲν ἔρχεσαι πρὸς κάποιο ξένο, ἀλλὰ πρὸς ἐκεῖνον ποὺ σὲ δημιούργησε καὶ εἶναι πιὸ οἰκεῖος ἀπὸ ὅ-

*τίζοντα. Αὐτὸς γάρ σου κύριος καὶ πατήρ, καὶ πάντα αὐτός σοι δέδωκε. «Καὶ προσκυνήσουσιν αὐτῷ· καὶ θυγάτηρ Τύρου ἐν δώροις». Ποία αὕτη ἀκολουθία; Καὶ σφόδρα ἀρίστη· προτροπῆς γὰρ εἶδος τοῦτο μέγιστον. Πρόσελθε, φησί· καὶ γὰρ μεγάλη αὐτοῦ ἡ ἰσχύς· καὶ πάντες αὐτῷ ὑπακούσονται. Καὶ ἀφεὶς τὴν οἰκουμένην εἰπεῖν ὁ προφήτης, τὴν γείτονα λέγει πόλιν τὴν ἐν ἀσεβείᾳ τότε κατεχομένην, τὴν ἀκρόπολιν τοῦ διαβόλου, τὴν ὄνομα μέγα ἔχουσαν ἐπὶ πολυτελείᾳ, ἀπὸ τοῦ μέρους τὸ ὅλον αἰνιττόμενος. Ἐμοὶ δὲ δοκεῖ καὶ τὴν ἀσέβειαν πᾶσαν οὕτω καλέσαι καὶ τὴν ἀσωτίαν· οἶδε γὰρ ἀπὸ πόλεων τρόπους χαρακτηρίζειν, ὡς ὅταν λέγῃ· «Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· ἐνωτίσασθε νόμον Θεοῦ ὑμῶν, λαὸς Γομόρρας». Καὶ μὴν πρὸς Ἰουδαίους διελέγετο, ἀλλ' ἐπειδὴ τὰ Σοδόμων ἔπραττον, ἀπὸ τῶν ὀνομάτων τῶν Σοδόμων καλεῖ αὐτούς.*

*Καὶ τί θαυμάζεις, εἰ ἀπὸ πατρίδος αὐτοὺς οὕτω καλεῖ, ὅπου γε καὶ πατέρας αὐτοῖς τοιούτους δίδωσι, λέγων, «Ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία»; Καὶ οὐδὲ ἐνταῦθα ἵστησι τὴν κατηγορίαν, ἀλλὰ καὶ ἐπὶ θηρία ἐξάγει τὸν λόγον, ἐν μὲν τῇ καινῇ οὕτω λεγούσῃ Γραφῇ· «Ὄφεις γεννήματα ἐχιδνῶν»· καὶ πάλιν ἐν τῇ Παλαιᾷ, «Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι». Καὶ ἀλλαχοῦ· «Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστέ μοι;». Οὕτω δὴ καὶ ἐνταῦθα τοὺς ἐν ἀσεβείᾳ καὶ ἀσελγείᾳ βεβιωκότας Τυρίους ἐκάλεσεν. Ἀλλὰ καὶ τούτων περιέσομαι, φησί, καὶ κρατήσω, καὶ οὕτω κρατήσω, ὡς καὶ προσκυνεῖν αὐτούς, καὶ οὐχ ἁπλῶς προσκυνεῖν, ἀλλὰ καὶ δῶρα προσφέρειν καὶ ἀπαρχάς, ὅπερ μέγιστον*

---

109. Ἠσ. 1, 10
110. Ἰεζ. 16. 3.
111. Ματθ. 33, 33.
112. Ἠσ. 59, 5.
113. Ἀμὼς 9, 7.

λους ἐκείνους, καὶ ποὺ ἐνδιαφέρεται καὶ φροντίζει γιὰ σένα. Διότι αὐτὸς εἶναι Κύριός σου καὶ Πατέρας σου καὶ ὅλα αὐτὸς σοῦ τὰ ἔδωσε. «Καὶ θὰ προσκυνήσουν αὐτόν. Καὶ ἡ θυγατέρα τῆς Τύρου μὲ δῶρα». Ποιὰ ἡ σχέση αὐτῶν πρὸς τὰ προηγούμενα; Εἶναι ἡ πιὸ ἀρίστη· διότι αὐτὸ εἶναι πάρα πολὺ μεγάλο εἶδος προτροπῆς. Ἔλα, λέγει, κοντὰ σ' αὐτόν· καθόσον εἶναι μεγάλη ἡ δύναμή του· καὶ ὅλοι θὰ ὑπακούσουν σ' αὐτόν. Καὶ ἀποφεύγοντας ὁ προφήτης ν' ἀναφέρει τὴν οἰκουμένη, ἀναφέρει τὴ γειτονικὴ πόλη, ποὺ ἦταν τότε κυριευμένη ἀπὸ τὴν ἀσέβεια, τὴν ἀκρόπολη τοῦ διαβόλου, ποὺ ἦταν φημισμένη γιὰ τὴν πολυτέλειά της, ὑπαινισσόμενος ἀπὸ τὸ ἐπὶ μέρους τὸ σύνολο. Ἐγὼ νομίζω ὅτι ἔτσι ὀνόμασε καὶ ὅλη τὴν ἀσέβεια καὶ τὴν ἀσωτία· διότι γνωρίζει ἡ Γραφὴ νὰ χαρακτηρίζει τὸν τρόπο ζωῆς ἀπὸ τὶς πόλεις, ὅπως ὅταν λέγει· «Ἀκοῦστε λόγο Κυρίου, ἄρχοντες τῶν Σοδόμων· ἀκοῦστε μὲ προσοχὴ τὸ νόμο τοῦ Θεοῦ σας, λαὸς τῆς Γομόρρας»[109]. Καὶ βέβαια οἱ λόγοι του ἀπευθύνονταν πρὸς τοὺς Ἰουδαίους, ἀλλ', ἐπειδὴ ἔπρατταν τὰ ἔργα τῶν Σοδόμων, ὀνομάζει αὐτοὺς ἀπὸ τὰ ὀνόματα τῶν Σοδόμων.

Καὶ γιατί θαυμάζεις, ἂν ἀπὸ τὴν πατρίδα ὀνομάζει αὐτοὺς ἔτσι, ἀφοῦ βέβαια καὶ τέτοιους πατέρες τοὺς ἀποδίδει, λέγοντας, «Ὁ πατέρας σου ὁ Ἀμορραῖος καὶ ἡ μητέρα σου ἡ Χετταία»[110]; Καὶ οὔτε ἐδῶ σταματᾶ τὴν κατηγορία, ἀλλὰ μεταφέρει τὸ λόγο καὶ στὰ θηρία, λέγοντας στὴ μὲν Καινὴ Διαθήκη αὐτό· «Φίδια ποὺ εἶστε γεννήματα τῶν ἐχιδνῶν»[111]· καὶ πάλι στὴν Παλαιὰ Διαθήκη λέγει, «Αὐγὰ ἀσπίδων ἐπώασαν καὶ ἔσπασαν, καὶ ὑφαίνουν ἱστὸ ἀράχνης»[112]. Καὶ ἀλλοῦ λέγει· «Δὲν εἶστε σεῖς γιὰ μένα ὅπως τὰ τέκνα τῶν Αἰθιόπων;»[113]. Ἔτσι λοιπὸν καὶ ἐδῶ ὀνόμασε Τυρίους ἐκείνους ποὺ ἔζησαν μέσα στὴν ἀσέβεια καὶ τὴν ἀσέλγεια. Ἀλλὰ καὶ σ' αὐτούς, λέγει, θὰ ἐπιβάλω τὴ δύναμή μου καὶ θὰ τοὺς ἐξουσιάσω, καὶ ἔτσι θὰ τοὺς ἐξουσιάσω, ὥστε καὶ νὰ προσκυνοῦν, καὶ ὄχι ἁπλῶς νὰ

εἶδος λατρείας ἐστί, καὶ τῆς μεθ' ὑπερβολῆς ὑπακοῆς σημεῖον. «Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ». Τί ἐστι, «Λιτανεύσουσι»; Τιμήσουσι, δοξάσουσιν οἱ μεγάλοι καὶ ὑψηλοὶ νῦν. Καὶ γὰρ ἐν τῇ Ἐκκλησίᾳ τοῦτο γίνεται· τοὺς ἐν ἀρετῇ ζῶντας τιμῶσι, θεραπεύουσιν ἅπαντες, κἂν πλούτῳ καὶ ἀξιώμασιν ὦσι κομῶντες. Πάσης γὰρ εὐπορίας μείζων ἀρετή. Καὶ τὴν Ἐκκλησίαν ὁρᾶτε παρὰ πάντων τιμωμένην. Καὶ καλῶς εἶπε, «Τὸ πρόσωπόν σου», τουτέστι, τὴν δόξαν σου, τὸ κάλλος σου, τὴν εὐμορφίαν σου.

12. Εἶτα ἐπειδὴ τοῦ προσώπου ἐμνήσθη, καὶ ἱματίων, καὶ κάλλους, ἵνα μή τις τῶν παχυτέρων αἰσθητόν τι νοήσῃ, ἐπήγαγε λέγων, «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν». Πρὸς τὴν διάνοιαν εἴσελθε, φησί, τὸ κάλλος καταμάνθανε τῆς ψυχῆς· περὶ ἐκείνων διαλέγομαί σοι, κἂν ἱματισμὸν εἴπω, κἂν κάλλος εἴπω, κἂν χρυσίον εἴπω, κἂν κροσσούς, κἂν διάχρυσα εἴπω, κἂν ὁτιοῦν τοιοῦτον ἕτερον, περὶ διανοίας ὁ λόγος, περὶ ψυχῆς ἡ διδασκαλία, περὶ ἀρετῆς τὸ λεγόμενον, περὶ τῆς ἔνδον δόξης. Διὰ δὴ τοῦτο πάλιν θαρρούντως ἐπὶ τὰς σωματικὰς εἰκόνας ἄγει τὸν λόγον, ἅπαξ διορθωσάμενος τὸν παχὺν ἀκροατὴν τοῖς εἰρημένοις. «Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη». Ἄλλος, «Διὰ συσφιγκτήρων χρυσῶν ἠμφιεσμένη ποικίλων»· πάλιν τῷ ὀνόματι τοῦ χρυσίου τὴν ἀρετὴν καλέσας. Οὕτω καὶ Παῦλός φησιν· «Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην», τὴν ἀρετὴν καὶ τὴν κακίαν ταῖς προσηγορίαις τῶν ὑλῶν τούτων ἡμῖν παριστάς. Ἵνα γὰρ μὴ ταῦτα νομίσῃς τὸ ἔσωθεν κείμενον, οὐκ

---

114. Ἀπαρχὴ ἦτο ἡ προσφορὰ στὸ ναὸ τῶν πρώτων καρπῶν τῆς συγκομιδῆς.

115. Α' Κορ. 3, 12.

προσκυνοῦν, ἀλλὰ καὶ νὰ προσφέρουν δῶρα καὶ ἀπαρχές[114], πράγμα ποὺ εἶναι μέγιστο εἶδος λατρείας καὶ ἀπόδειξη ὑπερβολικῆς ὑπακοῆς «Τὸ πρόσωπό σου θὰ λιτανεύσουν οἱ πλούσιοι τοῦ λαοῦ». Τί σημαίνει, «θὰ λιτανεύσουν»; Θὰ τιμήσουν, θὰ δοξάσουν αὐτοὶ ποὺ τώρα εἶναι μεγάλοι καὶ κατέχουν ὑψηλὰ ἀξιώματα. Καθόσον καὶ στὴν ἐκκλησία αὐτὸ γίνεται, ἐκείνους ποὺ εἶναι ἐνάρετοι τοὺς τιμοῦν καὶ τοὺς σέβονται ὅλοι, εἴτε εἶναι πλούσιοι καὶ κατέχουν ἀξιώματα. Διότι ἡ ἀρετὴ εἶναι ἀνώτερη ἀπὸ κάθε ἄλλη εὐτυχὴ κατάσταση. Καὶ τὴν Ἐκκλησία βλέπετε νὰ τιμᾶται ἀπὸ ὅλους. Καὶ καλὰ εἶπε, «Τὸ πρόσωπό σου», δηλαδή, τὴ δόξα σου, τὸ κάλλος σου, τὴν ὀμορφιά σου.

12. Ἔπειτα, ἐπειδὴ ἔκαμε λόγο γιὰ τὸ πρόσωπο, τὰ ἐνδύματα καὶ τὸ κάλλος, γιὰ νὰ μὴ σκεφθεῖ κανεὶς ἀπὸ τοὺς πνευματικὰ κατωτέρους κάτι τὸ αἰσθητό, πρόσθεσε τὸ ἑξῆς· «Ὅλη ἡ δόξα τῆς θυγατέρας τοῦ βασιλιᾶ προέρχεται ἀπό τὸν ἐσωτερικὸ κόσμο της». Προχώρησε, λέγει, πρός τὸν κόσμο τῆς διανοίας, μελέτησε τὸ κάλλος τῆς ψυχῆς· γιὰ ἐκεῖνα σοῦ ὁμιλῶ, εἴτε ἀναφέρω ἐνδύματα, εἴτε κάλλος, εἴτε χρυσὰ κοσμήματα, εἴτε κρόσσια, εἴτε χρυσοΰφαντα, εἴτε ὁ,τιδήποτε ἄλλο παρόμοιο, ὁ λόγος εἶναι γιὰ τὰ πνευματικὰ πράγματα, ἡ διδασκαλία εἶναι γιὰ τὴν ψυχή, τὰ λεγόμενα ἀφοροῦν τὴν ἀρετή, τὴν ἐσωτερικὴ δόξα. Γι' αὐτὸ λοιπὸν πάλι μὲ θάρρος μεταφέρει τὸ λόγο πρός τὶς σωματικὲς εἰκόνες, ἀφοῦ διόρθωσε μὲ τὰ ὅσα λέχθηκαν τὸν ἀκροατὴ κατώτερης πνευματικότητας. «Ντυμένη μὲ κροσσωτὸ χρυσοκέντητο καὶ πολυποίκιλο ἔνδυμα». Ἄλλος, «Ντυμένη μὲ ποικιλόχρωμες χρυσοκέντητες ζῶνες»· πάλι ὀνόμασε τὴν ἀρετὴ μὲ τὸ ὄνομα τοῦ χρυσοῦ. Ἔτσι καὶ ὁ Παῦλος λέγει· «Ἂν κανεὶς κτίζει ἐπάνω σ' αὐτὸ τὸ θεμέλιο χρυσό, ἄργυρο, λίθους πολυτίμους, ξύλα, χόρτο, καλάμη»[115], παριστάνοντας σ' ἐμᾶς μὲ τὰ ὀνόματα τῶν ὑλικῶν αὐτῶν πραγμάτων τὴν ἀρετὴ καὶ τὴν κακία. Γιὰ νὰ μὴ νομίσεις, ὅτι ὁ ἐσωτερικὸς κόσμος συνίσταται

ἀφίησί σε τὰ ἔξω φαντάζεσθαι, ἀλλ' ἕλκει τὴν διάνοιαν ἔνδον. Ὥσπερ γὰρ σῶμα φαίνεται καλὸν τούτοις περιβεβλημένον, οὕτω ἡ ψυχὴ καλλωπίζεται ἀρετὴν ἐνδεδυμένη.

«Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς». Ἄλλος, «Ἀκολουθήσουσιν», Ἄλλος, «Ἀνενεχθήσονται». «Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς ναὸν βασιλέως». Εἶδες τὰ ἱμάτια τὰ κροσσωτά; εἶδες τὴν χρυσῆν στολήν, τῆς παρθενίας τὸ ἄνθος; Τοῦτο τῆς Ἐκκλησίας τὸ ἱμάτιον. Καὶ θέα μοι τοῦ προφήτου τὴν ἀκρίβειαν. Ἐπειδὴ γὰρ οὐκ εὐθέως, τῆς Ἐκκλησίας συστάσης, τὸ τῆς παρθενίας ἤνθησε καλόν, ἀλλ' ὕστερον καὶ μετὰ χρόνον τινά, διὰ τοῦτο καὶ αὐτὸς μετὰ ταῦτα τίθησιν αὐτό, μετὰ τὸ ἐπιλαθέσθαι αὐτὴν τοῦ λαοῦ καὶ τοῦ οἴκου τοῦ πατρός, καὶ ἐνδύσασθαι τὸν κόσμον ἐκεῖνον, καὶ λάμψαι τῷ κάλλει. Διό φησιν· «Ὀπίσω αὐτῆς αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται». Αἱ πλησίον, οὐ τόπῳ ἁπλῶς, ἀλλὰ καὶ τρόπῳ, καὶ τοῖς δόγμασιν αὐτῇ συνάδουσαι· ὡς τάς γε τῶν αἱρετικῶν οὐκ ἄν τις εἴποι παρθένους· οὐ γάρ εἰσι πλησίον τῆς βασιλίδος.

«Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει». Ὅρα τὸ ἀποστολικὸν ἐνταῦθα διαλάμπον, καὶ τὴν ἀπόφασιν ἐκείνην διαδεικνυμένην καὶ ἐν τῷ προφήτῃ. Ποίαν δὴ ταύτην; Ὅτι «Θλῖψιν τῇ σαρκὶ ἕξουσιν αἱ γαμούμεναι». Ὥσπερ δὲ ἐκεῖναι θλῖψιν, οὕτως αὗται ἀγαλλίασιν καὶ εὐφροσύνην. Ἡ μὲν γὰρ τέκνα, καὶ ἄνδρα, καὶ οἰκίαν, καὶ οἰκέτας, καὶ συγγενεῖς, καὶ κηδεστάς, καὶ γαμβρούς, καὶ ἔγγονα, καὶ πολυ-

116. Α' Κορ. 7, 28.

ἀπὸ αὐτά, δὲν σὲ ἀφήνει νὰ σκέπτεσαι τὰ ἐξωτερικὰ πράγματα, ἀλλὰ προσελκύει τὴ σκέψη στὸν ἐσωτερικὸ κόσμο. Διότι, ὅπως ἀκριβῶς τὸ σῶμα, ποὺ εἶναι ντυμένο μὲ αὐτά, φαίνεται ὡραῖο, ἔτσι ὀμορφαίνει καὶ ἡ ψυχὴ ποὺ εἶναι ντυμένη μὲ τὴν ἀρετή.

«Θὰ ὁδηγηθοῦν πρὸς τὸν βασιλιὰ παρθένες, ἀκολουθώντας αὐτή». Ἄλλος λέγει, «Θὰ ἀκολουθήσουν». Ἄλλος, «Θὰ ὁδηγηθοῦν». «Θὰ ὁδηγηθοῦν πλησίον σου οἱ φίλες αὐτῆς. Θὰ ὁδηγηθοῦν μὲ χαρὰ καὶ ἀγαλλίαση· θὰ ὁδηγηθοῦν στὸ ναὸ τοῦ βασιλέως». Εἶδες τὰ ἐνδύματα τὰ κροσωτά; εἶδες τὴ χρυσοστόλιστη στολή, τῆς παρθενίας τὸ ἄνθος; Αὐτὸ εἶναι τὸ ἔνδυμα τῆς Ἐκκλησίας. Καὶ πρόσεχε, σὲ παρακαλῶ, τοῦ προφήτη τὴν ἀκρίβεια. Ἐπειδὴ δηλαδή, ἀφοῦ συστήθηκε ἡ Ἐκκλησία, δὲν ἄνθισε ἀμέσως ἡ ὡραιότητα τῆς παρθενίας, ἀλλ᾽ ἀργότερα καὶ μετὰ ἀπὸ ἀρκετὸ χρόνο, γι᾽ αὐτὸ καὶ αὐτὸς ἀναφέρει αὐτὸ μετὰ ἀπὸ αὐτά, ἀφοῦ θὰ ξεχάσει τὸ λαό της καὶ τὸν πατρικὸ οἶκο της καὶ θὰ φορέσει τὸ στολισμὸ ἐκεῖνο καὶ θὰ λάμψει τὸ κάλλος της. Γι᾽ αὐτὸ λέγει· «Θὰ ὁδηγηθοῦν οἱ φίλες αὐτῆς πίσω ἀπ᾽ αὐτή». Οἱ πλησίον αὐτῆς ὄχι ἁπλῶς ὡς πρὸς τὸν τόπο, ἀλλὰ καὶ οἱ σύμφωνες μὲ αὐτὴ ὡς πρὸς τὸν τρόπο καὶ τὰ δόγματα· διότι τὶς τῶν αἱρετικῶν δὲν θὰ μποροῦσε κανεὶς νὰ τὶς ὀνομάσει παρθένες· καθόσον δὲν βρίσκονται πλησίον τῆς βασίλισσας.

«Θὰ ὁδηγηθοῦν μὲ χαρὰ καὶ ἀγαλλίαση». Πρόσεχε ἐδῶ ποὺ διαλάμπει ὁ ἀποστολικὸς λόγος καὶ γίνεται φανερὴ καὶ στὸν προφήτη ἡ δήλωση ἐκείνη τῶν ἀποστόλων. Ποιὰ λοιπὸν εἶναι αὐτή; Ὅτι «Οἱ γυναῖκες ποὺ θὰ πανδρευθοῦν θὰ ἔχουν θλίψη στὸ σῶμα τους»[116]. Ὅπως ἀκριβῶς ἐκεῖνες θὰ ἔχουν θλίψη, ἔτσι αὐτὲς θὰ ἔχουν ἀγαλλίαση καὶ εὐφροσύνη. Διότι οἱ μὲν ἔγγαμες ἀναγκάζονται νὰ μεριμνοῦν γιὰ τὰ τέκνα, τὸν ἄνδρα, τὴν οἰκία, τοὺς ὑπηρέτες, τοὺς συγγενεῖς, τοὺς συμπεθέρους, τοὺς γαμπρούς, τὰ ἐγγόνια, τὶς συνέπειες τῆς πολυτεκνίας καὶ τῆς ἀτεκνίας

παιδίαν, καὶ ἀπαιδίαν μεριμνᾶν ἀναγκάζεται (οὐδὲ γὰρ καιρὸς νῦν τὰς νιφάδας ὑπογράφειν τοῦ γάμου), ἡ δὲ παρθένος ἐσταυρωμένη, καὶ τῶν παρόντων ἀπαλλαγεῖσα, καὶ τῶν βιωτικῶν φροντίδων ἀνωτέρα γενομένη, καὶ τὸν εὔριπον διαδῦσα, καὶ πρὸς τὸν οὐρανὸν καθ' ἑκάστην βλέπουσα τὴν ἡμέραν, ἀπολαύει τῆς χαρᾶς τοῦ Πνεύματος, ἐντρυφᾷ τῇ ἀγαλλιάσει. Οὐ τὰ παρόντα δὲ μόνον ὁ προφήτης, ἀλλὰ καὶ τὰ μέλλοντα αἰνίττεται, ὅταν φαιδρὰς καὶ λαμπρὰς ἔχουσαι λαμπάδας ἀπαντῶσι, τὸν νυμφίον ὑποδεχόμεναι. Ναὸν δὲ ἐνταῦθα βασιλέως. τὰ βασίλεια, καὶ νυμφῶνα τὰς παστάδας λέγει. «Ἀντὶ τῶν πατρῶν σου ἐγεννήθησαν υἱοί σου». Ἄλλος, «Ἔσονταί σοι υἱοί σου». «Ἐπειδὴ ἄνω λαοῦ καὶ πατρῶν ἐμνήσθη, λέγων, «Ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου», δεικνὺς ὅτι πολλῆς ἀπολαύσεται καὶ κατ' αὐτὸ τὸ μέρος εὐημερίας, τοῦτο ἐπήγαγεν. Ἔστι γὰρ μήτηρ μυρίων παίδων ἡ στεῖρα. Ὥστε εἰ καὶ γονέων ἀπεσπάσθης, ἀλλ' οἱ τῶν παίδων χοροὶ οὕτως ἐπίδοξοι, οὕτω λαμπροὶ καὶ περιφανεῖς ἔσονται, ὡς πᾶσαν ἐμπλῆσαι τὴν οἰκουμένην.

13. Ἐμοὶ δὲ δοκεῖ τοὺς ἀποστόλους λέγειν, τοὺς διδασκάλους ἐν αὐτῇ γενομένους. Εἶτα ὑπογράφων αὐτῶν τὴν δύναμιν καὶ τὴν ἰσχύν, καὶ τὴν δόξαν, φησί· «Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. «Ἆρα ταῦτα ἑρμηνείας δεῖται; Οὐκ ἔγωγε οἶμαι, ὥσπερ οὖν οὐδὲ ὁ ἥλιος, ὅτε φαιδρός ἐστι· τὰ δὲ εἰρημένα τούτου φανερώτερα· καὶ γὰρ τὴν οἰκουμένην ἅπασαν ἐπέδραμον οἱ ἀπόστολοι, καὶ πάντων ἀρχόντων ἄρχοντες ἐγένοντο κυριώτεροι, βασιλέων δυνατώτεροι. Οἱ μὲν γὰρ βασιλεῖς ζῶντες κρατοῦσι, τελευτήσαντες δὲ

(καθὸσον δὲν εἶναι τώρα καιρὸς νὰ ἀναφέρω τὸ πλῆθος τῶν φροντίδων τοῦ γάμου), ἡ δὲ παρθένος ποὺ σταύρωσε τὸν ἑαυτό της, καὶ εἶναι ἀπαλλαγμένη ἀπὸ τὰ κοσμικὰ πράγματα καὶ ἔγινε ἀνώτερη ἀπὸ τὶς κοσμικὲς φροντίδες καὶ ἀφοῦ ἀπέφυγε τὴν ἀστάθεια τοῦ φρονήματός της ἔχοντας στραμμένο τὸ βλέμμα της καθημερινὰ πρὸς τὸν οὐρανό, ἀπολαμβάνει τὴ χαρὰ τοῦ Πνεύματος καὶ εἶναι πλημμυρισμένη ἀπὸ ἀγαλλίαση. Δὲν ὑπαινίσσεται δὲ ὁ προφήτης μόνο τὰ παρόντα, ἀλλὰ καὶ τὰ μέλλοντα, ὅταν θὰ συναντήσουν καὶ θὰ ὑποδεχθοῦν τὸ νυμφίο κρατώντας φαιδρὲς καὶ λαμπρὲς λαμπάδες. Ναὸ δὲ ἐδῶ τοῦ βασιλέως ὀνομάζει τὰ ἀνάκτορα καὶ νυμφῶνα τοὺς νυμφικοὺς θαλάμους. «Ἀντὶ τῶν προγόνων σου γεννήθηκαν τὰ τέκνα σου». Ἄλλος, «Θὰ γεννηθοῦν τὰ τέκνα σου». Ἐπειδὴ προηγουμένως μίλησε γιὰ λαὸ καὶ πατέρες, λέγοντας, «Ξέχασε τὸ λαό σου καὶ τὸν οἶκο τοῦ πατέρα σου», γιὰ νὰ δείξει, ὅτι θὰ ἀπολαύσει καὶ στὴν περίπτωση αὐτὴ πολλὴ εὐτυχία, πρόσθεσε αὐτό. Διότι ἡ στεῖρα ἔγινε μητέρα ἀμετρήτων παιδιῶν. Ὥστε, ἂν καὶ ἔφυγες ἀπὸ τοὺς γονεῖς σου, ὅμως οἱ χοροὶ τῶν παιδιῶν σου θὰ γίνουν τόσο ἔνδοξοι, τόσο λαμπροὶ καὶ ξακουστοί, ὥστε νὰ γεμίσουν ὁλόκληρη τὴν οἰκουμένη.

13. Νομίζω δὲ ὅτι ὁμιλεῖ γιὰ τοὺς ἀποστόλους, γιὰ τοὺς διδασκάλους ποὺ θὰ γίνουν στὴν οἰκουμένη. Ἔπειτα, περιγράφοντας τὴ δύναμη καὶ τὴν ἐξουσία καὶ τὴ δόξα αὐτῶν, λέγει· «Θὰ ἐγκαταστήσεις αὐτοὺς ἄρχοντες σ' ὁλόκληρη τὴ γῆ». Μήπως αὐτὰ χρειάζονται ἑρμηνεία; Ἐγὼ τουλάχιστο νομίζω ὄχι, ὅπως ἀκριβῶς βέβαια οὔτε καὶ ὁ ἥλιος χρειάζεται ἑρμηνεία, ποὺ εἶναι φωτεινός· τὰ ὅσα δὲ λέχθηκαν εἶναι φανερώτερα καὶ ἀπὸ αὐτό, καθόσον οἱ ἀπόστολοι διέτρεξαν ὁλόκληρη τὴν οἰκουμένη καὶ ἔγιναν ἀνώτεροι ἄρχοντες ἀπὸ ὅλους τοὺς ἄρχοντες καὶ δυνατώτεροι ἀπὸ τοὺς βασιλεῖς. Διότι οἱ μὲν βασιλεῖς ἐξουσιάζουν ὅσο ζοῦν, ὅταν δὲ πεθάνουν καταργεῖται ἡ ἐξουσία τους, ἐνῶ αὐτοὶ ὁ-

*καταλύονται, οὗτοι δὲ τελευτήσαντες μᾶλλον κρατοῦσι. Καὶ τὰ μὲν τῶν βασιλέων νόμιμα εἴσω τῶν οἰκείων ὅρων ἔχει τὴν ἰσχύν, τὰ δὲ τῶν ἁλιέων προστάγματα πανταχοῦ τῆς οἰκουμένης ἐξετάθη. Ὁ Ῥωμαίων βασιλεὺς οὐκ ἂν δύναιτο νομοθετεῖν Πέρσαις, οὐδὲ ὁ Περσῶν Ῥωμαίοις, οἱ δὲ Παλαιστινοὶ οὗτοι καὶ Πέρσαις, καὶ Ῥωμαίοις, καὶ Θρᾳξί, καὶ Σκύθαις, καὶ Ἰνδοῖς, καὶ Μαύροις, καὶ πάσῃ τῇ οἰκουμένῃ νόμους ἔθηκαν· καὶ οὐχὶ ζώντων αὐτῶν ἐκράτησαν μόνον, ἀλλὰ καὶ τελευτησάντων· καὶ μυριάκις ἂν ἕλοιντο οἱ νομοθετηθέντες τὴν ψυχὴν ἀφεῖναι, ἢ τῶν νόμων ἀποστῆναι ἐκείνων.*

*«Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἕτερός φησιν, «Ἀναμνήσω τὸ ὄνομά σου καθ' ἑκάστην γενεάν. Διὰ τοῦτο λαοὶ ὑμνήσουσί σε διηνεκῶς». Ἄλλος, «Ἐπὶ τούτῳ λαοὶ ἐξομολογήσονταί σοι». Εἶπε τὸ μέγεθος τῆς ἀρχῆς ἀπὸ τοῦ μήκους τῆς γῆς, ἀπὸ τοῦ πλάτους τῆς οἰκουμένης, ἀπὸ τοῦ πλήθους τῶν ἐθνῶν τῶν ὑποταγέντων. Λέγει καὶ ἑτέρωθεν αὐτῆς τὸ ἀξίωμα, ὅτι οὐ πανταχοῦ τῆς οἰκουμένης ἐκταθήσεται μόνον, ἀλλὰ καὶ πανταχοῦ τοῦ αἰῶνος. Ἀθάνατος γὰρ ἔσται, φησίν, ἡ μνήμη σου, ἀνάγραπτος ἐν ταῖς βίβλοις ταῖς ἡμετέραις, ἀνάγραπτος ἐν ταῖς πολιτείαις, ἀνάγραπτος ἐν τοῖς προστάγμασιν. Ὅρα πῶς καὶ τῆς οἰκείας προφητείας τὸ διαρκὲς προφητεύει. Εἰπὼν γάρ, «Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ», τοῦτο ἐδήλωσε. Κἂν ἐγὼ τελευτήσω, φησίν, ἀλλ' ᾄσομαι εἰς σὲ καὶ τελευτῶν. Τὸ μὲν γὰρ σῶμα διαλυθήσεται, τὰ δὲ γράμματα μένει, καὶ ὁ νόμος διαρκής. «Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι». Ὅθεν ἤρξατο, ἐνταῦθα κατέλυσεν, εἰς*

ταν πεθάνουν τότε πρὸ πάντων γίνονται ἐξουσιαστές. Καὶ οἱ μὲν νόμοι τῶν βασιλέων ἰσχύουν ἐντός τῶν συνόρων ποὺ ἐξουσιάζουν, ἐνῶ τῶν ἁλιέων τὰ προστάγματα ξαπλώθηκαν σ' ἄλα τὰ μέρη τῆς οἰκουμένης. Ὁ βασιλιὰς τῶν Ρωμαίων δὲν θὰ μποροῦσε νὰ θεσπίσει νόμους γιὰ τοὺς Πέρσες οὔτε ὁ βασιλιὰς τῶν Περσῶν γιὰ τοὺς Ρωμαίους, ἐνῶ αὐτοὶ οἱ Παλαιστίνιοι θέσπισαν νόμους καὶ γιὰ τοὺς Πέρσες καὶ γιὰ τοὺς Ρωμαίους καὶ γιὰ τοὺς Θράκες καὶ γιὰ τοὺς Σκύθες καὶ γιὰ τοὺς Ἰνδοὺς καὶ γιὰ τοὺς Μαύρους καὶ γιὰ ὁλόκληρη τὴν οἰκουμένη· καὶ δὲν ἐξουσίασαν τὸν κόσμο ὅσο ζοῦσαν μόνο, ἀλλὰ καὶ ὅταν πέθαναν· καὶ ἀμέτρητες φορὲς θὰ προτιμοῦσαν αὐτοί, ποὺ ἔλαβαν τὸ νόμο τῶν ἀποστόλων, νὰ πεθάνουν, παρὰ ν' ἀπαρνηθοῦν τοὺς νόμους ἐκείνους.

«Θὰ μνημονεύω τὸ ὄνομά σου σ' ὅλες τὶς γενεές τῶν γενεῶν. Γι' αὐτό οἱ λαοὶ θὰ σὲ ἀνυμνοῦν ἀκατάπαυστα καὶ στόν αἰώνα τοῦ αἰώνα». Ἄλλος λέγει, «Θὰ μνημονεύσω τὸ ὄνομά σου σὲ κάθε γενεά. Γι' αὐτὸ οἱ λαοὶ θὰ σὲ ὑμνοῦν συνέχεια». Ἄλλος λέγει, «Γι' αὐτὸ οἱ λαοὶ θὰ σὲ ὑμνήσουν». Ἀνέφερε τό μέγεθος τῆς ἐξουσίας τους ποὺ γίνεται φανερὸ ἀπὸ τό μῆκος τῆς γῆς, ἀπό τὸ πλάτος τῆς οἰκουμένης, ἀπὸ τό πλῆθος τῶν ἐθνῶν, ποὺ ὑποτάγηκαν σ' αὐτούς. Ὁμιλεῖ καὶ ἀπὸ ἄλλη πλευρὰ γιὰ τὸ μέγεθος αὐτῆς, ὅτι δηλαδὴ δὲν θὰ ἐπεκταθεῖ μόνο σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, ἀλλὰ καὶ σ' ὅλους τοὺς αἰῶνες. Διότι, λέγει, θὰ εἶναι ἀθάνατη ἡ μνήμη σου, θὰ εἶναι γραμμένη στὰ βιβλία μας. θὰ εἶναι γραμμένη στὶς πολιτεῖες, θὰ εἶναι γραμμένη στὰ προστάγματα. Πρόσεχε πῶς προφητεύει καὶ τὸ διαρκὲς τῆς προφητείας του. Διότι, μὲ τὸ νὰ πεῖ, «Θὰ μνημονεύω τὸ ὄνομά σου σ' ὅλες τὶς γενεὲς τῶν γενεῶν», δήλωσε αὐτό. Καὶ ἂν ἀκόμη, λέγει, ἐγὼ πεθάνω, ὅμως θὰ σὲ ὑμνῶ καὶ πεθαμένος. Διότι, τὸ μὲν σῶμα θὰ διαλυθεῖ, ἐνῶ τὰ γράμματα παραμένουν καὶ ὁ νόμος εἶναι διαρκής. «Γι' αὐτὸ θὰ σὲ ὑμνήσουν οἱ λαοί». Ἀπὸ ἐκεῖ ποὺ ἄρχισε,

*τὸν Χριστόν. «Διὰ τοῦτο». Ποῖον; Ὅτι τοσαῦτα κατώρθωσας, ὅτι τοιούτους ἄρχοντας ἐπέστησας, ὅτι κακίαν ἤλασας, ὅτι ἀρετὴν ἐφύτευσας, ὅτι τὴν φύσιν ἡρμόσω τὴν ἡμετέραν, ὅτι τὰ ἀπόρρητα ταῦτα εἰργάσω ἀγαθά· πᾶσά σοι ἡ οἰκουμένη ὕμνον ἀνοίσει, οὐκ ἐν βραχεῖ χρόνῳ, οὐδὲ ἐν δέκα, καὶ εἴκοσι, καὶ ἑκατὸν ἔτεσιν, οὐδὲ ἐν μέρει τῆς οἰκουμένης, ἀλλὰ γῆ καὶ θάλαττα, οἰκουμένη τε καὶ ἀοίκητος διὰ παντὸς τοῦ αἰῶνος ᾄσονται, χάριν ὁμολογοῦντες ἐπὶ τοῖς ἀγαθοῖς τοῖς γεγενημένοις.*

*Ὑπὲρ δὴ τούτων ἁπάντων καὶ ἡμεῖς εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἐκεῖ καὶ τελείωσε, δηλαδὴ στὸ Χριστό. «Γι' αὐτό». Γιὰ ποιό; Διότι τόσα πολλὰ κατόρθωσες, διότι τέτοιους ἄρχοντες ἐγκατέστησες, διότι ἐξεδίωξες τὴν κακία, διότι φύτεψες τὴν ἀρετή, διότι ἔλαβες τὴ δική μας φύση, διότι πραγματοποίησες αὐτὰ τὰ ἀπόρρητα ἀγαθά· ὅλη ἡ οἰκουμένη θὰ σοῦ προσφέρει ὕμνο, ὄχι γιὰ σύντομο χρόνο, οὔτε γιὰ δέκα ἢ εἴκοσι ἢ ἑκατό ἔτη, οὔτε σ' ἕνα μέρος τῆς οἰκουμένης, ἀλλὰ γῆ καὶ θάλασσα, καὶ τὸ κατοικημένο μέρος τῆς γῆς καὶ τὸ ἀκατοίκητο θὰ σὲ ὑμνοῦν διαρκῶς, καὶ θὰ σὲ εὐχαριστοῦν γιὰ τὰ ἀγαθὰ ποὺ πραγματοποιήθηκαν.

Δι' ὅλα αὐτὰ λοιπὸν καὶ ἡμεῖς ἂς εὐχαριστήσουμε τὸν φιλάνθρωπο Χριστό, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει στὸν Πατέρα ἡ δόξα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΜΕ΄ ΨΑΛΜΟΝ

*«Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορέ, ὑπὲρ τῶν κρυφίων». Ἄλλος, «Τῷ νικοποιῷ τῶν υἱῶν Κορέ». Ἄλλος, «Ὑπὲρ νεοτήτων ᾆσμα».*

*«Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι, ταῖς εὑρούσαις ἡμᾶς σφόδρα». Ἄλλος, «Ἐν θλίψεσιν εὑρισκόμενος». «Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν».*

*1. Τῇ συνήθει κέχρηται φιλοσοφίᾳ ὁ προφήτης, τῶν μὲν βιωτικῶν ἀπάγων πραγμάτων, εἰς δὲ τὴν ἐλπίδα τὴν ἄνωθεν ἀνάγων τὸν ἀκροατήν. Μὴ γάρ μοι ὅπλα καὶ τείχη καὶ τάφρους εἴπῃς, φησί, μηδὲ περιουσίαν χρημάτων, καὶ πολεμικῶν ἐμπειρίαν, καὶ πλῆθος ἵππων, μηδὲ τόξα, καὶ βέλη, καὶ θώρακας, μηδὲ συμμάχων πλήθη, καὶ στρατιωτῶν φάλαγγας, μηδὲ σώματος ἰσχύν, καὶ πολεμίων πεῖραν. Πάντα ταῦτα ἀράχνης καὶ σκιᾶς ἀδρανέστερα. Ἀλλ' εἰ βούλει τὴν ἄμαχον ἰδεῖν δύναμιν, τὴν καταφυγὴν τὴν ἀχείρωτον, τὸ φρούριον τὸ ἄσυλον, τὸν πύργον τὸν ἄσειστον, ἐπὶ τὸν Θεὸν κατάφευγε, ἐκείνην ἐπισπῶ τὴν ἰσχύν. Καὶ καλῶς εἶπεν, «Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις», δεικνὺς ὅτι ποτὲ μὲν φεύγοντες νικῶμεν, ποτὲ δὲ ἱστάμενοι καὶ πολεμοῦντες. Καὶ γὰρ ἀμφότερα ταῦτα δεῖ ποιεῖν, καὶ ὁμόσε χωρεῖν, καὶ ἐκκλίνειν. Τοῦτο καὶ Παῦλος ἐποίει, ποτὲ μὲν ὑποχωρῶν, ποτὲ δὲ ἐπεμβαί-*

---

1. Συντάχθηκε ἀπό ποιητή τῆς οἰκογένειας Κορέ. Ἀναφέρεται στή θαυμαστή ἐπέμβαση τοῦ Θεοῦ σέ ὥρα κινδύνου μέ τήν ὁποία λυτρώθηκε ἡ ἁγία πόλη ἀπό τούς ἐχθρούς, καί στή συνέχεια ἐκφράζεται ἡ ἀπεριόριστη ἐμπιστοσύνη τοῦ Ἰσραήλ στόν Κύριο τῶν δυνάμεων. Πρβλ. Ἡσ. κεφ. 36 καί 37. Δ΄ Βασ. κεφ. 18 - 19. Β΄ παραλ. 20, 1 ἑ.

## ΟΜΙΛΙΑ ΣΤΟΝ ΜΕ΄ ΨΑΛΜΟΝ[1]

«Στό τέλος ὑπέρ τῶν υἱῶν Κορέ, ὑπέρ τῶν ἀποκρύφων μυστηρίων» Ἄλλος ἐξηγεῖ, «Στό νικητή τῶν υἱῶν Κορέ». Ἄλλος, «Ὕμνος ὑπέρ τῶν νεοτήτων».

«Ὁ Θεός εἶναι ἡ καταφυγή μας καί ἡ δύναμή μας, εἶναι ὁ πανίσχυρος βοηθός μας στίς θλίψεις πού μᾶς βρῆκαν». Ἄλλος λέγει, «Βρίσκεται βοηθός στίς θλίψεις». Γι' αὐτό δέν θά φοβηθοῦμε καί ἄν ἀκόμα ταράσσεται ἡ γῆ καί μετακινοῦνται τά ὄρη πρός τό μέσο τῶν θαλασσῶν».

1. Ὁ προφήτης χρησιμοποιεῖ τή *συνηθισμένη φιλοσοφική ἀρχή*, ἀφ' ἑνός μέν ἀπομακρύνει τόν ἀκροατή ἀπό τά κοσμικά πράγματα, ἀφ' ἑτέρου δέ τόν ὁδηγεῖ στήν ἐλπίδα πρός τόν οὐρανό. Μή δηλαδή, λέγει, μοῦ ἀναφέρεις *ὅπλα καί τείχη καί τάφρους, οὔτε ἀφθονία χρημάτων καί* ἐμπειρία πολεμικῶν πραγμάτων καί πλῆθος ἵππων, οὔτε τόξα καί βέλη καί θώρακες, οὔτε πλήθη συμμάχων καί φάλαγγες στρατιωτῶν, οὔτε σωματική δύναμη καί ἐχθρῶν πείρα, διότι ὅλα αὐτά εἶναι πιό ἀνίσχυρα ἀπό τήν ἀράχνη καί ἀπό τήν σκιά, ἀλλ' ἄν θέλεις νά δεῖς τήν ἀκαταμάχητη δύναμη, τό ἀκατανίκητο καταφύγιο, τό ἀπαραβίαστο φρούριο, τόν πύργο τόν ἀκλόνητο, νά καταφεύγεις στό Θεό, ἐκείνη τή δύναμη νά προσπαθεῖς νά προσελκύσεις. Καί καλά εἶπε, «Ὁ Θεός εἶναι καταφύγιό μας καί δύναμή μας», γιά νά δείξει, ὅτι ἄλλοτε μέν νικᾶμε φεύγοντας, ἄλλοτε δέ παραμένοντας στίς θέσεις μας καί πολεμώντας. Καθόσον πρέπει καί τά δυό αὐτά νά κάνουμε, καί νά ὁρμᾶμε κατά τοῦ ἐχθροῦ καί νά ὑποχωροῦμε. Αὐτό ἔκαμνε καί ὁ Παῦλος, ἄλλοτε μέν ὑποχωροῦσε, ἄλλοτε δέ ἐπιτί-

νων τοῖς ἐναντιουμένοις τῷ λόγῳ τῆς ἀληθείας. Τοῦτο καὶ ὁ Χριστὸς ἐποίει διδάσκων ἡμᾶς· τοῦτο καὶ ἡμᾶς δεῖ ποιεῖν, καὶ εἰδέναι μετὰ ἀκριβείας καιρῶν ἐπιτηδειότητα, καὶ εὔχεσθαι μὲν μὴ εἰσελθεῖν εἰς πειρασμὸν κατὰ τὸ λόγιον ἐκεῖνο τὸ εὐαγγελικόν, παραγενομένου δέ, μὴ μαλακίζεσθαι, ἀλλ᾿ ἑστάναι γενναίως.

«Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα». Ὃ πολλάκις εἶπον, καὶ νῦν λέγω. Οὐ κωλύει τὰς θλίψεις ἐπελθεῖν, ἀλλὰ παραγενομένων παρίσταται, χρησίμους ἡμᾶς ἐργαζόμενος καὶ δοκίμους. Τὸ δὲ «Σφόδρα» τῷ «Βοηθὸς» προσνεμητέον. Καὶ γὰρ οὐχ ὡς ἔτυχε βοηθεῖ, ἀλλὰ μετὰ τῆς ὑπερβολῆς, πλείονα παρέχων τὴν ἀπὸ τῆς συμμαχίας παράκλησιν τῆς ἀπὸ τῶν θλίψεων ὀδύνης. Οὐ γὰρ ὅσον ἀπαιτεῖ τῶν δεινῶν ἡ φύσις, τοσαύτην ἡμῖν παρέχει τὴν συμμαχίαν, ἀλλὰ πολλῷ πλείονα. «Διὰ τοῦτο οὐ φοβηθησόμεθα», φησίν, «ἐν τῷ ταράσσεσθαι τὴν γῆν». Ὁρᾷς πῶς πλείονα παρέχει τὴν βοήθειαν, καὶ ἐκ πολλῆς τῆς περιουσίας; Οὐ γὰρ εἶπεν, οὐ μόνον οὐχ ἁλωσόμεθα οὐδὲ πεσούμεθα, ἀλλ᾿ οὐδὲ ὃ κοινὸν τῆς φύσεώς ἐστι πεισόμεθα, τὸ φοβηθῆναι καὶ δεῖσαι. Πόθεν δὲ τοῦτο γίνεται; Ἐκ τοῦ τὴν συμμαχίαν ἐκ περιουσίας ἐπιέναι. Γῆν δὲ ἐνταῦθα, καὶ ὄρη, καὶ καρδίαν θαλασσῶν, οὐ τὰ στοιχεῖά φησιν, ἀλλὰ τῷ ὀνόματι τούτων τοὺς ἀφορήτους κινδύνους αἰνίττεται. Κἂν πάντα ἴδωμεν συγκεχυμένα, φησί, κἂν ταραχὴν ἀφόρητον, κἂν ταῦτα συμβαίνοντα, ἃ μηδέποτε γέγονε, κἂν αὐτήν, ὡς ἂν εἴποι τις, τὴν κτίσιν συρρηγνυμένην ἑαυτῇ, καὶ τοὺς τῆς φύσεως κινουμένους ὅρους, καὶ πάντα ἐκ βάθρων ἀνασπώμενα, καὶ τὰ πρῶτα στοιχεῖα συγχεόμενα,

---

1α. Ματθ. 6, 13.

θονταν ἐναντίον ἐκείνων ποὺ ἦταν ἀντίθετοι στὴ διδασκαλία τῆς ἀλήθειας. Αὐτὸ καὶ ὁ Χριστὸς ἔκαμνε ὅταν μᾶς δίδασκε, αὐτὸ πρέπει νὰ κάμνουμε καὶ ἐμεῖς καὶ νὰ μποροῦμε νὰ διακρίνουμε μὲ ἀκρίβεια τὶς κατάλληλες εὐκαιρίες καὶ νὰ εὐχόμαστε μὲν νὰ μὴ ὑποπέσουμε σὲ πειρασμὸ σύμφωνα μὲ τό εὐαγγελικὸ ἐκεῖνο λόγιο[1α], ὅταν ὅμως συμβεῖ νὰ πειρασθοῦμε, νὰ μὴ δείχνουμε δειλία, ἀλλὰ νὰ ἀντιστεκόμαστε μὲ γενναιότητα.

«Εἶναι πανίσχυρος βοηθός μας στὶς θλίψεις ποὺ μᾶς βρίσκουν». Ἐκεῖνο ποὺ εἶπα πολλὲς φορές, αὐτό θὰ πῶ καὶ τώρα. Δὲν ἐμποδίζει τὶς θλίψεις νὰ ἐπέλθουν, ἀλλὰ ὅταν ἔλθουν μᾶς συμπαραστέκεται, καὶ μᾶς κάμνει χρησίμους καὶ ἀξίους. Τό δὲ «σφόδρα» πρέπει ν' ἀποδοθεῖ στὴ λέξη «βοηθός». Καθόσον μᾶς βοηθεῖ ὄχι ὅπως τύχει, ἀλλὰ μὲ τρόπο ὑπερβολικό, παρέχοντας σὲ ἐμᾶς παρηγοριά, ποὺ προέρχεται ἀπὸ τὴ συμμαχία του, πολὺ μεγαλύτερη ἀπό τὴν ὀδύνη ἀπὸ τὶς θλίψεις. Διότι δὲν μᾶς παρέχει τή συμμαχία του σὲ τόσο βαθμό, ὅσο ἀπαιτεῖ ἡ φύση τῶν δεινῶν, ἀλλὰ πολὺ περισσότερη. «Γι' αὐτό», λέγει, «δὲν θὰ φοβηθοῦμε καὶ ἂν ἀκόμα συγκλονίζεται ἡ γῆ». Βλέπεις πῶς παρέχει περισσότερη βοήθεια καὶ κατὰ τρόπο πολὺ πλουσιοπάροχο; Διότι δὲν εἶπε, ὄχι μόνο δὲν θὰ καταβληθοῦμε, οὔτε θὰ πέσουμε, ἀλλὰ δὲν θὰ πάθουμε οὔτε αὐτό ποὺ εἶναι κοινό γνώρισμα τῆς φύσεως, τὸ νὰ φοβηθοῦμε καὶ νὰ τρομάξουμε. Ἀπὸ ποῦ δέ προέρχεται αὐτό; Ἀπὸ τὴν ὑπεραφθονία τῆς βοήθειας. Λέγοντας δὲ ἐδῶ γῆ καὶ ὄρη καὶ καρδιὰ θαλασσῶν, δὲν ἐννοεῖ τὰ φυσικὰ στοιχεῖα, ἀλλ' ὑπαινίσσεται μὲ τὶς λέξεις αὐτὲς τοὺς ἀφορήτους κινδύνους. Καὶ ἂν ἀκόμα δοῦμε ὅλα ἀναστατωμένα, λέγει, καὶ ἂν ἀκόμα δοῦμε ταραχὴ ἀφόρητη, καὶ ἂν ἀκόμα δοῦμε νὰ συμβαίνουν αὐτὰ ποὺ δὲν συνέβηκαν ποτέ, καὶ ἂν ἀκόμα, ὅπως θὰ μποροῦσε κανεὶς νὰ πεῖ, δοῦμε τὴν κτίση νὰ κατασυντρίβεται καὶ τὰ ὅρια τῆς φύσεως νὰ μετακινοῦνται καὶ ὅλα νὰ ξερριζώνονται ἀπὸ τὰ θεμέλια, καὶ τὰ

*καὶ τοσαύτην γινομένην τὴν ταραχήν, οὐ μόνον οὐχ ἁλωσόμεθα, ἀλλ' οὐδὲ δείσομεν. Τὸ δὲ αἴτιον, ὅτι ὁ πάντων τούτων Δεσπότης βοηθεῖ, καὶ χεῖρα ὀρέγει, καὶ παρίσταται. Εἰ δὲ τούτων γινομένων οὐκ ἂν ἐνδοίημεν, οὐδὲ καταμαλακισθείημεν, πολλῷ μᾶλλον ἐπιόντων τῶν ἐχθρῶν, καὶ τῶν πολεμίων παρατατιομένων.*

*Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν. Ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ». Ἄλλος φησίν· «Ἠχούντων καὶ θολουμένων τῶν ὑδάτων, καὶ σειομένων ὀρέων ἐν τῷ ἐνδοξασμῷ αὐτοῦ». Εἰπών, ὅτι οὐ δείσομεν συρρηγνυμένων ἁπάντων, λοιπὸν περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, ὅτι ἄμαχος αὐτοῦ ἡ ἰσχύς. Καὶ εἰκότως φησίν, οὐ δεδοίκαμεν, καὶ ὅπερ ἀεὶ ποιεῖ, νῦν μὲν ἀπὸ τῆς κτίσεως, νῦν δὲ ἀπὸ τῶν τοῖς ἀνθρώποις συμβαινόντων ἀνακηρύττει αὐτοῦ τὴν ἰσχύν, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· σείει πάντα, σαλεύει, μετατίθησιν, ὅταν βούληται· οὕτως αὐτῷ ῥάδια καὶ εὔκολα πάντα. Ἐμοὶ δὲ δοκεῖ τὰ πλήθη ἐνταῦθα αἰνίττεσθαι τῶν ἀνδρείων, καὶ τοὺς ὑψηλοὺς τῶν πολεμίων, καὶ τὸν ἄπειρον λαὸν τῶν ἐναντίων. Τοσαύτη γὰρ αὐτοῦ ἡ δύναμις, φησίν, ὡς ἁπλῶς νεῦσαι, καὶ ταῦτα πάντα γίνεσθαι. Πῶς οὖν δυνάμεθα φοβεῖσθαι τοιοῦτον ἔχοντες Δεσπότην; «Διάψαλμα». Ἄλλος, «Ἀεί».*

*«Τοῦ ποταμοῦ τὰ ὁρμήματα». Ἄλλος, «Διαιρέσεις». Ὁ δὲ Ἑβραῖος, «Φαλαγαῦ». Εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος». Ἄλλος φησί, «Τὸ ἅγιον τῆς κατασκηνώσεως τοῦ Ὑψίστου». «Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται. Βοηθήσει αὐτῇ ὁ Θεὸς τῷ*

πρῶτα στοιχεῖα νὰ καταστρὲφονται καὶ νὰ δημιουργεῖται τόσο μεγάλη ταραχή, ὄχι μόνο δὲν θὰ καταβληθοῦμε, ἀλλ' οὔτε καὶ θὰ φοβηθοῦμε. Ἡ δὲ αἰτία γι' αὐτό εἶναι, ὅτι μᾶς βοηθεῖ ὁ Κύριος ὅλων αὐτῶν, καὶ ἁπλώνει τό χέρι του καὶ μᾶς συμπαραστὲκεται. Ἂν δέ, καὶ ἂν ἀκόμη συμβοῦν αὐτά, δὲν θὰ φοβηθοῦμε, οὔτε θὰ δειλιάσουμε, πολὺ περισσότερο θὰ συμβεῖ αὐτό ὅταν ἔλθουν οἱ ἐχθροὶ καὶ παραταχθοῦν ἀπέναντί μας οἱ πολέμιοί μας.

«Βούϊξαν καὶ ταράχθηκαν τὰ ὕδατα τῶν θαλασσῶν. Ταράχθηκαν τὰ ὄρη ἀπὸ τὴν πανίσχυρη δύναμη αὐτοῦ». Ἄλλος λέγει˙ «Ὅταν βουΐζουν καὶ θολώνουν τὰ ὕδατα καὶ σείονται τὰ ὄρη ἀπὸ τό δοξασμό αὐτοῦ». Ἀφοῦ εἶπε, ὅτι δὲν θὰ φοβηθοῦμε, ὅταν θὰ συντρίβονται τὰ πάντα, στὴ συνέχεια ὁμιλεῖ γιὰ τὴ δύναμη αὐτοῦ, ὅτι δηλαδὴ εἶναι ἀκαταμάχητη ἡ δύναμή του. Καὶ πολὺ ὀρθὰ λέγει, δὲν θὰ φοβηθοῦμε, καὶ αὐτό ποὺ κάμνει πάντοτε, ἄλλοτε μὲν ἀνακηρύσσοντας τὴ δύναμή του ἀπό τὴν κτίση, ἄλλοτε δὲ ἀπό αὐτὰ ποὺ συμβαίνουν στοὺς ἀνθρώπους, αὐτὸ κάμνει καὶ ἐδῶ. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τό ἑξῆς˙ σείει τὰ πάντα, τὰ σαλεύει καὶ τὰ μεταθέτει ὅταν θέλει˙ τόσο εὔκολα καὶ εὐκολοκατόρθωτα εἶναι τὰ πάντα σ' αὐτόν. Ἐγὼ ὅμως νομίζω, ὅτι ἐδῶ ὑπαινίσσεται τὰ πλήθη τῶν ἀνδρείων καὶ τοὺς ἐξέχοντες τῶν ἐχθρῶν καὶ τόν ἄπειρο λαὸ τῶν ἐναντίων. Διότι, λέγει, τόσο μεγάλη εἶναι ἡ δύναμή του, ὥστε ἁπλῶς ἕνα νεῦμα νὰ κάνει, καὶ ὅλα αὐτὰ γίνονται. Πῶς λοιπόν εἶναι δυνατό νὰ φοβόμαστε, ὅταν ἔχουμε τέτοιο Κύριο; Ἀκολουθεῖ ἡ λέξη «διάψαλμα». Ἄλλος ἐξηγεῖ «Πάντοτε».

«Τοῦ ποταμοῦ τὰ ὁρμητικὰ νερά». Ἄλλος, «Οἱ διαιρέσεις». Ὁ δὲ ἑβραῖος λέγει «Φαταγοῦ». «Εὐφαίνουν τὴν πόλη τοῦ Θεοῦ˙ ἁγίασε ὁ Ὕψιστος τὸ κατοικητήριό του». Ἄλλος λέγει, «Τό ἅγιο μέρος ποὺ ἀποτελεῖ τὸ κατοικητήριο τοῦ Ὑψίστου». «Ὁ Θεὸς βρίσκεται στὸ μέσο αὐτῆς καὶ δὲν θὰ σαλευθεῖ˙ θὰ τὴν βοηθήσει ὁ Θεός γρήγορα καὶ ἔγκαιρα».

*πρὸς πρωῒ πρωΐ». Ἄλλος φησί, «Περὶ τὸν ὄρθρον». Ἄλλος. «Τὸ νεῦσαι πρωΐαν». Εἰπὼν περὶ τῆς δυνάμεως αὐτοῦ καὶ τῆς ἰσχύος, καὶ ὅτι ῥάδια αὐτῷ πάντα, εἰς τὴν τῆς Ἰουδαϊκῆς προνοίας ὑπόθεσιν μετατίθησι τὸν λόγον, τὰ δεδομένα αὐτοῖς ἀγαθὰ διὰ βραχέων λέξεων παριστάς. Οὗτος γάρ, ὁ οὕτω δυνατός, ὁ οὕτως ἰσχυρὸς καὶ φοβερός, καὶ πάντα ἄγων καὶ φέρων, ὁ πάντα σείων καὶ κινῶν, καὶ μετατιθεὶς καὶ μεθιστάς, μυρίων τὴν πόλιν ἡμῶν ἐνέπλησεν ἀγαθῶν. Ποταμὸς γὰρ ἐνταῦθα τὸ δαψιλὲς τῆς χορηγίας τῶν ἄνωθεν δωρεῶν, καὶ τὸ ἀκώλυτον καὶ τὸ ἐκκεχυμένον παρίστησιν, ὡσανεὶ ἔλεγε· καθάπερ ἐκ πηγῶν ἡμῖν ἅπαντα ἐπιρρεῖ τὰ ἀγαθά. Ὥσπερ γὰρ ποταμὸς εἰς μυρία σχιζόμενος μέρη, τὴν ὑποκειμένην ἄρδει χώραν, οὕτως ἡ τοῦ Θεοῦ πρόνοια πανταχόθεν ἐπιρρεῖ, δαψιλῶς φερομένη, καὶ ῥοιζηλὸν ἐπιοῦσα, καὶ πάντα πληροῦσα. Οὐκ ἀσφάλειαν δὲ παρέχει μόνον ἡμῖν, οὐδὲ βοήθειαν ἀρραγῆ, ἀλλὰ καὶ πνευματικὴν χαράν· διό φησιν· «Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος». Καὶ τοῦτο δὲ εὐεργεσίας αὐτὸ μέρος οὐ μικρόν, τὸ σκήνωμα αὐτοῦ καλέσαι τὸν τόπον.*

*2. Καὶ οὐχ ἁπλῶς τέθεικε τό, «Ὁ Ὕψιστος». Ὁ οὖν οὕτως ὑψηλός, ὁ μηδενὶ τόπῳ περιεχόμενος, ἡ ἄφραστος οὐσία, κατηξίωσε σκήνωμα αὐτοῦ καλέσαι τὴν πόλιν τὴν ἡμετέραν, καὶ πάντοθεν αὐτὴν συνέχει. Τοῦτο γάρ ἐστιν, «Ἐν μέσῳ αὐτῆς», ὡς καὶ ἀλλαχοῦ λέγει· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι». Πάντοθεν αὐτὴν συγκροτεῖ· διὰ τοῦτο οὐ μόνον οὐδὲν πείσεται δεινόν, ἀλλ' οὐδὲ σαλευθήσεται. Καὶ τὸ αἴτιον, ὅτι ταχίστης ἀπολαύει τῆς συμμαχίας, ἑτοίμου καὶ παρεσκευασμένης οὔσης· τοῦτο γάρ ἐστι τὸ «Πρωΐ»· οὐ μελλούσης οὐδὲ βραδυνούσης, ἀλλὰ νεαρᾶς ἀεὶ καὶ ἀκμαζούσης, καὶ ἐν καιρῷ τῷ προσήκοντι. «Ἐταράχθησαν ἔθνη». Ἄλλος. «Συνήχθησαν ἔθνη». «Ἔκλιναν βασιλεῖαι. Ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὑψι-*

2. Ματθ. 28, 20.

῞Αλλος λέγει, «Περὶ τὸν ὄρθρο». ῞Αλλος, «Ρίχνοντας τὸ βλέμμα του τὸ πρωΐ». ᾿Αφοῦ μίλησε γιὰ τὴ δύναμη καὶ τὴν ἰσχύ του καὶ ὅτι ὅλα εἶναι εὔκολα σ᾿ αὐτόν, μεταφέρει τὸ λόγο στὴν ὑπόθεση τῆς ᾿Ιουδαϊκῆς πρόνοιας, παρουσιάζοντας μὲ σύντομες λέξεις τὰ ἀγαθὰ ποὺ δόθηκαν σ᾿ αὐτούς. Διότι αὐτός, ὁ τόσο δυνατός, ὁ τόσο ἰσχυρὸς καὶ φοβερὸς καὶ ποὺ ὅλα τὰ κάμνει ὅ,τι θέλει, ποὺ σείει καὶ κινεῖ τὰ πάντα καὶ τὰ μετακινεῖ, καὶ ἀλλάσσει τὴν θέση τους, γέμισε τὴν πόλη μας μὲ ἀμέτρητα ἀγαθά. Διότι ὁ ποταμὸς ἐδῶ παριστάνει τὴν ἀφθονία τῆς χορηγίας τῶν οὐρανίων δωρεῶν καὶ τὸ ἀνεμπόδιστο τῆς πλουσιοπάροχης χορηγίας τῶν δωρεῶν του, σὰν νὰ ἔλεγε· ὅλα τὰ ἀγαθά μου χύνονται πρὸς ἐσᾶς σὰν ἀπὸ πηγές. Διότι, ὅπως ἀκριβῶς ὁ ποταμός, διακλαδιζόμενος σὲ ἄπειρα μέρη, ποτίζει τὴ χώρα στὴν ὁποία ἁπλώνεται, ἔτσι ἡ πρόνοια τοῦ Θεοῦ παντοῦ χύνεται, σκορπίζεται μὲ ἀφθονία, ἔρχεται μὲ ὁρμητικότητα καὶ ὅλα τὰ γεμίζει. Δὲν μᾶς χαρίζει μόνο ἀσφάλεια, οὔτε βοήθεια πανίσχυρη, ἀλλὰ καὶ πνευματικὴ χαρά, γι᾿ αὐτὸ λέγει· «᾿Αγίασε ὁ ῞Υψιστος τὸ κατοικητήριό του». Καὶ αὐτὸ δὲ εἶναι ὄχι μικρὸ μέρος εὐεργεσίας, τὸ νὰ ὀνομάσει τὸν τόπο κατοικητήριο αὐτοῦ.

2. Καὶ δὲν ἔθεσε τυχαῖα τό, «῞Υψιστος». ῾Ο τόσο δηλαδὴ ὑψηλός, ποὺ δὲν περιέχεται σὲ κανένα τόπο, ἡ ἀπερίγραπτη οὐσία, καταδέχθηκε νὰ ὀνομάσει τὴν πόλη τους κατοικητήριό του καὶ φρουρεῖ αὐτὴ ἀπὸ παντοῦ. Διότι αὐτὸ σημαίνει, «Εἰς τὸ μέσον αὐτῆς», ὅπως καὶ ἀλλοῦ λέγει· «Νὰ ἐγὼ εἶμαι μαζί σας»[2]. ᾿Απὸ παντοῦ τὴν ὑποστηρίζει· γι᾿ αὐτὸ ὄχι μόνο δὲν θὰ πάθει κανένα κακό, ἀλλ᾿ οὔτε θὰ σαλευθεῖ. Καὶ ἡ αἰτία εἶναι, ὅτι ἀπολαμβάνει ταχίστης συμμαχίας, ποὺ εἶναι ἕτοιμη καὶ προπαρασκευασμένη νὰ σπεύσει σὲ βοήθεια· διότι αὐτὸ σημαίνει ἡ λέξη «πρωΐ»· δὲν χρονοτριβεῖ, οὔτε βραδύνει, ἀλλὰ πάντοτε εἶναι νεαρὴ καὶ εὑρίσκεται σὲ ἀκμὴ καὶ δρᾶ στὸν κατάλληλο καιρό. «Ταράχθηκαν ἔθνη». ῞Αλλος· «Συγκεντρώθηκαν ἔθνη». «Κινήθηκαν ἐναντίον της βασίλεια. ᾿Εξέβαλε ὁ Κύριος φωνὴ

*στος, ἐσαλεύθη ἡ γῆ». Δείκνυσιν αὐτοῦ τῆς βοηθείας ἐνταῦθα τὴν δύναμιν. Οὐ γὰρ δὴ τῶν τυχόντων ἐπιόντων, ἀλλὰ βασιλέων, ἐθνῶν πάντοθεν συνιόντων, κυκλούντων, πολιορκούντων πόλιν μίαν, οὐ μόνον οὐδὲν ἔπαθεν ὑπ' αὐτῶν δεινόν, ἀλλὰ καὶ περιεγένετο, καὶ ἐκράτησε, καὶ περιέτρεψε τοὺς ἐπιόντας. Τοῦτο γάρ ἐστι τό, «Ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος»· ὡς ἂν εἴποι τις, αὐτοβοεὶ τὰς πόλεις εἷλε. Παχὺ μὲν τὸ ῥῆμα, καὶ ἀνθρωπινώτερον τὸ εἰρημένον. Οὐδὲ γὰρ φωνῇ καὶ βοῇ ὁ Θεὸς νικᾷ, ἀλλὰ νεύματι μόνῳ καὶ βουλήματι. Ἀλλ' ὅμως ἀπὸ τῶν παχυτέρων αὐτὸν ἀνάγων, τῶν ἄλλων ὑψηλοτέραν ἐπενόησε λέξιν. Ἐπειδὴ γὰρ ἀεὶ ὁπλιζόμενον αὐτὸν εἰσάγει, δεικνὺς ὅτι πάντα ἐκεῖνα μεταφορικῶς εἴρηται, καὶ τροπικώτερον, καὶ συγκαταβατικώτερον (ὁ γὰρ Θεὸς οὐδενὸς τούτων δεῖται), ἐπήγαγεν, «Ἔδωκε φωνὴν αὐτοῦ, καὶ ἐσαλεύθη ἡ γῆ», δεικνύς, ὅτι οὐ μόνον πόλεις καὶ ἔθνη καὶ χώρας, ἀλλὰ καὶ αὐτὸ τὸ στοιχεῖον διασείει. Οἶδε δὲ καὶ γῆν τὰ πλήθη καλεῖν, ὡς ὅταν λέγῃ· «Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν».*

*«Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν. Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ». Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, «Τῶν δυνάμεων», «Σαβαώθ» εἶπεν. Ὅρα πῶς ἀπὸ τῆς γῆς ἀνάγει τὸν λόγον ἐπὶ τὸν οὐρανόν, εἰς τοὺς ἀπείρους τῶν ἀγγέλων δήμους, εἰς τὰ ἔθνη τῶν ἀρχαγγέλων, εἰς τὰς δυνάμεις τὰς ἄνω. Τί γάρ μοι λέγεις στρατόπεδα, καὶ βαρβάρους, καὶ ἀνθρώπους ἀπολλυμένους; φησίν. Ἐννόησον αὐτοῦ τὴν ἰσχύν, ἀπὸ τῆς ἐν τοῖς οὐρανοῖς βασιλείας, ὅσα στρατόπεδα τῶν ἀοράτων δυνάμεων ὑφ' ἑαυτῷ τεταγμένα ἔχει. Καὶ καλῶς δυνάμεις ἐκάλεσε, τὴν ἰσχὺν αὐτῶν ἐνδεικνύμενος· ὅπερ καὶ ἀλλαχοῦ φησι· «Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ». Καὶ γὰρ εἷς ἀγ-*

3. Γεν. 11, 1.
4 Ψαλ. 102 20

ἀπὸ τὸν οὐρανὸ καὶ σαλεύθηκε ἡ γῆ». Ἐδῶ δείχνει τὴ δύναμη τῆς βοήθειας τοῦ Θεοῦ. Διότι δὲν ἦταν τυχαῖοι αὐτοὶ ποὺ ἐπέδραμαν, ἀλλὰ βασιλεῖς, ἔθνη ποὺ συγκεντρώθηκαν ἀπὸ παντοῦ, ποὺ κύκλωσαν καὶ πολιόρκησαν μία πόλη καὶ ἡ ὁποία ὄχι μόνο δὲν ἔπαθε ἀπό αὐτούς κανένα κακό, ἀλλὰ καὶ ὑπερίσχυσε καὶ ἐπεκράτησε καὶ ἔτρεψε σὲ φυγὴ τοὺς ἐπιδρομεῖς. Διότι αὐτό σημαίνει τὸ «Ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος»· ὅπως θὰ μποροῦσε κανεὶς νὰ πεῖ, ἀμέσως κυρίευσε τὶς πόλεις. Εἶναι χονδροειδὴς ἡ λέξη καὶ ἀνθρωπινώτερο τό λεχθέν. Διότι ὁ Θεὸς δὲν νικᾶ μὲ φωνὴ καὶ βοή, ἀλλὰ μόνο μὲ τὸ βλέμμα του καὶ μὲ τὸ νὰ τὸ θελήσει. Ἀλλ᾽ ὅμως ἀνυψώνοντας αὐτὸν ἀπὸ τὰ ὑλικώτερα, ἐπινόησε λέξη ὑψηλότερη ἀπὸ τὶς ἄλλες. Ἐπειδὴ δηλαδὴ παρουσιάζει αὐτὸν συνεχῶς ὁπλισμένο, γιὰ νὰ δείξει, ὅτι ὅλα ἐκεῖνα λέχθηκαν μεταφορικά, ἀλληγορικὰ καὶ μὲ πολλὴ συγκατάβαση (διότι ὁ Θεὸς δὲν χρειάζεται τίποτε ἀπὸ αὐτά), πρόσθεσε· «Ἐξέβαλε βροντερὴ φωνὴ καὶ σαλεύθηκε ἡ γῆ», γιὰ νὰ δείξει, ὅτι ὄχι μόνο πόλεις καὶ ἔθνη καὶ χῶρες, ἀλλὰ διασείει καὶ αὐτὴ τὴν ἴδια τὴ γῆ. Γνωρίζει δὲ ἡ Γραφὴ νὰ ὀνομάζει καὶ γῆ τὰ πλήθη, ὅπως ὅταν λέγει· «Καὶ ἦταν ὅλη ἡ γῆ σὰν ἕνα χεῖλος»[3].

«Ὁ Κύριος τῶν δυνάμεων εἶναι μαζί μας. Ὁ Θεὸς τοῦ Ἰακὼβ εἶναι βοηθός μας καὶ προστάτης μας». Ὁ δὲ ἑβραῖος ἀντὶ τοῦ «Τῶν δυνάμεων», λέγει, «Σαβαώθ». Πρόσεχε πῶς ἀπὸ τὴ γῆ μεταφέρει τὸ λόγο στὸν οὐρανό, στὰ ἄπειρα πλήθη τῶν ἀγγέλων, στὰ ἔθνη τῶν ἀρχαγγέλων, στὶς οὐράνιες δυνάμεις. Γιατὶ δηλαδή, λέγει, μοῦ ἀναφέρεις στρατόπεδα καὶ βαρβάρους καὶ ἀνθρώπους χαμένους; Σκέψου τὴ δύναμη αὐτοῦ ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν, πόσο δηλαδὴ στρατόπεδα τῶν ἀοράτων δυνάμεων ἔχει ὑποταγμένα στὸν ἑαυτό του. Καὶ καλῶς τὶς ὀνόμασε δυνάμεις, γιὰ νὰ δείξει τὴ δύναμη αὐτῶν, πράγμα ποὺ λέγει καὶ ἀλλοῦ· «Ποὺ εἶναι δυνατοὶ οἱ ἄγγελοι ποὺ ἐκτελοῦν τὸ θέλημα τοῦ Θεοῦ»[4]. Καθόσον ἕνας ἄγγελος

*γελός ποτε ἐξελθών, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀνεῖλε. Τί οὖν εἰ δυνατὸς μέν ἐστιν, οὐ βούλεται δὲ ἡμῖν χεῖρα ὀρέξαι; Ἀλλὰ μηδὲ τοῦτο δείσῃς, φησί· διὰ τοῦτο ἐπήγαγεν, «Ἀντιλήπτωρ ἡμῶν». Οὐκοῦν καὶ βούλεται καὶ δύναται· μὴ τοίνυν φοβοῦ. Τί οὖν εἰ ἡμεῖς ἀνάξιοι; Ἀλλὰ πατρῴαν πρὸς αὐτὸν ἔχομεν φιλανθρωπίαν. Διὸ καὶ τοῦτο προστιθεὶς ἔλεγεν, «Ὁ Θεὸς Ἰακώβ», ὡσανεὶ ἔλεγεν· ἀεὶ τοῦτο τὸ ἔθος αὐτῷ, φησίν, ἄνωθεν, καὶ ἐξ ἀρχῆς. «Διάψαλμα». Ἄλλος, «Ἀεί».*

*Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον (ἄλλος λέγει, «Συνέκλασε»), καὶ θυρεοὺς κατακαύσει ἐν πυρί». Ἄλλος, «Καὶ ἁμάξας ἐμπρήσει ἐν πυρί». Εἰπὼν περὶ τῆς γῆς, περὶ τῆς θαλάσσης, περὶ τῶν ὀρῶν, περὶ τῆς πνευματικῆς χορηγίας τῆς εἰς αὐτοὺς γεγενημένης, περὶ τῆς συμμαχίας, πάλιν ἐκτείνει τὴν ὑπόθεσιν πρὸς τοὺς θεατάς, ἐπὶ τὰ τρόπαια αὐτοὺς καλῶν ἐξ ἡδονῆς πολλῆς, καὶ τῆς πρὸς τὸν Δεσπότην διαθέσεως, καὶ τὰς νίκας ἀναγορεύων, ἃς ὑπὲρ αὐτῶν εἰργάσατο. Καὶ καλῶς εἶπε, «Τέρατα», οὐκ εἶπε, νίκας καὶ τρόπαια. Οὐ γὰρ κατὰ ἀκολουθίαν ἐγίνετο τὰ γινόμενα, οὐδὲ ὅπλοις καὶ δυνάμει σωμάτων τὰ τῆς μάχης ἐκρίνετο, ἀλλὰ Θεοῦ νεύματι, τῶν πραγμάτων δηλούντων, ὅτι αὐτὸς ἦν ὁ στρατηγῶν. Ἐπειδὴ γὰρ οἱ ἀσθενεῖς τοὺς δυνατοὺς ἐνίκων, οἱ ὀλίγοι τοὺς πολλούς, οἱ κεκρατημένοι τοὺς κρατοῦντας, καὶ παρ' ἐλπίδα τὰ πράγματα ἐγίνετο, εἰκότως αὐτὰ τέρατα καλεῖ, ἅτε παραδόξως συμβαίνοντα, καὶ πανταχοῦ τῆς γῆς ἐκτεταμένα.*

*3. Τοῦτο δὲ οὐκ ἄν τις ἁμάρτοι καὶ κατὰ ἀναγωγὴν ἐκλαβών, καὶ εἰς τὸν παρόντα καιρόν. Καὶ γὰρ πόλεμον χαλεπὸν κατέλυσε τὸν τῶν δαιμόνων, καὶ πανταχοῦ τῆς οἰκουμέ-*

5. Δ΄ Βασ. 19. 35.

ποὺ ἐξῆλθε κάποτε, φόνευσε ἑκατὸν ὀγδόντα πέντε χιλιάδες[7]. Τί λοιπόν, ἂν εἶναι μὲν δυνατός, δὲν θέλει ὅμως νὰ μᾶς βοηθήσει; Ἀλλ' οὔτε αὐτὸ νὰ φοβηθεῖς, λέγει· γι' αὐτὸ πρόσθεσε, «βοηθὸς καὶ προστάτης μας». Πράγματι καὶ θέλει καὶ μπορεῖ· μὴ λοιπὸν φοβεῖσαι. Τί λοιπὸν ἐὰν ἡμεῖς εἴμαστε ἀνάξιοι; Ἀλλ' ὅμως ἡ φιλανθρωπία του πρὸς ἐμᾶς εἶναι πατρική. Γι' αὐτό, ἀφοῦ πρόσθεσε καὶ αὐτό, ἔλεγε, «Ὁ Θεὸς τοῦ Ἰακώβ», σὰ νὰ ἔλεγε· αὐτὴ πάντοτε εἶναι ἡ συνήθειά του ἀπὸ τὴν ἀρχὴ καὶ ἀνέκαθεν. Ἀκολουθεῖ ἡ λέξη, «Διάψαλμα». Ἄλλος ἐξηγεῖ «πάντοτε».

«Ἐλᾶτε καὶ δέστε τὰ ἔργα τοῦ Θεοῦ, τὰ θαυμαστὰ τρόπαια ποὺ ἔστησε ἐπάνω στὴ γῆ. Κατέπαυσε ἐξ ὁλοκλήρου πολὲμους μέχρι τὰ πέρατα τῆς γῆς. Θὰ συντρίψει κάθε τόξο καὶ θὰ θραύσει κάθε ὅπλο (ἄλλος λέγει, «Συνέτριψε»), καὶ θὰ κατακάψει τὶς ἀσπίδες μὲ φωτιά». Ἄλλος, «Καὶ θὰ κατακάψει τὶς πολεμικὲς ἅμαξες μὲ φωτιά». Ἀφοῦ μίλησε γιὰ τὴ γῆ, γιὰ τὴ θάλασσα, γιὰ τὰ ὄρη, γιὰ τὴν πνευματικὴ χορηγία τῶν δωρεῶν του πρὸς αὐτούς, γιὰ τὴν συμμαχία, πάλι μεταφέρει τὸ λόγο πρός τούς θεατές, καὶ ἀπὸ πολλὴ εὐχαρίστηση καὶ διάθεση πρός τόν Κύριο, καλεῖ αὐτούς πρός τὰ τρόπαια, περιγράφοντας τὶς νίκες ποὺ πραγματοποίησε γιὰ χάρη τους. Καὶ καλὰ εἶπε, «Τέρατα», καὶ δὲν εἶπε, νίκες καὶ τρόπαια. Διότι τὰ ὅσα ἔγιναν δὲν ἔγιναν κατὰ τὸ συνηθισμένο τρόπο, οὔτε μὲ τὰ ὅπλα καὶ μὲ σωματικὴ δύναμη κρίνονταν τὰ τῆς μάχης, ἀλλὰ μὲ τὸ ἁπλὸ βλέμμα τοῦ Θεοῦ, καὶ τὰ ἴδια τὰ πράγματα φανέρωναν, ὅτι αὐτὸς ἦταν ὁ στρατηγός. Ἐπειδὴ δηλαδὴ οἱ ἀδύναμοι νικοῦσαν τοὺς δυνατούς, οἱ λίγοι τοὺς πολλούς, οἱ ἐξουσιαζόμενοι τοὺς ἐξουσιαστὲς καὶ τὰ γεγονότα συνέβαιναν παρ' ἐλπίδα, πολὺ ὀρθὰ ὀνομάζει αὐτὰ τέρατα, ἐπειδὴ συνέβαιναν κατὰ τρόπο παράδοξο καὶ ἐπεκτείνονταν εἰς ὅλα τὰ μέρη τῆς γῆς.

3. Αὐτὸ δὲ δὲν θὰ ἔσφαλλε κανεὶς ἂν ἐξελάμβανε κατὰ τρόπο ἀλληγορικὸ καὶ στὸν παρόντα καιρό. Καθόσον κατέλυσε τὸ φοβερό πόλεμο τῶν δαιμόνων καὶ ἐπεξέτεινε

*νης τὴν εἰρήνην ἐξέτεινε, καὶ τὸν αἰσθητὸν δὲ αὐτῶν πόλεμον συγκατέβαλεν. Ὅπερ καὶ ὁ Ἡσαΐας δηλῶν ἔλεγε· «Συντρίψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν». Πρὸ μὲν γὰρ τῆς τοῦ Χριστοῦ παρουσίας πάντες ἄνθρωποι ὅπλα ἐτίθεντο, καὶ οὐδεὶς ἀτελὴς ταύτης τῆς λειτουργίας ἦν, καὶ πόλεις πρὸς τὰς πόλεις ἐμάχοντο, καὶ διόλου τὰ τῶν πολέμων συνεκροτεῖτο· νῦν δὲ τὸ πλέον τῆς οἰκουμένης ἐν εἰρήνῃ, πάντων ἐν ἀδείᾳ καὶ τέχνας μετιόντων, καὶ γῆν ἐργαζομένων, καὶ θάλατταν πλεόντων· ὀλίγον δέ ἐστι τὸ στρατιωτικὸν πρὸ τῶν ἄλλων ἁπάντων τεταγμένον. Καὶ τούτου δὲ ἂν ἡ χρεία κατελύθη, εἰ τὰ προσήκοντα ἐπράττομεν, καὶ μὴ ἐδεόμεθα τῆς ἀπὸ τῶν θλίψεων ὑπομνήσεως. Πῦρ δὲ ἐνταῦθα τὴν ὀργὴν αὐτοῦ καλεῖ, καὶ πρᾶγμα συμβεβηκὸς λέγει, ὅτι τὰ ὅπλα αὐτῶν κατέκαυσαν, κατὰ κράτος νικήσαντες, καὶ τὰ ἅρματα, ὅπερ Ἰεζεκιὴλ φησι· καὶ ὅσοι φιλομαθεῖς, ἴσασι τὴν ἱστορίαν.*

*«Σχολάσατε, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός. Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσι, ὑψωθήσομαι ἐν τῇ γῇ». Ἄλλος φησίν, «Ἰάθητε καὶ γνῶτε». Ἄλλος, «Ἐάσατε, ἵνα γνῶτε». Ὁ δὲ Ἑβραΐδς φησιν, «Οὐαρφοῦ οὐαδοῦ». Ἐνταῦθα μοι δοκεῖ πρὸς τὰ ἔθνη διαλέγεσθαι, μονονουχὶ τοῦτο λέγων· ἔγνωτε μὲν αὐτοῦ τὴν ἰσχύν, φησί, καὶ τὴν δύναμιν τὴν πανταχοῦ τῆς οἰκουμένης ἐκτεταμένην· δεῖ δὲ ὑμῖν σχολῆς, δεῖ δὲ ὑμῖν ὑγιαινούσης ψυχῆς. Καὶ τὸ «Ἐάσατε» δὲ τὸ αὐτὸ δηλοῖ· ἄφετε τὴν πλάνην, ἀπαλλάγητε τῆς προτέρας ἀναστροφῆς, ἀναπνεύσατε ἐκ τῆς ἀχλύος τῶν κατεχόντων ὑμᾶς πονηρῶν πρα-*

---

6. Ἠσ. 2, 4.
7. Ἰεζ. 39, 10.

τὴν εἰρήνη σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης καὶ κατέβαλε μαζὶ μὲ αὐτὰ καὶ τὸν αἰσθητό πόλεμο αὐτῶν. Θέλοντας καὶ ὁ Ἠσαΐας νὰ δηλώσει αὐτό, ἔλεγε· «Θὰ συντρίψουν τὶς μάχαιρές τους στὰ ἄροτρα καὶ τὰ δόρατά τους στὰ δρεπάνια καὶ δὲν θὰ σηκώσει ἔθνος μάχαιρα ἐναντίον ἄλλου ἔθνους, οὔτε θὰ μαθαίνουν πλέον οἱ ἄνθρωποι νὰ πολεμοῦν»[6]. Πρὶν δηλαδὴ ἀπὸ τὴν παρουσία τοῦ Χριστοῦ ὅλοι οἱ ἄνθρωποι γυμνάζονταν στὰ ὅπλα καὶ κανένας δὲν ἦταν ἀπαίδευτος σ' αὐτὸ τό ἔργο, καὶ πόλεις μάχονταν ἐναντίον ἄλλων πόλεων, καὶ παντοῦ ἐπεκρατοῦσε πολεμικὸ κλίμα, τώρα ὅμως τὸ μεγαλύτερο μέρος τῆς οἰκουμένης ζεῖ εἰρηνικά, καὶ ὅλοι ἀσχολοῦνται χωρὶς φόβο μὲ τὶς τέχνες καὶ καλλιεργοῦν τὴ γῆ καὶ ταξιδεύουν στὴ θάλασσα, λίγος δὲ εἶναι ὁ στρατός ποὺ εἶναι ταγμένος νὰ προστατεύει ὅλους τοὺς ἄλλους. Καὶ θὰ ἦταν δυνατό νὰ ἐκλείψει ἡ ἀνάγκη καὶ αὐτοῦ, ἂν κάμναμε αὐτὸ ποὺ πρέπει καὶ δὲν χρειαζόμασταν τὴν ὑπενθύμιση ἀπὸ τὶς θλίψεις, ὅτι πρέπει νά ζοῦμε ἔτσι. Πῦρ δὲ ἐδῶ ὀνομάζει τὴν ὀργὴ αὐτοῦ καὶ ἀναφέρει κάποιο γεγονός, διότι κατέκαψαν τὰ ὅπλα τους καὶ τά ἅρματά τους, ἀφοῦ τούς νίκησαν κατὰ κράτος, πράγμα πού λέγει καὶ ὁ Ἰεζεκιήλ[7], καί, ὅσοι εἶναι φιλομαθεῖς, γνωρίζουν τὴν ἱστορία.

«Ἀπαλλαγεῖτε ἀπὸ κάθε περισπασμὸ καὶ μάθετε, ὅτι ἐγὼ εἶμαι ὁ Θεός. Θὰ δοξασθῶ ἀπὸ τούς ἐθνικούς, θά δοξασθῶ ἀπὸ ὅλη τὴ γῆ». Ἄλλος λέγει, «Θεραπευθεῖτε καὶ μάθετε». Ἄλλος, «Ἀφῆστε, γιὰ νὰ μάθετε». Ὁ δὲ ἑβραῖος λέγει, «Ούαρφοῦ οὐαδοῦ». Ἐδῶ νομίζω, ὅτι ἀπευθύνεται πρὸς τοὺς ἐθνικούς, καὶ εἶναι σὰν νά τούς λέγει αὐτό. «Γνωρίσατε, λέγει, τὴν ἰσχὺ αὐτοῦ καὶ τὴ δύναμη ποὺ ἐκτείνεται σ' ὁλόκληρη τὴν οἰκουμένη, χρειάζεται ὅμως νά ἀφῆστε τὶς παλιὲς συνήθειές σας, πρέπει νά ἐξυγειάνετε τὴν ψυχή σας. Καὶ τὸ «Ἐάσατε» δὲ αὐτὸ φανερώνει· ἀφῆστε τὴν πλάνη, ἀπαλλαγεῖτε ἀπὸ τὴν προηγούμενη συναναστροφὴ σας μὲ τὴν ἁμαρτία, ἀναπνεῦστε ἀπὸ τὴν καταχνιὰ τῶν πονηρῶν πραγμάτων ποὺ σᾶς ἔχουν

γμάτων, ἵνα ἀπὸ τῆς τῶν θαυμάτων διδασκαλίας χειραγωγούμενοι καὶ τὴν ψυχὴν σχολάζουσαν ἔχοντες, ἐπιγνῶτε τὸν τῶν ὅλων Θεόν. Οὐδὲ γὰρ ἀρκεῖ τὰ θαύματα μόνον, ἐὰν μὴ καὶ ψυχὴ εὐγνώμων ᾖ. Ἐπεὶ καὶ ἐπὶ τῶν Ἰουδαίων ἐγένετο θαύματα, καὶ οὐδὲν πλέον ἐγένετο πρὸς τὴν σωτηρίαν ἐκείνων. Ὥσπερ γὰρ οὐκ ἀρκοῦσιν αἱ τοῦ ἡλίου ἀκτῖνες, ἐὰν μὴ καὶ ὁ ὀφθαλμὸς καθαρὸς ᾖ καὶ ὑγιαίνων, οὕτω δὴ οὐδὲ ἐνταῦθα τὰ θαύματα μόνον ἀρκεῖ. Διὸ δὴ περὶ ἐκείνων διαλεχθείς, παραινεῖ τοῖς μέλλουσιν αὐτῶν καρποῦσθαι τὴν ὠφέλειαν, ἀναπνεῦσαι ἐκ τῶν κατεχόντων αὐτοὺς κακῶν, ὥστε μαθεῖν τὸν Θεὸν τὸν ἐπὶ τῶν ὅλων.

«Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, οὐ τὰ εἴδωλα, οὐδὲ τὰ ξόανα. Σχολάσατε τοίνυν καὶ πολλὰς ὑμῖν παρέξομαι τὰς ἀποδείξεις. Τοῦτο γάρ ἐστι τό, «Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ»· τουτέστι, διὰ τῶν ἔργων ὑμῖν δειχθήσομαι μέγας καὶ ὑψηλός. Ἔχει μὲν γὰρ τὸ οἰκεῖον ἡ φύσις ὕψος, ἡ ἀκήρατος ἐκείνη καὶ ἄφραστος, ἐπειδὴ δὲ τοῦτο ὑμεῖς οὐ συνορᾶτε, καὶ διὰ τῶν ἔργων ὑμῖν αὐτὸ ἐπιδείξω. Οὐ μόνον δὲ ἐν τῇ Παλαιστίνῃ, οὐδὲ μόνον ἐν Ἱεροσολύμοις, ἀλλὰ καὶ παρ' ὑμῖν τοῖς ἔθνεσιν. Οὕτω γοῦν ὑψοῦται, κρατῶν αὐτῶν καὶ περιγινόμενος, θαύματα ἐργαζόμενος ἐν Βαβυλῶνι, θαύματα ἐν Αἰγύπτῳ, θαύματα ἐν ἐρήμῳ, θαύματα πανταχοῦ τῆς οἰκουμένης, ὡς πανταχόθεν αὐτοὺς διδασκαλίαν ἔχειν τῆς αὐτοῦ γνώσεως. «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ». Οὗτος τοίνυν ὁ Θεός, ὁ πανταχοῦ μέγας, ὁ πανταχοῦ ὑψηλός, οὗτος ἀεὶ μεθ' ἡμῶν ἕστηκε. Μηδὲν οὖν φοβεῖσθε, μηδὲ ταράσσεσθε, οὕτως ἔχοντες ἄμαχον Δεσπότην, ᾧ πρέπει πᾶσα τιμὴ καὶ δόξα σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

8. Ξόανο· ξύλινο ἄγαλμα, ὁμοίωμα τοῦ θεοῦ.

κυριέψει, ὥστε καθοδηγούμενοι ἀπὸ τὴ διδασκαλία τῶν θαυμάτων καὶ ἔχοντας τὴν ψυχή σας ἀφοσιωμένη πρὸς τὸν οὐρανό, νὰ γνωρίσετε τό Θεὸ τῶν πάντων. Διότι δὲν ἀρκοῦν μόνο τὰ θαύματα, ἂν καὶ ἡ ψυχὴ δὲν εἶναι εὐγνώμων. Καθόσον καὶ στοὺς Ἰουδαίους ἔγιναν θαύματα, καὶ τίποτε ἐπὶ πλέον δὲν ἐπιτεύχθηκε ἐξ αἰτίας τῆς κακίας ἐκείνων. Διότι, ὅπως ἀκριβῶς δὲν ἀρκοῦν οἱ ἀκτίνες τοῦ ἥλιου, ἂν δὲν εἶναι καὶ ὁ ὀφθαλμός καθαρός καὶ ὑγιής, ἔτσι λοιπόν οὔτε ἐδῶ τὰ θαύματα μόνο ἀρκοῦν. Γι' αὐτὸ λοιπόν, ἀφοῦ μίλησε γιὰ ἐκεῖνα, συμβουλεύει ἐκείνους ποὺ πρόκειται νὰ καρπωθοῦν τὴν ὠφέλεια ἀπὸ αὐτά, νὰ ἀναπνεύσουν ἀπὸ τὰ κακὰ ποὺ τοὺς κατέχουν, ὥστε νὰ γνωρίσουν τὸ Θεὸ τῶν πάντων.

«Ἀπαλλαγεῖτε ἀπό τούς περισπασμούς καὶ μάθετε, ὅτι ἐγὼ εἶμαι ὁ Θεός», ὄχι τὰ εἴδωλα, οὔτε τὰ ξόανα[8]. Ἀπαλλαγεῖτε λοιπὸν ἀπὸ τοὺς περισπασμούς καὶ θὰ σᾶς παράσχω πολλὲς ἀποδείξεις. Διότι αὐτὸ σημαίνει τὸ «Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ»· δηλαδὴ μὲ τὰ ἔργα θὰ δειχθῶ σὲ σᾶς μέγας καὶ ὑψηλός. Ἔχει βέβαια ἡ φύση ἐκείνη ἡ καθαρὴ καὶ ἀπερίγραπτη τὸ δικό της ὕψος, ἐπειδὴ ὅμως σεῖς δέν τὸ βλέπετε, θὰ σᾶς τὸ δείξω καὶ μὲ τὰ ἔργα. Ὄχι μόνο δὲ στὴν Παλαιστίνη, οὔτε μόνο στὰ Ἱεροσόλυμα, ἀλλὰ καὶ σὲ σᾶς τοὺς ἐθνικούς. Ἔτσι λοιπόν ὑψώνεται, ἐξουσιάζοντας αὐτούς καὶ καταβάλλοντας καὶ ἐνεργώντας θαύματα στὴ Βαβυλώνα, θαύματα στὴν Αἴγυπτο, θαύματα στὴν ἔρημο, θαύματα σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, ὥστε ἀπὸ παντοῦ αὐτοὶ νὰ διδάσκονται τὴ γνώση τοῦ Θεοῦ. «Ὁ Κύριος τῶν δυνάμεων εἶναι μαζί μας, εἶναι βοηθός μας ὁ Θεὸς τοῦ Ἰακώβ». Αὐτὸς λοιπόν ὁ Θεός, ποὺ εἶναι παντοῦ μέγας, παντοῦ ὑψηλός, αὐτὸς πάντοτε βρίσκεται μαζί μας. Καθόλου λοιπὸν μὴ φοβεῖσθε, καθόλου μὴ ταράσσεσθε, ἔχοντας τέτοιο ἀκαταμάχητο Κύριο, στόν ὁποῖο πρέπει κάθε τιμὴ καὶ δόξα μαζὶ μὲ τὸν ἄναρχο Πατέρα καὶ τὸ Ζωοποιὸ αὐτοῦ Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ MS' ΨΑΛΜΟΝ

«*Εἰς τὸ τέλος τῶν υἱῶν Κορέ*». *Ἄλλος δέ*, «*Τῷ νικοποιῷ τῶν υἱῶν Κορέ*».

*«Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας». Ἄλλος, «Χειρί». «Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως». Ἕτερός φησι, «Σημάνατε ἐν φωνῇ εὐφημίας». «Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν».*

*1. Τῆς αὐτῆς ὑποθέσεως καὶ οὗτος ὁ ψαλμὸς ἔχεται, νίκας λέγων καὶ τὰ τρόπαια τὰ κατὰ τῶν πολεμίων συμβεβηκότα, καὶ τὴν οἰκουμένην πᾶσαν καλῶν εἰς τὴν ὑπὲρ τῶν γεγενημένων εὐφημίαν. Ἀλλ' ἴσως τισὶν ἀνάξιον εἶναι δοκεῖ τῆς τοῦ θείου Πνεύματος παραινέσεως τὸ προοίμιον, καὶ ἡ τοιαύτη παρακέλευσις, κρότοι, καὶ πάταγοι, καὶ ὀλολυγαί. Οὐ γὰρ τοῖς ἐν τῷ σεμνῷ τούτῳ διδασκαλείῳ συνιοῦσι προσήκει ἴσως ταῦτα, ἐρεῖ τις, ἀλλὰ τοῖς μὲν ἐν σκηνῇ καὶ συμποσίοις ἠσχολημένοις, τὸ κροταλίζειν, καὶ ταῖς χερσὶ πατάσσειν, ἀνδράσι δὲ ὑπὸ τῆς τοῦ Πνεύματος χάριτος παιδευομένοις ἡσυχία καὶ εὐταξία πρέπει.*

*Τί τοίνυν βούλεται ὁ λόγος ἐμφῆναι, καὶ τίνα τὸν ἀλαλαγμόν, καὶ τίνα τὸν κρότον φησί; Καὶ γὰρ καὶ σύνηθες τοῦτο τοῖς ἐν παρατάξει πολέμου καὶ μάχης ποιεῖν, ἀλαλάζειν λέγω, καὶ μέγα κροτεῖν πρὸς τὸ καταπλήττεσθαι τοὺς πολεμί-*

1. Συντάχθηκε ἀπὸ ποιητὴ τῆς οἰκογένειας Κορέ, μὲ τὴν ἴδια ἀφορμὴ τοῦ ΜΕ' ψαλμοῦ. Παρουσιάζει τὸ Θεὸ νὰ κατεβαίνει καὶ νὰ χωρίζει θριαμβευτικὰ τὴ νίκη καὶ ν' ἀνεβαίνει πάλι στὸν οὐρανό. Ἴσως συντάχθηκε ἐξ ἀφορμῆς νίκης χωρὶς ἀγώνα ἐναντίον τῶν Μωαβιτῶν καὶ Ἀμμωνιτῶν. Πρβλ. Β' παραλ. 20, 1 ἑ.

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΜS΄ ΨΑΛΜΟ

Σ τ ὸ  τ έ λ ο ς, ὑ π ὲ ρ  τ ῶ ν  υ ἱ ῶ ν  Κ ο ρ έ». Ἄλλος δὲ ἐξηγεῖ, «Σ τ ὸ  ν ι κ η τ ὴ  τ ῶ ν  υ ἱ ῶ ν  Κ ο ρ έ».

«Ὅλα τὰ ἔθνη χειροκροτῆστε». Ἄλλος λέγει, «Μέ τὸ χέρι». «Κραυγᾶστε πρὸς τὸ Θεὸ μὲ φωνὴ γεμάτη ἀπὸ χαρά». Ἄλλος λέγει, «Διακηρύξτε μὲ φωνὴ εὔφημη». «Διότι ὁ Κύριος εἶναι Ὕψιστος, φοβερός, *βασιλεὺς μεγάλος σ' ὁλόκληρη τὴ γῆ*».

1. Τὴν ἴδια ὑπόθεση ἔχει καὶ αὐτὸς ὁ ψαλμός, μιλώντας γιὰ τὶς νίκες καὶ τὰ τρόπαια ποὺ συνέβηκαν ἐναντίον τῶν ἐχθρῶν, καὶ καλώντας ὁλόκληρη τὴν οἰκουμένη σὲ δοξολογία γιὰ ὅλα ἐκεῖνα ποὺ συνέβηκαν. Ἀλλ' ἴσως φαίνεται σὲ μερικούς, ὅτι εἶναι ἀνάξιο τὸ προοίμιο τῆς παραινέσεως τοῦ θείου Πνεύματος καὶ ἡ τέτοιου εἴδους προτροπὴ γιὰ κρότους, πατάγους καὶ πολεμικὲς κραυγές. Διότι ἴσως αὐτά, θὰ πεῖ κάποιος, δὲν ἁρμόζουν σ' αὐτοὺς ποὺ συγκεντρώνονται σ' αὐτὸ τὸ σεμνὸ διδασκαλεῖο, ἀλλὰ σ' ἐκείνους μὲν ποὺ ἀσχολοῦνται μὲ τὴ σκηνὴ τοῦ θεάτρου καὶ τὰ συμπόσια ἁρμόζουν τὰ κροταλίσματα καὶ τὰ χειροκροτήματα, ἐνῶ στοὺς ἀνθρώπους, ποὺ παιδαγωγοῦνται μὲ τὴ χάρη τοῦ ἁγίου Πνεύματος, ἁρμόζει ἡ ἡσυχία καὶ ἡ εὐταξία.

Τί θέλουν λοιπὸν νὰ μᾶς ποῦν τὰ λόγια αὐτὰ καὶ τί ὀνομάζει ἀλαλαγμό καὶ τί κρότο; Καθόσον αὐτὸ συνηθίζουν νὰ τὸ κάνουν ἐκεῖνοι ποὺ εἶναι παραταγμένοι γιὰ πόλεμο καὶ μάχη, δηλαδὴ νὰ προβαίνουν σὲ πολεμικὲς κραυγὲς καὶ νὰ προκαλοῦν δυνατοὺς κρότους μὲ σκοπὸ νὰ τρομάξουν τοὺς ἐχθρούς, ἐνῶ αὐτὸ εἶναι ξένο γιὰ τὴν

*ους· γαληνιαίας δὲ ψυχῆς τοῦτο ἀλλότριον. Ὁ δὲ ψαλμὸς ἀμφότερα διακελεύεται, καὶ κροτεῖν, καὶ ἀλαλάζειν. Τί ποτ᾽ οὖν ἐστι τὸ εἰρημένον; Οὐδὲν ἕτερον, ἀλλ᾽ ἡδονὴν ἐνδείκνυται καὶ νίκης σύμβολον. Ἐπεὶ καὶ ἑτέρωθι ὁ προφήτης τοὺς ποταμοὺς εἰσάγει κροτοῦντας· «Ποταμοί», φησί, «κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό»· ὁ δὲ Ἡσαΐας, καὶ δένδρα τοῦτο ποιοῦντα εἰσάγει, αὐτὸς δὲ οὗτος πάλιν καὶ ὄρη σκιρτῶντα καὶ βουνούς, οὐχ ἵνα τοῦτο νοήσωμεν, ὅτι τὰ ὄρη σκιρτᾷ, καὶ οἱ βουνοί, οὐδ᾽ ἵνα ποταμοὺς κροτοῦντας, ἢ χεῖρας ἔχοντας (τοῦτο γὰρ ἐσχάτης ἀνοίας), ἀλλ᾽ ἵνα τὴν ὑπερβολὴν τῆς ἡδονῆς μάθωμεν. Οὕτω δὴ καὶ ἐπὶ τῶν ἀνθρώπων ἐστὶν ἰδεῖν.*

*Καὶ διὰ τί μὴ εἶπε, χάρητε, καὶ σκιρτήσατε, ἀλλά, «Κροτήσατε», καί, «Ἀλαλάξατε»; Τὴν μεθ᾽ ὑπερβολῆς ἡμῖν ἡδονὴν ἐνδεικνύμενος. Ὥσπερ γὰρ Χριστός, ὅταν λέγῃ, «Σὺ δὲ ὅταν νηστεύῃς, ἄλειψόν σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι», οὐκ ἀλοιφὴν κελεύει γενέσθαι (οὐδεὶς γὰρ ἡμῶν τοῦτο ποιεῖ), ἀλλὰ τὴν ἡδονὴν ἐνδείκνυσθαι, καὶ τὸ φαιδρὸν τῆς διανοίας (κελεύει γὰρ γεγηθότα νηστεύειν, μὴ σκυθρωπάζοντα)· οὕτω δὴ καὶ ἐνταῦθα οὐ τοῦτο ἐπετάγημεν, ὥστε κροτεῖν τὰς χεῖρας, ἀλλ᾽ ἥδεσθαι, καὶ εὐφραίνεσθαι ψάλλοντες. Δικαίως δ᾽ ἄν τις τὸν ψαλμὸν κατὰ ἀναγωγὴν μᾶλλον ἐκλάβοι, τῆς ἱστορίας ἀνώτερος γενόμενος. Εἰ γὰρ καὶ τὴν ἀρχὴν καὶ τὸ προοίμιον ἀπὸ τῶν αἰσθητῶν ἔχει, ἀλλ᾽ ὅμως ἐπὶ τὰ νοητὰ χειραγωγεῖ τὸν ἀκροατήν. Ὅπερ γὰρ καὶ ἔμπροσθεν εἶπον, τοῦτο καὶ νῦν ἐρῶ· τὰ μὲν ὡς εἴρηται ἐκληπτέον, τὰ δὲ ἀπεναντίας τοῖς κειμένοις, οἷον ὡς ἔχει ἐπ᾽ ἐκείνου· «Λύκοι*

---

1α. Ψαλμ. 97, 8.
2. Ἡσ. 55, 12.
3. Ματθ. 6, 17.
4. Ἡσ. 11, 6.

ἤρεμη ψυχή. Ὁ δὲ ψαλμωδὸς προτρέπει καὶ τὰ δύο καὶ τοὺς κρότους καὶ τοὺς ἀλαλαγμούς. Τί τέλος πάντων σημαίνει τό λεγόμενο; Τίποτε ἄλλο, παρὰ φανερώνει τὴν εὐχαρίστηση καὶ εἶναι σύμβολο νίκης. Καθόσον καὶ ἀλλοῦ παρουσιάζει ὁ προφήτης τοὺς ποταμοὺς νὰ κροτοῦν· διότι λέγει· «Ἂς χειροκροτήσουν ὅλοι μαζὶ οἱ ποταμοί»[1]· ὁ δὲ Ἠσαΐας παρουσιάζει νὰ τὸ κάμνουν αὐτό καὶ δένδρα, καὶ ὁ ἴδιος δὲ πάλι παρουσιάζει νὰ πηδοῦν ἀπὸ χαρὰ καὶ ὄρη καὶ βουνά[2], ὄχι ὅτι οἱ ποταμοὶ χειροκροτοῦν ἢ ὅτι ἔχουν χέρια (διότι αὐτὸ ἀποτελεῖ τὴν πιὸ μεγάλη ἀνοησία), ἀλλὰ γιὰ νὰ μάθουμε τὸ ὑπερβολικὸ μέγεθος τῆς χαρᾶς καὶ εὐχαριστήσεως. Τὸ ἴδιο λοιπὸν εἶναι δυνατό νὰ δοῦμε νὰ συμβαίνει καὶ μέ τοὺς ἀνθρώπους.

Καὶ γιατί δέν εἶπε, χαρεῖτε καὶ σκιρτῆστε, ἀλλὰ «Κροτήσατε» καὶ «ἀλαλάξατε»; Γιὰ νὰ μᾶς δείξει τό ὑπερβολικὸ μέγεθος τῆς χαρᾶς καὶ εὐχαριστήσεως. Διότι, ὅπως ἀκριβῶς ὁ Χριστός, ὅταν λέγει, «Σὺ ὅμως ὅταν νηστεύεις, ἄλειψε τὴν κεφαλή σου καὶ νίψε τὸ πρόσωπό σου»[3], δέν λέγει νὰ γίνει αὐτὸ μὲ ἀλοιφὴ (διότι κανεὶς ἀπό ἐμᾶς δὲν τό κάνει αὐτό), ἀλλὰ νὰ δείχνουμε τὴν πνευματικὴ ἀγαλλίαση καὶ τὴ χαρὰ τῆς διανοίας μας (διότι προτρέπει νὰ νηστεύει κανεὶς χαρούμενος καὶ ὄχι σκυθρωπός), ἔτσι λοιπόν καὶ ἐδῶ δὲ μᾶς δόθηκε αὐτὴ ἡ ἐντολή, νὰ χειροκροτοῦμε δηλαδή, ἀλλ' ὅταν ψάλλουμε νὰ νοιώθουμε πνευματικὴ ἀγαλλίαση καὶ εὐφροσύνη. Πολὺ σωστὰ δὲ θὰ μποροῦσε κανεὶς νὰ ἐκλάβει τὰ λόγια αὐτοῦ τοῦ ψαλμοῦ ἀλληγορικά, ἀνεβαίνοντας ὑψηλότερα τῆς διηγήσεως. Διότι ἂν καὶ ὁμιλεῖ τόσο στὴν ἀρχή, ὅσο καὶ στὸ προοίμιο γιὰ τὰ αἰσθητά, ἀλλ' ὅμως ὁδηγεῖ τόν ἀκροατὴ πρός τὰ πνευματικά. Ἐκεῖνο λοιπὸν ποὺ εἶπα προηγουμένως, αὐτὸ θὰ πῶ καὶ τώρα, ὅτι δηλαδὴ ἄλλα μὲν πρέπει νὰ τὰ ἐννοοῦμε ὅπως λέχθηκαν, ἄλλα δέ διαφορετικὰ ἀπό ἐκεῖνο ποὺ δηλώνουν οἱ λέξεις, ὅπως ἐπὶ παραδείγματι συμβαίνει μὲ ἐκεῖνο τό χωρίο. «Λύκοι καὶ πρόβατα θὰ βοσκήσουν μαζί»[4].

καὶ ἄρνες ἅμα βοσκηθήσονται». Οὐ γὰρ δὴ λύκους καὶ ἄρνας ἐκληψόμεθα, οὐδὲ ἄχυρα, καὶ βοῦν, καὶ ταῦρον, ἀλλὰ τὰ τῶν ἀνθρώπων ἤθη διὰ τῆς τῶν ἀλόγων εἰκόνος χαρακτηρίζομεν· τὰ δὲ κατὰ διπλῆν ἐκδοχήν, τά τε αἰσθητὰ νοοῦντες, καὶ τὰ νοητὰ ἐκδεχόμενοι· ὥσπερ ἐπὶ τῆς ἀναγωγῆς τοῦ υἱοῦ τοῦ Ἀβραάμ. Ὅτι γὰρ ὁ υἱὸς ἀνηνέχθη ἴσμεν, καὶ ἕτερόν τι ἐγκεκρυμμένον τῷ νοήματι ἐκλέγομεν διὰ τοῦ Υἱοῦ, τὸν σταυρόν. Καὶ ἐπὶ τοῦ προβάτου δὲ τοῦ ἐν Αἰγύπτῳ, πάλιν ὁμοίως τοῦ πάθους τὴν εἰκόνα χαρακτηρίζομεν.

Τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖν χρή. Οὐδὲ γὰρ περὶ Ἀράβων ἁπλῶς ὁ λόγος, καὶ τῶν γειτόνων, ἀλλὰ πάντα τὰ ἔθνη καλεῖ. «Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν». Ἀνίστησι τοίνυν ἐκ προοιμίων τὸν ἀκροατήν, πρὸς τοσοῦτον ὄγκον εὐαγγελίων καλῶν, καὶ πρὸς τὴν τῆς οἰκουμένης πανήγυριν, καὶ θείαν τινὰ καὶ πνευματικὴν ἑορτήν, καὶ τὴν ἐκ τῶν οὐρανῶν κατενεχθεῖσαν μυσταγωγίαν. Διὰ δὴ τοῦτο, «Κροτήσατε», φησί· τουτέστι, χάρητε, σκιρτήσατε. Καὶ γὰρ καὶ ὁ εὐαγγελικὸς λόγος τοῦτο παρακελεύεται λέγων, «Σκιρτήσατε»· οὐ πάντως παρακελευόμενος ἐξάλλεσθαι, καὶ πηδᾶν (τοῦτο γὰρ ἀνελεύθερον), ἀλλὰ τῆς χαρᾶς τὸ ἐπιτεταμένον δηλῶν. Καὶ γὰρ πολλῆς ἡδονῆς ἄξιον τὸ γινόμενον. Ὅσην γὰρ ὁ ἥλιος ἐφορᾷ γῆν, ὁ εὐαγγελικὸς λόγος ἐπέδραμε, καὶ πᾶσα ἐσώθη ἡ οἰκουμένη, καὶ τῆς λατρείας τῆς Ἰουδαϊκῆς οἱ πρὸ τούτου τῇ πλάνῃ κατεχόμενοι μείζονα ἐπεδείξαντο φιλοσοφίαν.

«Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας». Τὰς μιαρὰς ἐκείνας πρὸ τούτου, φησίν, τὰς ἐναγεῖς, τὰς αἵματι μολυνομένας καθ'

---

5. Ἐξ. Κεφ. 12.
6. Λουκᾶ 6, 23.

Δὲν θὰ έννοήσουμε δηλαδὴ ἐδῶ λύκους καὶ πρόβατα, οὔτε ἄχυρα καὶ βόδι καὶ ταῦρο, ἀλλὰ μὲ τὴν εἰκόνα τῶν ἀλόγων χαρακτηρίζουμε τὰ ἤθη τῶν ἀνθρώπων. Ἄλλα πάλι χωρία θὰ τὰ ἐννοήσουμε μὲ διπλὴ ἔννοια, καὶ τὴν κατὰ λέξη ἔννοια καὶ τὴν ἀλληγορική, ὅπως ἀκριβῶς στὴν περίπτωση τῆς προσφορᾶς τοῦ υἱοῦ τοῦ Ἀβραὰμ γιὰ θυσία. Διότι γνωρίζουμε, ὅτι ὁ υἱὸς προσφέρθηκε γιὰ θυσία, ἀλλ' ἀποδεχόμαστε καὶ κάποιο ἄλλο νόημα, ποὺ εἶναι κρυμμένο στὶς λέξεις τοῦ χωρίου, τὸ σταυρικό θάνατο τοῦ Κυρίου. Καὶ μὲ τὴν περιγραφὴ δὲ τοῦ προβάτου στὴν Αἴγυπτο[5] χαρακτηρίζουμε ὁμοίως καὶ πάλι τὴν εἰκόνα τοῦ πάθους τοῦ Κυρίου.

Αὐτὸ λοιπὸν πρέπει νὰ κάνουμε καὶ ἐδῶ. Διότι ὁ λόγος δὲν εἶναι ἁπλῶς γιὰ τοὺς Ἄραβες καὶ τοὺς γείτονές τους, ἀλλὰ καλεῖ ὅλα τὰ ἔθνη. «Διότι ὁ Κύριος εἶναι ὕψιστος, φοβερός, βασιλεὺς μέγας σ' ὁλόκληρη τὴ γῆ. Διεγείρει λοιπὸν τὸν ἀκροατὴ ἀπὸ τὴν ἀρχή, προσκαλώντας αὐτὸν σ' ἕνα τόσο μεγάλο ὄγκο εὐχαρίστων εἰδήσεων, πρὸς τὴν πανήγυρη τῆς οἰκουμένης, πρὸς κάποια θεία καὶ πνευματικὴ ἑορτὴ καὶ πρὸς τὴ μυσταγωγία ἐκείνη ποὺ μεταφέρθηκε ἀπὸ τὸν οὐρανό. Γι' αὐτὸ λέγει, «Κροτήσατε», δηλαδή, χαρεῖτε, σκιρτῆστε. Καθόσον καὶ ὁ εὐαγγελικὸς λόγος αὐτὸ παραγγέλει μὲ αὐτὸ ποὺ λέγει, «Σκιρτήσατε»[6]· ὁπωσδήποτε βέβαια δὲν προτρέπει νὰ κάμνουμε ἐξαλλότητες καὶ νὰ πηδοῦμε (διότι αὐτὸ εἶναι ἀπαράδεκτο), ἀλλὰ δείχνει τὸ ὑπερβολικὸ τῆς χαρᾶς. Καθόσον αὐτὸ ποὺ συμβαίνει εἶναι ἄξιο πολλῆς χαρᾶς καὶ εὐχαριστήσεως. Διότι ὅση γῆ βλέπει ὁ ἥλιος, αὐτὴ τὴ διέτρεξε ὁ εὐαγγελικὸς λόγος, καὶ σώθηκε ὅλη ἡ οἰκουμένη, καὶ ἐκεῖνοι ποὺ πρὶν ἀπὸ τὸ γεγονὸς αὐτὸ ἦταν κυριευμένοι ἀπὸ τὴν πλάνη, ἐπέδειξαν εὐσέβεια μεγαλύτερη ἀπὸ τὴν ἰουδαϊκὴ λατρεία.

«Ὅλα τὰ ἔθνη χειροκροτῆστε». Μὲ τὰ μολυσμένα ἐκεῖνα, πρὶν ἀπὸ αὐτὸ τὸ γεγονός, λέγει, χέρια, τὰ ἁμαρτω-

*ἑκάστην ἡμέραν διὰ τῶν ἀκαθάρτων θυσιῶν, δι' ὧν παῖδας ἐσφάξατε, καὶ τὰ αἰσχρὰ ἐτολμήσατε, καὶ κατὰ τῆς φύσεως αὐτῆς ἐχωρήσατε, διὰ τούτων κροτήσατε νῦν. «Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως». Διὰ τῆς γλώττης ἐκείνης, δι' ἧς ἐγεύσασθε τῶν ἐναγῶν, δι' ἧς τὰ βλάσφημα ἐξηνέγκατε ῥήματα, διὰ ταύτης ἀλαλάξατε τὴν ἐπινίκιον ᾠδήν. Καὶ γὰρ ἔθος τοῖς στρατοπέδοις, ὅταν κλίνῃ τῶν ἐναντίων τὸ στρατόπεδον, μηκέτι τῇ συστάδην κεχρῆσθαι μάχῃ, ἀλλ' ὁμοφώνῳ βοῇ καὶ ἀλαλαγμῷ τὰς ἤδη καταβληθείσας αὐτῶν κατασείειν ψυχάς· ὅπερ ἐστὶ νίκης λαμπρᾶς καὶ τροπαίου μέγιστον τεκμήριον, ὅταν μὴ χερσὶν ὁ πόλεμος κρίνηται, ἀλλ' ἡ βοὴ καὶ ἀντὶ χειρῶν, καὶ ἀντὶ ὅπλων ἀρκῇ.*

*2. Τὸ μὲν οὖν ἔργον ἅπαν τοῦ Χριστοῦ γέγονε· τὸν γὰρ χαλεπὸν τοῦτον αὐτὸς κατέλυσε πόλεμον, δήσας τὸν ἰσχυρὸν καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας. Φιλάνθρωπος δὲ ὤν, τοὺς οὐδὲν πονήσαντας, τούτους ποιεῖ τῆς νίκης καὶ τῶν τροπαίων ἀπολαύειν, καὶ τὴν ἐπινίκιον παρασκευάζει ἀναφέρειν φωνήν, καθάπερ τοὺς κατωρθωκότας αὐτοὺς καὶ κρατήσαντας. Διὸ καὶ βοῶμεν ἅπαντες, οὐκ ἄσημόν τινα φωνήν, ἀλλὰ καὶ σφόδρα εὔσημον· «Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου ᾅδη, τὸ νῖκος;». Καὶ πάλιν, «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ». Τοῦτο γὰρ ἐν τῷ ψαλμῷ τούτῳ εἴρηται. Καὶ πάλιν ἀλλαχοῦ· «Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις». Ἀνήνεγκάν ποτε καὶ Ἰουδαῖοι ἐπινίκιον φωνήν, ὅτε τῶν Αἰγυπτίων τὸ στρατόπεδον κατεποντίζετο, λέγοντες· «Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται». Ἀλλ' ἡ ἡ-*

---

7. Α' Κορ. 15, 55.
8. Ψαλμ. 67, 19.
9. Ἐξ. 15, 1.

λά, ποὺ μολύνονταν καθημερινὰ μὲ τὸ αἷμα τῶν ἀκαθάρτων θυσιῶν, μὲ τὰ ὁποῖα σφάξατε παιδιὰ καὶ ἐπιχειρήσατε αἰσχρὰ πράγματα, καὶ προχωρήσατε καὶ ἐναντίον αὐτῆς τῆς ἴδιας τῆς φύσεώς σας, μὲ αὐτὰ χειροκροτῆστε τώρα. «Κραυγάστε πρὸς τὸ Θεὸ μὲ φωνὴ γεμάτη ἀπὸ χαρά». Μὲ τὴ γλώσσα ἐκείνη, μὲ τὴν ὁποία γευθήκατε τὰ ἀνοσιουργήματά σας, μὲ τὴν ὁποία προφέρατε τὰ βλάσφημα λόγια, μὲ αὐτὴ ψάλατε τὸν ἐπινίκιο ὕμνο. Καθόσον συνηθίζεται καὶ στὸ στρατό, ὅταν ὑποχωρεῖ ὁ ἐχθρικὸς στρατός, νὰ μὴ χρησιμοποιεῖ πλέον τὴν ἐκ τοῦ πλησίον μάχη, ἀλλὰ μὲ ὁμόφωνη βοὴ καὶ ἀλαλαγμὸ νὰ κάμνουν νὰ τρέμουν οἱ ψυχὲς ἐκεῖνες ποὺ ἤδη εἶναι καταβλημένες, πράγμα ποὺ εἶναι μέγιστη ἀπόδειξη νίκης λαμπρῆς καὶ τροπαίου, ὅταν ὁ πόλεμος δὲν κρίνεται μὲ τὰ χέρια, ἀλλ' ἀρκεῖ ἡ βοὴ ἀντὶ τῶν χεριῶν καὶ τῶν ὅπλων.

2. Τὸ μὲν λοιπὸν ἔργο τῆς νίκης ἔγινε ἐξ ὁλοκλήρου ἀπὸ τὸν Χριστό· διότι αὐτὸς ἔθεσε τέρμα σ' αὐτὸ τὸ φοβερὸ πόλεμο, ἀφοῦ ἀφόπλισε τὸν ἰσχυρὸ καὶ τοῦ ἀφαίρεσε τὰ σκεύη του. Ἐπειδὴ ὅμως εἶναι φιλάνθρωπος, ἐκείνους ποὺ δὲν κώπιασαν καθόλου, αὐτοὺς τοὺς κάνει ν' ἀπολαμβάνουν τὰ ἀγαθὰ τῆς νίκης καὶ τῶν τροπαίων, καὶ τοὺς προετοιμάζει νὰ ὑψώσουν τὴν ἐπινίκιο φωνή, σὰν αὐτοὶ νὰ ἦσαν ἐκεῖνοι ποὺ κατόρθωσαν αὐτὰ καὶ νίκησαν. Γι' αὐτὸ καὶ βροντοφωνάζουμε ὅλοι, ὄχι κάποιο ἀσήμαντο λόγο, ἀλλὰ πάρα πολὺ διακριτικό· «Ποῦ εἶναι, θάνατε, τὸ κεντρί σου; ποῦ εἶναι, ἅδη, ἡ νίκη σου;»[7]. Καὶ πάλι, «Ἀνέβηκε ὁ Θεὸς στὸν οὐρανὸ ἀνάμεσα ἀπὸ ἀλαλαγμούς». Αὐτὸ βέβαια ἀναφέρεται σ' αὐτὸν τὸν ψαλμό. Καὶ πάλι ἀλλοῦ λέγει· «Ἀνέβηκες ὑψηλά, συνέλαβες πλῆθος αἰχμαλώτων, ἔλαβες δῶρα ἀπὸ τοὺς ἀνθρώπους σὰν φόρο ὑποτελείας»[8]. Ἔψαλαν κάποτε καὶ οἱ Ἰουδαῖοι ἐπινίκιο ὕμνο, ὅταν καταποντίζονταν ὁ στρατὸς τῶν Αἰγυπτίων, λέγοντας· «Ἂς ψάλουμε στὸν Κύριο, διότι δοξάσθηκε πάρα πολὺ ἔνδοξα»[9]. Ἀλλ' ὁ δικός μας ἐπινίκιος ὕμνος εἶναι πολὺ πιὸ ἀνώτε-

*μετέρα πολλῷ μείζων, οὐκ Αἰγυπτίων, ἀλλὰ τῶν δαιμόνων καταποντισθέντων· οὐ τοῦ Φαραώ, ἀλλὰ τοῦ διαβόλου νικηθέντος· οὐ τῶν ὅπλων ληφθέντων τῶν αἰσθητῶν, ἀλλὰ τῆς κακίας ἀναιρεθείσης· οὐκ ἐν ἐρυθρᾷ θαλάσσῃ, ἀλλ' ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας· οὐκ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἐξιόντων, ἀλλ' εἰς τὸν οὐρανὸν μεθορμιζομένων· οὐ μάννα ἐσθιόντων, ἀλλὰ σῶμα σιτουμένων δεσποτικόν· οὐχ ὕδωρ πινόντων ἀπὸ πέτρας, ἀλλ' αἷμα ἀπὸ πλευρᾶς. Διὰ τοῦτό φησι, «Κροτήσατε χεῖρας», ὅτι λίθων ἀπαλλαγέντες καὶ ξύλων, ὑπερέβητε τοὺς οὐρανούς, καὶ τοὺς οὐρανοὺς τῶν οὐρανῶν, καὶ πρὸς αὐτὸν ἔστητε τὸν θρόνον τὸν βασιλικόν.*

*«Ἀλαλάξατε τοίνυν τῷ Θεῷ», τουτέστιν, ἐκείνῳ τὴν εὐχαριστίαν ἀνενέγκατε, ἐκείνῳ τὴν νίκην, ἐκείνῳ τὸ τρόπαιον. Οὐκ ἀνθρώπινος ὁ πόλεμος οὐδὲ αἰσθητὴ ἡ μάχη, οὐδὲ ὑπέρ τινος τῶν βιωτικῶν ὁ ἀγών, ἀλλ' ὑπὲρ τῶν οὐρανῶν αὐτῶν, καὶ τῶν ἐν οὐρανοῖς. Αὐτὸς τὸν πόλεμον ἐστρατήγησε τοῦτον, καὶ ἡμῖν τῆς νίκης μετέδωκεν. «Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν». Ποῦ νῦν εἰσιν οἱ τοῦ Μονογενοῦς τὴν δόξαν καθαιροῦντες; Ἰδοὺ βασιλεὺς μέγας ὁ Υἱὸς λέγεται, ὃ περὶ τοῦ Πατρὸς εἴρηται· «Μὴ ὀμόσῃς» γάρ, φησί, «μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος αὐτοῦ ἐστι· μήτε εἰς τὰ Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ βασιλέως». Καὶ ἀλλαχοῦ πάλιν· «Θεὸς ἰσχυρός, ἐξουσιαστής»· ὅπερ ἐστὶ βασιλεύς. Ὅταν τοίνυν ἀκούσῃς ὅτι ἀνεσκολοπίσθη σου ὁ Δεσπότης, ὅτι ἐκρεμάσθη ἐν τῷ σταυρῷ, ὅτι ἐτάφη, ὅτι κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς, μὴ καταπέσῃς, μηδὲ ἀδημονήσῃς· ὕψιστος γάρ ἐστι, καὶ ὕψιστος φύσει. Τὸ δὲ ὑψηλὸν φύσει οὐκ ἄν ποτε μετασταίη τοῦ ὕψους, οὐδ' ἂν γένοιτο*

---

10. Ματθ. 5, 34-35.
11. Ἡσ. 9, 6.

ρος, διότι δὲν καταποντίσθηκαν Αἰγύπτιοι, ἀλλ' οἱ δαίμονες, δὲν νικήθηκε ὁ Φαραώ, ἀλλ' ὁ διάβολος, δὲν κατακυριεύθηκαν τὰ αἰσθητὰ ὅπλα, ἀλλ' ἡ ἴδια ἡ κακία ἐξαφανίσθηκε, ὄχι στὴν ἐρυθρὰ θάλασσα, ἀλλὰ στὸ λουτρὸ τῆς ἀναγεννήσεως, ὄχι ἐπειδὴ μεταβαίνουμε στὴ γῆ τῆς ἐπαγγελίας, ἀλλ' ἐπειδὴ πλέουμε πρὸς τὸν οὐρανό, ὄχι ἐπειδὴ τρῶμε τὸ μάννα, ἀλλ' ἐπειδὴ τρῶμε τὸ δεσποτικὸ σῶμα, ὄχι ἐπειδὴ πίνουμε τὸ νερὸ ποὺ πήγασε ἀπὸ τὴν πέτρα, ἀλλ' ἐπειδὴ πίνουμε τὸ αἷμα ποὺ ξεχώθηκε ἀπὸ τὴν πλευρὰ τοῦ Κυρίου. Γι' αὐτό, λέγει, «Χειροκροτῆστε», διότι, ἀφοῦ ἀπαχθήκατε ἀπὸ τὴ λατρεία τῶν λίθων καὶ τῶν ξύλων, ὑπερβήκατε τοὺς οὐρανοὺς καὶ τοὺς οὐρανοὺς τῶν οὐρανῶν καὶ σταθήκατε μπροστὰ στὸν ἴδιο τὸ βασιλικὸ θρόνο.

«Ἀλαλάξατε» λοιπὸν «πρὸς τὸ Θεό», δηλαδὴ σ' ἐκεῖνον προσφέρατε τὴν εὐχαριστία, σ' ἐκεῖνον τὴ νίκη, σ' ἐκεῖνον τὸ τρόπαιο. Δὲν εἶναι ἀνθρώπινος ὁ πόλεμος, οὔτε αἰσθητὴ ἡ μάχη, οὔτε ὁ ἀγώνας εἶναι γιὰ κάτι ἀπὸ τὰ βιωτικά, ἀλλὰ γιὰ τοὺς ἴδιους τοὺς οὐρανούς, γιὰ τὰ οὐράνια πράγματα. Αὐτὸς διεύθυνε αὐτὸν τὸν πόλεμο καὶ μᾶς χάρισε τὴ νίκη. «Διότι ὁ Κύριος εἶναι ὕψιστος, φοβερός, βασιλεὺς μέγας σ' ὁλόκληρη τὴ γῆ». Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ καταλύουν τὴ δόξα τοῦ μονογενῆ; Νὰ ὁ Υἱὸς ὀνομάζεται βασιλεὺς μέγας, πράγμα ποὺ ἔχει λεχθεῖ γιὰ τὸν Πατέρα· διότι λέγει· «Μὴ ὁρκισθεῖς οὔτε στὸν οὐρανό, διότι εἶναι θρόνος τοῦ Κυρίου, οὔτε στὰ Ἱεροσόλυμα, διότι εἶναι πύλη τοῦ βασιλέως»[10]. Καὶ ἀλλοῦ πάλι λέγει· «Θεὸς ἰσχυρς, ποὺ εἶναι ἐξουσιαστής»[11], πράγμα ποὺ σημαίνει, βασιλεύς. Ὅταν λοιπὸν ἀκούσεις ὅτι ὁ Κύριός σας καρφώθηκε ἐπάνω σὲ ξύλο, ὅτι κρεμάσθηκε ἐπάνω σὲ σταυρό, ὅτι τάφηκε, ὅτι κατέβηκε στὰ κατώτερα μέρη τῆς γῆς, μὴ ἀποθαρρυνθεῖς, οὔτε νὰ στενοχωρηθεῖς· διότι εἶναι ὕψιστος, καὶ ὕψιστος κατὰ φύση. Τὸ δὲ ὑψηλὸ κατὰ φύση δὲν θὰ ἦταν δυνατὸ νὰ πέσει ποτὲ ἀπὸ τὸ ὕψος του,

ταπεινόν· ἀλλὰ καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ μένει τὸ ὕψος καὶ διαδείκνυται. Ἐπεὶ καὶ ἀποθανών, τότε μάλιστα τὴν κατὰ τοῦ θανάτου ἰσχὺν ἔδειξε. «Τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει», φησί, «καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν»· οὕτω δὴ καὶ τὸ ὕψος αὐτοῦ ἐν τῇ ταπεινότητι ἐφάνη.

Ὅρα γοῦν αὐτὸν ἐν τῷ ᾅδῃ ὄντα, καὶ τὰ ὑψηλὰ ἅπαντα σείοντα. Ὁ γὰρ ἥλιος τότε τὰς ἀκτῖνας ἀπέστρεψε, πέτραι ἐσχίζοντο, τὸ καταπέτασμα ἐρρήγνυτο, ἐκλονεῖτο ἡ γῆ, Ἰούδας ἀπήγχετο, Πιλάτος καὶ ἡ τούτου γυνὴ ἐδειματοῦτο, αὐτὸς ὁ δικάζων ἀπελογεῖτο. Ὅταν τοίνυν ἀκούσῃς, ὅτι ἐδέθη καὶ ἐμαστιγώθη, μὴ συγχυθῇς· ἀλλ' ὅρα αὐτὸν καὶ ἐν τῷ δεσμῷ τὴν ἰσχὺν ἐπιδεικνύμενον. Εἶπε, «Τίνα ζητεῖτε;» καὶ πάντας ἔρριψεν ὑπτίους. Εἶδες πῶς φοβερός, φωνῇ μόνῃ καὶ νεύματι τοσαῦτα ἐργαζόμενος; Ὅταν οὖν ἴδῃς αὐτὸν νεκρόν, ἐννόησον τὸν λίθον αἰρόμενον, τοὺς ἀγγέλους τοὺς μετὰ φόβου παραμένοντας τῷ τάφῳ, τὸν ᾅδην λυόμενον, τὸν θάνατον τηκόμενον, τοὺς δεσμώτας ἀπολύοντα, καὶ τότε ὄψει αὐτοῦ τὸ φοβερόν. Εἰ δὲ ἐν τῷ καιρῷ τῆς ἀτιμίας τοσαῦτα ἐπεδείξατο, ἐν οὐρανῷ, ἐν γῇ, ἐν ᾅδῃ, τίνα οὐκ ἐπιδείξηται ἐν τῷ καιρῷ τῆς μελλούσης παρουσίας; Ἄκουσον τῶν δαιμόνων ἐν τῷ καιρῷ τῆς ταπεινώσεως τί λέγουσι, τῶν ἀφριζόντων, τῶν δεσμὰ διαλυόντων, τῶν ἄβατον ποιούντων τὴν ὁδόν· «Τί ἡμῖν καὶ σοί, Υἱὲ τοῦ Θεοῦ; Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;».

Εἰ τοίνυν ταῦτα τότε, ὅταν παραγένηται καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλεύωνται, καὶ ὁ ἥλιος μεταστραφῇ εἰς σκότος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς, τί ἐροῦσι; Διὰ

12. Ἰω. 1, 5.
13. Ματθ. 27, 3. 19. 21.
14. Ἰω. 18, 5.
15. Ματθ. 8. 29.

οὔτε θὰ μποροῦσε ποτὲ νὰ γίνει ταπεινό, ἀλλὰ καὶ κατὰ τὴν ταπείνωσή του διατηρεῖ τὸ ὕψος του καὶ γίνεται αὐτὸ ὁλοφάνερο. Καθόσον καὶ ὅταν πέθανε, τότε κατ' ἐξοχὴ ἔδειξε τὴ δύναμή του κατὰ τοῦ θανάτου. «Τὸ φῶς», λέγει, «λάμπει μέσα στὸ σκοτάδι καὶ τὸ σκοτάδι δὲν κατανίκησε αὐτὸ»[12]· ἔτσι λοιπὸν καὶ τὸ ὕψος αὐτοῦ φάνηκε μέσα στὴν ταπεινότητά του.

Πρόσεχε λοιπὸν αὐτὸν τὴ στιγμὴ ποὺ βρίσκεται στὸν ἅδη καὶ κατασείει ὅλα τὰ θεωρούμενα ὑψηλά. Διότι ὁ ἥλιος τότε ἀπέστρεψε τὶς ἀκτίνες του, πέτρες σχίζονταν, τὸ καταπέτασμα σχιζόταν σὲ δυὸ μέρη, ἡ γῆ κλονιζόταν, ὁ Ἰούδας ἀπαγχονιζόταν, ὁ Πιλάτος καὶ ἡ γυναίκα του κυριεύονταν ἀπὸ φόβο, καί, αὐτὸς ποὺ δίκαζε, ἀπολογοῦνταν[13]. Ὅταν λοιπὸν ἀκούεις, ὅτι δέθηκε καὶ μαστιγώθηκε, μὴ ταραχθεῖς, ἀλλὰ πρόσεχε αὐτὸν πῶς καὶ μέσα στὰ δεσμά του φανερώνει τὴ δύναμή του. Εἶπε, «Ποιὸν ζητεῖτε;»[14], καὶ ὅλους τοὺς ἔρριξε κατὰ γῆς. Εἶδες πῶς εἶναι φοβερός, ποὺ ὅλα τὰ κατορθώνει μόνο μὲ τὸ λόγο του καὶ τὸ βλέμμα του; Ὅταν λοιπὸν δεῖς αὐτὸν νεκρό, σκέψου τὸ λίθο νὰ ὑψώνεται ἀπὸ τὸν τάφο του, τοὺς ἀγγέλους νὰ παραμένουν στὸν τάφο φοβισμένοι, τὸν ἅδη νὰ καταλύεται, τὸ θάνατο νὰ φθείρεται, τοὺς φυλακισμένους νὰ ἐλευθερώνει, καὶ τότε θὰ ἀντιληφθεῖς τὸ φοβερὸ αὐτοῦ. Ἂν δὲ κατὰ τὸν καιρὸ τῆς ἀτιμίας ἐπέδειξε τόσα πολλὰ στὸν οὐρανό, στὴ γῆ, στὸν ἅδη, τί δὲν θὰ ἐπιδείξει κατὰ τὸν καιρὸ τῆς μέλλουσας παρουσίας του; Ἄκουσε τοὺς δαίμονες τί λέγουν κατὰ τὸν καιρὸ τῆς ταπεινώσεώς του, ὅταν ἀφρίζουν, ὅταν σπάζουν τὰ δεσμά, ὅταν καθιστοῦν ἀδιάβατη τὴν ὁδό· «Τί τὸ κοινὸ ὑπάρχει ἀνάμεσα σ' ἐμᾶς καὶ σ' ἐσένα, Υἱὲ τοῦ Θεοῦ; Ἦλθες ἐδῶ νὰ μᾶς βασανίσεις πρὶν ἀπὸ τὴν ὥρα μας;»[15].

Ἂν λοιπὸν αὐτὰ τὰ ἔλεγαν τότε, τί θὰ ποῦν ὅταν θὰ ἔλθει πάλι καὶ οἱ δυνάμεις τῶν οὐρανῶν θὰ σαλεύονται καὶ ὁ ἥλιος θὰ μετατραπεῖ σὲ σκοτάδι καὶ ἡ σελήνη δὲν θὰ

τοῦτό φησιν. «Ὕψιστος, φοβερός». Μᾶλλον δέ, τί ἄν τις ἄξιον εἴποι, τὴν ἡμέραν ἐκείνην διηγούμενος, ὅταν πέμπῃ τοὺς ἀγγέλους πανταχοῦ τῆς οἰκουμένης, ὅταν πάντα σείηται, ὅταν ἡ γῆ κλονῆται τὴν παρακαταθήκην τῶν νεκρῶν ἀποδιδοῦσα, ὅταν τὰ μυρία σώματα ἐγείρηται, ὅταν ὁ οὐρανὸς συστέλληται, καθάπερ τι καταπέτασμα συστελλόμενον, ὅταν τὸ βῆμα τιθῆται τὸ φοβερόν, ὅταν οἱ ποταμοὶ τοῦ πυρὸς ἕλκωνται, ὅταν αἱ βίβλοι ἀνοίγωνται, ὅταν ἑκάστῳ τὰ ἐν σκότῳ πεπραγμένα εἰς μέσον ἄγῃ, ὅταν αἱ ἀφόρητοι κολάσεις ἐκεῖναι καὶ τιμωρίαι, ὅταν αἱ ἀπειληφόροι δυνάμεις, ὅταν αἱ ρομφαῖαι ἐσπασμέναι, ὅταν αἱ πρὸς τὴν γέενναν ἀπαγωγαί· ὅταν πάντα τὰ ἀξιώματα λύηται, καὶ βασιλέων καὶ στρατηγῶν καὶ ὑπάτων καὶ ὑπάρχων, ὅταν τοσοῦτος δῆμος ἀγγέλων παρῇ, ὅταν τάγματα μαρτύρων, προφητῶν, ἀποστόλων, ἱερέων, μοναχῶν, ὅταν τὰ ἔπαθλα ἐκεῖνα τὰ ἀπόρρητα, ὅταν βραβεῖα, ὅταν οἱ στέφανοι, ὅταν τὰ ἀγαθὰ τὰ ὑπερβαίνοντα τὸν νοῦν;

3. Τίς παραστήσει τοῦτο λόγος; Εἰ γὰρ τὴν κτίσιν ἰδὼν ὁ προφήτης ἀπέκαμε, καὶ ἀπεπήδησε λέγων· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε», καὶ ἓν εἶδος ἀνερευνῶν προνοίας ὁ Παῦλος ἐβόησεν εἰπών, «Ὢ βάθος πλούτου», τί ἄν τις εἴποι, τὴν ἡμέραν ἐκείνην ὑπογράφων; Ταῦτα ἅπαντα προϊδὼν ὁ προφήτης, ἔλεγε, «Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν», τὴν οἰκουμενικὴν σωτηρίαν ἐμφαίνων. Ἦν μὲν οὖν καὶ πρὸ τούτου βασιλεὺς μέγας, ἀλλ' ἠγνοεῖτο. Ὁ γὰρ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν

16. Ματθ. 24, 29.
17. Δαν. 7, 9.
18. Ψαλμ. 91, 6.
19. Ρωμ. 11, 33.

δώσει τὸ φῶς της[16]; Γι' αὐτὸ λέγει, «Ὕψιστος, φοβερός». Μᾶλλον δέ, τί θὰ μποροῦσε κανεὶς νὰ πεῖ ἄξιο διηγούμενος τὴν ἡμέρα ἐκείνη, ὅταν θ' ἀποστέλλει τοὺς ἀγγέλους του σ' ὅλη τὰ μέρη τῆς οἰκουμένης, ὅταν τὰ πάντα θὰ σείονται, ὅταν ἡ γῆ θὰ συγκλονίζεται δίνοντας πίσω τοὺς νεκροὺς ποὺ τῆς δόθηκαν γιὰ φύλαξη, ὅταν τὰ ἀμέτρητα σώματα θὰ ἀνασταίνονται, ὅταν ὁ οὐρανὸς θὰ συστέλλεται, ὅπως ἀκριβῶς τυλίγεται κάποιο καταπέτασμα, ὅταν θὰ στηθεῖ τὸ φοβερὸ βῆμα, ὅταν οἱ ποταμοὶ τοῦ πυρὸς θὰ τρέχουν, ὅταν οἱ βίβλοι θὰ ἀνοίγονται[17], ὅταν θὰ παρουσιάζει στὸ φῶς τὰ ἔργα τοῦ καθένα ποὺ πράχθηκαν στὸ σκοτάδι, ὅταν θὰ συμβοῦν οἱ ἀνυπόφοροι ἐκεῖνες κολάσεις καὶ τιμωρίες, ὅταν θὰ ἐμφανισθοῦν οἱ γεμάτες ἀπὸ ἀπειλὴ δυνάμεις, ὅταν οἱ ρομφαῖες θὰ βγαίνουν ἀπὸ τὴ θήκη τους, ὅταν θὰ ὁδηγοῦνται πρὸς τὴ γέεννα τοῦ πυρὸς οἱ ἁμαρτωλοί, ὅταν ὅλα τὰ ἀξιώματα θὰ καταργοῦνται, καὶ τῶν βασιλέων καὶ τῶν στρατηγῶν καὶ τῶν ὑπάτων καὶ τῶν ὑπάρχων, ὅταν θὰ παρασταθεῖ τόσο πλῆθος ἀγγέλων, ὅταν τάγματα μαρτύρων, προφητῶν, ἀποστόλων, ἱερέων, μοναχῶν, ὅταν θὰ δίνονται τὰ ἀπόρρητα ἐκεῖνα ἔπαθλα, ὅταν τὰ βραβεῖα, ὅταν οἱ στέφανοι, ὅταν τὰ ἀγαθὰ ἐκεῖνα ποὺ ὑπερβαίνουν τὸ νοῦ τοῦ ἀνθρώπου;

3. Ποιὸς λόγος θὰ περιγράψει αὐτό; Διότι, ἂν ὁ προφήτης, διερχόμενος καὶ ἀπαριθμώντας νοερὰ τὰ τῆς κτίσεως ἔργα, ἀπόκαμε καὶ πήδησε ἀπὸ χαρά, λέγοντας, «Πόσο μεγάλα καὶ θαυμαστὰ εἶναι τὰ ἔργα σου, Κύριε»[18], καὶ ὁ Παῦλος ἐρευνώντας ἕνα μόνο εἶδος τῆς θείας προνοίας κραύγασε καὶ εἶπε, «Πόσο ἀμέτρητο εἶναι τὸ βάθος τοῦ πλούτου τοῦ Θεοῦ»[19], τί θὰ μποροῦσε κανεὶς νὰ πεῖ περιγράφοντας τὴν ἡμέρα ἐκείνη; Ἐπειδὴ ὁ προφήτης προεῖδε ὅλα αὐτά, ἔλεγε· «Ὁ Κύριος εἶναι Ὕψιστος, φοβερός, βασιλεὺς μέγας σ' ὁλόκληρη τὴ γῆ», δηλώνοντας ἔτσι τὴ σωτηρία ὁλόκληρης τῆς οἰκουμένης. Ἦταν βέβαια καὶ πρὶν ἀπὸ αὐτὸ βασιλεὺς μέγας, ἀλλ' ἀγνοοῦνταν. Διότι

*οὐκ ἔγνω. Νυνὶ δὲ καὶ τοῦτο κατώρθωσε, ὡς καὶ κατὰ τὴν οἰκείωσιν ἡμῶν γενέσθαι βασιλεὺς μέγας. Πῶς γὰρ οὐ μέγας, ὁ πένητας ἁλιεῖς, ἀγραμμάτους, ἰδιώτας, ἕνδεκα τὸν ἀριθμόν, ἀσήμους, ἀπόλιδας, ἰχθύων ἀφωνοτέρους, μονοχίτωνας, ἀνυποδέτους, γυμνούς, πανταχοῦ τῆς οἰκουμένης ἀποστείλας, καὶ ὥσπερ ἐξ ἐπιτάγματος πάντας λαβών; Τοῦτο ἀληθῶς βασιλεὺς μέγας· ὁ τὴν οἰκουμένην τῆς πλάνης ἐκκαθάρας, καὶ τὴν ἀλήθειαν ἐπαναγαγὼν ἐν βραχείᾳ καιροῦ ροπῇ, καὶ τοῦ διαβόλου τὴν τυραννίδα καθελών, ὁ καὶ πρὸ τῶν ὑπηκόων μέγας βασιλεύς, οὐκ ἐν τοῖς δούλοις ἔχων τῆς ἀρχῆς τὴν ἰσχύν, οὐκ ἐν σχήματι καὶ ἱματίοις, ἀλλ' ἐν αὐτῇ τῇ φύσει. «Ἐγὼ» γάρ, φησίν, «εἰς τοῦτο γεγένημαι».*

*Τοῦτο βασιλεὺς μέγας· ὁ μὴ ἐπείσακτον ἔχων τὴν τιμήν, ὁ μηδενὸς δεόμενος ἵνα ᾖ βασιλεύς, ὁ πάντα ποιῶν ὅσα βούλεται. «Πορευθέντες» γάρ, φησί, «μαθητεύσατε πάντα τὰ ἔθνη»· καὶ ὁ λόγος ἔργον ἐγένετο. «Θέλω, καθαρίσθητι». «Σοὶ λέγω, τὸ δαιμόνιον τὸ κωφόν, ἔξελθε ἀπ' αὐτοῦ». «Σιώπα, πεφίμωσο». «Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ». «Δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου». Ὁρᾷς πανταχοῦ τὴν ἐξουσίαν; ὁρᾷς τὴν δύναμιν; Οὕτω γὰρ εἷλε τοὺς ὑπακούσαντας, ὡς πεῖσαι τὴν ψυχὴν προέσθαι μᾶλλον, ἢ τὸ ἐπιταχθὲν παρελθεῖν. Ὁ μὲν γὰρ βασιλεὺς παρ' αὐτῶν τῶν ὑπηκόων ἔχει τὰς τιμάς, οὗτος δὲ τοῖς ὑπηκόοις παρέχει τὴν τιμήν. Διὰ δὴ τοῦ-*

---

20. Ἰω. 1, 10.
21. Ἰω. 18, 37.
22. Ματθ. 28, 19.
23. Ματθ. 8, 3.
24. Μάρκ. 9, 25.
25. Μάρκ. 4, 39.
26. Ματθ. 25, 41.
27. Ματθ. 25, 34.

«ὁ κόσμος δημιουργήθηκε δι᾽ αὐτοῦ καὶ ὁ κόσμος δὲν τὸν ἀναγνώρισε»[20]. Τώρα ὅμως καὶ αὐτὸ τὸ κατόρθωσε, ὥστε καὶ μὲ τὴ δική μας ἀποδοχὴ καὶ προθυμία νὰ γίνει βασιλεὺς μέγας. Διότι πῶς δὲν εἶναι μέγας, αὐτὸς ποὺ φτωχούς, ἀγραμμάτους, ἰδιῶτες, ἕνδεκα τὸν ἀριθμό, ἀσήμους, ποὺ δὲν εἶχαν πατρίδα, ποὺ ἦταν πιὸ ἄφωνοι καὶ ἀπὸ τά ψάρια, ποὺ ἦταν μὲ ἕνα μόνο χιτώνα, ἀνυπόδετοι καὶ γυμνοί, ἀφοῦ ἀπέστειλε αὐτοὺς σ᾽ ὅλα τὰ μέρη τῆς οἰκουμένης, προσείλκυσε ὅλους αὐτούς, σὰν μὲ κάποιο πρόσταγμά του; Αὐτὸς πράγματι εἶναι βασιλεὺς μέγας· αὐτὸς ποὺ καθάρισε τὴν οἰκουμένη ἀπὸ τὴν πλάνη, καὶ ἐπανέφερε τὴν ἀλήθεια σὲ πάρα πολὺ σύντομο χρόνο, καὶ κατάργησε τὴν τυραννικὴ ἐξουσία τοῦ διαβόλου, αὐτὸς ποὺ καὶ πρὶν ἀποκτήσει ὑπηκόους ἦταν μέγας βασιλεύς, στηρίζοντας τὴ δύναμη τῆς ἐξουσίας του ὄχι στοὺς δούλους, οὔτε στὸ ἐξωτερικὸ σχῆμα καὶ τὰ ἐνδύματα, ἀλλὰ στὴν ἴδια τὴ φύση του. Διότι λέγει· «Ἐγὼ γι᾽ αὐτὸ τὸ σκοπὸ ἦλθα»[21].

Αὐτὸς εἶναι μέγας βασιλεύς· αὐτὸς ποὺ δὲν ἔλαβε ἀπὸ κάπου ἀλλοῦ τὴν τιμή, ποὺ δὲν ἔχει τὴν ἀνάγκη κανενὸς γιὰ νὰ εἶναι βασιλεύς, ποὺ κάμνει ὅλα, ὅσα θέλει. Διότι λέγει· «Πηγαίνετε καὶ κάμετε μαθητές μου ὅλα τὰ ἔθνη»[22], καὶ ὁ λόγος του ἔγινε πραγματικότητα. «Θέλω, καθαρίσου»[23]. «Σ᾽ ἐσένα τὸ λέγω, τὸ δαιμόνιο τὸ κωφό, φύγε ἀπ᾽ αὐτόν»[24]. «Σιώπα, κλεῖσε τὸ στόμα σου»[25] «Πηγαίνετε στὸ πῦρ ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ τὸ διάβολο»[26]. «Ἐλᾶτε καὶ κληρονομῆστε τὴ βασιλεία ποὺ ἑτοιμάσθηκε γιὰ σᾶς πρὶν ἀπὸ τὴ δημιουργία τοῦ κόσμου»[27]. Βλέπεις παντοῦ τὴν ἐξουσία του; Βλέπεις τὴ δύναμή του; Διότι τόσο πολὺ κατέκτησε ἐκείνους ποὺ ὑπάκουσαν σ᾽ αὐτόν, ὥστε νὰ τοὺς πείσει νὰ προτιμοῦν νὰ δώσουν τὴ ζωή τους, παρὰ νὰ παραβοῦν τὸ πρόσταγμά του. Διότι ὁ μὲν ἐπίγειος βασιλεὺς λαμβάνει τὶς τιμὲς ἀπὸ τοὺς ὑπηκόους του, ἐνῶ αὐτὸς παρέχει τὴν τιμὴ στοὺς ὑπηκόους του. Γι᾽ αὐτὸ βέβαια, ὁ μὲν ἐπίγειος βασιλεὺς εἶναι μόνο κατ᾽ ὄνομα, ἐνῶ ἐκεῖ-

το, τοῦτο μὲν ὄνομα μόνον ἐστίν, ἐκεῖνο δὲ πρᾶγμα. Βασιλεὺς μέγας, ὃς τὴν οἰκουμένην ἅπασαν οὐρανὸν ἐποίησε, καὶ βαρβάρους φιλοσοφεῖν παρεσκεύασε, καὶ ἀγγέλους μιμεῖσθαι προὔτρεψεν.

«Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν». Ὢ τοῦ θαύματος. Τοὺς σταυρώσαντας, τούτους ἔπεισε προσκυνεῖν, τοὺς ὑβρίζοντας, τοὺς βλασφημοῦντας, τοὺς λίθοις προσηλωμένους, τούτους ἐδίδαξε καὶ ψυχὰς προέσθαι κατὰ τὸ αὐτῷ δοκοῦν. Οὐ γὰρ τῶν ἀποστόλων ἦν τὸ κατόρθωμα, ἀλλὰ τοῦ προσδοποιοῦντος αὐτοῖς, καὶ τὴν αὐτῶν κινοῦντος ψυχήν. Πῶς γὰρ ὁ ἁλιεὺς ἢ ὁ σκηνοποιὸς τοσαύτην ἂν μετέθηκαν οἰκουμένην, ἀλλ' ἢ τὰ ἐκείνου ῥήματα πάντα ταῦτα καθήρει τὰ κωλύματα; Καὶ γόητας, καὶ τυράννους, καὶ ῥήτορας καὶ φιλοσόφους, καὶ πάντας τοὺς ἀνθισταμένους καθάπερ κόνιν ἀποσοβοῦντες, καὶ καπνὸν διαλύοντες, οὕτως ἔσπειραν τῆς ἀληθείας τὸ φῶς, οὐχ ὅπλοις, οὐδὲ χρημάτων περιουσίᾳ, ἀλλὰ λόγῳ κεχρημένοι ψιλῷ· μᾶλλον δὲ οὐκ ἦν ψιλὸς ὁ λόγος, ἀλλ' ἔργου παντὸς δυνατώτερος. Πῶς οὖν; Ἐκάλουν τὸ ὄνομα τοῦ σταυρωθέντος, καὶ ὁ θάνατος ἐδραπέτευσε, καὶ δαίμονες ἐφυγαδεύοντο, νοσήματα ἐλύετο, λῶβαι σωμάτων διωρθοῦντο, κακία ἀπηλαύνετο, κίνδυνοι ἠφανίζοντο, καὶ στοιχεῖα μετεβάλλοντο. Ὅταν οὖν λέγωσιν ἡμῖν, διὰ τί μὴ ἐβοήθησεν ἑαυτῷ ἐπὶ τοῦ σταυροῦ, τοῦτο λέγωμεν, ὅτι τοῦτο θαυμαστότερον ἦν. Οὐ γὰρ ἦν ἴσον ἐκ τοῦ σταυροῦ κατελθεῖν, καὶ μετὰ τὸ σταυρωθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ τοσαύτους ἀναστῆσαι νεκρούς. Ὅτι γὰρ καὶ τότε ἑκὼν ἔμενεν, ἐκ τῶν μετὰ ταῦτα ἔδειξεν. Ὁ γὰρ ἑτέροις ἐπελθόντα τὸν θάνατον ἐκβα-

νος εἶναι πραγματικὸς βασιλεύς. Εἶναι βασιλεὺς μέγας, πού ἔκαμε οὐρανὸ ὅλη τὴν οἰκουμένη καὶ ἔκαμε καὶ τοὺς βαρβάρους νὰ φιλοσοφοῦν καὶ τοὺς προέτρεψε νὰ μιμοῦνται καὶ τοὺς ἀγγέλους.

«Ὑπέταξε λαοὺς σ' ἐμᾶς καὶ ἔθεσε κάτω ἀπὸ τὰ πόδια μας ἔθνη». Πόσον μεγάλο θαῦμα. Ἐκείνους ποὺ τὸν σταύρωσαν αὐτοὺς τοὺς ἔπεισε νὰ τὸν προσκυνοῦν, ἐκείνους ποὺ τὸν βρίζανε, πού τὸν βλασφημοῦσαν, ἐκείνους ποὺ λάτρευαν τοὺς λίθους, αὐτοὺς τοὺς δίδαξε καὶ τὴ ζωή τους ἀκόμα νὰ θυσιάζουν γιὰ χάρη τῶν ἐντολῶν του. Καθόσον δὲν ἦταν τὸ κατόρθωμα τῶν ἀποστόλων, ἀλλ' ἐκείνου ποὺ προετοίμαζε τὸ δρόμο τους καὶ κινοῦσε τὴν ψυχή τους. Διότι πῶς θὰ μποροῦσε ὁ ψαρὰς ἢ ὁ σκηνοποιὸς νὰ μεταστρέψουν τόση οἰκουμένη, ἂν τὰ λόγια ἐκείνου δὲν παραμέριζαν ὅλα αὐτὰ τὰ ἐμπόδια; Καὶ γόητες καὶ τυράννους καὶ ρήτορες καὶ φιλοσόφους καὶ ὅλους ἐκείνους πού πρόβαλλαν ἀντίσταση, τούς σκόρπιζαν σὰν σκόνη καὶ τούς διέλυαν σὰν καπνὸ καὶ ἔτσι ἔσπειραν τὸ φῶς τῆς ἀλήθειας, ὄχι μέ ὅπλα, οὔτε μὲ ἀφθονία χρημάτων, ἀλλὰ μὲ τὴ χρησιμοποίηση ἁπλῶν λόγων· μᾶλλον δὲ δὲν ἦταν ἁπλοὶ οἱ λόγοι, ἀλλὰ δυνατώτεροι ἀπὸ ὁποιοδήποτε ἔργο. Πῶς λοιπὸν συνέβαινε αὐτό; Καλοῦσαν τὸ ὄνομα τοῦ σταυρωθέντος, καὶ ὁ θάνατος δραπέτευε, οἱ δαίμονες φυγαδεύονταν, νοσήματα θεραπεύονταν, σωματικὲς βλάβες διορθώνονταν, ἡ κακία διώχνονταν, κίνδυνοι ἐξαφανίζονταν καὶ στοιχεῖα τῆς φύσεως μεταβάλλονταν. Ὅταν λοιπὸν μᾶς λέγουν, γιατί δὲν βοήθησε τὸν ἑαυτό του ἐπάνω στὸ σταυρό; ἃς τοὺς λέμε αὐτό, ὅτι αὐτὸ ἦταν θαυμαστότερο. Καθόσον δέν ἦταν ἴσο τὸ νὰ κατεβεῖ ἀπὸ τὸ σταυρό, καὶ τὸ ν' ἀναστήσουν μετὰ τὴν σταύρωσή του τόσους νεκροὺς ἐπικαλούμενοι τὸ ὄνομά του. Διότι τὸ ὅτι καὶ τότε ὑπέμεινε τὸ σταυρὸ μὲ τὴ θέλησή του, τὸ ἔδειξε μὲ τὰ ὅσα συνέβηκαν στὴν συνέχεια. Ἐκεῖνος δηλαδὴ ποὺ ἐξεδίωκε τὸν θάνατο, ποὺ ἐρ-

*λών, πολλῷ μᾶλλον ἐξ ἑαυτοῦ, πρὶν ἢ ἐπελθεῖν, διακρούσασθαι ἠδύνατο· καὶ ὁ ἑτέροις παρέχων ζωήν, πολλῷ μᾶλλον ἑαυτῷ παρασχεῖν ἠδύνατο· ὅπερ καὶ ἐποίησε μετὰ τρεῖς ἡμέρας ἐγερθεὶς ἐκ πολλῆς τῆς περιουσίας. Καὶ τοῦτο διὰ τῶν μετὰ ταῦτα ἔδειξεν. Ὅταν γὰρ τὸ ὄνομα αὐτοῦ ἐπὶ σωμάτων ἀλλοτρίων φαίνηται τοσαύτην ἔχον ἰσχύν, ὡς καλούμενον φυγαδεῦσαι τὸν θάνατον, οὐδεὶς ἀμφιβάλλειν δύναιτ' ἄν, ὅτι καὶ ἐν τῷ οἰκείῳ πολλὴν ἂν τὴν ἰσχὺν ἐπεδείξατο, καὶ τὸν θάνατον ὑπέταξεν.*

*«Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν». Ὅρα τοῦ προφήτου τὴν σοφίαν, πάντα μετὰ ἀκριβείας λέγοντος. Ὃ γὰρ μετὰ ταῦτα ἔλεγον οἱ ἀπόστολοι, «Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;» τοῦτο ἄνωθεν ὁ προφήτης λέγει. Τὸ δέ, «Ὑπὸ τοὺς πόδας», τὸ ὑποτεταγμένον δηλοῖ, μᾶλλον δὲ τὴν πολλὴν ὑποταγήν. Καὶ εἰ βούλει μαθεῖν τῆς ὑποταγῆς τὴν ἐπίτασιν, ἄκουσον. «Ὅσοι κτήτορες», φησί, «χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων». Ἕτεροι δὲ μετὰ τῶν χρημάτων καὶ τὴν ψυχὴν προΐεντο. «Οἵτινες» γάρ, φησίν, «ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν». Καὶ περὶ ἑτέρων δὲ γράφων ἔλεγεν, «Ὅτι, εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι». Καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν ὁ Παῦλος· «Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ' ἐκδίκησιν»· οὕτως αὐτοὺς ἔτρεμον καὶ ἐδεδοίκεισαν. Καὶ ὁ Λουκᾶς πάλιν γράφων ἔλεγε· «Καὶ*

---

28. Πράξ. 3, 12.
29. Πρ. 4, 34.
30. Ρωμ. 16, 4.
31. Γαλ. 4, 15.
32. Β΄ Κορ. 7, 11.

χόταν σ' ἄλλα σώματα, πολὺ περισσότερο μποροῦσε νὰ ἀποκρούσει αὐτόν ἀπὸ τὸν ἑαυτό του πρὶν αὐτὸ συμβεῖ· καὶ ἐκεῖνος ποὺ παρεῖχε ζωὴ σ' ἄλλους, πολὺ περισσότερο μποροῦσε νὰ δώσει ζωὴ στὸν ἑαυτό του, πράγμα ποὺ ἔκαμε μετὰ τρεῖς ἡμέρες, ἀφοῦ ἀναστήθηκε κατὰ τρόπο ποὺ δείχνει τὴν ὑπεροχὴ τῆς δυνάμεώς του. Καὶ αὐτὸ τὸ ἔδειξε μὲ τὰ ὅσα συνέβηκαν στὴ συνέχεια. Διότι, ὅταν τὸ ὄνομα αὐτοῦ φαίνεται νὰ ἔχει τόση δύναμη ἐπάνω σὲ ξένα σώματα, ὥστε καλούμενο νὰ φυγαδεύει τὸ θάνατο, κανένας δὲν θὰ μποροῦσε ν' ἀμφιβάλλει, ὅτι θὰ μποροῦσε καὶ στὸ δικό του νὰ ἐπιδείξει πολλὴ δύναμη καὶ νὰ ὑποτάξει τὸ θάνατο.

«Ὑπέταξε σ' ἐμᾶς λαοὺς καὶ ἔθεσε κάτω ἀπὸ τὰ πόδια μας λαούς». Πρόσεχε τὴ σοφία τοῦ προφήτη, ποὺ ὅλα τὰ περιγράφει μὲ λεπτομέρεια. Διότι ἐκεῖνο ποὺ ἀργότερα ἔλεγαν οἱ ἀπόστολοι, «Τί μᾶς προσέχετε, σὰν μὲ τὴ δύναμή μας ἢ μὲ τὴν εὐσέβειά μας νὰ κάμνουμε αὐτὸν νὰ περιπατεῖ;»[28], αὐτὸ τὸ λέγει ἀπὸ τότε ὁ προφήτης. Τὸ δὲ «κάτω ἀπὸ τὰ πόδια μας» φανερώνει τὴν ὑποταγὴ καὶ μάλιστα τὴ μεγάλη ὑποταγή. Καὶ ἂν θέλεις νὰ μάθεις τὸ μέγεθος τῆς ὑποταγῆς, ἄκουσε. «Ὅσοι», λέγει, «ἦταν ἰδιοκτῆτες χωραφιῶν ἢ οἰκιῶν, τὰ πωλοῦσαν καὶ ἔφερναν τὸ ἀντίτιμο τῆς ἀξίας του καὶ τὸ τοποθετοῦσαν μπροστὰ στὰ πόδια τῶν ἀποστόλων»[29]. Ἄλλοι δὲ μαζὶ μὲ τὰ χρήματα πρόσφερναν καὶ τὴν ζωή τους. Διότι, λέγει, «Αὐτοὶ κινδύνεψαν γιὰ χάρη τῆς ζωῆς μου νὰ ἀποκεφαλισθοῦν»[30]. Καὶ γι' ἄλλους πάλι γράφοντας, ἔλεγε· «Ὅτι, ἐὰν ἦταν δυνατὸ θὰ βγάζατε καὶ τὰ μάτια σας νὰ μοῦ τὰ δώσετε»[31]. Καὶ πρὸς τοὺς Κορινθίους στέλλοντας τὴν ἐπιστολή του, ἔλεγε ὁ Παῦλος· «Νὰ λοιπόν, ἀκριβῶς αὐτό, τὸ ὅτι λυπηθήκατε ὅπως ἀρέσει στὸ Θεό, πόση προθυμία ἐνέβαλε μέσα σας, πόση ἀνάγκη ἀπολογίας, πόση ἀγανάκτηση, πόσο φόβο, πόσο πόθο, πόσο ζῆλο, πόση ἐκδίκηση»[32]· τόσο πολὺ αὐτοὺς τοὺς ἔτρεμαν καὶ τοὺς φοβοῦνταν. Καὶ ὁ Λουκᾶς πάλι γράφοντας, ἔλεγε· «Καὶ κανένας ἀπὸ τοὺς ἄλλους δὲν

*τῶν λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός». Καὶ πάλιν· «Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος;».*

*4. Εἶδες αὐθεντίαν καὶ ἐξουσίαν; Ταῦτα δὲ πάντα τὸ ῥῆμα ἐκεῖνο ἐποίει, ὅπερ εἴρηκε πέμπων αὐτούς, ὅτι «Ἐγὼ μεθ' ὑμῶν εἰμι». Αὐτὸς τὰ κωλύματα καθῄρει ἔμπροσθεν αὐτῶν πορευόμενος· αὐτὸς ἅπαντα ἐξευμάριζε, καὶ τὰ δύσκολα ἐποίει ῥάδια. Καίτοι πάντα πολέμων ἔγεμε, πάντα κρημνῶν καὶ σκοπέλων, καὶ οὐδὲ ὅπου ἐρεῖσαι πόδα ἐνῆν, οὐδὲ στῆναι, πάντες οἱ λιμένες προσκεχωσμένοι ἦσαν, πᾶσα οἰκία ἀποκεκλεισμένη, πάντων τὰ ὦτα ἐμπεφραγμένα, ἀλλ' ὅμως ὁμοῦ τε εἰσήεσαν, καὶ ἐφθέγγοντο, καὶ πάντα κατέλυον τῶν πολεμίων τὰ ὀχυρώματα. ὡς καὶ αὐτὰς τὰς ψυχὰς προΐεσθαι, καὶ μυρίους λοιπὸν ἀνέχεσθαι κινδύνους ὑπὲρ τῶν εἰρημένων. «Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν». Ἄλλος, «Τὸν ἐνδοξασμὸν Ἰακώβ». Ὅρα προφητείας ἀκρίβειαν. Ἀνωτέρω μὲν οὖν ἔλεγεν· «Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη». Καὶ γὰρ Ἰουδαῖοι πρῶτον προσῆλθον, πρῶτον τρισχίλιοι, εἶτα πεντακισχίλιοι, καὶ μετὰ ταῦτα τὰ ἔθνη. Καὶ γὰρ αὐτὸς πάλιν ἔλεγε· «Καὶ ἄλλα ἔχω πρόβατα, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.*

*Εἶτα ἵνα μὴ ἀκούσας τό, «Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ», διαπορῇ τις, καὶ ταλαιπωρῆται καὶ λέγῃ, 'πῶς οὖν Ἰουδαῖοι νῦν ἀπιστοῦσι;' τῇ ἐπιδιορθώσει τὴν ἀπορίαν ἔλυσε. Μάλιστα μὲν γάρ, τὸ αὐτοῦ μέρος, κἀκείνους ἐξελέξατο, καὶ τὸ εἰς αὐτὸν ἧκον, οὐδένα ἀφῆκεν. Εἰ δὲ καὶ τὸ τέλος ἐπιζητοίης, ἄκουε τῶν ἑξῆς· ἐπείγει γάρ· «Τὴν καλλονὴν Ἰα-*

---

33. Πρ. 5. 13.
34. Α΄ Κορ. 4, 21.
35. Ματθ. 28, 20.
36. Πρ. 2, 41 καὶ 4, 4.
37. Ἰω. 10, 16.

τολμοῦσε νὰ τοὺς πλησιάσει, ἀλλ' ὁ λαὸς ἔτρεφε μεγάλη ἐκτίμηση γι' αὐτούς»[33]. Καὶ πάλι· «Τί θέλετε; νὰ ἔλθω πρὸς ἐσᾶς μὲ τιμωρητικὴ ράβδο ἢ μὲ ἀγάπη καὶ πνεῦμα ἐπιείκειας;»[34].

4. Εἶδες αὐθεντία καὶ ἐξουσία; Ὅλα δὲ αὐτὰ τὰ ἔκαμνε ἐκεῖνος ὁ λόγος, ποὺ τὸν εἶπε ὅταν ἔστελνε αὐτοὺς στὸ κήρυγμα, ὅτι δηλαδὴ «Ἐγὼ εἶμαι μαζί σας»[35]. Αὐτὸς ἀφαιροῦσε τὰ ἐμπόδια δαβίζοντας μπροστὰ ἀπ' αὐτούς· αὐτὸς ρύθμιζε τὰ πάντα καὶ ἔκαμνε τὰ δύσκολα εὔκολα. Ἂν καὶ βέβαια παντοῦ γίνονταν πόλεμοι, παντοῦ ὑπῆρχαν κρημνοὶ καὶ σκόπελοι καὶ δὲν μποροῦσε κανεὶς ν' ἀκουμπήσει τὸ πόδι του, οὔτε νὰ σταθεῖ, ὅλα τὰ λιμάνια ἦταν φραγμένα, κάθε οἰκία εἶχε ἀποκλεισθεῖ, ὅλων τὰ αὐτιὰ ἦταν φραγμένα, ἀλλ' ὅμως καὶ εἰσέρχονταν καὶ μιλοῦσαν καὶ γκρέμιζαν ὅλα τὰ ὀχυρώματα τῶν ἐχθρῶν, καὶ ἀκόμη ἔφθαναν, καὶ τὴν ζωήν τους νὰ δίδουν καὶ νὰ ὑπομένουν ἀμετρήτους κινδύνους γιὰ χάρη τοῦ κηρύγματος. «Ἐξέλεξε γιὰ ἐμᾶς τὴν κληρονομία του τὸ ἐγκαλλώπισμα τοῦ Ἰακώβ, ποὺ τὸ ἠγάπησε τόσο πολύ». Ἄλλος λέγει, «Τὸν ἐνδοξασμὸ τοῦ Ἰακώβ». Πρόσεχε ἀκρίβεια προφητείας. Προηγουμένως δηλαδὴ ἔλεγε· «Ὑπέταξε σ' ἐμᾶς λαοὺς καὶ ἔθνη. Πράγματι οἱ Ἰουδαῖοι πρῶτοι προσῆλθαν, πρῶτα τρεῖς χιλιάδες, ἔπειτα πέντε χιλιάδες καὶ στὴ συνέχεια τὰ ἔθνη[36]. Καθόσον ὁ ἴδιος ὁ Χριστὸς ἔλεγε· «Καὶ ἄλλα πρόβατα ἔχω καὶ πρέπει καὶ ἐκεῖνα νὰ τὰ ὁδηγήσω στὴν ποίμνη καὶ θὰ γίνει μία ποίμνη καὶ ἕνας ποιμένας»[37].

Ἔπειτα γιὰ νὰ μὴ ἀπορεῖ κανένας, ἀκούοντας τὸ «Ἐξέλεξε γιὰ ἐμᾶς τὴν κληρονομία του», καὶ βασανίζεται ἀπὸ τὶς σκέψεις καὶ λέγει, 'πῶς λοιπὸν τώρα δὲν πιστεύουν οἱ Ἰουδαῖοι;', ἔλυσε τὴν ἀπορία μὲ τὴν ἐπεξήγηση ποὺ ἀκολουθεῖ. Διότι πράγματι καὶ ἐκείνους τοὺς ἐξέλεξε ποὺ ἀποτελοῦσαν τὸ μερίδιό του καὶ δὲν ἄφησε κανένα ἀπὸ ἐκείνους ποὺ ἀνῆκαν σ' αὐτόν. Ἂν δὲ θέλεις νὰ μάθεις καὶ τὸ ἀποτέλεσμα, ἄκουε τὰ ἑξῆς· διότι προσθέτει· «Τὸ ἐγκαλ-

*κώβ, ἣν ἠγάπησεν». Ἐνταῦθα γάρ μοι τοὺς πιστοὺς δοκεῖ λέγειν ὅπερ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Οὐ̃ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· τουτέστιν, ὅτι οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα». Καλλονὴ δὲ τοῦ λαοῦ εἰκότως ἂν οἱ πιστοὶ λέγοιντο. Τί γὰρ ὡραιότερον ἐκείνων τῶν πιστευσάντων; Κληρονομίαν δὲ αὐτοῦ καλεῖ τὸ ἔθνος, οὐχ ὡς τῶν ἄλλων ἀμελήσας ποτέ, ἀλλὰ τὴν ἐπίτασιν τῆς περὶ αὐτοὺς ἀγάπης καὶ τὴν οἰκείωσιν, καὶ τῆς προνοίας τὴν προσθήκην ἐνδεικνύμενος. Καὶ ἵνα μάθῃς τὴν ἀκρίβειαν τὴν προφητικήν, ὅρα πῶς τῇ τῶν πολλῶν κέχρηται λέξει, ᾗ ἐπὶ τῶν ὠνίων οἱ πολλοὶ χρῶνται. Πολλοὶ γὰρ πολλάκις ὠνούμενοί τι, καλλονὴν ἐκεῖνα λέγουσι τὰ τῶν ἄλλων ὑπερέχοντα. Δεικνὺς τοίνυν ὅτι οὐ πάντες σωθήσονται, φησί, «Τὴν καλλονὴν Ἰακώβ». Ταῦτα καὶ ἐν τοῖς εὐαγγελίοις δείκνυται διὰ μυρίων παραβολῶν.*

*«Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ». Οὐκ εἶπεν, 'ἀνεβιβάσθη', ἀλλ', «Ἀνέβη», δεικνὺς ὅτι οὐχ ἑτέρου τινὸς χειραγωγοῦντος ἀνέβη, ἀλλ' αὐτὸς ταύτην ὁδεύων τὴν ὁδόν. Ὁ μὲν γὰρ Ἠλίας οὐδὲ τοσαύτην ἐλθὼν ὅσην ὁ Χριστός, ὑφ' ἑτέρας ἤγετο δυνάμεως· οὐ γὰρ ἦν ἀνθρωπίνης φύσεως δύνασθαι ξένην ὁδεύειν ὁδόν· ὁ δὲ Μονογενὴς ἀνέβη οἰκείᾳ ἐξουσίᾳ. Διὰ δὴ τοῦτο καὶ ὁ Λουκᾶς οὕτως ἔλεγε· «Καὶ ἦσαν ἀτενίζοντες πορευομένου αὐτοῦ εἰς τὸν οὐρανόν». Οὐκ εἶπεν, ἀναλαμβανομένου αὐτοῦ, οὐδὲ βασταζομένου· πορεία γὰρ αὐτοῦ ἰδία τὸ*

---

38. Ρωμ. 9, 6 - 8.
39. Δ΄ Βασ. 2, 11.
40. Πρ. 1, 10.

λώπισμα τοῦ Ἰακώβ, ποὺ τὸ ἀγάπησε τόσο πολύ». Ἐδῶ βέβαια νομίζω ὅτι ἐννοεῖ τοὺς πιστούς, πράγμα ποὺ γιὰ νὰ δηλώσει ὁ Παῦλος, ἔλεγε· «Δὲν σημαίνει δὲ αὐτὸ ὅτι διαψεύσθηκε ὁ λόγος τοῦ Θεοῦ· διότι πραγματικοὶ Ἰσραηλῖτες δὲν εἶναι ὅλοι ἐκεῖνοι ποὺ κατάγονται ἀπὸ τὸν Ἰσραήλ, ἀλλὰ κατὰ τὸ ὑπόδειγμα τοῦ Ἰσαὰκ θὰ προέλθουν οἱ ἀπόγονοί σου· δηλαδὴ τέκνα τοῦ Θεοῦ δὲν εἶναι τὰ τέκνα τῆς σάρκας, ἀλλὰ θεωροῦνται ἀπόγονοί σου ὅσοι γεννοῦνται ἀπὸ τὴν ὑπόσχεση τοῦ Θεοῦ»[38]. Καλλονὴ δὲ τοῦ λαοῦ πολὺ εὔλογα θὰ μποροῦσαν νὰ ὀνομασθοῦν οἱ πιστοί. Διότι τί ὡραιότερο ὑπάρχει ἀπὸ ἐκείνους ποὺ πίστεψαν; Κληρονομία του δὲ ὀνομάζει τὸ ἔθνος τῶν Ἰουδαίων, ὄχι ὅτι παραμέλησε ποτὲ τὰ ἄλλα ἔθνη, ἀλλὰ γιὰ νὰ δείξει τὴν ὑπερβολικὴ ἀγάπη καὶ φιλία του γι' αὐτοὺς καὶ τὴν αὐξημένη πρόνοιά του γι' αὐτούς. Καὶ γιὰ νὰ μάθεις τὴν ἀκρίβεια τῆς προφητείας, πρόσεχε πῶς χρησιμοποιεῖ τὴ λέξη, ποὺ πολλοὶ χρησιμοποιοῦν κατὰ τὴν ἀγορὰ πραγμάτων. Διότι πολλοὶ πολλὲς φορές, ὅταν ἀγοράζουν κάτι, ὀνομάζουν καλλονὴ ἐκεῖνα ποὺ ὑπερέχουν τῶν ἄλλων. Γιὰ νὰ δείξει λοιπὸν ὅτι δὲν θὰ σωθοῦν ὅλοι, λέγει, «Τὸ ἐγκαλλώπισμα τοῦ Ἰακώβ». Αὐτὰ παρουσιάζονται καὶ στὰ εὐαγγέλια μὲ ἀμέτρητες παραβολές.

«Ἀνέβηκε ὁ Θεὸς στὸν οὐρανὸ ἀνάμεσα ἀπὸ ἀλαλαγμούς. Δὲν εἶπε, 'ἀνεβάσθηκε', ἀλλ' «ἀνέβηκε», γιὰ νὰ δείξει, ὅτι δὲν ἀνέβηκε μὲ τὴ βοήθεια κάποιου ἄλλου, ἀλλ' ὁ ἴδιος βάδισε αὐτὴ τὴν ὁδό. Διότι ὁ μὲν Ἠλίας, ἂν καὶ δὲν βάδισε τόσο δρόμο, ὅσο ὁ Χριστός, ὁδηγοῦνταν ἀπὸ ἄλλη δύναμη· καθόσον δὲν ἦταν ἀνθρωπίνης φύσεως τὸ νὰ μπορεῖ κανεὶς νὰ βαδίζει ἀσυνήθη ὁδό[39], ἐνῶ ὁ Μονογενὴς ἀνέβηκε μὲ τὴ δική του δύναμη. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Λουκᾶς ἔλεγε τὰ ἑξῆς· «Καὶ μὲ καρφωμένο τὸ βλέμμα τους πρὸς αὐτὸν τὸν ἔβλεπαν ποὺ ἀνέβαινε πρὸς τὸν οὐρανὸ»[40]. Δὲν εἶπε, ὅτι μεταφερόταν ἐπάνω ἀπὸ ἄλλον, οὔτε ὅτι βασταζόταν ἀπὸ ἄλλον, διότι αὐτὸ ποὺ συνέβαινε ἦταν

*γινόμενον ἦν. Εἰ δὲ πρὸ τοῦ σταυροῦ ἐπὶ τῶν ὑδάτων ἐφέρετο, παθητὸν ἔτι καὶ βαρὺ περικείμενος σῶμα, τί θαυμαστόν, εἰ καὶ μετὰ τὸ ἄφθαρτον αὐτὸ λαβεῖν, τὸν ἀέρα ἔτεμνε; Ποῦ δὲ «Ἐν ἀλαλαγμῷ; Τίς ἠλάλαξεν, ὅτε ἀνέβη; Καίτοι σιγῇ τοῦτο ἐγένετο, καὶ ἕνδεκα παρόντων μαθητῶν μόνον. Ὁρᾷς ὅτι οὐχ ἁπλῶς δεῖ τὰς λέξεις ἐκλαμβάνειν, ἀλλ' εἰδέναι τὸ ἐξ αὐτῶν σημαινόμενον; Ὅπερ γὰρ ἐν προοιμίῳ τοῦ ψαλμοῦ ἔλεγον, ὅτι ἕτερόν τι ὁ ἀλαλαγμὸς δηλοῖ, τὴν νίκην, τὸ τρόπαιον· ὃ τοίνυν ἐνταῦθά φησιν, «Ἐν ἀλαλαγμῷ», τοῦτό ἐστιν, ὅτι ἐν νίκῃ ἀνέβη, περιγενόμενος θανάτου, καταρρίψας τὴν ἁμαρτίαν, τοὺς δαίμονας τροπωσάμενος, τὴν πλάνην ἐκβαλών, πάντα μεταβαλὼν πρὸς τὸ βέλτιον, πρὸς τὴν ἀρχαίαν πατρίδα, μᾶλλον δὲ πρὸς πολλῷ βελτίονα, τὴν φύσιν ἀναγαγὼν τὴν ἡμετέραν. Οὐδεὶς γὰρ αὐτῷ παραγενομένῳ ἀντέστη, οὐχ ἁμαρτίας τυραννίς, οὐ θανάτου δύναμις, οὐ κατάρας ἰσχύς, οὐ φθορᾶς, οὐ κακίας ἐπίτασις, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ πάντα ταῦτα ὥσπερ ἀράχνην διαρρήξας, καὶ δαιμόνων φάλαγγας καὶ διαβόλου νεῦρα, καὶ ἅπαντα ταῦτα διαλύσας, ἀνῆλθε κατορθώσας ἅπερ ἐβούλετο.*

*5. Διὸ καὶ ὁ Παῦλος αὐτοῦ τὸ τρόπαιον διηγούμενος, ἔλεγεν· «Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ». Καὶ πάλιν· «Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον ἐν τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ». «Κύριος ἐν φωνῇ σάλπιγγος».*

41. Ματθ. 14, 26.
42. Καλ. 2, 15.
43. Αὐτόθι 14.

πορεία πού γινόταν ἀπό αὐτόν τόν ἴδιο. Ἂν δὲ πρὸ τοῦ σταυρικοῦ πάθους του βάδιζε ἐπάνω στὰ ὕδατα[41], ἔχοντας ἀκόμα σῶμα δυσκίνητο καὶ ὑποκείμενο σὲ πάθη, τί τὸ ἀξιοθαύμαστο, ἂν διέσχιζε τὸν ἀέρα, ὅταν πλέον ἔλαβε αὐτὸ τό ἄφθαρτο σῶμα; Πῶς δὲ ἀνέβηκε «Μὲ ἀλαλαγμό»; Ποιὸς ἐξέβαλε φωνὴ χαρᾶς καὶ ἐνθουσιασμοῦ ὅταν ἀνέβηκε στὸν οὐρανό; Καθόσον αὐτό συνέβηκε σιωπηλὰ καὶ ἦταν παρόντες μόνο οἱ ἕνδεκα μαθητές του. Βλέπεις ὅτι δὲν πρέπει νὰ ἐννοοῦμε τὶς λέξεις μὲ τὴν ἁπλὴ ἐπιφανειακὴ σημασία τους, ἀλλ' ὅτι πρέπει νὰ ἐρευνοῦμε, ὥστε νὰ γνωρίσουμε τὸ βαθύτερο νόημά τους; Διότι, ἐκεῖνο πού ἔλεγα στὴν ἀρχὴ τοῦ ψαλμοῦ, ὅτι δηλαδὴ ἡ λέξη ἀλαλαγμὸς σημαίνει κάτι ἄλλο, τὴ νίκη, τὸ τρόπαιο· αὐτὸ λοιπὸν πού λέγει ἐδῶ «ἐν ἀλαλαγμῷ» σημαίνει αὐτό, ὅτι ἀνέβηκε νικητής, ἀφοῦ κατέβαλε τό θάνατο, ἀφοῦ συνέτριψε τὴν ἁμαρτία, ἀφοῦ κατετρόπωσε τοὺς δαίμονες, ἀφοῦ ἐξεδίωξε τὴν πλάνη, ἀφοῦ ὅλα τὰ μετέβαλε πρὸς τό καλύτερο, καὶ ὁδήγησε τὴ φύση μας πρὸς τὴν ἀρχαία πατρίδα, μᾶλλον δὲ πρὸς πολὺ πιὸ καλύτερη. Διότι κανένας δὲν ἀντιστάθηκε σ' αὐτὸν καθὼς ἀνέβαινε πρὸς τὸν οὐρανό, οὔτε ἡ τυραννικὴ ἐξουσία τῆς ἁμαρτίας, οὔτε ἡ δύναμη τοῦ θανάτου, οὔτε ἡ δύναμη τῆς κατάρας, οὔτε τῆς φθορᾶς, οὔτε ἡ ὑπερβολικὴ αὔξηση τῆς κακίας, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλ' ὅλα αὐτά, ἀφοῦ τὰ διέρρηξε σὰν τὸν ἱστὸ τῆς ἀράχνης, καὶ ἀφοῦ διέλυσε τὶς φάλαγγες τῶν δαιμόνων, τὸ κράτος τοῦ διαβόλου καὶ ὅλα αὐτὰ τὰ παρόμοια, ἀνέβηκε στὸν οὐρανό, ἀφοῦ πέτυχε ἐκεῖνο πού ἤθελε.

5. Γι' αὐτὸ καὶ ὁ Παῦλος, περιγράφοντας τὸ τρόπαιο αὐτοῦ, ἔλεγε· «Ἀφοῦ ἀπογύμνωσε τὶς πονηρὲς ἀρχὲς καὶ ἐξουσίες, τὶς διαπόμπευσε παρουσία ὅλων μὲ τὴν θριαμβευτικὴ πορεία τοῦ σταυρικοῦ θανάτου του»[42]. Καὶ πάλι· «Ἀφοῦ ἀκύρωσε τὸ χρεωστικό μας ἔγγραφο μὲ τὶς διατάξεις του πού ἦταν ἐναντίον μας, τὸ σήκωσε ἐπάνω καὶ τὸ κάρφωσε στὸ σταυρό»[43]. «Ὁ Κύριος ἀνέβηκε μὲ φωνὴ

*Πάλιν τὸ αὐτὸ δηλοῖ, τουτέστιν ἐν νίκῃ λαμπρᾷ. Ἐνταῦθα δὲ ἕτερόν τι νοητέον, τὸ περιφανές, τὸ σαφές, τὸ διωλύγιον. Καίτοι γε τότε οὐδεὶς ἔγνω, τούτου γενομένου, ἀλλ' οὕτως ἐγένετο σαφές, ὡς σάλπιγγος ἠχούσης, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Ἐκεῖνο γὰρ τὸ λάθρα γενόμενον τότε οὐδεὶς σχεδὸν τῶν οἰκούντων τὴν οἰκουμένην ἠγνόησεν, ἀλλ' οὕτως αὐτὸ ἐξεκάλυψε τῶ πραγμάτων ἡ φύσις, ὡς σάλπιγγος ἠχούσης, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Οὐ γὰρ δὴ οὕτω σάλπιγξ ἠχοῦσα ἅπαντας ἂν ἐκάλεσεν ἐπὶ τὴν θέαν ἐκείνην, ὡς μετὰ ταῦτα ἡ τῶν πραγμάτων φωνὴ τὴν ἀνάβασιν ἔδειξε, βροντῆς ἁπάσης ἰσχυρότερον κατάδηλον τὸ πρᾶγμα ποιήσασα. Οὐδὲ γὰρ ἂν βροντὴ οὕτω τὴν οἰκουμένην ἐκάλεσεν, ὡς ἡ τῶν πραγμάτων ἐπίδειξις τούς τε ὄντας τότε, τούς τε μετὰ ταῦτα ἐσομένους. Ἡ μὲν γὰρ βροντὴ τοῖς παροῦσίν ἐστι κατάδηλος, αὕτη δὲ πάσαις γενεαῖς σάλπιγγος λαμπρότερον, καὶ βροντῆς σαφέστερον ἐπιδείκνυται τὸ γεγενημένον. Οὐκ ἂν δέ τις ἁμάρτοι σάλπιγγας τὰ στόματα τῶν ἀποστόλων εἰπών, οὐχὶ χαλκηλάτους σάλπιγγας, ἀλλὰ χρυσίου τιμιωτέρας, καὶ λίθων πολυτελεστέρας.*

*Διὰ τί οὖν οὐκ εἶπε, σάλπιγγος, ἀλλ', «Ἐν φωνῇ σάλπιγγος»; Τὸ ὁμόψυχον αὐτῶν δηλῶν, καθάπερ καὶ ὁ Παῦλος λέγει· «Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν». Καὶ πάλιν· «Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία, καὶ ἡ ψυχὴ μία»· ἐσάλπιζον δέ, οὐκ εἰς πόλεμον καλοῦντες, ἀλλὰ τὰ νικητήρια εὐαγγελιζόμενοι. Καθάπερ γὰρ ἐπὶ τῶν στρα-*

---

43α. Α΄ Κορ. 15, 11.
44. Πρ. 4, 32.

σάλπιγγας». Πάλι τὸ ἴδιο δηλώνει, δηλαδὴ ἀνέβηκε μὲ λαμπρὴ νίκη. Ἐδῶ πρέπει νὰ ἐννοήσουμε κάτι τὸ διαφορετικό, τὸ ὑψηλό, τὸ ὁλοφάνερο, τὸ τρομερὰ μεγάλο. Ἂν καὶ βέβαια τότε, ποὺ συνέβαινε αὐτό, δὲν τὸ ἀντιλήφθηκε κανένας, ἀλλ' ὅμως τόσο ὁλοφάνερο ἦταν σὰν νὰ ἠχοῦσε σάλπιγγα, μᾶλλον δὲ καὶ ἀκόμη περισσότερο. Καθόσον ἐκεῖνο ποὺ συνέβηκε τότε ἀθόρυβα, κανένας σχεδὸν ἀπὸ τοὺς κατοίκους τῆς οἰκουμένης δὲν τὸ ἀγνόησε μετά, ἀλλὰ τόσο ὁλοφάνερο τὸ ἔκαμε ἡ ἴδια ἡ φύση τῶν πραγμάτων, σὰν νὰ ἠχοῦσε σάλπιγγα, μᾶλλον δὲ καὶ πολὺ περισσότερο. Διότι πράγματι ἂν ἠχοῦσε σάλπιγγα δὲν θὰ ἦταν δυνατὸ ἔτσι νὰ καλέσει ὅλους γιὰ νὰ δοῦν ἐκεῖνο τὸ θέαμα, ὅσο στὴ συνέχεια φανέρωσε τὴν ἀνάβαση ἐκείνη πολὺ πιὸ φανερὴ ἀπὸ ὁποιαδήποτε βροντή. Διότι δὲν θὰ μποροῦσε ἡ βροντὴ νὰ καλέσει ἔτσι τὴν οἰκουμένη, ὅπως αὐτὰ τὰ ἴδια τὰ πράγματα κάλεσαν καὶ τοὺς τότε ἀνθρώπου καὶ ἐκείνους ποὺ θὰ ἔρχονταν στὸν κόσμο μετὰ ἀπὸ ἐκείνους. Καθόσον ἡ μὲν βροντὴ γίνεται φανερὴ μόνον σ' ἐκείνους ποὺ εἶναι παρόντες, ἐνῶ ἡ φανέρωση ποὺ γίνεται ἀπὸ τὰ ἴδια τὰ πράγματα παρουσιάζει σ' ὅλες τὶς γενεὲς ἐκεῖνο ποὺ συνέβηκε τότε λαμπρότερα ἀπὸ τὴ σάλπιγγα καὶ φανερώτερα ἀπὸ τὴ βροντή. Δὲν θὰ ἔσφαλε δὲ κανένας, ἂν ὀνόμαζε σάλπιγγες τὰ στόματα τῶν ἀποστόλων, ὄχι σάλπιγγες κατασκευασμένες ἀπὸ χαλκό, ἀλλὰ πιὸ πολύτιμες καὶ ἀπὸ τὸ χρυσὸ καὶ πιὸ πολυτελεῖς καὶ ἀπὸ τοὺς πολυτίμους λίθους.

Γιατί λοιπὸν δὲν εἶπε 'σάλπιγγες', ἀλλ' εἶπε, «Μὲ φωνὴ σάλπιγγας»; Γιὰ νὰ δηλώσει τὴν ὁμοψυχία τῶν ἀποστόλων, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Παῦλος· «Εἴτε λοιπὸν ἐγώ, εἴτε ἐκεῖνοι, τὰ ἴδια κηρύσσομε»[13α]. Καὶ πάλι· «Τὸ δὲ πλῆθος ἐκείνων ποὺ πίστεψαν σ' αὐτὸν ἦταν μία ἡ καρδιὰ καὶ ἡ ψυχή»[14]. Σάλπιζαν δὲ γιὰ νὰ καλέσουν ὄχι σὲ πόλεμο, ἀλλὰ γιὰ νὰ κηρύξουν τὴν χαρμόσυνη εἴδηση τῆς νίκης. Διότι ὅπως ἀκριβῶς οἱ στρατοί, ὅταν προχωροῦν

τοπέδων, ὅταν εἰς πόλεμον εἰσίωσι, μετὰ τῶν σημείων προηγοῦνται αἱ σάλπιγγες, διανιστῶσαι τοὺς παρόντας, οὐ τῇ ὄψει, ἀλλὰ καὶ τῇ ἀκοῇ, οὕτω καὶ τότε ἐγένετο· τῶν ἀποστόλων εἰσιόντων εἰς ἑκάστην πόλιν, ἦχουν αἱ σάλπιγγες, καὶ πρὸς τὴν ἀκρόασιν ἅπαντες ἔτρεχον.

Ψάλατε τῷ Θεῷ ἡμῶν ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη». Διηγησάμενος τοίνυν τὸ μέγεθος τοῦ κατορθώματος, καλεῖ τὴν οἰκουμένην ἐπὶ τὴν εὐφημίαν μετὰ πολλῆς τῆς σπουδῆς· διὸ καὶ διπλασιασμῷ κέχρηται· καὶ οὐχ ἁπλῶς καλεῖ ψάλλειν, ἀλλὰ μετὰ πολλῆς τῆς συνέσεως. Τί ἐστι, «Ψάλατε συνετῶς»; Καταμαθόντες, φησί, τὰ γεγενημένα, ἐννοήσαντες τὸ μέγεθος τῶν κατορθωμάτων. Ἐμοὶ δὲ δοκεῖ καὶ ἕτερόν τι αἰνίττεσθαι διὰ τοῦ εἰπεῖν, «Συνετῶς»· τὸ μὴ φωνῇ μόνον, ἀλλὰ καὶ ἔργοις ψάλλειν· τὸ μὴ γλώττῃ μόνον, ἀλλὰ καὶ βίῳ. «Ἐβασίλευσε» γάρ, φησίν, «ὁ Θεὸς ἐπὶ τὰ ἔθνη». Ἄλλος φησίν, «Ἐπάνω τῶν ἐθνῶν». Καὶ ποίαν βασιλείαν ἐνταῦθά φησιν; Οὐ ἐκείνην τὴν κατὰ τὸν τῆς δημιουργίας λόγον, ἀλλὰ ταύτην τὴν τῆς οἰκειώσεως. Ἐβασίλευσε μὲν γὰρ καὶ πρὸ τούτου πάντων, ἅτε δημιουργὸς καὶ ποιητὴς ὤν, νυνὶ δὲ καὶ ἑκόντων καὶ χάριν εἰδότων· ὅπερ μεγίστης εὐφημίας ἄξιον καὶ πολλοῦ τοῦ θαύματος, ὅτι ὁ πρὸ τούτου ὑβριζόμενος ὑπὸ Ἰουδαίων, τοσαύτην παρεσκεύασε γενέσθαι τὴν μεταβολήν, ὡς πανταχοῦ τῆς οἰκουμένης ᾄδεσθαι· καὶ οἱ μήτε προφήτας ἀναγνόντες, μήτε νόμῳ συντραφέντες, ἀλλὰ καὶ θηριώδεις τὸν τρόπον ὄντες, ἀθρόον μεταβάλλοντο, καὶ πάντα ἐκεῖνα ῥίψαντες τὰ τῆς πλάνης, ὑπετάγησαν, οὐχὶ

στὴ μάχη, προχωροῦν ἐμπρὸς μαζὶ μὲ τὶς σημαῖες οἱ σάλπιγγες, γιὰ νὰ διεγείρουν τοὺς παρόντες, ὄχι μόνο μὲ τὰ ὅσα βλέπουν, ἀλλὰ καὶ μὲ τὰ ὅσα ἀκούουν, ἔτσι ἔγινε καὶ τότε, ὅταν οἱ ἀπόστολοι εἰσέρχονταν σὲ κάθε μιὰ πόλη, ἠχοῦσαν οἱ σάλπιγγες καὶ ὅλοι ἔτρεχαν γιὰ νὰ τοὺς ἀκούσουν.

«Ψάλατε ὕμνο στὸ Θεό μας, ψάλατε· ψάλατε ὕμνο στό βασιλέα μας, ψάλατε. Διότι ὁ Θεὸς εἶναι βασιλεὺς ὁλόκληρης τῆς γῆς, ψάλατε λοιπὸν μὲ σύνεση. Ὁ Θεὸς ἔγινε βασιλεὺς καὶ στὰ ἔθνη». Ἀφοῦ λοιπὸν διηγήθηκε τό μέγεθος τοῦ κατορθώματος, καλεῖ τὴν οἰκουμένη νὰ δοξολογήσει τό Θεὸ μὲ μεγάλη προθυμία· γι' αὐτὸ χρησιμοποιεῖ διπλὸ τὸ «ψάλατε» καὶ δὲν καλεῖ ἁπλῶς νὰ ψάλουν, ἀλλὰ μὲ πολλὴ σύνεση. Τί σημαίνει, «ψάλατε συνετῶς»; Ἀφοῦ, λέγει, μάθετε καλὰ τὰ ὅσα ἔγιναν, ἀφοῦ κατανοήσετε τὸ μέγεθος τῶν κατορθωμάτων. Νομίζω ὅμως ὅτι καὶ κάτι ἄλλο ὑπαινίσσεται μὲ τὴ λέξη «συνετῶς»· ψάλατε δηλαδὴ ὄχι μὲ φωνὴ μόνο, ἀλλὰ καὶ μὲ ἔργα· ὄχι μόνο μὲ τὴ γλώσσα, ἀλλὰ καὶ μὲ τόν τρόπο ζωῆς. Διότι λέγει, «Βασίλευσε ὁ Θεὸς καὶ στὰ ἔθνη». Ἄλλος λέγει, «Ἐπάνω τῶν ἐθνῶν». Καὶ ποιὰ βασιλεία ἐννοεῖ ἐδῶ; Ὄχι ἐκείνη ποὺ ἔλαβε χώρα κατὰ τὴν δημιουργία τοῦ κόσμου, ἀλλὰ στὴ βασιλεία καὶ πρὶν ἀπό αὐτὸ ἐπὶ ὅλων τῶν ἀνθρώπων, ἀφοῦ βέβαια καὶ πρὶν ἀπὸ αὐτὸ ἐπὶ ὅλων τῶν ἀνθρώπων, ἀφοῦ ἦταν δημιουργὸς καὶ ποιητής, τώρα ὅμως καὶ μὲ τὴ θέληση αὐτῶν καὶ μὲ τὴν ἔκφραση εὐγνωμοσύνης, πράγμα ποὺ εἶναι ἄξιο πάρα πολὺ μεγάλων ἐγκωμίων καὶ πολλοῦ θαυμασμοῦ, διότι ἐκεῖνος ποὺ πρὶν ἀπὸ αὐτὸ βριζόταν ἀπὸ τοὺς Ἰουδαίους, προετοίμασε νὰ γίνει μιὰ τόσο μεγάλη μεταβολή, ὥστε νὰ ἐγκωμιάζεται σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης· καὶ ἐκεῖνοι, ποὺ οὔτε προφῆτες ἀνέγνωσαν οὔτε γράφηκαν μὲ τὸ νόμο, ἀλλ' ὁ τρόπος ζωῆς τους ὁμοίαζε μὲ τῶν θηρίων, ὅλοι μαζὶ μετέβαλλαν τρόπον ζωῆς καὶ ἀφοῦ ἀπέρριψαν ὅλα ἐκεῖνα τὰ γνωρίσματα τῆς πλάνης,

δύο καὶ τρία καὶ τέσσαρα ἔθνη καὶ δέκα, ἀλλ' οἱ πανταχοῦ τῆς οἰκουμένης οἰκοῦντες.

'Ο Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ». Τί ἐστι, «Κάθηται ἐπὶ θρόνου»; Βασιλεύει, κρατεῖ. Καὶ καλῶς εἶπεν, «Ἁγίου». Οὐ γὰρ δὴ βασιλεύει μόνον, ἀλλὰ καὶ ἁγίως βασιλεύει. Τί ἐστιν, ἁγίως βασιλεύει; Καθαρῶς. Ἄνθρωποι μὲν γὰρ ἐπὶ τὴν ἀρχὴν ἐρχόμενοι ταύτην, αὐτῇ τῇ δυνάμει πρὸς ἀδικίαν κέχρηνται, ἐκείνη δὲ ἀνέπαφος ἡ ἀρχὴ παντὸς τοιούτου, καθαρὰ καὶ ἁγία. Οὐδὲ γὰρ ἀπάτη, οὐδὲ ἄλλο τι τῶν τοιούτων τὸ δικαστήριον ἐκεῖνο διαφθείρει καὶ παραλογίζεται, ἀλλ' ἔστι καθαρόν, εἰλικρινές, πάσης ἐπέκεινα καθαρότητος ἀπαστράπτον, διαλάμπον ἀφάτῳ τῇ δόξῃ.

6. «Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ· ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν». Ἐνταῦθα δείκνυσι τὴν ἐπίτασιν τοῦ εὐαγγελίου, ὅτι οὐκ ἰδιωτῶν ἥψατο μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν τὸ διάδημα ἐχόντων, καὶ τῶν ἐπὶ τοῦ θρόνου καθημένων τοῦ βασιλικοῦ. Εἶτα δεικνὺς αὐτὸν ὄντα Καινῆς καὶ Παλαιᾶς ἕνα Θεόν, φησι· «Μετὰ τοῦ Θεοῦ Ἀβραάμ», ἀντὶ τοῦ 'αὐτὸς οὗτος ὁ καὶ τῶν προπατόρων Θεός, ὁ καὶ τὸν νόμον ἐκείνοις δεδωκώς'. Διὸ καὶ Ἱερεμίας ἔλεγε· «Διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν ἐκ τῆς Αἰγύπτου», δεικνὺς ὅτι καὶ Καινῆς καὶ Παλαιᾶς εἷς καὶ ὁ αὐτός ἐστι νομοθέτης. Καὶ ὁ Βαροὺχ πάλιν ἔλεγεν· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς

45. Ἱερ. 38, 31 - 32.

ὑποτάχθηκαν, ὄχι δύο καὶ τρία καὶ τέσσερα καὶ δέκα ἔθνη, ἀλλ' οἱ κάτοικοι ὁλόκληρης τῆς οἰκουμένης.

«Ὁ Θεός κάθεται ἐπάνω στόν ἅγιο θρόνο του». Τί σημαίνει, «Κάθηται ἐπὶ θρόνου»; Βασιλεύει, ἐξουσιάζει. Καὶ καλὰ εἶπε, «ἁγίου». Διότι δὲν πρέπει μόνο νὰ βασιλεύει, ἀλλὰ νὰ βασιλεύει ἁγίως. Τί σημαίνει νὰ βασιλεύει ἁγίως; Μὲ καθαρότητα. Διότι οἱ μὲν ἄνθρωποι ὅταν ἀναλάβουν τὴν ἐξουσία, χρησιμοποιοῦν γιὰ ἀδικία αὐτὴ τὴ δύναμη, ἐνῶ ἐκείνη ἡ ἐξουσία δὲν ἔχει σχέση μὲ κανένα ἀπὸ αὐτά, ἀλλ' εἶναι καθαρὴ καὶ ἁγία. Καθόσον οὔτε ἀπάτη, οὔτε τίποτε ἄλλο παρόμοιο διαφθείρει καὶ ἐξαπατᾶ ἐκεῖνο τὸ δικαστήριο, ἀλλ' εἶναι καθαρό, εἰλικρινές, ἀστράπτει περισσότερο ἀπό κάθε καθαρότητα καὶ λάμπει ἀπὸ τὴν ἀπερίγραπτη δόξα.

6. «Οἱ ἄρχοντες τῶν λαῶν συγκεντρώθηκαν καὶ ἑνώθηκαν μὲ τὸν Θεὸ τοῦ Ἀβραάμ, καὶ οἱ ἰσχυροὶ τῆς γῆς πού εἶναι δοῦλοι τοῦ Θεοῦ ἐξυψώθηκαν καὶ δοξάσθηκαν ὑπερβολικά». Ἐδῶ δείχνει τήν ὑπερβολική δύναμη τοῦ εὐαγγελίου, διότι προσέλκυσε ὄχι μόνο ἰδιῶτες, ἀλλὰ καὶ αὐτοὺς ποὺ φοροῦν τὸ βασιλικὸ στέμμα καὶ κάθονται ἐπάνω στό βασιλικό θρόνο. Ἔπειτα γιὰ νά δείξει ὅτι αὐτὸς εἶναι ὁ Θεός τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, λέγει «Μαζὶ μὲ τὸ Θεὸ τοῦ Ἀβραάμ», ἀντὶ τοῦ 'αὐτὸς ὁ ἴδιος ὁ Θεὸς καὶ τῶν προπατόρων, ὁ ὁποῖος ἔδωσε τὸ νόμο σ' ἐκείνους'. Γι' αὐτὸ καὶ ὁ Ἱερεμίας ἔλεγε· «Θὰ συνάψω μαζί σας νέα διαθήκη, ὄχι ὅμοια μὲ τὴ διαθήκη ἐκείνη, ποὺ τοὺς ἔπιασα ἀπὸ τὸ χέρι καὶ τοὺς ἔβγαλα ἀπὸ τὴν Αἴγυπτο»[43], γιὰ νὰ δείξει ὅτι ἕνας καὶ ὁ αὐτὸς εἶναι ὁ νομοθέτης καὶ τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Διαθήκης. Καὶ ὁ Βαρούχ πάλι ἔλεγε· «Αὐτὸς εἶναι ὁ Θεὸς μας καὶ κανένας ἄλλος δὲν μπορεῖ νὰ ἀναμετρηθεῖ μαζί του. Ἐξεῦρε κάθε ὁδό γνώσεως καὶ τὴν ἔδωσε στό δοῦλο του τόν Ἰακὼβ καὶ στὸν Ἰσραὴλ τόν ἀγαπημένο του· μετὰ δὲ ἀπό αὐτὰ φανερώθηκε στὴ γῆ καὶ συναναστρά-

ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη», δεικνὺς ὅτι ὁ τὸν νόμον δεδωκώς, αὐτός ἐστιν ὁ σαρκωθείς· καὶ ὁ σαρκωθεὶς αὐτὸς καὶ τὸν νόμον δέδωκε. Τοῦτο καὶ ὁ προφήτης λέγει· «Συνήχθησαν μετὰ τοῦ Θεοῦ», φησίν, «Ἀβραάμ». Ὁ δὲ Ἑβραῖος, ἀντὶ τοῦ, «Μετὰ τοῦ Θεοῦ», «Ἔμ Ἐλωΐ Ἀβραάμ».

Καὶ πῶς τοῦτο γέγονεν; «Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν». Τίνες δὲ οἱ κραταιοὶ τοῦ Θεοῦ, ἀλλ' ἢ οἱ ἀπόστολοι, οἱ πιστοὶ πάντες; Ἐπειδὴ γὰρ τοσοῦτον ἔλαμψεν ἡ δύναμις αὐτῶν, φησίν, ἐκράτησαν ἁπάντων. Καὶ καλῶς αὐτοὺς κραταιοὺς ἐκάλεσε. Πῶς γὰρ οὐ κραταιοί, οἱ πρὸς ἅπασαν τὴν οἰκουμένην παραταξάμενοι, πρὸς τοὺς δαίμονας, πρὸς τὸν διάβολον, πρὸς δήμους, πρὸς πόλεις, πρὸς ἔθνη, πρὸς τυράννους, πρὸς τιμωρίας, πρὸς κολάσεις, πρὸς τήγανα, πρὸς καμίνους, πρὸς συνήθειαν, πρὸς φύσεως τυραννίδα, καὶ πάντα καθελόντες, καὶ ὑψηλότεροι πάντων γενόμενοι, καὶ μηδενὶ χειρωθέντες; πῶς οὐ κραταιοί, καὶ μετὰ τελευτὴν τοσαύτην ἐπιδεικνύμενοι τὴν ἰσχύν; πῶς οὐ κραταιοί, ὧν τὰ ῥήματα ἀδάμαντός ἐστι στεῤῥότερα καὶ οὐδεὶς αὐτὰ χρόνος ἤλεγξεν, ἀλλὰ καὶ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν, τοῦ εὐαγγελικοῦ κηρύγματος πάντῃ καὶ πανταχοῦ διατρέχοντος εἰς τὰ τῆς οἰκουμένης πληρώματα;

Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

46. Βαρούχ 3, 36-38.

φηκε μὲ τοὺς ἀνθρώπους»[46], γιὰ νὰ δείξει, ὅτι ἐκεῖνος ποὺ ἔδωσε τὸ νόμο, ὁ ἴδιος εἶναι ποὺ ἔλαβε σάρκα ἀνθρώπινη, καὶ ὅτι αὐτὸς ποὺ ἔλαβε σάρκα, ὁ ἴδιος εἶναι ποὺ ἔδωσε καὶ τὸ νόμο. Αὐτὸ λέγει καὶ ὁ προφήτης' «Συγκεντρώθηκαν», λέγει, «καὶ ἑνώθηκαν μὲ τὸ Θεὸ τοῦ Ἀβραάμ». Ὁ δὲ ἑβραῖος ἀντὶ τοῦ «Μετὰ τοῦ Θεοῦ» λέγει «Ἔμ Ἐλωὶ Ἀβραάμ».

Καὶ πῶς συνέβηκε αὐτό; Ἐπειδὴ «Ἔγιναν δοῦλοι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς καὶ ἐξ αἰτίας αὐτοῦ ἐξυψώθηκαν πάρα πολύ». Ποιοὶ ἄλλοι δὲ εἶναι οἱ κραταιοὶ τοῦ Θεοῦ, παρὰ οἱ ἀπόστολοι καὶ ὅλοι οἱ πιστοί; Διότι, ἐπειδὴ τόσο πολὺ ἔλαμψε ἡ δύναμή τους, λέγει, ἐξουσίασαν ὅλους τοὺς ἀνθρώπους. Καὶ πολὺ σωστὰ ὀνόμασε αὐτοὺς κραταιούς. Διότι πῶς δὲν εἶναι κραταιοὶ ἐκεῖνοι ποὺ ἀντιτάχθηκαν ἐναντίον ὁλόκληρης τῆς οἰκουμένης, ἐναντίον τῶν δαιμόνων, ἐναντίον τοῦ διαβόλου, ἐναντίον δήμων, ἐναντίον πόλεων, ἐναντίον ἐθνῶν, ἐναντίον τυράννων, ποὺ ἀντιμετώπισαν τιμωρίες, κολάσεις, τηγάνια, καμίνια, συνήθειες, τὴν τυραννικὴ ἐξουσία τῆς φύσεως, καὶ πού, ἀφοῦ τὰ ὑπερπήδησαν ὅλα, ἔφθασαν ὑψηλότερα ἀπὸ ὅλους καὶ δὲν ὑποτάχθηκαν σὲ κανένα; πῶς δὲν εἶναι κραταιοὶ ἐκεῖνοι ποὺ καὶ μετὰ τὸ θάνατό τους ἔχουν νὰ ἐπιδείξουν τόσο μεγάλη δύναμη; Πῶς δὲν εἶναι κραταιοὶ ἐκεῖνοι, ποὺ οἱ λόγοι τους εἶναι πιὸ ἰσχυροὶ καὶ ἀπὸ τὸ διαμάντι καὶ ποὺ οὔτε ὅλος ὁ χρόνος δὲν ἀφήρησε τὴν ἀξία τους καὶ καθημερινὰ καρποφοροῦν μὲ τὸ νὰ διατρέχει τὸ κήρυγμα τοῦ εὐαγγελίου ὅλα ἐξ ὁλοκλήρου τὰ μέρη τῆς οἰκουμένης;

Γιὰ ὅλα αὐτὰ ἂς εὐχαριστήσουμε τὸ φιλάνθρωπο Θεό, διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΜΖ΄ ΨΑΛΜΟΝ

«*Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορέ*.

*«Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, εὐριζῶν ἀγαλλιάματι πάσης τῆς γῆς». Ἕτερός φησι, «Καλῷ βλαστήματι, χάρματι πάσης τῆς γῆς». Ἄλλος, «Ἀπ' ἀρχῆς ἀφωρισμένῳ ἀγλαΐσματι πάσης τῆς γῆς».*

*1. Καὶ ἐνταῦθα ἀπαλλαγὴν πολέμων, καὶ μάχης ἐλευθερίαν δηλοῖ. Ἐπειδὴ γὰρ ἐπανελθόντες ἀπὸ τῆς Βαβυλωνίων καὶ τῆς μακρᾶς ἀπαλλαγέντες αἰχμαλωσίας, τὴν πατρῴαν ἀπέλαβον γῆν, καὶ πολλοὺς διέφυγον πολέμους, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ τούτων αἰτίῳ τῶν ἀγαθῶν, τούτους ᾄδουσι τοὺς ὕμνους, καί φασι· «Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα». Τὸ μὲν «Μέγας», λέγουσι, τὸ δὲ πόσον, οὐκέτι· οὐδεὶς γὰρ τοῦτο ἐπίσταται· διὸ καὶ ἐπήγαγε· «Καὶ αἰνετὸς σφόδρα». Τῆς γὰρ μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δοξάζειν αὐτὸν δεῖ, καὶ αἰνεῖν μόνον, καὶ τοῦτο μεθ' ὑπερβολῆς ἁπάσης· αἰνεῖν δὲ αὐτόν, καὶ διὰ τὸ μέγεθος τῆς οὐσίας τὸ ἄπειρον τοῦτο καὶ ἀκατάληπτον, καὶ διὰ τὴν ὑπερβολὴν τῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς. Καὶ γὰρ ἠβουλήθη, καὶ ἴσχυσεν ἅπερ ἠβουλήθη. «Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ». Τί λέγεις; Ἐκεῖ συγκλείεις αὐτοῦ τὸν αἶνον, τοῦ μεγάλου, τοῦ αἰνετοῦ, ἐν τῇ πόλει καὶ ἐν τῷ ὄρει; Οὐ τοῦτο λέγω, φησίν, ἀλλ' ὅτι ἡμεῖς πρὸ*

1. Συντάχθηκε ἀπὸ ποιητὴ τῆς οἰκογένειας Κορὲ καὶ εἶναι ἐπινίκιο ᾆσμα. Βασιλεῖς ἔχουν κυκλώσει τὴν Ἱερουσαλήμ, ἀλλὰ καταστρέφονται καὶ μόνο μὲ τὸ ἀντίκρυσμα αὐτῆς· γι' αὐτὸ ὁ ποιητὴς ἀναπέμπει εὐχαριστίες γιὰ τὴ θαυμάσια ἐπέμβαση τοῦ Θεοῦ.

1α. Γαλ. 5, 24.

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΜΖ΄ ΨΑΛΜΟ[1]

Ὠδὴ ψαλμοῦ τῶν υἱῶν Κορέ.

«Μέγας εἶναι ὁ Κύριος καὶ ὑπεράξιος νὰ ὑμνεῖται στὴν πόλη τοῦ Θεοῦ μας, στὸ ἅγιο ὄρος του, ποὺ εἶναι καλὰ ριζωμένη καὶ ἀποτελεῖ τὴ χαρὰ καὶ ἀγαλλίαση ὁλόκληρης τῆς γῆς». Ἄλλος λέγει, «Καλό βλάστημα, ποὺ ἀποτελεῖ τὴ χαρὰ ὁλόκληρης τῆς γῆς». Ἄλλος, «Ἀπὸ τὴν ἀρχὴ ξεχωριστὸ ἀγαλλίαμα ὁλόκληρης τῆς γῆς».

1. Καὶ ἐδῶ δηλώνει ἀπαλλαγὴ ἀπὸ πολέμους καὶ ἔλλειψη μαχῶν. Ὅταν δηλαδὴ ἐπέστρεψαν ἀπὸ τὴ χώρα τῶν Βαβυλωνίων καὶ ἀπαλλάχθηκαν ἀπὸ τὴ μακροχρόνια αἰχμαλωσία, ἐπειδὴ ξαναπέκτησαν τὴν πατρική τους γῆ καὶ ἀπέφυγαν πολλοὺς πολέμους, γιὰ νὰ εὐχαριστήσουν τὸν αἴτιο ὅλων αὐτῶν τῶν ἀγαθῶν, ἔψαλαν αὐτοὺς τοὺς ὕμνους, λέγοντας· «Εἶναι μέγας ὁ Κύριος καὶ ὑπεράξιος νὰ ὑμνεῖται». Τὸ ὅτι μὲν εἶναι «Μέγας» τὸ λένε, τὸ δὲ πόσο, δὲν τὸ ὁρίζουν, διότι κανεὶς δὲν τὸ γνωρίζει αὐτό· γι' αὐτό πρόσθεσε, «Καὶ ὑπεράξιος νὰ ὑμνεῖται». Καθόσον δὲν ἔχει τέλος ἡ μεγαλωσύνη αὐτοῦ. Αὐτό δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· πρέπει νὰ δοξάζουμε μόνο αὐτὸν καὶ νὰ τὸν ὑμνοῦμε, καὶ αὐτὸ νὰ τὸ κάμνουμε σὲ ὑπερβολικὸ βαθμό· νὰ ὑμνοῦμε αὐτὸν καὶ ἐξ αἰτίας τοῦ ἀπείρου καὶ ἀκατανοήτου μεγέθους τῆς οὐσίας του, καὶ ἐξ αἰτίας τῶν ὑπερβολικῶν εὐεργεσιῶν του πρὸς ἐμᾶς. Καθόσον θέλησε καὶ πραγματοποίησε ὅλα ὅσα θέλησε. «Στὴν πόλη τοῦ Θεοῦ μας, στὸ ἅγιο ὄρος του». Τί λέγεις; Ἐκεῖ περιορίζεις τὴ δοξολογία αὐτοῦ τοῦ μεγάλου καὶ δοξασμένου, στὴ πόλη καὶ στὸ ὄρος; Δὲν ἐννοῶ αὐτό, λέγει, ἀλλ' ἐμεῖς

τῶν ἄλλων τοῦτο ἐπέγνωμεν. Ἢ διὰ τοῦτο οὖν εἶπε τό, «Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν», ἢ θέλων δηλῶσαι ὅτι διὰ τῶν εἰς αὐτὴν γινομένων θαυμάτων ἐδείχθη αὐτοῦ ἡ μεγαλωσύνη καὶ ἡ δόξα, ὅτι δὴ τοὺς αἰχμαλώτους, τοὺς ἀπερριμμένους, τοὺς εὐκαταφρονήτους, τοὺς καθάπερ ἐν τάφῳ τῇ πολεμίᾳ κατεχομένους γῇ, τούτους ἀθρόον οὕτως ἐκλάμψαι παρεσκεύασεν, ὡς τῶν κρατησάντων περιγενέσθαι, καὶ ἐπανελθεῖν καὶ πρὸς τὴν προτέραν εὐημερίαν ἐπαναγαγεῖν, καὶ τὸ παλαιὸν τῆς πατρίδος ἀποδοῦναι σχῆμα.

Δείκνυσι μὲν γὰρ αὐτόν, φησί, καὶ τὸ μέγεθος τῶν κτισμάτων τῶν ὁρωμένων, ἀλλ' ἐπειδὴ οἱ πλείους ἀνοητότεροι διέκειντο τὸ παλαιόν, προστίθησι καὶ τὴν ἀπὸ τῶν πολεμίων, καὶ τὴν ἀπὸ τῆς νίκης γνῶσιν, τὰ παράδοξα ταῦτα τρόπαια συνεχῶς ἱστάς, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ἐργαζόμενος, καὶ παρ' ἐλπίδα καὶ προσδοκίαν ἅπασαν τὰ τοιαῦτα θαυματουργῶν. Πόλιν δὲ αὐτοῦ καλεῖ ταύτην, οὐ τὰς ἄλλας ἀποστερῶν αὐτοῦ τῆς προνοίας, ἀλλὰ δεικνὺς τούτους πλέον τι τῶν ἄλλων ἔχοντας κατὰ τὸν τῆς γνώσεως λόγον. Ἐκεῖναι μὲν γὰρ κατὰ τὸν τῆς δημιουργίας μόνον λόγον αὐτοῦ ἂν λέγοιντο, αὕτη δὲ καὶ κατὰ τὸν τῆς οἰκειώσεως, καὶ διὰ τὸ πάντα αὐτόθι τὰ θαύματα γίνεσθαι. Τότε μὲν οὖν ἡ πόλις ἐλέγετο τοῦ Θεοῦ· νῦν δὲ πάντες ἡμεῖς τοῦ Θεοῦ λεγόμεθα. «Οἱ γὰρ τοῦ Χριστοῦ», φησί, «τὰν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις». Εἶδες ἀρετῆς ἐπίτασιν; Διὰ τοῦτο καὶ ὄρος ἐλέγετο τοῦ Θεοῦ, ἐπειδὴ ὁ Θεὸς ἐκεῖ ἐθεραπεύετο.

«Εὐριζῶν ἀγαλλιάματι πάσης τῆς γῆς». Πολλὴ ἡ ἀσάφεια τοῦ ῥητοῦ, διὸ προσέχειν δεῖ. Τῷ μὲν γὰρ ἁπλῶς ἀνα-

πρὶν ἀπὸ ὅλους τοὺς ἄλλους αὐτὸ γνωρίσαμε. Ἢ γι' αὐτὸ λοιπὸν εἶπε τὸ «Στὴν πόλη τοῦ Θεοῦ μας», ἢ ἐπειδὴ ἤθελε νὰ δείξει, ὅτι μὲ τὰ θαύματα ποὺ ἔγιναν σ' αὐτήν, δείχθηκε ἡ μεγαλωσύνη κα ἡ δόξα του, διότι πράγματι ἔκαμε τόσο γρήγορα νὰ διαλάμψουν οἱ αἰχμάλωτοι, οἱ κατατρεγμένοι, οἱ περιφρονημένοι, ἐκεῖνοι ποὺ κρατοῦνταν στὴν ξένη χώρα σὰν μέσα σὲ τάφο, ὥστε νὰ ὑπερισχύσουν τῶν κατακτητῶν τους καὶ νὰ ἐπιστρέψουν στὴν προηγούμενη εὐημερία τους καὶ νὰ δώσουν τὴν παλιὰ μορφὴ στὴν πατρίδα τους.

Φανερώνει βέβαια, λέγει, αὐτὸν καὶ τὸ μέγεθος τῶν κτισμάτων ποὺ βλέπουμε, ἀλλ' ἐπειδὴ οἱ περισσότεροι τὴν παλιὰ ἐποχὴ ἦταν πιὸ ἀνόητοι, προσθέτει καὶ τὴ γνώση ἀπὸ τοὺς ἐχθροὺς καὶ ἀπὸ τὴν νίκη, προβάλλοντας συνεχῶς τὰ παράδοξα αὐτὰ τρόπαια τῆς νίκης, καὶ μὲ τὸ νὰ παρουσιάζει αὐτὸν σὰν αἴτιο τῆς μεταβολῆς τους πρὸς τὸ καλύτερο καὶ νὰ πραγματοποιεῖ τὰ παρόμοια θαύματα χωρὶς νὰ τὸ ἐλπίζουν καὶ νὰ τὸ περιμένουν. Ὀνομάζει δὲ αὐτὴν πόλη του χωρὶς ν' ἀποστερεῖ τὶς ἄλλες ἀπὸ τὴν πρόνοιά του, ἀλλὰ γιὰ νὰ δείξει ὅτι αὐτοὶ ἔχουν κάτι περισσότερο ἀπὸ τοὺς ἄλλους ὡς πρὸς τὴν ἀναλογία τῆς γνώσεως. Καθόσον ἐκεῖνες μὲν θὰ μποροῦσαν νὰ ὀνομασθοῦν πόλεις του μόνο κατὰ τὸ ὅτι δημιουργήθηκαν ἀπ' αὐτόν, ἐνῶ αὐτὴ καὶ ἐξ αἰτίας τῆς ἐκδηλώσεως τῆς μεγάλης ἀγάπης του πρὸς αὐτή, καὶ ἐπειδὴ ὅλα τὰ θαύματα γίνονταν ἐκεῖ. Καὶ τότε λοιπὸν ὀνομαζόταν ἡ πόλη τοῦ Θεοῦ, ἐνῶ τώρα ὀνομαζόμαστε ὅλοι ἐμεῖς τοῦ Θεοῦ. Διότι λέγει, «οἱ ἄνθρωποι τοῦ Χριστοῦ σταύρωσαν τὴ σάρκα μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες της». Εἶδες μέγεθος ἀρετῆς; Γι' αὐτὸ καὶ ὄρος ὀνομαζόταν τοῦ Θεοῦ, ἐπειδὴ ἐκεῖ λατρευόταν ὁ Θεός.

«Ἡ ὁποία εἶναι καλὰ ριζωμένη γιὰ νὰ ἀποτελεῖ τὸ ἀγαλλίαμα καὶ τὴ χαρὰ ὁλόκληρης τῆς γῆς». Εἶναι μεγάλη ἡ ἀσάφεια τοῦ ρητοῦ, γι' αὐτὸ πρέπει νὰ προσέχει κανείς.

*γινώσκοντι πολλὴν τὴν ἀπορίαν ποιεῖ, ὁ δὲ μετὰ ἀκριβείας αὐτὰ ἐπιών, ὄψεται τὴν ἀκολουθίαν καὶ τὴν σειρὰν ἀκριβῆ τῶν νοημάτων. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι· «Μέγας Κύριος ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ εὐριζῶν», τουτέστι καλῶς ῥιζῶν, καλῶς πηγνύς, καλῶς βεβαιῶν αὐτὴν ἐν χαρᾷ καὶ εὐφροσύνῃ πάσης τῆς οἰκουμένης. Τοῦτο καὶ ἄλλος αἰνιττόμενος, «Ἀφωρισμένῳ ἀγλαΐσματι πάσης τῆς γῆς», εἶπεν. Ἀγλάϊσμα γὰρ αὐτὴν πάσης τῆς οἰκουμένης καὶ εὐφροσύνην ἐποίησεν. Ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς εὐσεβείας, καὶ τῆς θεογνωσίας αἱ ῥίζαι καὶ αἱ ἀρχαί. Τοιαύτην τοίνυν οὖσαν αὐτὴν ἐρρίζωσε, καὶ καλῶς ἔπηξεν ἐπὶ κόσμῳ τῆς οἰκουμένης, ἐπὶ ἀγαλλιάματι, ἐπὶ χαρᾷ πάσης τῆς γῆς. Τὸ γὰρ διδασκαλεῖον τῆς γῆς τὰ Ἱεροσόλυμα τότε ἦν, καὶ οἱ βουλόμενοι χαρᾶς ἀπολαύειν, καὶ καλλωπίζεσθαι, καὶ κοσμεῖσθαι, ἐντεῦθεν τὰ δέοντα ἐμάνθανον. Διὸ καὶ τοῦτο δηλῶν οὐ ῥιζῶν εἶπεν, ἀλλ', «Εὐριζῶν». Εἰ δὲ βούλει αὐτὸ καὶ κατὰ ἀναγωγὴν λαβεῖν, ὄψει τῶν πραγμάτων τὴν ἀλήθειαν. Ἐντεῦθεν γὰρ τὸ ἀγαλλίαμα πανταχοῦ τῆς οἰκουμένης γέγονεν· ἐντεῦθεν ἡ εὐφροσύνη καὶ ἡ χαρά· ἐντεῦθεν αἱ πηγαὶ τῆς φιλοσοφίας, ἔνθα Χριστὸς ἐσταυρώθη, ὅθεν οἱ ἀπόστολοι ἐξώρμησαν· «Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ»· καὶ ῥίζας δὲ ἀθανάτους ἡ χαρὰ αὕτη ἔχει.*

*«Ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βορρᾶ». Ἄλλος φησίν, «Ὄρη Σιὼν οἱ μηροὶ τοῦ βορρᾶ». Ὁ δὲ Ἑβραῖος, «Ἂρ Σιὼν ἰερχθὴ σαφούν». Τίνος ἕνεκεν, εἰπέ μοι, τοῦ βορρᾶ μνημονεύει νῦν, καὶ τοῦ τόπου τὴν θέσιν ἡμῖν ὑπογράφει; Ἐπειδὴ*

---

2. Μιχ. 4, 2.

Διότι σ' ἐκεῖνον μὲν ποὺ τὸ διαβάζει ἀπρόσεκτα, δημιουργεῖ μεγάλη ἀπορία, ἐνῶ ἐκεῖνος ποὺ μὲ προσοχὴ μελετᾶ αὐτά, θὰ διαπιστώσει, ὅτι εἶναι πολὺ ὀρθὸ τὸ συμπέρασμα καὶ ἡ σειρὰ τῶν νοημάτων. Διότι αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· «Εἶναι μέγας ὁ Κύριος στὴν πόλη τοῦ Θεοῦ μας, ἔχοντας καλὰ στερεομένη αὐτὴν στὸ ἅγιο ὄρος του», δηλαδή, καλὰ ριζωμένη, καλὰ θεμελιωμένη, καλὰ σταθεροποιημένη πρὸς χαρὰ καὶ εὐφροσύνη ὁλόκληρης τῆς οἰκουμένης. Αὐτὸ ὑπαινισσόμενος καὶ ἄλλος, εἶπε, «Ξεχωριστὸ ἀγαλλίαμα ὁλόκληρης τῆς γῆς». Διότι ἔκαμε αὐτὴν πηγὴ ἀγαλλιάσεως καὶ εὐφροσύνης ὁλόκληρης τῆς οἰκουμένης. Καθόσον ἐκεῖ ἔχει τὴν πηγή της ἡ εὐσέβεια, καὶ ἐκεῖ βρίσκονται οἱ ρίζες καὶ οἱ ἀρχὲς τῆς θεογνωσίας. Ἐπειδὴ λοιπὸν εἶναι αὐτὴ τέτοια τὴ ρίζωσε καλά, τὴ θεμελίωσε καλά, γιὰ νὰ ἀποτελεῖ τὸ κόσμημα τῆς οἰκουμένης, τὴν ἀγαλλίαση καὶ τὴ χαρὰ ὁλόκληρης τῆς γῆς. Διότι τὸ διδασκαλεῖο τῆς γῆς τότε ἦταν τὰ Ἱεροσόλυμα καὶ ἐκεῖνοι, ποὺ ἤθελαν ν' ἀπολαμβάνουν χαρὰ καὶ ν' ἀποκτοῦν καλλωπισμὸ καὶ στολισμό, ἐκεῖ μάθαιναν τὰ πρέποντα. Γι' αὐτὸ θέλοντας καὶ αὐτὸ νὰ τὸ δείξει δὲν εἶπε ἁπλῶς ριζωμένη, ἀλλὰ «καλὰ ριζωμένη». Ἂν δὲ θέλεις αὐτὸ νὰ τὸ ἐξετάσεις καὶ κατὰ τρόπο ἀλληγορικό, θὰ διαπιστώσεις τὴν ἀλήθεια τῶν πραγμάτων. Διότι ἀπὸ ἐδῶ προῆλθε ἡ ἀγαλλίαση πρὸς ὁλόκληρη τὴν οἰκουμένη· ἀπὸ ἐδῶ ἡ εὐφροσύνη καὶ ἡ χαρά· ἀπὸ ἐδῶ οἱ πηγὲς τῆς φιλοσοφίας, ὅπου σταυρώθηκε ὁ Χριστός, καὶ ἀπὸ ὅπου ἐξόρμησαν οἱ ἀπόστολοι· «Διότι ἀπὸ τὴ Σιὼν θὰ προέλθει νόμος, καὶ λόγος Κυρίου ἀπὸ τὴν Ἱερουσαλήμ»[2]· καὶ αὐτὴ ἡ χαρὰ ἔχει ρίζες ἀθάνατες.

«Στὰ ὄρη τῆς Σιών, ποὺ ἀποτελοῦν τὰ πλευρὰ τοῦ Βορρᾶ». Ἄλλος λέγει, «Τὰ ὄρη τῆς Σιών, ποὺ ἀποτελοῦν τοὺς μηροὺς τοῦ βορρᾶ». Ὁ δὲ ἑβραῖος λέγει, «Ἂρ Σιὼν ἱερχθὴ σαφούν». Γιὰ ποιὸ λόγο, πές μου, ἀναφέρει ἐδῶ τὸ βορρᾶ καὶ μᾶς περιγράφει τοῦ τόπου τὴ θέση; Ἐπειδὴ

*ἐντεῦθεν συνεχῶς ὁ πόλεμος αὐτοῖς ἀνερριπίζετο, τῶν βαρβάρων ἐπιόντων, καὶ συνεχῶς οἱ προφῆται τοῦτο λέγουσι, τὸν ἀπὸ βορρᾶ καλοῦντες, καὶ λέβητα ἐκεῖθεν καιόμενον ὑπογράφουσιν· οὕτω γὰρ ἡ Περσῶν χώρα κεῖται πρὸς τὴν Παλαιστίνην. Θαυμάζων τοίνυν τὸ γεγενημένον, τοῦτο ἐπήγαγε, δηλῶν, ὅτι ταύτην τὴν συνεχῶς ἐκεῖθε ἐνοχλουμένην ἀχείρωτον ἐποίησας. Ὥσπερ γὰρ ἂν εἴ τις λέγοι περὶ σώματος, ὅτι τὸ μέρος ἐκεῖνο τὸ ἀσθενὲς ἰσχυρότερον εἰργάσω, τοῦτο δὴ καὶ αὐτὸς ἐνταῦθα αἰνίττεται λέγων· ὅθεν οἰμωγαὶ καὶ δάκρυα, ὅθεν ὑπόθεσις τῶν συμφορῶν, ταῦτα ἡδονῆς τὰ μέρη ἐμπέπλησται, ταῦτα εὐθυμίας. Ὅθεν ἀπειλαὶ καὶ φόβοι καὶ κίνδυνοι, ἐντεῦθεν χαρὰ καὶ εὐφροσύνη, καὶ οὐδεὶς λοιπὸν ἐκεῖνο δέδοικε τὸ μέρος τῆς κτίσεως τὸ βορειότερον, οὐδεὶς κάμνει, οὐδεὶς ὑφορᾶται, ἀλλὰ πάντες ἐν εὐφροσύνῃ, σοῦ ῥιζώσαντος αὐτὴν ἐν ἡδονῇ. «Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς». Ἄλλος, «Ἐγνώσθη». Ἄλλος, «Ὁ Θεὸς ἐν τοῖς βασιλείοις αὐτῆς γνωσθήσεται εἰς ὀχύρωμα». Ἄλλος, «Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς ἐγνώσθη εἰς τὸ ἐξελέσθαι αὐτήν».*

*2. Ἀνακηρύττει αὐτῆς τὸ ἀξίωμα, τὴν εὐφημίαν, τὸ στέφανον, λέγων, «Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου». Εἶτα δεικνὺς πῶς ἐστι πόλις τοῦ βασιλέως τοῦ μεγάλου, ἐπάγει, «Ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται», τὴν πολλὴν πρόνοιαν ἐνδεικνύμενος, ὅτι ὅλην δι' ὅλου σώζει, οὐχ ὁλοκλήρου μόνον αὐτῆς κηδόμενος, ἀλλὰ καὶ καθ' ἑκάστην οἰκίαν ἐπιδεικνύ-*

3. Ἱερ. 1, 13.
4. Δ΄ Βασ. κεφ. 19.

συνεχῶς ἀπὸ ἐδῶ ἐλάμβανε ἀρχὴ ὁ πόλεμος ἐναντίον τους, μὲ τὶς ἐπιδρομὲς τῶν βαρβάρων, καὶ συνεχῶς οἱ προφῆτες αὐτὸ λέγουν, ὀνομάζοντας κίνδυνο ἀπὸ βορρᾶ καὶ περιγράφουν αὐτὸ σὰν λέβητα ποὺ ἀρχίζει ἀπὸ ἐκεῖ τὸ βρασμό του. Ἔτσι λοιπὸν ἡ χώρα τῶν Περσῶν βρίσκεται πρὸς τὴν Παλαιστίνη. Θαυμάζοντας λοιπὸν τὸ συμβάν, πρόσθεσε αὐτό, γιὰ νὰ δηλώσει, ὅτι αὐτὴν τὴν πόλη, ποὺ συνεχῶς ἐνοχλοῦνταν ἀπὸ ἐκεῖ, τὴν κατέστησε ἀκατανίκητη. Ὅπως ἀκριβῶς δηλαδὴ θὰ μποροῦσε κανεὶς νὰ πεῖ γιὰ τὸ σῶμα, ὅτι τὸ μέρος ἐκεῖνο τὸ ἀσθενὲς τὸ ἔκαμες ἰσχυρότερο, αὐτὸ λοιπὸν καὶ αὐτὸς ὑπαινίσσεται ἐδῶ, λέγοντας· Ἀπ' ὅπου προέρχονταν θρῆνοι καὶ δάκρυα, ἀπ' ὅπου προέρχονταν οἱ συμφορές, αὐτὰ τὰ μέρη γέμισαν ἀπὸ ἡδονή, αὐτὰ γέμισαν ἀπὸ εὐθυμία. Ἀπὸ ἐκεῖ ποὺ προέρχονταν ἀπειλὲς καὶ φόβοι καὶ κίνδυνοι, ἐκεῖ ἐπικρατεῖ χαρὰ καὶ εὐφροσύνη καὶ κανεὶς πλέον δὲν φοβεῖται ἐκεῖνο τὸ μέρος τῆς κτίσεως, τὸ βορειότερο, κανεὶς δὲν στενοχωρεῖται, κανεὶς δὲν βλέπει πρὸς τὰ ἐκεῖ ὕποπτα, ἀλλ' ὅλοι τὸ βλέπουν μὲ εὐφροσύνη, ἀφοῦ σὺ ρίζωσες αὐτὴν μέσα στὴν ἡδονή. «Ἡ πόλη τοῦ μεγάλου βασιλέως. Ὁ Θεὸς κάμνει αἰσθητὴ τὴν παρουσία καὶ προστασία του στοὺς πύργους αὐτῆς, ὅταν προσφέρει σ' αὐτὴ ἔγκαιρα τὴ βοήθειά του». Ἄλλος, «Ἔκαμε αἰσθητὴ τὴν παρουσία του». Ἄλλος, «Ὁ Θεὸς θὰ κάμει αἰσθητὴ τὴν παρουσία του σὰν ὀχύρωμα στὰ ἀνάκτορα αὐτῆς». Ἄλλος, «Ὁ Θεὸς ἔκαμε αἰσθητὴ τὴν παρουσία του στοὺς πύργους αὐτῆς γιὰ νὰ σώσει αὐτὴν ἀπὸ τοὺς ἐχθρούς της».

2. Διακηρύσσει τὸ ἀξίωμά της, τὸν ἔπαινό της καὶ τὸν στέφανό της μὲ τὰ λόγια «Ἡ πόλη τοῦ μεγάλου βασιλέως». Ἔπειτα γιὰ νὰ δείξει, πῶς εἶναι πόλη τοῦ μεγάλου βασιλέως, προσθέτει «κάμνει αἰσθητὴ τὴν παρουσία του στοὺς πύργους της», δείχνοντας τὴ μεγάλη πρόνοιά του, διότι διασώζει αὐτὴν ἐξ ὁλοκλήρου μὲ τὸ νὰ φροντίζει ὄχι μόνο γι' αὐτὴν ἐξ ὁλοκλήρου, ἀλλὰ δείχνοντας τὴν

*μενος αὐτοῦ τὴν πρόνοιαν. Ἡμῖν μὲν γὰρ καὶ χωρὶς τούτου γνώριμος, τοῖς δὲ ἐχθροῖς καὶ ἐντεῦθεν αὐτοῦ τὴν ἰσχὺν ἔδειξε. Καὶ γὰρ ἐπὶ τοῦ Ἐζεκία νέφος βαρβάρων ἐπελθὸν καὶ πᾶσαν αὐτὴν καθάπερ ἐν σαγήνῃ κυκλώσαντες, ἀπῆλθον τὸ πλέον αὐτῶν καταλιπόντες νεκρούς. Καὶ ἕτεροι δὲ πολλοὶ πολλάκις εἰς αὐτὴν εἰσελθόντες, αἰσχυνθέντες ἀνεχώρησαν. Ταῦτα δὲ πάντα τῇ τοῦ Θεοῦ προνοίᾳ κατωρθώθη, φησί, καὶ λαμπρὰν αὐτὴν ἐποίησεν. Οὐ τῷ λαμπρὰ δὲ μόνον, ἀλλὰ καὶ τῷ οὕτω λαμπρὰ γενέσθαι, μεγάλη γέγονεν.*

*«Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, διήλθοσαν ἐπὶ τὸ αὐτό». Ἄλλος φησίν, «Ἰδοὺ οἱ βασιλεῖς συνετάξαντο». Αὐτοὶ ἰδόντες οὕτως, ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν· τρόμος ἐπελάβετο αὐτῶν. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης, ἐν πνεύματι βιαίῳ». Ἄλλος φησί, «Δι' ἀνέμου βιαίου». Ἄλλος, «Καύσωνος». «Συντρίψεις πλοῖα Θαρσεῖς». Ἄλλος, «Κατεάξεις». Ὁ δὲ Ἑβραῖός φησι, «Θαρσεῖς». Ἐνταῦθα πόλεμον διηγεῖται χαλεπὸν καὶ συγκεκροτημένον πάντοθεν, καὶ νίκην λαμπροτέραν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀντιλαμβάνεται αὐτῆς καὶ πολλὴν ἐπιδείκνυσι πρόνοιαν, δείκνυσι λοιπὸν καὶ πῶς ἀντελαμβάνετο. Μυρίων γὰρ ἐθνῶν ἐπελθόντων (τοῦτο γὰρ διὰ τοῦ πλήθους τῶν βασιλέων δηλοῖ), καὶ οὐχ ἁπλῶς ἐπελθόντων, ἀλλὰ συγκεκροτημένων καὶ συντεταγμένων, τοιαῦτα γέγονε πράγματα, ὡς αὐτοὺς θαυμαστὰς γενομένους τῶν παραδόξων αὐτῶν ἀπελθεῖν. Οὕτω γὰρ ὁ πόλεμος ἐτροποῦτο, ὡς νάρκης καὶ φρίκης ἐμπλησθέντας αὐτοὺς ἀναχωρεῖν· καὶ μετὰ πολλῆς τῆς*

---

5. Θαρσεῖς· Πόλη πού βρισκόταν στά δυτικά τοῦ κράτους τῶν Ἑβραίων.

πρόνοιά του καὶ γιὰ κάθε οἰκία. Διότι σ' ἐμᾶς εἶναι γνώριμος καὶ χωρὶς αὐτό, ἐνῶ στοὺς ἐχθροὺς ἔδειξε καὶ ἀπὸ ἐδῶ τὴ δύναμή του. Καθόσον ἐπὶ τῆς ἐποχῆς τοῦ Ἐζεκία, ὅταν ἐπιτέθηκε ἐναντίον της πλῆθος βαρβάρων καὶ κύκλωσαν αὐτὴν ὁλόκληρη σὰν ἀκριβῶς δίχτυ, ἀπομακρύνθηκαν, ἀφοῦ ἄφησαν νεκροὺς τὸ περισσότερο μέρος τοῦ στρατεύματός τους. Καὶ πολλοὶ ἄλλοι δὲ ποὺ εἰσέβαλαν πολλὲς φορὲς σ' αὐτήν, ἀναχώρησαν καταντροπιασμένοι. Ὅλα αὐτά, λέγει, κατορθώθηκαν μὲ τὴν πρόνοια τοῦ Θεοῦ καὶ τὴν ἔκαμαν λαμπρή. Ὄχι μόνο μὲ τὸ ὅτι ἔγινε λαμπρή, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἔγινε λαμπρὴ κατ' αὐτὸ τὸν τρόπο, ἔγινε μεγάλη.

«Διότι νὰ συγκεντρώθηκαν οἱ βασιλεῖς τῆς γῆς καὶ πέρασαν τὰ σύνορα μὲ τὸν αὐτὸ σκοπό». Ἄλλος λέγει, «Νὰ οἱ βασιλεῖς παρατάχθηκαν γιὰ μάχη». Αὐτοί, ἐπειδὴ τοὺς εἶδαν ἔτσι, θαύμασαν, ταράχθηκαν, σαλεύθηκαν καὶ τρόμος κατέλαβε αὐτούς. «Ἐκεῖ κυριεύθηκαν οἱ ἐχθροὶ ἀπὸ ἀγωνία καὶ δοκίμασαν πόνους ὁμοίους μὲ ἐκείνους ποὺ νοιώθει ἡ γυναίκα ὅταν γεννᾶ. Θὰ τοὺς συντρίψει ὅπως ἀκριβῶς μὲ βίαιο ἄνεμο». Ἄλλος λέγει, «Μὲ ἰσχυρὸ ἄνεμο». Ἄλλος, «Μὲ καύσωνα». «Θὰ συντρίψεις, ὅπως συντρίβεις τὰ πλοῖα τῆς πόλεως Θαρσεῖς»[1]. Ἄλλος, «Θὰ τοὺς κατασυντρίψεις». Ὁ δὲ ἑβραῖος λέγει, «Θαρσεῖς». Ἐδῶ περιγράφει φοβερὸ πόλεμο, ὀργανωμένο καὶ ἐξαπολυόμενο ἀπὸ παντοῦ, καὶ νίκη λαμπρότερη. Ἐπειδὴ δηλαδὴ εἶπε, ὅτι βοηθεῖ αὐτὴν καὶ δείχνει πολλὴ πρόνοια γι' αὐτήν, δείχνει πλέον καὶ πῶς βοηθοῦσε αὐτήν. Διότι, ἂν καὶ ἐπιτέθηκαν ἐναντίον της ἀμέτρητα ἔθνη (αὐτὸ τὸ φανερώνει μὲ τὸ πλῆθος τῶν βασιλέων), καὶ ὄχι ἁπλῶς ἐπιτέθηκαν, ἀλλ' ἐπιτέθηκαν καὶ παρατάχθηκαν γιὰ πόλεμο καλὰ ὀργανωμένα, συνέβηκαν τέτοια πράγματα, ὥστε νὰ φύγουν, ἀφοῦ θαύμασαν τὰ ὅσα παράδοξα συνέβηκαν σ' αὐτούς. Διότι τέτοια μεταβολὴ ἐπῆλθε στὸν πόλεμο, ὥστε ν' ἀναχωρήσουν αὐτοί, ἀφοῦ κυριεύθηκαν ἀπὸ φόβο καὶ

*ἀγωνίας ἀπεπήδων οἱ πολλοὶ τοὺς ὀλίγους δείσαντες, οἱ συντεταγμένοι τοὺς διῃρημένους, καὶ ὠδινούσης γυναικὸς οὐδὲν ἄμεινον διέκειντο. Ὅθεν δῆλον, ὡς οὐ κατὰ ἀκολουθίαν ἀνθρωπίνην ὁ πόλεμος κατωρθοῦτο, ἀλλὰ Θεὸς ἦν ὁ τὴν μάχην στρατηγῶν, ὁ καὶ τὰ φρονήματα αὐτῶν οὐ μόνον καταβάλλων, ἀλλὰ καὶ τὴν διάνοιαν αὐτῶν κατασείων, καὶ ὠδῖνας αὐτοῖς ἐντιθείς, καὶ ἄρρητον φόβον τινὰ αὐτοῖς ἐργαζόμενος. Καὶ ταὐτὸν γέγονεν, οἷον ἂν εἰ στόλου πολλοῦ ναυτικοῦ συνελθόντος, πνεῦμα ἐμπεσὸν χαλεπὸν συντρίψειε πάντα τὰ πλοῖα, καὶ καταδύσειε τὰς τριήρεις, καὶ πολλὴν ἀθρόον ἐμβάλοι τὴν ταραχήν. Ἐνταῦθα γάρ μοι διὰ τοῦ ὑποδείγματος τούτου τό τε εὔκολον τῆς νίκης δοκεῖ δηλοῦν, καὶ τῆς ταραχῆς τὴν ὑπερβολήν. Καὶ γὰρ ναυτικῷ χρησάμενοι στόλῳ, καὶ οὗτοι παραγενόμενοι ἐκ μακρᾶς τινος καὶ ἀλλοτρίας χώρας, ὥσπερ τινὶ πνεύματι βιαίῳ τῇ ὀργῇ τοῦ Θεοῦ πάντες ἀπώλοντο. Διὸ καὶ τὸν τόπον δηλῶν ὅθεν ἦλθον, ἐπήγαγε τό, «Θαρσεῖς». Οὕτω γὰρ καὶ ὁ Ἑβραῖος ἐδήλωσε διὰ τῆς λέξεως, ἣν καὶ παρεθήκαμεν ὑμῶν χάριν εἰς τὴν ἀνάγνωσιν τοῦ ῥητοῦ. Ἢ τοῦτο τοίνυν ἐστὶν εἰπεῖν, ἢ ἐκεῖνο ὃ ἔμπροσθεν εἶπον, ὅτι ὥσπερ τὰ πλοῖα Θαρσεῖς ἄνεμος χαλεπὸς ἐμπεσὼν συνέτριψε πολλάκις, οὕτω δὴ τὰ πλήθη ἐκεῖνα συνετάραξεν ὁ Θεός.*

*«Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει Θεοῦ ἡμῶν». Εἶδες πῶς τὸ ἀνώτερον ἐξηγεῖται, τό, «Εὐριζῶν»; Οὐ γὰρ εἶπεν, εὐριζώσας, ἀλλ', «Εὐριζῶν», τουτέστι, διηνεκῶς προορῶν, διηνεκῶς κη-*

φρίκη. Καὶ μὲ πολλὴ ἀγωνία ἀπομακρύνονταν, φοβηθέντες οἱ πολλοὶ τοὺς ὀλίγους, οἱ καλὰ ὀργανωμένοι καὶ παραταγμένοι τοὺς διασκορπισμένους, καὶ δὲν βρίσκονταν σὲ καθόλου καλύτερη κατάσταση ἀπὸ τὴ γυναίκα ποὺ εἶναι κυριευμένη ἀπὸ τοὺς πόνους τοῦ τοκετοῦ. Ἑπομένως γίνεται φανερό, ὅτι ὁ πόλεμος ἔφθανε σὲ αἴσιο τέλος ὄχι μὲ τὶς φυσικὲς ἀνθρώπινες δυνάμεις, ἀλλ' ὁ Θεὸς ἦταν ἐκεῖνος ποὺ διηύθυνε τὴ μάχη σὰν στρατηγός, καὶ ὁ ὁποῖος κατέβαλλε ὄχι μόνο τὰ φρόνημα αὐτῶν, ἀλλὰ καὶ συγκλόνιζε τὴ σκέψη τους, τοὺς ἔκανε νὰ νοιώθουν ὑπερβολικὸ πόνο, καὶ ἔθετε μέσα τους ἕνα κάποιο ἀπερίγραπτο φόβο. Καὶ συνέβηκε τὸ ἴδιο, ὅπως ἐπὶ παραδείγματι ἂν σὲ πολυάριθμο ναυτικὸ στόλο, ποὺ συγκεντρώθηκε γιὰ μάχη, ἀφοῦ ἤθελε πνεύσει ἄνεμος φοβερός, συνέβαινε νὰ συντρίψει ὅλα τὰ πλοῖα καὶ νὰ βυθίσει τὶς τριήρεις καὶ νὰ προκαλέσει συγχρόνως πολλὴ ταραχή. Ἐδῶ δηλαδὴ μὲ τὸ παράδειγμα αὐτὸ μοῦ φαίνεται καὶ τὸ εὔκολο τῆς νίκης φανερώνει καὶ τὴν ὑπερβολικὴ ταραχή. Καθόσον, ἀφοῦ χρησιμοποίησαν ναυτικὸ στόλο καὶ ἦλθαν καὶ αὐτοὶ ἀπὸ κάποια μακρινὴ καὶ ξένη χώρα, χάθηκαν ὅλοι ἀπὸ τὴν ὀργὴ τοῦ Θεοῦ, σὰν ἀκριβῶς ἀπὸ κάποιο ἰσχυρὸ ἄνεμο. Γι' αὐτό, γιὰ νὰ φανερώσει τὸν τόπο ἀπ' ὅπου ἦλθαν, πρόσθεσε τό, «Θαρσεῖς». Τὸ ἴδιο πράγμα βέβαια δήλωσε καὶ ὁ ἑβραῖος μὲ τὴ λέξη ποὺ ἀναφέραμε γιὰ χάρη σας στὴν ἀνάγνωση τοῦ ρητοῦ. Ἢ λοιπὸν αὐτὸ μπορῶ νὰ πῶ, ἢ ἐκεῖνο ποὺ εἶπα προηγουμένως, ὅτι δηλαδὴ ὅπως ἀκριβῶς τὰ πλοῖα Θαρσεῖς τὰ συνέτριψε πολλὲς φορές, ἀφοῦ ἔπνευσε ἄνεμος ἰσχυρός, ἔτσι λοιπὸν καὶ τὰ πλήθη ἐκεῖνα τὰ συντάραξε ὁ Θεός.

«Ὅπως ἀκριβῶς ἀκούσαμε ἔτσι καὶ εἴδαμε νὰ συμβαίνουν στὴν πόλη τοῦ Κυρίου τῶν δυνάμεων, στὴν πόλη τοῦ Θεοῦ μας». Εἶδες πῶς ἐξηγεῖται αὐτὸ ποὺ προαναφέρθηκε, τὸ «Εὐριζῶν»; Διότι δὲν εἶπε, 'εὐριζώσας', ἀλλ' «Εὐριζῶν», δηλαδὴ ὅτι συνεχῶς προνοεῖ, συνεχῶς φροντί-

*δόμενος, διηνεκῶς τειχίζων. Εἰπὼν γὰρ τὰ συμβάντα τότε, ἐπὶ τὰ παλαιὰ διηγήματα ἀνάγει τὸν λόγον, δεικνὺς ὅτι ταῦτα ἐκείνων συγγενῆ. Ἃ γὰρ εἴδομεν, φησίν, ἐπὶ τῶν ῥημάτων, ταῦτα ἐπὶ τῶν ἔργων ἑωράκαμεν, τὰς νίκας, τὰ τρόπαια τοῦ Θεοῦ, τὴν κηδεμονίαν, τὰ παράδοξα θαύματα. Οὐ γὰρ διέλιπεν ὁ Θεὸς ἀεὶ ταῦτα ἐργαζόμενος. Ὥστε αὐτοῦ ἐστι καὶ κινδύνων ἀπαλλάττειν καὶ πρὸς θεογνωσίαν χειραγωγεῖν. Καὶ καλῶς ὁ προφήτης ἐμνημόνευσε τῶν πρὸ πολλοῦ τοῦ χρόνου γενομένων. Ἔδει γὰρ καὶ ἀπὸ τῶν παλαιῶν διηγημάτων, καὶ ἀπὸ τῶν νεαρῶν παιδεύεσθαι ἔργων, ὥστε τοὺς παχυτέρους αὐτῶν ἀπὸ τῶν γινομένων καὶ τοῖς ἤδη γεγενημένοις πιστεύειν, καὶ διπλοῦν καρποῦσθαι τὸ κέρδος, καὶ τὴν ἀκοὴν αὐτοῖς ἀντὶ ὄψεως γίνεσθαι. «Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου». Ἕτερος, «Εἰκάσαμεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου». Ὁ δὲ Ἑβραῖος, «Ἠχαλὰχ δεμμηνοῦ». «Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς».*

*3. Ἐπειδὴ εἶπεν, «ἃ ἠκούσαμεν, ταῦτα καὶ εἴδομεν», λέγει καὶ τί ἤκουσε καὶ τί εἶδε. Τί οὖν ἤκουσε καὶ τί εἶδε; Ὅτι ἰσχυροτέραν καὶ ἀρραγῆ ἡ τοῦ Θεοῦ χάρις τὴν πόλιν ἐργάζεται. Τοῦτο γὰρ αὐτῇ θεμέλιος, τοῦτο ἰσχύς, τοῦτο ἀχείρωτον αὐτὴν ποιεῖ, οὐκ ἀνθρωπίνη συμμαχία καὶ βοήθεια, οὔτε ὅπλων ἰσχύς, οὐδὲ πύργοι καὶ τείχη· ἀλλὰ τί; Ὁ Θεὸς αὐτὴν διακρατεῖ. Τοῦτο γὰρ μάλιστα παιδεύεσθαι αὐτοὺς ἔδει, καὶ πρὸς τοῦτο αὐτοὺς ὁ προφήτης ἐνάγει διηνεκῶς. «Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου». Τί ἐστιν, «Ὑπελάβομεν»; Ἠλπίσαμεν, προσεδοκήσαμεν, ἔγνωμεν τὴν φιλανθρωπίαν τὴν σήν. Ἐπειδὴ γὰρ εἶπεν, ἐθεμελίωσεν, ἐρρίζωσεν, ἐτείχισε, δεικνὺς ὅτι ἡ τοσαύτη πρόνοια οὐ κατὰ*

ζει, συνεχῶς περιφρουρεῖ τὴν πόλη του. Διότι, ἀφοῦ ἀνέφερε τὰ ὅσα συνέβηκαν τότε, μεταφέρει τὸ λόγο στὰ παλιὰ διηγήματα, γιά νὰ δείξει, ὅτι αὐτὰ εἶναι συγγενὴ μὲ ἐκεῖνα. Ἐκεῖνα δηλαδὴ ποὺ πληροφορηθήκαμε ἀπὸ τὶς διηγήσεις, αὐτὰ τὰ εἴδαμε νὰ συμβαίνουν καὶ στὴν πράξη, τὶς νίκες, τά τρόπαια τοῦ Θεοῦ, τὴ φροντίδα του, τὰ παράδοξα θαύματα. Διότι ὁ Θεὸς δέν ἔπαυσε ποτὲ νὰ κάμνει πάντοτε αὐτά. Ὥστε γνώρισμα αὐτοῦ εἶναι καὶ ν' ἀπαλλάσσει ἀπὸ τούς κινδύνους καὶ νὰ ὁδηγεῖ στὴ θεογνωσία. Καὶ καλὰ ἔκαμε ὁ προφήτης ποὺ ἀνέφερε τὰ ὅσα συνέβηκαν πρὶν ἀπὸ πολὺ χρόνο. Διότι ἔπρεπε καὶ ἀπὸ τὶς παλιὲς διηγήσεις καὶ ἀπὸ τὰ νέα ἔργα νὰ παιδεύονται, ὥστε οἱ πνευματικὰ ἀτελέστεροι ἀπὸ αὐτούς νὰ πιστεύουν ἀπὸ αὐτὰ ποὺ συμβαίνουν καὶ ἀπὸ αὐτὰ ποὺ ἤδη συνέβηκαν, καὶ νὰ ἀποκομίζουν διπλὸ κέρδος, καὶ ἡ ἀκοὴ νὰ παίρνει τὴ θέση τῆς ὁράσεως. «Ὁ Θεὸς θεμελίωσε αὐτὴν στὸν αἰώνα. Γνωρίσαμε ἐκ πείρας, Θεὲ μου, τὸ ἔλεός σου νὰ θαυματουργεῖ μέσα στὸ λαό σου». Ἄλλος· Νοιώσαμε, Θεὲ μου, τὸ ἔλεός σου ἀνάμεσα στὸ λαὸ σου». Ὁ δὲ ἑβραῖος λέγει, «Ἠχαλὰχ δεμμηνοῦ». «Ἀνάλογα μὲ τὸ ὄνομά σου, Θεέ μου, θὰ ξαπλωθεῖ καὶ ἡ δοξολογία σου στὰ πέρατα τῆς γῆς».

3. Ἐπειδὴ εἶπε, «ἐκεῖνα ποὺ ἀκούσαμε, αὐτὰ καὶ εἴδαμε νά συμβαίνουν», λέγει καὶ τί ἄκουσε καὶ τί εἶδε. Τί λοιπὸν ἄκουσε καὶ τί εἶδε; Ὅτι ἡ χάρη τοῦ Θεοῦ καθιστᾶ τὴν πόλη ἰσχυρότερη καὶ στερεότερη. Διότι αὐτὸ εἶναι γι' αὐτὴν θεμέλιο, αὐτὸ εἶναι δύναμη, αὐτὸ κάμνει αὐτὴν ἀνίκητη, καὶ ὄχι ἡ ἀνθρώπινη συμμαχία καὶ βοήθεια, οὔτε ἡ δύναμη τῶν ὅπλων, οὔτε οἱ πύργοι καὶ τὰ τείχη· ἀλλὰ τί; Ὁ Θεὸς τὴν κρατεῖ ἰσχυρή. Αὐτὸ δηλαδὴ πρὸ πάντων ἔπρεπε νὰ διδάσκει αὐτούς καὶ πρὸς αὐτὸ συνεχῶς προτρέπει αὐτοὺς ὁ προφήτης. «Γνωρίσαμε ἐκ πείρας, Θεέ μου, τὸ ἔλεός σου νὰ μεγαλουργεῖ ἀνάμεσα στὸ λαό σου». Τί σημαίνει, «Ὑπελάβομεν»; Ἐλπίσαμε, περιμέναμε μὲ ἐλπίδα, γνωρίσαμε τὴ φιλανθρωπία σου. Ἐπειδὴ δηλαδὴ εἶπε, θεμελίωσε, ρίζωσε, τείχισε, γιὰ νὰ δείξει ὅτι ἡ τόσο

τὴν ἀξίαν τῶν ἀπολαβόντων, ἀλλὰ κατὰ τὴν ἀγαθότητα τοῦ ποιοῦντος γίνεται, καὶ ἅμα θέλων τὸν τῦφον αὐτῶν καταστεῖλαι, οὕτως εἶπε, μονονουχὶ τοῦτο λέγων· σοῦ τοῦ ἐλέους ἐστὶ ταῦτα τὰ κατορθώματα, τῆς δόξης τῆς σῆς, τῆς ἀγαθωσύνης τῆς σῆς. Διὸ καὶ ἐπήγαγε· «Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς». Ἡ αἴνεσίς σου, φησί, κατορθώματα οὕτω μεγάλα ποιεῖ καὶ θαυμαστά, οὕτως ὑψηλὰ καὶ ἔνδοξα. Οὐ γὰρ κατὰ τὸ μέτρον τῶν εὐεργετουμένων τὴν κηδεμονίαν ἐπεδείκνυσο, οὐδὲ κατὰ τὴν ἀξίαν, ἀλλὰ κατὰ τὸ μέγεθος τὸ σόν.

Ἡ αἴνεσις τοίνυν, τουτέστιν, ἡ εὐφημία ἡ ἀπὸ τῶν ἔργων, τὰ κατορθώματα ἐποίησεν ἐξάκουστα. Ἐγίνετο μὲν γὰρ ἐν τῇ Παλαιστίνῃ, διὰ δὲ τὸ μέγεθος καὶ τὸν ὄγκον αὐτὰς τῆς οἰκουμένης κατελάμβανε τὰς ἐσχατιάς, καὶ οἱ πόρρωθεν ὄντες πάντα ἐμάνθανον. Τὰ γ᾽ οὖν ἐν Αἰγύπτῳ γενόμενα ἡ Ἱεριχουντία πόρνη τῶν παρόντων ἀκριβέστερον ᾔδει. Πάλιν τὰ ἐν Παλαιστίνῃ συμβάντα καὶ οἱ τὴν τῶν Περσῶν χώραν οἰκοῦντες ἀνεκήρυττον· τὰ ἐν αὐτῇ τῇ Περσίδι πάλιν οἱ πρὸς τὰ πέρατα τῆς γῆς ὄντες ἐγίνωσκον. Διὰ δὴ τοῦτο καὶ ὁ βασιλεὺς διὰ γραμμάτων ἔπεμπε πανταχοῦ τῆς οἰκουμένης, ἀνακηρύττων τὰ ἐν τῇ καμίνῳ. Διὰ τοῦτο καὶ οὗτος εἰπών, «Καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς», ἐπήγαγε, «Δικαιοσύνης πλήρης ἡ δεξιά σου». Ὅπερ μὲν ἔθος αὐτῷ ποιεῖν συνεχῶς, ἀπὸ τῶν εἰς ἀνθρώπους γινομένων ἀναβαίνειν ἐπὶ τὰ προσόντα αὐτοῦ τῇ φύσει, τοῦτο καὶ ἐπὶ τοῦ παρόντος ποιεῖ· οὐχ ἵνα ἐπιγινόμενα καὶ ἀπογινόμενα νοήσωμεν, μὴ γένοιτο, ἀλλ᾽ ἐπειδὴ ἀσθενεῖ ὁ λόγος καὶ ἡ γλῶττα ἡ ἀνθρω-

---

6. Ἰησ. Ναυῆ, κεφ. 2.

μεγάλη πρόνοια δείχνεται ὄχι κατά τὴν ἀξία αὐτῶν πού τὴν λαμβάνουν, ἀλλὰ γίνεται ἐξ αἰτίας τῆς ἀγαθότητας αὐτοῦ πού τὴν παρέχει, καὶ συγχρόνως θέλοντας νὰ καταστείλει τὴν ὑπερηφάνειά τους, μίλησε ἔτσι, λέγοντας σχεδόν αὐτό· αὐτὰ τὰ κατορθώματα εἶναι ἀποτέλεσμα τοῦ ἐλέους σου, τῆς δόξας σου, τῆς ἀγαθωσύνης σου. Γι' αὐτὸ καὶ πρόσθεσε· «Ἀνάλογα μὲ τὸ ὄνομά σου, Θεέ μου, θὰ ξαπλωθεῖ καὶ ἡ ἐξύμνησή σου στὰ πέρατα τῆς γῆς». Ἡ ἐξύμνησή σου, λέγει, κάμνει τόσο μεγάλα κατορθώματα καὶ θαυμαστά, τόσο ὑψηλὰ καὶ ἔνδοξα. Δηλαδὴ δὲν ἔδειχνες τὴν πρόνοιά σου ἀνάλογα μὲ τὸ μέτρο ἐκείνων ποὺ εὐεργετοῦνταν, οὔτε ἀνάλογα μὲ τὴν ἀξία τους, ἀλλ' ἀνάλογα μὲ τὸ δικό σου μέγεθος.

Ἡ αἴνεση λοιπόν, δηλαδὴ ἡ ἐξύμνηση, ποὺ γινόταν ἐξ αἰτίας τῶν ἔργων σου, ἔκαμε ξακουστὰ τὰ κατορθώματά σου. Διότι συνέβαιναν μὲν αὐτὰ στὴν Παλαιστίνη, ἐξ αἰτίας ὅμως τοῦ μεγέθους καὶ τοῦ ὄγκου τους διαδίδονταν καὶ ἔφθαναν σ' αὐτὰ τὰ πιὸ ἀπομακρισμένα μέρη τῆς οἰκουμένης καὶ τὰ μάθαιναν ὅλα αὐτὰ καὶ οἱ βριακόμενοι πολὺ μακριά. Πράγματι λοιπὸν αὐτὰ ποὺ συνέβαιναν στὴν Αἴγυπτο τὰ γνώριζε λεπτομερέστερα ἀπὸ τοὺς παρόντες ἡ πόρνη τῆς Ἰεριχοῦς[6]· καὶ αὐτὰ πάλι ποὺ συνέβαιναν στὴν περσικὴ χώρα τὰ γνώριζαν ἐκεῖνοι ποὺ κατοικοῦσαν στὰ πέρατα τῆς γῆς. Γι' αὐτὸ λοιπὸν καὶ ὁ βασιλεὺς μὲ γράμματα ἔστελνε σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης καὶ διακήρυττε τὰ ὅσα συνέβηκαν στὴν κάμινο. Γι' αὐτὸ καὶ αὐτός, ἀφοῦ εἶπε, «Καὶ ἡ ἐξύμνησή σου θὰ ξαπλωθεῖ στὰ πέρατα τῆς γῆς», πρόσθεσε, «ἡ δεξιά σου εἶναι γεμάτη ἀπὸ δικαιοσύνη». Ἐκεῖνο ποὺ συνηθίζει συνεχῶς νὰ κάμνει, νὰ προχωρεῖ δηλαδὴ στὶς ἰδιότητες ποὺ ταιριάζουν στὴ φύση του ἀπὸ ἐκεῖνα ποὺ συμβαίνουν στοὺς ἀνθρώπους, αὐτὸ κάμνει καὶ σ' αὐτὴ τὴν περίπτωση· ὄχι γιὰ νὰ τὰ κατανοήσουμε ἀφοῦ ἐμφανισθοῦν καὶ πραγματοποιηθοῦν, μὴ γένοιτο, ἀλλ' ἐπειδὴ ἀδυνατεῖ ὁ λόγος καὶ ἡ

*πίνῃ, δεῖ θεοπρεπῆ τινα ἔννοιαν προστιθέναι τῷ λόγῳ. Τὰ προσόντα οὖν τῇ φύσει τοῦ Θεοῦ ταῦτα λέγει, τὰ συνουσιωμένα αὐτῷ. Τίνα δὲ ταῦτά ἐστι; «Δικαιοσύνης πλήρης», φησίν, «ἡ δεξιά σου». Δείκνυσι γάρ, ὅτι οὐ τῆς ἀξίας ἦν τῶν εὐεργετουμένων τὰ γινόμενα, ἀλλὰ τῆς οὐσίας τῆς αὐτοῦ, ἐπειδὴ αὐτὴ αὐτοῦ ἡ οὐσία δικαιοσύνῃ χαίρει, φιλανθρωπίᾳ εὐφραίνεται. Τοῦτο ἔργον αὐτοῦ, τοῦτο τὸ ἔθος αὐτῷ, καὶ διὰ τοῦτο τοσαύτης ἀπήλαυον εὐεργεσίας. Ὥσπερ γὰρ τοῦ πυρὸς τὸ θερμαίνειν καὶ ἡλίου τὸ φωτίζειν, οὕτω δὴ καὶ αὐτοῦ τὸ εὐεργετεῖν· οὐχ οὕτω δέ, ἀλλὰ καὶ πολλῷ μᾶλλον. Διὸ καὶ οὕτως εἶπε, «Δικαιοσύνης πλήρης ἡ δεξιά σου», τὸ δαψιλές, τὸ συνουσιωμένον αὐτῷ δηλῶν.*

*«Εὐφρανθήτω ὄρος Σιών, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου, Κύριε». Ἄλλος φησί, «Διὰ κρίσεις σου». «Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν». Ἄλλος, «καὶ περιέλθετε». «Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς». Ἕτερος, «Ἀριθμήσατε τοὺς πύργους αὐτῆς». Ἄλλος, «Ἐπαινέσατε». «Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς». Ἕτερος, «Εἰς τὸν περίβολον». Ἕτερος, «Τὴν εὐπορίαν». «Καὶ καταδιέλεσθε τὰς βάσεις αὐτῆς». Ἕτερος, «Διαμετρήσατε τὰ βασίλεια αὐτῆς». «Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν». Ἄλλος, «Γενεᾷ μεταγενεστέρᾳ». «Ὅτι οὗτος ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας». Τί δήποτε ταῦτα παρακελεύεται, περιιέναι τὴν πόλιν, ἀριθμεῖν τοὺς πύργους, προσέχειν ταῖς οἰκοδομαῖς, τὴν εὐπρέπειαν αὐτῆς ἀναλογίζεσθαι, τοὺς περιβό-*

---

7. Δαν. 3, 4 ἑ.

ἀνθρώπινη γλώσσα, χρειάζεται νὰ προσθέσει καὶ κάποια θεοπρεπὴ ἔννοια στὸ λόγο. Ἀναφέρει λοιπὸν αὐτὲς τὶς ἰδιότητες ποὺ ταιριάζουν στὴ φύση τοῦ Θεοῦ, ποὺ εἶναι συνενωμένες μὲ τὴν οὐσία του. Ποιὲς δὲ εἶναι αὐτές; «Ἡ δεξιὰ σου», λέγει, «εἶναι γεμάτη ἀπὸ δικαιοσύνη». Δείχνει δηλαδή, ὅτι αὐτὰ ποὺ γίνονταν δὲν ἦταν ἀνάλογα μὲ τὴν ἀξία τῶν εὐεργετουμένων, ἀλλὰ μὲ τὴν οὐσία τοῦ Θεοῦ, ἐπειδὴ ἡ ἴδια ἡ οὐσία αὐτοῦ χαίρεται μὲ τὴ δικαιοσύνη καὶ εὐφραίνεται μὲ τὴ φιλανθρωπία. Αὐτὸ εἶναι ἔργο αὐτοῦ, αὐτὸ συνήθεια αὐτοῦ, καὶ γι' αὐτὸ ἀπολάμβαναν τόσο μεγάλη εὐεργεσία. Διότι, ὅπως ἀκριβῶς ἰδιότητα τῆς φωτιᾶς εἶναι νὰ θερμαίνει καὶ τοῦ ἥλιου νὰ φωτίζει, ἔτσι λοιπὸν καὶ αὐτοῦ ἰδιότητα εἶναι νὰ εὐεργετεῖ καὶ ὄχι ἔτσι, ἀλλὰ καὶ πολὺ περισσότερο. Γι' αὐτὸ καὶ εἶπε αὐτό, «Ἡ δεξιά σου εἶναι γεμάτη ἀπὸ δικαιοσύνη», γιὰ νὰ δείξει τὴ μεγαλοδωρία του, ποὺ εἶναι συνενωμένη μὲ τὴν οὐσία του.

«Ἂς νοιώσει εὐφροσύνη τὸ ὄρος Σιὼν καὶ ἂς σκιρτήσουν ἀπὸ ἀγαλλίαση οἱ θυγατέρες τῆς Ἰουδαίας, ἐξ αἰτίας τῶν δικαίων κρίσεών σου, «Κύριε». Ἄλλος λέγει «Γιὰ τὶς κρίσεις σου». «Περικυκλῶστε τὴν Σιὼν καὶ ἐξετάστε την μὲ προσοχή». Ἄλλος λέγει, «καὶ ἐλᾶτε γύρω ἀπ' αὐτήν». «Ἐξετάστε καὶ μετρῆστε μὲ προσοχὴ τοὺς πύργους της». Ἄλλος λέγει, «Ἀριθμῆστε τοὺς πύργους της». Ἄλλος, «Ἐπαινέσατε», «Συγκεντρῶστε τὸ νοῦ σας στὴ δύναμή της». Ἄλλος, «Στὸν περίβολό της». Ἄλλος, «Στὴν εὐπορία της», «Μοιρασθεῖτε καὶ ἐξετάστε τοὺς πύργους της». Ἄλλος, «Μετρῆστε τὰ ἀνάκτορά της». «Γιὰ νὰ τὰ διηγηθεῖτε σὲ ἄλλη γενεά». Ἄλλος, «Σὲ γενεὰ μεταγενέστερη». «Ὅτι αὐτὸς ποὺ ἔκαμε αὐτὰ εἶναι ὁ Θεός μας ποὺ μένει στὸν αἰώνα τοῦ αἰώνα. Αὐτὸς θὰ μᾶς ποιμάνει στοὺς αἰῶνες». Γιατί τέλος πάντων δίνει αὐτὲς τὶς ἐντολές, νὰ περιέλθουμε τὴν πόλη, ν' ἀριθμήσουμε τοὺς πύργους της, νὰ ἐξετάσουμε μὲ προσοχὴ τὶς οἰκοδομές της,

λους αὐτῆς καὶ τὰ τείχη ψηφίζειν, τὰς οἰκείας καὶ τὰ βασίλεια μετρεῖν, οὐ χρεία τῆς παρ' ἡμῶν ἑρμηνείας· αὐτὸς ἑαυτὸν ὁ λόγος σαφηνίζει. Εἰπὼν γὰρ ταῦτα, καὶ τὴν αἰτίαν εὐθέως προσέθηκε. Ποίαν δὴ ταύτην; «Ὅπως ἂν διηγήσησθε», φησίν, «εἰς γενεὰν ἑτέραν». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐμπλήσθητε ἡδονῆς, χάρητε, σκιρτήσατε. Ἀλλὰ μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν, ἀλλὰ μετὰ ἀκριβείας καταμάθετε αὐτῆς τὴν ἰσχύν.

Ἐπειδὴ γὰρ ἐρείπιον γέγονεν, ἐπειδὴ πρόρριζος ἀνεσπάσθη, καὶ τὸ ἔδαφος αὐτῆς σχεδὸν ἀπώλετο, καὶ ἀπέγνωσαν τὴν ἐπὶ τὸ βέλτιον αὐτῆς μεταβολήν, ὡς λέγειν, «Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, διαπεφωνήκαμεν, παρανηλώμεθα», καὶ οὐ προσεδόκων αὐτὴν ἀπολήψεσθαι, ἀπέλαβον δὲ αὐτήν, καὶ οὐ τοιαύτην, οἵαν ἀπέβαλον, ἀλλὰ πολλῷ βελτίονα καὶ λαμπροτέραν, καὶ περιφανεστέραν, καὶ μείζονα, καὶ εὐπορωτέραν, καὶ δυνατωτέραν, καὶ εὐρυτέραν ἐν ταῖς οἰκοδομαῖς, ἐν τοῖς ὠνίοις, ἐν τῇ δυνάμει, ἐν τῇ τῆς ὑποστάσεως περιουσίᾳ, «Ἔσται γάρ», φησίν, ἡ ἐσχάτη δόξα τοῦ οἴκου τούτου, ὑπὲρ τὴν ἔμπροσθεν», παραινεῖ τῷ λαῷ, καὶ μονονουχὶ ταῦτα λέγει· ἰδοὺ ἡ πόλις αὕτη, ἡ ἀπεγνωσμένη, ἡ ἀπηλπισμένη, ἡ ἐρείπιον οὖσα, πῶς ἐπὶ λαμπρότερον ἐπανῆλθε σχῆμα; Αὐτὰ οὖν ταῦτα καταμάθετε, τὴν οἰκοδομὴν αὐτῆς, τὴν λαμπρότητα, τὴν περιφάνειαν, ἵνα κἀντεῦθεν μαθόντες τοῦ Θεοῦ τὴν ἰσχύν, πῶς τὴν ἀπεγνωσμένην μείζονα ἐποίησε, διηγῆσθε τοῖς ἐγγόνοις ὑμῶν τὴν δύναμιν τοῦ Θεοῦ, τὸ διαρκὲς αὐτοῦ τῆς προνοίας· ὅτι διαπαντὸς ἔμενεν ἡμῶν κηδόμενος, καὶ προϊστάμενος καὶ ποιμαίνων. Ταῦτα γὰρ τὰ διηγήματα καὶ τοῖς μετὰ ταῦτα πολλῆς ἔσται φιλοσοφίας ὑπόθεσις, καὶ θεογνω-

8. Ἰεζ. 37, 11.
9. Πρβλ. Ἀγγ. 2, 3.

νὰ σκεφθοῦμε τὴ μεγαλοπρέπειά της, νὰ ἐλέγξουμε τοὺς περιβόλους της καὶ τὰ τείχη της, νὰ μετρήσουμε τὶς οἰκίες της καὶ τὰ ἀνάκτορά της, δὲν χρειάζεται τὴ δική μας ἑρμηνεία· ὁ ἴδιος ὁ λόγος διασαφηνίζει τὸν ἑαυτό του. Διότι, ἀφοῦ εἶπε αὐτά, πρόσθεσε ἀμέσως καὶ τὴν αἰτία. Ποιά λοιπὸν εἶναι αὐτή; «Γιὰ νὰ τὰ διηγηθεῖτε», λέγει, «σὲ ἄλλη γενεά». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· γεμίστε ἀπὸ ἡδονή, χαρεῖτε, σκιρτῆστε ἀπὸ χαρά. Ὄχι ὅμως ἐπιπόλαια, οὔτε στὴν τύχη, ἀλλὰ μὲ ἀκρίβεια ἐξετάστε καὶ γνωρίστε τὴ δύναμή της.

Ἐπειδὴ δηλαδὴ ἔγινε ἐρείπια, ἐπειδὴ κατεδαφίσθηκε ἀπὸ τὰ θεμέλια καὶ τὸ ἔδαφός της σχεδὸν καταστράφηκε, καὶ ἔπαψαν νὰ ἐλπίζουν γιὰ τὴ μεταβολή της πρὸς τὸ καλύτερο, ὅπως λέγει, «Ξηράθηκαν τὰ ὀστᾶ μας, φωνάζαμε μὲ ὅλη τὴ δύναμή μας, χανόμασταν»[8] καὶ δὲν ἔλπιζαν ὅτι θὰ τὴν ξαναποκτήσουν, ἀλλ' ὅμως τὴν ἀπέκτησαν καὶ πάλι καὶ ὄχι τέτοια, ὅπως τὴν ἔχασαν, ἀλλὰ πολὺ πιὸ καλὴ καὶ πιὸ λαμπρὴ καὶ πιὸ ξακουστὴ καὶ πιὸ μεγάλη καὶ πιὸ πλούσια καὶ πιὸ δυνατὴ καὶ μὲ πιὸ μεγάλες καὶ πολλὲς οἰκοδομὲς καὶ πιὸ πλούσια σὲ τρόφιμα καὶ μὲ μεγαλύτερη δύναμη καὶ μὲ μεγαλύτερη τὴν ἀφθονία ὅλων τῶν ὑπαρχόντων της, διότι λέγει, «Θὰ εἶναι ἡ τελευταία δόξα αὐτοῦ τοῦ οἴκου μεγαλύτερη ἀπὸ τὴν προηγούμενη»[9], παραινεῖ τὸ λαὸ καὶ σχεδὸν τοῦ λέγει αὐτά· Νά, αὐτὴ ἡ πόλη, ποὺ εἶχε χάσει τὸ θάρρος της, ποὺ εἶχε ἀπελπισθεῖ, ποὺ εἶχε ἐρειπωθεῖ, πῶς ἀπέκτησε λαμπρότερη μορφή; Αὐτὰ λοιπὸν μάθετε καλά, τὴν ἀνοικοδόμησή της, τὴ λαμπρότητά της, τὴ μεγαλοπρέπειά της, ὥστε, ἀφοῦ μάθετε ἀπὸ ἐδῶ τὴ δύναμη τοῦ Θεοῦ, πῶς δηλαδὴ ἔκαμε μεγαλύτερη τὴν πόλη ποὺ εἶχε χάσει τὴν ἐλπίδα της, νὰ διηγεῖσθε στοὺς ἀπογόνους σας τὴ δύναμη τοῦ Θεοῦ, τὴ διαρκὴ φροντίδα του· καθόσον πάντοτε μᾶς φρόντιζε καὶ ἦταν προϊστάμενος καὶ ποιμένας μας. Διότι αὐτὲς οἱ διηγήσεις θὰ γίνουν αἰτία μεγάλης εὐσέβειας καὶ στοὺς μεταγενεστέρους καὶ ἀφορ-

σίας ἀκριβεστάτης ἀφορμή, καὶ ἀρετῆς ἐπιμέλεια. Διὰ ταῦτα αὐτὴν περιιέναι κελεύει, ἵνα ἀκριβεῖς διδάσκαλοι τῶν ἐγγόνων γένωνται τῶν ἑαυτῶν.

4. Διὸ δὴ καὶ ἡμεῖς ἀεὶ καὶ διηνεκῶς ἀποσκοποῦντες, ἐν νῷ ἔχωμεν τὴν πόλιν ἡμῶν Ἱερουσαλήμ, αὐτῆς τὰ κάλλη διαπαντὸς φανταζόμενοι, ἥτις ἐστὶ μητρόπολις τοῦ βασιλέως τῶν αἰώνων, ἐν ᾗ πνεύματα δικαίων, χοροὶ πατριαρχῶν, ἀποστόλων, καὶ πάντων ἁγίων· ἔνθα πάντα ἀστασίαστα, καὶ μὴ παρερχόμενα· ἔνθα τὰ ἄφθαρτα καὶ ἀθέατα κάλλη, ἃ μόνοις πρόσεστι κληρονομῆσαι τοῖς παντελῶς λήθην ποιησαμένοις τῶν φθαρτῶν τούτων καὶ προσκαίρων βιωτικῶν μελημάτων, πλούτου λέγω, καὶ τρυφῆς, καὶ τῶν ἐπιβλαβῶν ἡδονῶν τοῦ διαβόλου. Τὴν δὲ φιλαδελφίαν καὶ τὴν φιλοξενίαν πρὸς τοὺς δεομένους καθ' ἑκάστην τὴν ἡμέραν αὔξοντες, ἀγάπην τὴν πρὸς τὸν πλησίον, καὶ τὴν ἐκ τῆς καρδίας συγχώρησιν τοῦ λελυπηκότος, ἵν' οὕτω καλῶς καὶ θεαρέστως βιοτεύοντες, κληρονόμοι γενοίμεθα τῆς τῶν οὐρανῶν βασιλείας, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μὴ ἀκριβέστατης θεογνωσίας καὶ ἐπιμέλεια ἀρετῆς. Γι' αὐτὸ προτρέπει νὰ περιέλθουν αὐτή, γιὰ νὰ γίνουν ἀκριβεῖς διδάσκαλοι τῶν ἀπογόνων τους.

4. Γι' αὐτὸ λοιπὸν καὶ ἐμεῖς προσέχοντας πάντοτε καὶ συνεχῶς αὐτή, σκεπτόμαστε τὴν πόλη μας τὴν 'Ιερουσαλήμ, φέρουμε στὴ φαντασία συνέχεια τὰ κάλλη αὐτῆς ποὺ εἶναι μητρόπολη τοῦ βασιλέως τῶν αἰώνων, στὴν ὁποία βρίσκονται τὰ πνεύματα τῶν δικαίων, οἱ χοροὶ τῶν πατριαρχῶν, τῶν ἀποστόλων καὶ ὅλων τῶν ἁγίων· στὴν ὁποία ὅλα εἶναι ἀστασίαστα καὶ δὲν φεύγουν καὶ χάνονται, ὅπου ὑπάρχουν τὰ ἄφθαρτα καὶ ἀθέατα κάλλη, τὰ ὁποῖα μποροῦν νὰ κληρονομήσουν μόνο ἐκεῖνοι ποὺ λησμόνησαν καὶ ἀρνήθηκαν τὶς φθαρτὲς αὐτὲς καὶ πρόσκαιρες κοσμικὲς φροντίδες, ἐννοῶ δηλαδὴ τὸν πλοῦτο, τὴν τρυφηλὴ ζωὴ καὶ τὶς ἐπιβλαβεῖς ἡδονὲς τοῦ διαβόλου. Ἂς αὐξάνομε καθημερινὰ λοιπὸν τὴν ἀγάπη πρός τοὺς ἀδελφούς μας, τὴ φιλοξενία πρὸς ἐκείνους ποὺ ἔχουν ἀνάγκη, τὴν ἀγάπη πρὸς τὸν πλησίον, καὶ τὴν ἀπὸ τὰ βάθη τῆς καρδιᾶς μας συγχώρηση ἐκείνου πού μᾶς λύπησε, ὥστε, ζώντας ἔτσι καλὰ καὶ θεάρεστα, νὰ γίνουμε κληρονόμοι τῆς βασιλείας τῶν οὐρανῶν, στ' ὄνομα τοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. 'Αμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΜΗ΄ ΨΑΛΜΟΝ

«*Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορέ*». Ἄλλος, «*Ἐπινίκιος*».

*«Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη». Ἄλλος, «Ἀκούσατε τοῦτο». «Ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην». Ἄλλος, «Τὴν ἐγκατάδυσιν». Ἄλλος φησί, «Τὴν κατάδυσιν». Ὁ δὲ Ἑβραῖος, «Ὀλδ». «Οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων». Ἄλλος, «Ἥ τε ἀνθρωπότης, προσέτι δὲ καὶ οἱ υἱοὶ ἑκάστου ἀνδρός». «Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης». Ἄλλος, «Ὁμοῦ».*

*1. Μεγάλα τινὰ καὶ ἀπόρρητα μέλλει διαλέγεσθαι νῦν ἡμῖν ὁ προφήτης. Οὐδὲ γὰρ ἂν τοὺς πανταχοῦ τῆς γῆς ἐκάλεσεν εἰς ἀκρόασιν, οὐδ' ἂν τὸ τῆς οἰκουμένης ἐκάθισε θέατρον, εἰ μὴ μέγα τι, καὶ λαμπρόν, καὶ τοῦ μεγέθους τοῦ συλλόγου ἄξιον ἐρεῖν ἡμῖν ἔμελλεν. Οὐκέτι γὰρ ὡς Ἰουδαίοις προφητεύων τοῖς τὴν Παλαιστίνην οἰκοῦσι διαλέγεται, ἀλλ' ὥσπερ τις ἀπόστολος καὶ εὐαγγελιστὴς πρὸς ἅπασαν τὴν τῶν ἀνθρώπων φύσιν ἀποτείνει τὸν λόγον. Ὁ μὲν γὰρ νόμος ἐν μιᾷ γωνίᾳ τῆς οἰκουμένης τὸ ἔθνος ἐπαίδευεν, ὁ λόγος δὲ τοῦ κηρύγματος πανταχοῦ τῆς γῆς ἐξηχεῖτο καὶ ἑαυτὸν ἐξέτεινε, τοσαύτην ἐπελθὼν χώραν, ὅσην καὶ ὁ ἥλιος ἔπεισιν. Ἐκεῖνα μὲν γὰρ παιδαγωγία τις ἦν καὶ εἰσαγωγὴ καὶ διακονία κατακρίσεως καὶ θανάτου, ταῦτα δὲ χάρις καὶ εἰρήνη. Ἐπεὶ οὖν ἅπαν τὸ γένος εἰς τὴν ἀκρόασιν συνεκάλεσε, δεῦρο δὴ καὶ ἡμεῖς παραγενώμεθα, καὶ ἴδωμεν τί βούλεται ἡμῖν ὁ ψαλμῳδὸς εἰπεῖν, ὁ κοινὸς τοῦ γένους τῶν ἀνθρώπων προστάτης. Κἂν βάρβαροί τινες ὦσι, κἂν σοφοί, κἂν ἰδιῶται,*

---

* Εἶναι ψαλμὸς διδακτικὸς καὶ γράφηκε ἀπὸ ποιητὴ τῆς οἰκογένειας Κορέ. Διαπραγματεύεται τὸν τρόπο τῆς παρούσας καὶ τῆς μετὰ θάνατο ζωῆς τῶν ἀσεβῶν, ποὺ ὑπερηφανεύονται γιὰ τὴ δύναμη καὶ τὸν πλοῦτο τους, πράγματα ποὺ δὲν μποροῦν ὅμως νὰ τὸν σώσουν ἀπὸ τὸ θάνατο καὶ τὶς τιμωρίες ποὺ τοῦ ἐπιφυλάσσονται στὴν ἄλλη ζωή. Ἀντίθετα ὁ δίκαιος θὰ λυτρωθεῖ ἀπὸ τὸ Θεὸ μετὰ θάνατο. Ὁ ψαλμὸς αὐτὸς ἀποτελεῖ προανάκρουσμα τῆς εὐαγγελικῆς παραβολῆς γιὰ τὸ φτωχὸ Λάζαρο καὶ τὸν πλούσιο.

1. Γηγενεῖς· αὐτοὶ ποὺ γεννήθηκαν ἀπὸ τὴ γῆ.

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΜΗ΄ ΨΑΛΜΟ*

**Στὸ τέλος· ψαλμὸς τῶν υἱῶν Κορέ.**
Ἄλλη ἐπιγραφή, Ἐπινίκιος

«Ἀκοῦστε αὐτὰ ὅλα τὰ ἔθνη». Ἄλλος λέγει, «Ἀκοῦστε αὐτό». «Ἀκοῦστε μὲ προσοχὴ ὅλοι οἱ κάτοικοι τῆς οἰκουμένης». Ἄλλος λέγει, «Στὰ βάθη τῆς γῆς». Ἄλλος λέγει, «Τὴν κατάλυση». Ὁ δὲ ἑβραῖος λέγει, «Ὀλδ». «Καὶ οἱ γηγενεῖς[1] καὶ ὅλοι γενικὰ οἱ ἄνθρωποι». Ἄλλος λέγει, «Καὶ ἡ ἀνθρωπότητα καὶ ἀκόμα καὶ τὰ τέκνα κάθε ἀνθρώπου». «Ὅλοι μαζί, πλούσιοι καὶ φτωχοί». Ἄλλος, «Ὅλοι μαζί».

1. Πρόκειται τώρα νὰ μᾶς πεῖ ὁ προφήτης ὁρισμένα σπουδαῖα καὶ ἀπόρρητα πράγματα. Διότι δὲν θὰ καλοῦσε σὲ ἀκρόαση τοὺς ἀνθρώπους ποὺ βρίσκονται σ' ὅλα τὰ μέρη τῆς γῆς, οὔτε θὰ ἦταν δυνατὸ νὰ ἐγκαταστήσει τὸ θέατρο τῆς οἰκουμένης, ἂν δὲν ἐπρόκειτο νὰ μᾶς πεῖ κάτι τὸ σπουδαῖο καὶ λαμπρὸ καὶ ἄξιο τοῦ μεγέθους τῆς συγκεντρώσεως. Καθόσον δὲν ὁμιλεῖ σὰν νὰ προφητεύει πρὸς τοὺς Ἰουδαίους ποὺ κατοικοῦν τὴν Παλαιστίνη, ἀλλὰ σὰν κάποιος ἀκριβῶς ἀπόστολος καὶ εὐαγγελιστὴς ἀπευθύνει τὸ λόγο πρὸς ὅλο τὸ ἀνθρώπινο γένος. Διότι ὁ μὲν νόμος παίδευε τὸ ἔθνος σὲ μιὰ γωνιὰ τῆς οἰκουμένης, ἐνῶ ὁ λόγος τοῦ κηρύγματος διαδιδόταν καὶ ἐκτεινόταν σ' ὅλα τὰ μέρη τῆς γῆς, καὶ τόση ἔκταση τῆς γῆς κατέλαβε, ὅση καὶ ὁ ἥλιος διέρχεται. Καθόσον ἐκεῖνα μὲν ἦταν κάποια παιδαγωγία καὶ εἰσαγωγὴ καὶ διακονία κατακρίσεως καὶ θανάτου, ἐνῶ αὐτὰ χάρη καὶ εἰρήνη. Ἐπειδὴ λοιπὸν κάλεσε ὅλο τὸ γένος σὲ ἀκρόαση, ἔλα λοιπὸν ἂς παραβρεθοῦμε καὶ ἐμεῖς καὶ ἂς δοῦμε τί θέλει νὰ μᾶς πεῖ ὁ ψαλμωδός, ὁ κοινὸς προστάτης τοῦ γένους τῶν ἀνθρώπων. Καὶ ἂν

*κελεύεις αὐτοὺς παραγενέσθαι; Ναί, φησί. Διὰ δὴ τοῦτο ἀρχόμενος εἶπεν, «Πάντα τὰ ἔθνη», καὶ πάλιν ἐπέτεινε λέγων, «Οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων», τὴν ἀνθρωπότητα πᾶσαν καλῶν. Βαβαὶ τῆς διδασκαλίας· πῶς ἐστι πᾶσιν ἁρμόδιος καὶ κοινή. Διὰ γάρ τοι τοῦτο οὐδὲ ἁπλῶς καλεῖ μόνον ἅπαντας, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς σπουδῆς καὶ ἀκριβείας προσέχειν τοῖς λεγομένοις κελεύει. Οὐ γὰρ εἶπεν «Ἀκούσατε» μόνον «ταῦτα πάντα τὰ ἔθνη», ἀλλὰ καί, «Ἐνωτίσασθε». Τὸ δὲ 'ἐνωτίσασθαι' οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ μετὰ σπουδῆς ἀκοῦσαι καὶ συντεταμένῃ τῇ διανοίᾳ. Ἐνωτίσασθαι γὰρ λέγεται κυρίως, ὅταν τις οὖς πρὸς οὖς διαλέγηται συντείνων τε ἑαυτόν, καὶ ἐκεῖνον κελεύων προσέχειν τοῖς λεγομένοις.*

*«Ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην». Καὶ εἴ τινες οὐκ εἰς ἔθνη καταλέγονται, ἀλλ' εἰσὶ μιγάδες ἢ νομάδες διεσπαρμένοι, καὶ τούτους ἐπὶ τὴν ἀκρόασιν καλῶ. Καὶ θέα σύνεσιν δημηγόρου. Πρῶτον αὐτῶν διανέστησε τὴν διάνοιαν καὶ μετεώρους ἐποίησε πρὸς τὴν ἀκρόασιν, τῷ πάντας ἀθρόον καλέσαι. Εἶτα καλέσας, καταστέλλει τὸν τῦφον αὐτῶν, ἵνα μὴ τῷ πλήθει πρὸς ἀπόνοιαν αἴρωνται. Τοιούτων γὰρ μάλιστα ἀκροατῶν χρεία, ὅταν φιλόσοφά τις μέλλῃ φθέγγεσθαι ῥήματα, συντετριμμένων, καὶ κατεσταλμένων, ἀπονοίας καὶ φυσήματος ἀπηλλαγμένων. Πῶς οὖν αὐτῶν κατέστειλε τὴν διάνοιαν; Ἀναμνήσας τῆς φύσεως. Εἰπὼν γάρ, «Ἔθνη», ἐπήγαγεν, «Οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων». Εἶπε τὴν οὐσίαν, ἐξ ἧς ἡ ἀρχὴ τῆς γενέσεως ἡμῶν, ἀνέμνησε τῆς κοινῆς ἁπάντων ἡμῶν μητρός. Καὶ τίνος ἕνεκεν εἶπεν, «Οἱ υἱοὶ τῶν ἀνθρώπων»; Ἐπειδὴ εἶπε, «Γηγενεῖς», ἵνα μή τις*

ἀκόμα μερικοὶ εἶναι βάρβαροι, καὶ ἂν ἀκόμη εἶναι σοφοί, καὶ ἂν ἀκόμη εἶναι ἁπλοὶ ἄνθρωποι, προστάζεις καὶ αὐτοὶ νὰ παρουσιασθοῦν; Ναί, λέγει. Γι' αὐτὸ λοιπὸν ἀρχίζοντας τό λόγο εἶπε, «Ὅλα τὰ ἔθνη», καὶ ἐπεξέτεινε τὴν προτροπή, λέγοντας ὅλη τὴν ἀνθρωπότητα. Πώ, πὼ ὕψος διδασκαλίας· πόσο κατάλληλη καὶ ταιριαστὴ γιὰ ὅλους εἶναι. Γι' αὐτὸ λοιπὸν δὲν προσκαλεῖ ἁπλῶς μόνο ὅλους, ἀλλὰ καὶ προτρέπει νὰ ἀκούουν τὰ λεγόμενα μὲ πολλὴ προσοχὴ καὶ ἀκρίβεια. Διότι δὲν εἶπε μόνο, «Ἀκοῦστε αὐτὰ ὅλα τὰ ἔθνη», ἀλλὰ καὶ «Ἀκοῦστε τα μὲ προσοχή». Τὸ δέ 'ἐνωτίσασθαι' τίποτε ἄλλο δὲν σημαίνει, παρὰ τό νὰ τὰ ἀκούσουν μὲ προσοχὴ καὶ μὲ συγκεντρωμένη τὴ σκέψη τους. Διότι ἐνωτίσασθαι λέγεται κυρίως, ὅταν κανεὶς ὁμιλεῖ αὐτὶ μὲ αὐτί, ἔχοντας συγκεντρωμένο τὸν ἑαυτό του καὶ προτρέποντας καὶ τὸ συνομιλητή του νὰ προσέχει στὰ λεγόμενα.

«Ἀκοῦστε μὲ προσοχὴ ὅλοι οἱ κάτοικοι τῆς οἰκουμένης». Καὶ ἂν μερικοὶ δὲν συγκαταλέγονται σὲ ἔθνη, ἀλλ' εἶναι μιγάδες ἢ νομάδες διεσπαρμένοι, καὶ αὐτοὺς τοὺς προσκαλῶ στὴν ἀκρόαση. Καὶ πρόσεχε σύνεση δημηγόρου. Πρῶτα διήγειρε τὴ διάνοιά τους καὶ τοὺς ἔκαμε νὰ συγκεντρώσουν τὴν προσοχή τους στὰ ὅσα θ' ἀκούσουν, μὲ τὸ νὰ προσκαλέσει στὴν ἀκρόαση ὅλους γενικά. Ἔπειτα, ἀφοῦ τοὺς προσκάλεσε, συγκρατεῖ τὴν ἀλαζονεία τους, γιὰ νὰ μὴ ὁδηγοῦνται σὲ ἀφροσύνη ἐξ αἰτίας τοῦ μεγάλου πλήθους. Διότι τέτοιοι πρὸ πάντων ἀκροαταὶ χρειάζονται, ὅταν κανεὶς πρόκειται νὰ πεῖ λόγια εὐσεβή, γεμάτοι ἀπὸ συντριβὴ καρδιᾶς καὶ ταπείνωση καὶ ἀπαλλαγμένοι ἀπὸ ἀλαζονεία καὶ κομπασμό. Πῶς λοιπὸν ταπείνωσε τὴ διάνοιά τους; Ἀφοῦ ὑπενθύμισε τὴ φύση τους. Διότι, ἀφοῦ εἶπε, «Ἔθνη», πρόσθεσε, «καὶ οἱ γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων». Εἶπε τὴν οὐσία, ἀπὸ τὴν ὁποία ἔχει τὴν ἀρχή της ἡ γέννησή μας, ὑπενθύμισε τὴν ἴδια μητέρα ὅλων μας. Καὶ γιὰ ποιὸ λόγο εἶπε, «Οἱ υἱοὶ τῶν ἀνθρώπων»; Ἐπειδὴ εἶπε, «Γηγενεῖς», γιὰ νὰ μὴ νομίσει κανείς, σύμφωνα μὲ τὰ ὅσα

νομίσῃ, κατὰ τοὺς ἔξω μυθολόγους, ἀπὸ γῆς ἐξ ἀρχῆς βλαστῆσαι τοὺς ἀνθρώπους, καθάπερ τινὲς ἐμυθολόγησαν, σπαρτούς τινας ἐπεισάγοντες, διὰ τοῦτο ἐπήγαγεν, «Οἱ υἱοὶ τῶν ἀνθρώπων». Πατέρες γὰρ ὑμῖν εἰσιν οἱ ἄνθρωποι, ἀρχὴ δὲ ὑμῖν κἀκείνοις γενέσεως ἡ γῆ. Τί τοίνυν ὑπερηφανεύεται γῆ καὶ σποδός; Ἐννόησόν σου τὴν μητέρα, καὶ κατάστειλον τὸν τῦφον· καταπάτησον τὸ φρόνημα· ἐννόησον, «Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ», καὶ πᾶσαν ἀπόνοιαν ἔκβαλε. Τοιούτου γὰρ ἀκροατοῦ δέομαι. Διὰ τοῦτό σε περιστέλλω, ἵνα σε ἐπιτήδειον λάβω πρὸς τὴν τῶν λεγομένων ὑποδοχήν.

«Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης». Εἶδες Ἐκκλησίας εὐγένειαν. Πῶς γὰρ οὐκ εὐγένειαν, ὅταν μὴ τοῖς ἀξιώμασι διείργῃ τὸν ἀκροατήν, ἀλλ' ἐξ ἴσου τῆς διδασκαλίας τὸ πᾶν προχέηται, καὶ τῷ πλουσίῳ καὶ τῷ πένητι κοινὴν παρέχῃ τὴν τράπεζαν; Ἐπειδὴ γὰρ εἶπε τὸ πάντας ἑνοῦν, τὸ γηγενεῖς εἶναι, καὶ υἱοὺς τῶν ἀνθρώπων, καὶ τὸ κοινὸν τῆς φύσεως ἔδειξε, τότε καὶ τὴν ἐκ τῶν βιωτικῶν δοκοῦσαν διαφορὰν εἶναι καὶ ἀνωμαλίαν εἰσάγων, καὶ ταύτην ἐκβάλλει τῷ λόγῳ, κοινῇ πάντας καλῶν (κοινὴ γὰρ ἡμῶν ἡ φύσις)· κοινῇ πάντας καλῶ· κοινὴ γὰρ ἡμῶν πόλις ἡ οἰκουμένη. Ἀλλ' ἐπενοήσατέ τινα διαφορὰν ἀπὸ πλούτου καὶ πενίας καὶ ἀνωμαλίαν εἰσηγάγετε. Ἀλλὰ καὶ ταύτην ἐκβάλλω πάλιν, οὐχὶ πλουσίους μὲν προσιέμενος, πένητας δὲ ἀτιμάζων, οὐδὲ πένητας μὲν καλῶν, πλουσίους δὲ ἐκβάλλων, ἀλλὰ καὶ τούτους κἀκείνους, καὶ οὐχ ἁπλῶς τούτους κἀκείνους, τοὺς μὲν πρώτους, τοὺς δὲ ὑστέρους, ἢ τοὺς μὲν ὑστέρους, τοὺς δὲ πρώτους, ἀλλ' ἐπὶ

2. Γεν. 3, 19.

λέγουν οἱ ἐκτὸς τῆς ἐκκλησίας μυθολόγοι, ὅτι οἱ ἄνθρωποι βλάστησαν στὴν ἀρχὴ ἀπὸ τὴ γῆ, ὅπως ἀκριβῶς δίδαξαν μερικοὶ μὲ τοὺς μύθους τους, παρουσιάζοντας μερικοὺς ἀνθρώπους ποὺ βλάστησαν ἀπὸ σπόρους, γι' αὐτὸ πρόσθεσε, «Οἱ υἱοὶ τῶν ἀνθρώπων». Πατέρες σας δηλαδὴ εἶναι οἱ ἄνθρωποι, ἀρχὴ δὲ τῆς δικῆς σας γεννήσεως καὶ ἐκείνων εἶναι ἡ γῆ. Τί ὑπερηφανεύεται λοιπὸν αὐτὸς ποὺ εἶναι γῆ, χῶμα καὶ στάχτη; Σκέψου τὴ μητέρα σου καὶ σταμάτησε τὴν ἀλαζονεία σου· καταπάτησε τὸ ἀλαζονικό φρόνημά σου· σκέψου «Ὅτι εἶσαι χῶμα καὶ ὅτι θὰ ἐπιστρέψεις στὸ χῶμα»[7], καὶ ξερρίζωσε ἀπὸ μέσα σου κάθε ἀνόητη σκέψη. Διότι τέτοιο ἀκροατὴ χρειάζομαι. Γι' αὐτὸ ταπεινώνω τὸ φρόνημά σου, γιὰ νὰ σὲ κάνω κατάλληλο νὰ ὑποδεχθεῖς τὰ λεγόμενα.

«Ἐλᾶτε ἐδῶ ὅλοι μαζί, πλούσιοι καὶ φτωχοί». Εἶδες εὐγένεια Ἐκκλησίας. Διότι πῶς δὲν εἶναι εὐγένεια, ὅταν δὲν διαχωρίζει τὸν ἀκροατὴ μὲ τὰ ἀξιώματα, ἀλλ' ἐξ ἴσου διασπείρει ὅλη τὴ διδασκαλία, καὶ παρέχει τὴν ἴδια τράπεζα καὶ στὸν πλούσιο καὶ στὸν φτωχό; Διότι, ἀφοῦ εἶπε ἐκεῖνο ποὺ ἑνώνει ὅλους, τό ὅτι εἶναι γήινοι καὶ υἱοὶ τῶν ἀνθρώπων, καὶ ἔδειξε τὸ κοινὸ γνώρισμα τῆς ἀνθρώπινης φύσεως, τότε, προβάλλοντας καὶ τὴ φαινομενικὴ διαφορὰ καὶ ἀνωμαλία ποὺ προέρχεται ἀπὸ τὰ βιωτικὰ πράγματα καὶ ἀπορρίπτοντας αὐτὴ μὲ τὸ λόγο, προσκαλεῖ ὅλους ἀπὸ κοινοῦ (διότι κοινὴ εἶναι ἡ φύση μας)· σᾶς προσκαλῶ ὅλους ἀπὸ κοινοῦ· καθόσον εἶναι κοινὴ πόλη μας ἡ οἰκουμένη. Ἀλλ' ἐπινοήσατε κάποια διαφορὰ ἐξ αἰτίας τοῦ πλούτου καὶ τῆς φτώχιας καὶ προκαλέσατε ἀνωμαλία. Ὅμως καὶ αὐτὴν πάλι τὴν ἀπορρίπτω, ὄχι πλησιάζοντας μὲν τοὺς πλουσίους, περιφρονώντας δὲ τοὺς φτωχούς, οὔτε προσκαλώντας μὲν τοὺς φτωχούς, περιφρονώντας δὲ τοὺς πλουσίους, ἀλλὰ καὶ αὐτοὺς καὶ ἐκείνους, καὶ ὄχι ἁπλῶς αὐτοὺς καὶ ἐκείνους, τοὺς μὲν πρώτους, τοὺς δὲ δευτέρους, ἢ ταὺς μὲν δευτέρους, τοὺς δὲ

*τὸ αὐτό. Κοινὸς ὁ σύλλογος ἔστω, κοινὸς ὁ λόγος, καὶ κοινὴ ἡ ἀκρόασις. Κἂν πλούσιος ᾖς, ἐκ τοῦ αὐτοῦ γέγονας πηλοῦ, τὴν αὐτὴν εἴσοδον ἔσχες τῷ πένητι, τὴν αὐτὴν γένεσιν. Καὶ σὺ ἀνθρώπου υἱός, κἀκεῖνος.*

*2. Ὅταν τοίνυν τὰ καίρια καὶ κύρια ἴσα ὑμῖν ᾖ καὶ ὁμότιμα, τί διὰ τὰς σκιὰς καὶ ὀνείρατα σεαυτὸν φυσᾷς, ἐκ τῶν οὐδὲν ὄντων τὰ κοινὰ διαιρῶν; Κοινὰ τὰ τῆς φύσεως, κοινὰ τὰ τῆς γενέσεως, τὰ τῆς οἰκειώσεως. Τί τοίνυν τὴν ἔξωθεν περιβολὴν ἐπεισάγεις εἰς διαιρέσεως ἀφορμήν; Οὐκ ἀνέχομαι. Διὰ τοῦτο καλῶ σε μετὰ τοῦ πένητος, λέγων· «Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης». Ἐν μὲν γὰρ τοῖς ἄλλοις οὐκ ἔστιν ἰδεῖν ἐπὶ τὸ αὐτὸ πλούσιον καὶ πένητα· οὐκ ἐν δικαστηρίοις, οὐκ ἐν βασιλικαῖς αὐλαῖς,, οὐκ ἐν ἀγοραῖς, οὐκ ἐν τραπέζαις· ἀλλὰ τὸν μὲν ἐν τιμῇ, τὸν δὲ ἐν καταφρονήσει τὸν μὲν ἐν παρρησίᾳ, τὸν δὲ ἐν αἰσχύνῃ· «ἡ γὰρ σοφία τοῦ πένητος ἐξουθενωμένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσακουόμενοι». Ἐλάλησε πλούσιος, καὶ ἐδικαίωσαν αὐτόν· Πτωχὸς ἐλάλησε καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. Ἀλλ' οὐκ ἐνταῦθα. Οὐδὲ γὰρ ἐπὶ τῆς Ἐκκλησίας ἀνέχομαι τῆς πλεονεξίας καὶ τῆς ἀλογίας, ἀλλὰ κοινὴν ἅπασι προτίθημι τὴν διδασκαλίαν.*

*Ὅρα σύνεσιν διδασκάλου, πῶς καὶ πρὶν ἢ τῆς δημηγορίας ἄρξασθαι, ἀπὸ τῆς κλήσεως μόνης μέγιστον ὅρον διδασκαλίας ἐξήνεγκεν. Ὁμοῦ γὰρ πάντας καλέσας, οὔτε ἐκεῖνον ἀφῆκε φυσηθῆναι, οὔτε τοῦτον ἐξευτελίζεσθαι, ἀλλ' ἔδειξεν, ὅτι οὐδὲ ὁ πλοῦτος καλόν, ὥσπερ οὐδὲ ἡ πενία κακόν, ἀλλὰ τῶν περιττῶν ἐστι, καὶ ἔξωθεν προσκειμένων. Ὥστε οὐδέν μοι διαφέρει, κἂν τοῦτο ᾖς, κἂν ἐκεῖνο· οὔτε γὰρ πλούσιον*

3. Ἐκκλησ. 8, 16.

πρώτους, ἀλλ' ὅλους μαζί. Ἂς εἶναι κοινὴ ἡ συγκέντρωση, κοινὸς ὁ λόγος, καὶ κοινὴ ἡ ἀκρόαση. Καὶ ἂν ἀκόμη εἶσαι πλούσιος, ἀπὸ τὸν ἴδιο πηλὸ ἔχεις γίνει, τὴν ἴδια εἴσοδο στὴ ζωὴ εἶχες μὲ τὸ φτωχό, τὴν ἴδια γένεση. Καὶ σὺ εἶσαι υἱὸς ἀνθρώπου καὶ ἐκεῖνος.

2. Ὅταν λοιπὸν τὰ βασικὰ καὶ κύρια πράγματα τῆς ζωῆς εἶναι ἴσα σὲ σᾶς καὶ ἰσότιμα, γιατὶ ἀφήνεις τὸν ἑαυτό σου νὰ ὑπερηφανεύεται γιὰ σκιὲς καὶ ὀνείρατα, διαιρώντας τὰ κοινὰ πράγματα ἀπὸ τὰ μηδαμινά; Εἶναι κοινὰ τὰ τῆς φύσεως, κοινὰ τὰ τῆς γενέσεως, κοινὰ τὰ τῆς οἰκειώσεως. Γιατί λοιπὸν προβάλλεις σὰν ἀφορμὴ διαιρέσεως τὴν ἐξωτερικὴ περιβολή; Δὲν τὸ ἀνέχομαι. Γι' αὐτὸ σὲ προσκαλῶ μαζὶ μὲ τὸ φτωχό, λέγοντας· «Ἐλᾶτε ἐδῶ ὅλοι μαζί, πλούσιοι καὶ φτωχοί». Διότι στὶς ἄλλες μὲν περιπτώσεις δὲν εἶναι δυνατὸ νὰ δεῖς μαζὶ τὸν πλούσιο καὶ τὸ φτωχό· οὔτε στὰ δικαστήρια, οὔτε στὶς βασιλικὲς αὐλές, οὔτε στὶς ἀγορές, οὔτε στὰ τραπέζια· ἀλλὰ βλέπεις ἄλλον μὲν νὰ τιμᾶται, ἄλλον νὰ περιφρονεῖται, ἄλλον νὰ ζεῖ μὲ παρρησία, καὶ ἄλλον νὰ ἀτιμάζεται· διότι «Ἡ σοφία τοῦ φτωχοῦ ἔχει περιφρονηθεῖ καὶ οἱ λόγοι του δὲν εἰσακούονται»[4]. Μίλησε ὁ πλούσιος καὶ τὸν δικαίωσαν, μίλησε ὁ φτωχὸς καὶ δὲν ἀποδόθηκε σ' αὐτὸν τὸ δίκιο του. Δὲν συμβαίνει ὅμως τὸ ἴδιο ἐδῶ. Διότι δὲν ἀνέχομαι στὴν ἐκκλησία τὴν πλεονεξία καὶ τὴν περιφρόνηση, ἀλλὰ παρουσιάζω σ' ὅλους κοινὴ τὴ διδασκαλία.

Πρόσεχε σύνεση δασκάλου, πῶς, πρὶν ἀκόμη ἀρχίσει τὴ διδασκαλία, διακήρυξε μέγιστο κανόνα διδασκαλίας ἀπὸ μόνη τὴν πρόσκληση. Διότι, ἀφοῦ προσκάλεσε ὅλους, οὔτε τὸν πλούσιο ἄφησε νὰ ὑπερηφανευθεῖ, οὔτε τὸ φτωχὸ νὰ ξευτελισθεῖ, ἀλλ' ἔδειξε, ὅτι οὔτε ὁ πλοῦτος εἶναι καλὸ πράγμα, ὅπως ἀκριβῶς οὔτε ἡ φτώχια κακό, ἀλλ' εἶναι ἀπὸ τὰ περιττὰ καὶ ποὺ δὲν ἔχουν πραγματικὴ ἀξία. Ὥστε καθόλου δὲν μὲ ἐνδιαφέρει, εἴτε εἶσαι αὐτό, εἴτε εἶσαι ἐκεῖνο· διότι οὔτε σὲ θεωρῶ πλούσιο, ὅταν ἔχεις κάτι ἐπὶ πλέ-

ὁρῶ σε ὄντα πλέον ἔχειν, οὔτε πένητα ἔλαττον. Ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ τί δήποτε ἄνθρωπος ὢν καὶ τῆς αὐτῆς μετέχων φύσεως, τοσοῦτον σαυτὸν ἀξιοῖς, ὡς νομίζειν τῆς οἰκουμένης ἐπιτήδειον εἶναι γενέσθαι διδάσκαλον καὶ τοὺς ἐκ τῶν τερμάτων τῆς γῆς συγκαλεῖν; τί τοῦ τηλικούτου θεάτρου ἄξιον ἔχων εἰπεῖν; Ναί, φησίν. Ἐπειδὴ γὰρ ἐκάλεσε τὴν οἰκουμένην, ποιῶν ἀξιόπιστον τὸν λόγον, ἄκουσον τί λέγει· Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν». Ἄλλος, «Καὶ μινυρίσει ἡ καρδία μου σύνεσιν». Ὁ δὲ Ἑβραῖος, «Οὐαγίθ» τοῦτο εἶπεν. Εἶδες πῶς εὐθέως ἀνήγαγε τὸν λόγον; Οὐ περὶ χρημάτων διαλέξομαι, φησίν, οὐ περὶ ἀξιωμάτων, οὐ περὶ δυναστείας, οὐ περὶ ρώμης σώματος, οὐ περὶ ἄλλου τινὸς τῶν ἐπικήρων· σοφίαν μέλλω λέγειν μετὰ ἀκριβείας, οὐχ ἁπλῶς ἐκ τοῦ παραχρῆμα ἐπελθοῦσάν μοι.

«Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου». Ἄλλος, «Κλινῶ παραβολῇ τὸ οὖς μου». Ὁ δὲ Ἑβραῖος «Λαμασᾶλ» φησιν. «Ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου». Ἄλλος, «Αἴνιγμά μου». Ὁ δὲ Ἑβραῖος «Ἰδαθεὶ» τοῦτο εἶπε. Καὶ ποία αὕτη πρὸς τὰ εἰρημένα ἀκολουθία; Ἀντὶ γὰρ διδασκάλου ἀκροατὴν ὁρῶ νῦν. Ἐκάλεσας μὲν γὰρ ὡς ἀκουσομένους τί χρήσιμον· μετὰ δὲ τὸ παραγενέσθαι καὶ συναγαγεῖν ἅπαντας, καὶ ἐπαγγείλασθαί τι σοφὸν ἐρεῖν, οὐδὲν οὐδέπω φθεγξάμενος, ἀφεὶς τοῦ διδασκάλου τὴν τάξιν, εἰς τοῦ ἀκροατοῦ μεταβαίνεις χώραν. «Κλινῶ» γάρ, φησίν, «εἰς παραβολὴν τὸ οὖς μου». Τίνος ἕνεκεν τοῦτο ποιεῖ; Σφόδρα συνετῶς καὶ ἀκολούθως τοῖς εἰρημένοις. Ἐπειδὴ γὰρ εἶπε, «λαλήσω σοφίαν», ἵνα μή τις ἀν-

ον, οὔτε φτωχό, ὅταν ἔχεις λιγώτερα. Ἀλλ' ἴσως θὰ μποροῦσε κάποιος νὰ πεῖ· Καὶ γιατί τέλος πάντων, ἐνῶ εἶσαι ἄνθρωπος καὶ μετέχεις τῆς ἰδίας φύσεως, δίνεις τόσο μεγάλη ἀξία στὸν ἑαυτό σου, ὥστε νὰ νομίζεις ὅτι μπορεῖς νὰ γίνεις κατάλληλος καὶ ἄξιος δάσκαλος τῆς οἰκουμένης καὶ νὰ προσκαλεῖς τοὺς ἀνθρώπους ἀπὸ τὰ πέρατα τῆς γῆς; Τί σπουδαῖο ἔχεις νὰ πεῖς σ' αὐτὴ τὴν τόσο μεγάλη συγκέντρωση; Ναί, λέγει. Διότι, ἐπειδὴ προσκάλεσε τὴν οἰκουμένη, κάμνοντας ἀξιόπιστο τὸ λόγο του, ἄκουσε τί λέγει· «Τό στόμα μου θὰ πεῖ λόγια σοφὰ καὶ ἡ μελετημένη σκέψη τῆς καρδιᾶς μου θὰ ἐκστομισθεῖ μὲ λόγια συνετά». Ἄλλος λέγει, «Καὶ θὰ σιγοψάλει ἡ καρδιά μου λόγια συνετά». Ὁ δὲ Ἑβραῖος τὸ εἶπε αὐτὸ «Οὐαγίθ». Εἶδες πῶς ἀμέσως ἐξύψωσε τὸ λόγο; Δὲν θὰ μιλήσω, λέγει, γιὰ χρήματα, οὔτε γιὰ ἀξιώματα, οὔτε γιὰ ἐξουσία, οὔτε γιὰ σωματικὴ δύναμη, οὔτε γιὰ τίποτε ἄλλο ἀπὸ τὰ πρόσκαιρα· πρόκειται νὰ πῶ λόγια σοφὰ γεμάτα μὲ πολὴ ὑψηλὰ νοήματα, ποὺ δὲν ἦλθαν στὸ νοῦ μου τυχαῖα καὶ πρόχειρα.

«Θὰ κλίνω τὸ αὐτὶ πρὸς ἀλήθειες ποὺ μοῦ ἐμπνέει τὸ Πνεῦμα ὑπὸ μορφὴ παραβολῆς». Ἄλλος λέγει, «Θὰ κλίνω τὸ αὐτί μου στὰ παραβολικὰ λόγια». Ὁ δὲ Ἑβραῖος λέγει «Λαμασσᾶλ». «Καὶ θὰ ἐξηγήσω μὲ μονοδεία ψαλτηρίου τὸ δύσκολο πρόβλημά μου». Ἄλλος λέγει «Τὸ αἴνιγμά μου». Ὁ δὲ Ἑβραῖος τὸ εἶπε αὐτὸ «Ἰδαθεί». Καὶ ποιὰ σχέση ἔχει αὐτὸ μὲ ἐκεῖνα ποὺ προαναφέρθηκαν; Καθόσον τώρα βλέπω, ἀντὶ γιὰ δάσκαλο, ἀκροατή. Διότι τοὺς προσκάλεσες ν' ἀκούσουν τάχα κάτι τὸ χρήσιμο, μετὰ ὅμως τὸν ἐρχομό τους καὶ τὴ συγκέντρωση ὅλων καὶ τὴν ὑπόσχεση, ὅτι θὰ πεῖς κάτι τὸ σοφό, χωρὶς νὰ ἔχεις πεῖ τίποτε μέχρι τώρα, ἀφοῦ ἄφησες τὴ θέση τοῦ δασκάλου, πηγαίνεις στὴ θέση τοῦ ἀκροατῆ. Διότι λέγει, «Θὰ κλίνω τὸ αὐτί μου πρὸς ἀλήθειες ποὺ μοῦ ὑπαγορεύονται ὑπὸ μορφὴ παραβολῆς». Γιὰ ποιὸ λόγο τὸ κάμνει αὐτό; Τὸ κάμνει μὲ πολλὴ σύνεση καὶ εἶναι σύμφωνο μὲ τὰ ὅσα λέχθηκαν. Ἐπειδὴ

*θρώπινον τὸ λεγόμενον εἶναι νομίσῃ, καὶ μελέτην καρδίας, ἵνα μὴ αὐτοῦ εὕρημα ὑποπτεύσῃ, δείκνυσι διὰ τούτων, ὅτι θεῖα τὰ λεγόμενα, καὶ ὅτι οὐδὲν ἴδιον φθέγγεται, ἀλλ' ἅπερ ἤκουσε, ταῦτα λέγει. Ἔκλινα γάρ, φησί, τὸ οὖς μου τῷ Θεῷ, ἤκουσα παρ' ἐκείνου, καὶ τὰ ἄνωθεν κατενεχθέντα εἰς τὴν διάνοιαν τὴν ἐμήν, ταῦτα λέγω. Διόπερ καὶ Ἠσαΐας ἔλεγε· «Κύριος δίδωσί μοι γλῶσσαν παιδείας τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· προσέθηκέ μοι ὠτίον ἀκούειν». Καὶ ὁ Παῦλος πάλιν· «Ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ».*

*Ὁρᾷς καὶ ἐκεῖνον ἀκροατὴν γινόμενον πρότερον, καὶ τότε διδάσκαλον; Διὸ καὶ ἕτερος ἑρμηνευτὴς ἔλεγε, «Καὶ μινυρίσει ἡ καρδία μου». Τί ἐστι, «Μινυρίσει»; Ἄσεται, ψαλμόν τινα ἐρεῖ πνευματικόν. Εἰ δὲ «μελέτην» λέγει, μὴ θορυβηθῇς· ἃ γὰρ ἔλαβεν ἀπὸ τοῦ Πνεύματος, ταῦτα διηνεκῶς ἐμελέτα καὶ παρ' ἑαυτῷ ἀνεκίνει, καὶ τότε ἀνακινήσας, εἰς τοὺς ἄλλους ἐξέφερε. Τί δέ ἐστιν, «Εἰς παραβολήν»; Πολυσήμαντόν τί ἐστι τὸ ὄνομα. Ἔστι γὰρ παραβολὴ λάλημα καὶ ὑπόδειγμα καὶ ὀνειδισμός, ὡς ὅταν λέγῃ· «Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς». Ἔστι παραβολὴ καὶ αἰνιγματώδης λόγος, ὃ πολλοὶ λέγουσι ζήτημα, ἐμφαῖνον μέν τι, οὐκ αὐτόθεν δὲ δῆλον ὂν ἀπὸ τῶν ῥημάτων, ἀλλ' ἔχον ἐντὸς κεκρυμμένην διάνοιαν, οἷα τὰ τοῦ Σαμψών, ἃ ἔλεγεν· «Ἐξῆλθεν ἀπὸ ἔσθοντος βρῶσις, καὶ ἀπὸ ἰσχυροῦ γλυκύ»· καὶ ὁ Σολομών, «Νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον». Λέγεται παραβολὴ καὶ ἡ ὁμοίωσις· «Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· ὁμοία ἐστὶν ἡ βασι-*

4. Ἠσ. 50, 4.
5. Ρωμ. 10, 17.
6. Ψαλμ. 43, 15.
7. Παροιμ. 1, 6.

δηλαδὴ εἶπε, «Θὰ πῶ λόγια σοφά», γιὰ νὰ μὴ νομίσει κανείς, ὅτι ἀνθρώπινο εἶναι τὸ λεγόμενο, καὶ ἐπειδὴ εἶπε «καὶ μελέτη καρδίας», γιὰ νὰ μὴ ὑποπτευθεῖ ὅτι εἶναι ἐπινόημα δικό του, δείχνει μὲ αὐτά, ὅτι εἶναι θεῖα τὰ λεγόμενα καὶ ὅτι δὲν λέγει τίποτε τὸ δικό του, ἀλλὰ λέγει αὐτὰ ἀκριβῶς ποὺ ἄκουσε. Διότι, λέγει, ἔκλινα τὸ αὐτί μου στὸ Θεό, ἄκουσα ἀπὸ ἐκεῖνον καὶ λέγω αὐτὰ ποὺ κατέβηκαν στὴ διάνοιά μου ἀπὸ τὸν οὐρανό. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Ἠσαΐας ἔλεγε· «Ὁ Κύριος μοῦ δίνει γλώσσα παιδείας, γιὰ νὰ γνωρίζω τί καὶ πότε πρέπει νὰ ὁμιλῶ· μοῦ πρόσθεσε καὶ αὐτὶ γιὰ ν' ἀκούω καὶ ὑπακούω σ' αὐτόν»[4]. Καὶ ὁ Παῦλος πάλι λέγει· «Ἡ πίστη δημιουργεῖται ἀπὸ τὴν ἀκοὴ τοῦ κηρύγματος, τὸ δὲ κήρυγμα εἶναι τὰ λόγια τοῦ Θεοῦ»[5].

Βλέπεις καὶ ἐκεῖνον νὰ γίνεται πρῶτα ἀκροατὴς καὶ ὕστερα δάσκαλος; Γι' αὐτὸ καὶ ἄλλος ἑρμηνευτὴς ἔλεγε, «Καὶ μινυρίσει ἡ καρδία μου». Τί σημαίνει, «μινυρίσει»; Θὰ ψάλει, θὰ πεῖ ψαλμὸ πνευματικό. Ἐὰν δὲ λέγει «μελέτη», μὴ θορυβηθεῖς· διότι ἐκεῖνα ποὺ ἔλαβε ἀπὸ τὸ Πνεῦμα, αὐτὰ συνεχῶς μελετοῦσε καὶ ἐξέταζε μέσα του, καί, ἀφοῦ καὶ τότε τὰ ἐπανεξέτασε, τὰ φανέρωσε στοὺς ἄλλους. Τί σημαίνει δέ, «Εἰς παραβολήν»; Πολλὲς σημασίες ἔχει αὐτὴ ἡ λέξη. Διότι παραβολὴ σημαίνει καταλαλιά, παραδειγματισμό, καὶ ὀνειδισμό, ὅπως ὅταν λέγει· «Μᾶς ἔκαμες νὰ εἴμαστε θέμα ὀνειδισμοῦ μεταξὺ τῶν ἐθνικῶν, καὶ οἱ λαοὶ νὰ κινοῦν τὸ κεφάλι τους γιὰ τὸ ἐλεεινολόγημά μας»[6]. Ἡ λέξη παραβολὴ σημαίνει καὶ αἰνιγματώδη λόγο, πράγμα ποὺ πολλοὶ τὸ θεωροῦν ἄξιο ἐρεύνης, ποὺ φανερώνει μὲν κάτι, ἀλλ' ὅμως δὲν γίνεται φανερὸ εὐθὺς ἀμέσως ἀπὸ τὶς λέξεις, ἀλλ' ἔχει μέσα του κρυμμένο κάποιο νόημα, ὅπως τὰ λόγια τοῦ Σαμψών, μὲ τὰ ὁποῖα ἔλεγε· «Ἐξῆλθε τροφὴ ἀπὸ ἐκεῖνον ποὺ ἔτρωγε καὶ γλυκὺ ἀπὸ τὸν ἰσχυρό»· καὶ ὁ Σολομών· «Θὰ κατανοήσει κάθε παραβολὴ καὶ δυσκολονόητο λόγο»[7]. Παραβολὴ ὀνομάζεται καὶ ἡ παρομοίωση· «Ἄλλη παραβολὴ εἶπε σ' αὐτούς, λέγον-

*λεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα». Παραβολὴ λέγεται καὶ τροπολογία· «Υἱὲ ἀνθρώπου, εἰπὲ τὴν παραβολὴν ταύτην αὐτοῖς. Ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος», ἀετὸν λέγων τὸν βασιλέα. Παραβολὴ λέγεται καὶ τύπος, καὶ εἰκών, καθάπερ δείκνυσι καὶ ὁ Παῦλος λέγων· «Πίστει προσενήνοχε τὸν Ἰσαάκ, πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας δεξάμενος· ὅθεν καὶ ἐν παραβολῇ αὐτὸν ἐκομίσατο»· τουτέστιν, ἐν τύπῳ καὶ ἐν εἰκόνι.*

*3. Τί οὖν ἐνταῦθα βούλεται αὐτῷ ἡ παραβολή; Ἐμοὶ δοκεῖ τὸ διήγημα λέγειν. Εἰ δὲ αἰνιγματώδη ποιεῖ τὸν λόγον καὶ πολλὴν ἔχοντα τὴν δυσκολίαν, μηδὲ οὕτως θορυβηθῇς· ἵνα γὰρ διεγείρῃ τὸν ἀκροατήν, τοῦτο ποιεῖ, ἄλλως δὲ καὶ ἐπειδὴ πολλοὺς ἡ εὐκολία εἰς ῥαθυμίαν ἄγει, διὰ τοῦτο ἐν παραβολῇ φθέγγεται. Ἐπεὶ καὶ ὁ Χριστὸς πολλὰ ἐν παραβολαῖς ἐλάλει, κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς ἐπέλυε ταύτας. Ἡ γὰρ παραβολὴ τὸν ἄξιον καὶ οὐκ ἄξιον διαιρεῖ· ὁ μὲν γὰρ ἄξιος ἐκζητεῖ τὰ λεγόμενα εὑρεῖν, ὁ δὲ ἀνάξιος παρατρέχει· ὅπερ καὶ τότε ἐγίνετο. Οἱ μὲν γὰρ Ἰουδαῖοι οὐδὲ ὑπὸ τῆς δυσκολίας διεγειρόμενοι πρὸς τὴν ἐρώτησιν εἵλκοντο· οὕτω καθάπαξ οὐ προσεῖχον τοῖς λεγομένοις. Ἱκανὸν δὲ τοῦτο πρὸς ζήτησιν διεγεῖραι, ὅταν ᾖ τι συνεσκιασμένον. Διὸ καὶ ὁ Χριστὸς ἐποίει τότε τοῦτο, καὶ ἐν παραβολαῖς ἐλάλει, ἐρεθίζων καὶ διεγείρων αὐτοὺς πρὸς ἐπιθυμίαν ἀκροάσεως ἀναπεπτωκότας καὶ καθεύδοντας· ἀλλ', οὐδὲ οὕτω προσεῖχον· οἱ δὲ μαθηταὶ προσέκειντο καὶ ἀγνοοῦντες ἐνέμενον δι' αὐτὸ τοῦτο μάλιστα, ὅτι ἠγνόουν. Διὸ καὶ κατ' ἰδίαν ἔλυεν αὐτοῖς τὰς πα-*

---

8. Ψαλμ. 43, 15.
7. Παροιμ. 1, 6.
8. Ματθ. 13, 24.
9. Ἰεζ. 17, 1 - 3.
10. Ἑβρ. 11, 17 - 19.

τας· ὁμοιάζει ἡ βασιλεία τῶν οὐρανῶν μὲ ἄνθρωπο ποὺ ἔσπειρε καλὸ σπόρο»[8]. Παραβολὴ ὀνομάζεται καὶ ὁ ἀλληγορικὸς τρόπος ἐκφράσεως· «Υἱὲ ἀνθρώπου, πὲς σ' αὐτοὺς αὐτὴ τὴν παραβολή. Ὁ ἀετὸς ὁ μέγας μὲ τὶς μεγάλες φτεροῦγες»[9], ὀνομάζοντας ἀετὸ τὸν βασιλιά. Παραβολὴ ὀνομάζεται καὶ ἡ προτύπωση καὶ ἡ προεικόνιση, ὅπως ἀκριβῶς δείχνει καὶ ὁ Παῦλος, λέγοντας· «Μὲ πίστη πρόσφερε ὁ Ἀβραὰμ τὸν Ἰσαάκ, ὅταν δοκιμάσθηκε, καὶ πρόσφερε τὸν μονογενή του ἐκεῖνος ποὺ ἔλαβε τὶς ὑποσχέσεις· ἄρα σὰν προτύπωση τῆς θυσίας τοῦ Χριστοῦ πρόσφερε αὐτόν»[10]· δηλαδὴ σὰν προτύπωση καὶ σὰν προεικόνιση τοῦ Χριστοῦ.

3. Τί λοιπὸν θέλει νὰ δηλώσει ἐδῶ ἡ λέξη παραβολή; Ἐγὼ νομίζω ὅτι ἐννοεῖ τὴ διήγηση. Ἐὰν ὅμως κάμνει αἰνιγματώδη τὸ λόγο καὶ πολὺ δύσκολο, οὔτε ἔτσι ν' ἀνησυχήσεις· διότι τὸ κάμνει αὐτὸ γιὰ νὰ διεγείρει τὸν ἀκροατή, καὶ ἐξ ἄλλου, ἐπειδὴ πολλοὺς ἡ εὐκολία τοὺς ὁδηγεῖ στὴ ραθυμία, γι' αὐτὸ ὁμιλεῖ παραβολικά. Ἄλλωστε καὶ ὁ Χριστὸς πολλὰ δίδασκε μὲ παραβολὲς καὶ ἐξηγοῦσε αὐτὲς στοὺς μαθητές του κατ' ἰδία. Διότι ἡ παραβολὴ ξεχωρίζει τὸν ἄξιο ἀπὸ τὸν ἀνάξιο· καθόσον ὁ μὲν ἄξιος ἀναζητεῖ νὰ ἐξηγήσει τὰ λεγόμενα, ὁ δὲ ἀνάξιος τὰ παρατρέχει, πράγμα ποὺ ἔγινε καὶ τότε. Διότι οἱ μὲν Ἰουδαῖοι οὔτε διεγειρόμενοι ἀπὸ τὴ δυσκολία ὁδηγοῦνταν στὸ νὰ ἐρωτήσουν· ἔτσι ἦταν σὰν νὰ μὴ πρόσεχαν καθόλου στὰ λεγόμενα. Ἱκανὸ δὲ νὰ παρακινήσει σὲ συζήτηση εἶναι αὐτό, ὅταν δηλαδὴ κάτι εἶναι ἐπισκιασμένο. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔκαμνε τότε αὐτὸ καὶ μιλοῦσε μὲ παραβολές, γιὰ νὰ ἐρεθίζει καὶ νὰ παρακινεῖ πρὸς τὴν ἐπιθυμία τῆς ἀκροάσεως αὐτοὺς ποὺ ἦταν κυριευμένοι ἀπὸ τὴν ἀδιαφορία καὶ κοιμῶνταν πνευματικά· ἀλλ' οὔτε ἔτσι πρόσεχαν· ἐνῶ οἱ μαθητὲς πρόσεχαν τὰ λεγόμενα καὶ συνέχιζαν νὰ τὰ ἀγνοοῦν γι αὐτὸ πρὸ πάντων, γιατί τὰ ἀγνοοῦσαν. Γι' αὐτὸ καὶ ἰδιαίτερα ἐξηγοῦσε σ' αὐτοὺς τὸ βαθύτερο νόημα

*ραβολάς. Διὰ τοῦτο καὶ οὗτός φησι· «Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου». Πρόβλημα δέ ἐστι λόγος συνεσκιασμένος καὶ αἰνιγματώδης, διὸ καὶ ἀλλαχοῦ φησι· «Φθέγξομαι προβλήματα ἀπὸ καταβολῆς κόσμου». Διὰ τοῦτο καὶ σοφίαν ἐτόλμησε καλέσαι, θαρρῶν τῇ θείᾳ ἀποκαλύψει διὰ τοῦτο καὶ «Ἐν ψαλτηρίῳ» φησί, τὸ πνευματικὸν ἐμφαίνων τῆς διδασκαλίας, τὴν ἄνωθεν κατοχὴν αὐτοῦ γενομένην, καὶ ἐν ᾄσματος τάξει ποιεῖται τὴν συμβουλήν, ἡδύνων τὸν λόγον.*

*Εἶδες οἷον τὸ προοίμιον κατεσκεύασεν; Ἐκάλεσε τὴν οἰκουμένην, ἐξέβαλε τὴν ἀνωμαλίαν τὴν ἐν τῷ βίῳ, ἀνέμνησε τῆς φύσεως, κατέστειλε τὰ φρονήματα, ὑπέσχετο μέγα τι καὶ γενναῖον ἐρεῖν, εἶπε μηδὲν οἴκοθεν φθέγγεσθαι, ἀλλ' ἃ παρ' ἐκείνου ἤκουσε· πολλὴν ἠνίξατο ἐν τῷ λόγῳ τὴν ἀσάφειαν εἶναι, προσεκτικωτέρους ποιῶν· πνευματικὴν ὑπέσχετο σοφίαν ἡμᾶς διδάξαι, ἣν διὰ παντὸς ἐμελέτα. Προσέχωμεν τοίνυν, καὶ μὴ παρατρέχωμεν. Εἰ γὰρ σοφὸς ὁ λόγος, καὶ παραβολή, καὶ πρόβλημα, διεγηγερμένης χρεία διανοίας. Τίς οὖν ἐστιν ἡ συμβουλή, καὶ τί τὸ πρόβλημα, καὶ τίς ἡ παραβολή, καὶ τίς ἡ σοφία, ἣν ἄνωθεν ἤκουσεν; «Ἵνα τί φοβοῦμαι», φησίν, «ἐν ἡμέρᾳ πονηρᾷ;». Ἄλλος, «Ἐν ἡμέραις πονηροῦ». Ἄλλος, Κακοῦ». Ὁ Σύρος, «Ρῶ». Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με», «Τῶν ἰχνέων μου». Ὁ δὲ Ἑβραῖος, «Ἀὼν ἀκουββαεὶ ἰσουββουνεί». Εἶδες πῶς πρόβλημα, καὶ αἴνιγμα,*

---

**11. Ψαλμ. 77, 2.**

τῶν παραβολῶν. Γι' αὐτὸ καὶ αὐτὸς λέγει· «Θὰ κλίνω τὸ αὐτί μου στὶς ἀλήθειες τῆς παραβολῆς καὶ θὰ ἐξηγήσω μὲ τὴ συνοδεία τοῦ ψαλτηρίου τὸ πρόβλημά μου». Πρόβλημα δὲ εἶναι λόγος ἐπισκιασμένος καὶ αἰνιγματικός, γι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «Θὰ πῶ ἀλήθειες κρυμμένες ἀπὸ τὴν ἀρχὴ τῆς δημιουργίας τοῦ κόσμου»[11]. Γι' αὐτὸ καὶ τόλμησε νὰ ὀνομάσει τὰ λόγια του σοφία, παίρνοντας θάρρος ἀπὸ τὴ θεία ἀποκάλυψη· γι' αὐτὸ καὶ λέγει, «μὲ τὴ συνοδεία τοῦ ψαλτηρίου», φανερώνοντας τὸ πνευματικὸ τῆς διδασκαλίας, τὸ φωτισμὸ πού ἔγινε σ' αὐτὸν ἀπὸ τὸν οὐρανό, καὶ ὑπὸ μορφὴ ἄσματος δίνει τὴ συμβουλή, κάμνοντας τὸ λόγο εὐχάριστο.

Εἶδες πῶς παρουσίασε τὸ προοίμιο τοῦ λόγου του; Κάλεσε τὴν οἰκουμένη, ἀπομάκρυνε τὴν ἐκτροπὴ ἀπὸ τὸ φυσικὸ κανόνα τῆς ζωῆς, ὑπενθύμισε τὴ φύση τοῦ ἀνθρώπου, ταπείνωσε τὰ φρονήματα, ὑποσχέθηκε ὅτι θὰ πεῖ κάτι τὸ σπουδαῖο καὶ πολὺ σημαντικό, εἶπε ὅτι τίποτε δὲν θὰ πεῖ δικό του, ἀλλ' ἐκεῖνα πού ἄκουσε ἀπὸ ἐκεῖνον· ὑπαινίχθηκε ὅτι στὸ λόγο του ὑπάρχει μεγάλη ἀσάφεια, γιὰ νὰ τούς κάνει προσεκτικωτέρους· ὑποσχέθηκε ὅτι θὰ μᾶς διδάξει πνευματικὴ σοφία, πού τὴν εἶχε πάντοτε στὴ σκέψη του. Ἂς προσέχουμε λοιπὸν καὶ ἂς μὴ παρατρέχουμε τὰ λεγόμενα. Διότι, ἐὰν εἶναι σοφὸς ὁ λόγος καὶ ἔχει παραβολικὴ σημασία καὶ εἶναι αἰνιγματικός, χρειάζεται νοῦς ἀφυπνισμένος. Ποιὰ λοιπὸν εἶναι ἡ συμβουλή, ποιὸ τὸ πρόβλημα, ποιὰ ἡ παραβολὴ καὶ ποιὰ ἡ σοφία πού ἄκουσε ἀπὸ τὸν οὐρανό; «Γιατί», λέγει, «νὰ φοβοῦμαι κατὰ τὶς ἡμέρες τῶν δοκιμασιῶν;». Ἄλλος λέγει «Κατὰ τὶς ἡμέρες τοῦ πονηροῦ», ἄλλος δὲ «τοῦ κακοῦ». Ὁ Σῦρος λέγει «Ρα». «Αὐτοὶ πού ἀσκοῦν τὴν ἀνομία παραμονεύουν γιὰ νὰ μὲ περικυκλώσουν καὶ νὰ πλήξουν τὴν ἀπροστάτευτη φτέρνα μου». Ἄλλος λέγει, «τὰ ἴχνη μου». Ὁ δὲ Ἑβραῖος λέγει «Ἀὼν ἀκουββαεὶ ἰσουββουνεί». Εἶδες πῶς ὁ λόγος εἶναι πρόβλημα καὶ αἴνιγμα καὶ σκοτεινὸς καὶ πολὺ ἀσα-

*καὶ σκοτεινὸς ὁ λόγος, καὶ πολλὴ ἡ ἀσάφεια; Ἀλλ', εἰ δοκεῖ, πρότερον μάθωμεν, ποίαν λέγει πονηρὰν ἡμέραν.*

*Ποίαν τοίνυν εἴωθε καλεῖν ἡ Γραφὴ ἡμέραν πονηράν; Τὴν τῶν συμφορῶν, τὴν τῶν κολάσεων, τὴν τῶν περιστάσεων, ὃ καὶ ἀλλαχοῦ φησι «Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος». Τοιαύτη δέ ἐστιν ἡ μέλλουσα τοῖς ἁμαρτωλοῖς, ἡ φοβερὰ ἐκείνη, καὶ ἀφόρητος. Εἶδες πρῶτον φιλοσοφίας ὅρον τῆς ἀνωτάτω, καὶ πῶς διευκρινεῖ σοι ὁ λόγος, ποῖα μὲν ἄξια φόβου, ποῖα δὲ καταγνώσεως; Ἂν γὰρ μὴ ταύτην τις τὴν ἀρίστην ποιήσηται διαίρεσιν, καθάπερ ἐν σκότῳ βαθεῖ καὶ συγχύσει πραγμάτων περιφερόμενος, ἀπορεῖται. Ἂν μὴ διέλωμεν τίνα μὲν φοβεῖσθαι δεῖ, τίνα δὲ διαπτύειν, πολλὴ κατὰ τὸν βίον ἔσται ἡ πλάνη, πολὺς ὁ κίνδυνος. Καὶ γὰρ ἐσχάτης ἀνοίας φοβεῖσθαι τὰ μὴ ἄξια φόβου, καταγελᾶν δὲ ἃ φοβεῖσθαι δίκαιον. Τούτῳ καὶ οἱ ἄνδρες τῶν παίδων διεστήκασιν, ὅτι ἐκεῖνοι μὲν ἅτε ἐν ἀτελεῖ διανοίᾳ ὄντες, προσωπεῖα δεδοίκασι, καὶ ἀνθρώπους σάκκον περικειμένους, τὸ δὲ ὑβρίσαι πατέρα ἢ μητέρα, οὐδὲν εἶναι ἡγοῦνται· καὶ πυρὶ μὲν ἐπιπηδῶσι καὶ λύχνοις καιομένοις, ψόφους δέ τινας δεδίττονται, οὐδὲν ἔχοντας δεινόν· οἱ δὲ ἄνδρες οὐδενὶ τούτων ἐπιστρέφονται.*

*Ἐπεὶ οὖν πολλοὶ παίδων εἰσὶν ἀνοητότεροι, διαίρεσιν ποιεῖται ταύτην, καὶ λέγει τίνα χρὴ φοβεῖσθαι, οὐ τὰ πολλοῖς δοκοῦντα φοβερά, πενίαν λέγω, καὶ ἀδοξίαν, καὶ νόσον (ταῦτα γὰρ οὐ μόνον τοῖς πολλοῖς φοβερά, ἀλλὰ καὶ ἐπαχθῆ καὶ*

---

12. Ψαλμ. 40 1

φῆς; Ἀλλ', ἐὰν θέλεις, πρῶτα ἂς ἐξετάσουμε ποιὰ ὀνομάζει ἡμέρα πονηρή.

Ποιὰ λοιπὸν συνήθως ἡ Γραφὴ ὀνομάζει ἡμέρα πονηρή; Τὴν ἡμέρα τῶν συμφορῶν, τῶν δοκιμασιῶν, τῶν δυσκόλων περιστάσεων, πράγμα ποὺ λέγει καὶ ἀλλοῦ· «Μακάριος εἶναι ἐκεῖνος ποὺ δείχνει κατανόηση καὶ ἐνδιαφέρον γιὰ τὸ φτωχὸ καὶ γιὰ ἐκεῖνον ποὺ στερεῖται τὰ πάντα. Κατὰ τὴν ἡμέρα τῶν δοκιμασιῶν θὰ τὸν λυτρώσει ὁ Κύριος»[12]. Τέτοια δὲ ἡμέρα εἶναι ἡ μέλλουσα, ἡ φοβερὴ ἐκείνη καὶ ἀνυπόφορη γιὰ τοὺς ἁμαρτωλούς. Εἶδες πρῶτο ὅρο τῆς ἀνώτατης φιλοσοφίας, καὶ πῶς σοῦ διευκρινίζει ὁ λόγος, ποιὰ μὲν εἶναι ἄξια φόβου, ποιὰ δὲ ἄξια περιφρονήσεως; Διότι ἂν κάποιος δὲν κάνει αὐτὴ τὴν ἄριστη διάκριση, κυριεύεται ἀπὸ ἀπορία, περιφερόμενος σὰν ἀκριβῶς μέσα σὲ βαθὺ σκοτάδι καὶ σὲ πράγματα γεμάτα ἀπὸ σύγχυση. Ἂν δὲν ξεχωρίσουμε ποιὰ μὲν πρέπει νὰ φοβόμαστε, ποιὰ δὲ νὰ περιφρονοῦμε, θὰ εἶναι μεγάλη ἡ πλάνη στὴ ζωή μας, πολὺς ὁ κίνδυνος. Καθόσον εἶναι δεῖγμα τῆς πιὸ χειρότερης ἀνοησίας νὰ φοβόμαστε μὲν ἐκεῖνα ποὺ εἶναι ἀνάξια φόβου, νὰ περιφρονοῦμε δὲ ἐκεῖνα ποὺ πρέπει νὰ φοβόμαστε. Ὡς πρὸς αὐτὸ καὶ οἱ ἄνδρες διαφέρουν ἀπὸ τὰ παιδιά, τὸ ὅτι ἐκεῖνα μὲν ἐπειδὴ εἶναι πνευματικὰ ἀνώριμα, φοβοῦνται τὰ προσωπεῖα καὶ τοὺς ἀνθρώπους ποὺ ἔχουν περιβληθεῖ μὲ σάκκο, ἐνῶ θεωροῦν τελείως ἀσήμαντο τὸ νὰ βρίσουν τὸν πατέρα τους ἢ τὴ μητέρα τους· καὶ στὴ μὲν φωτιὰ πηδοῦν εὔκολα καθὼς καὶ σὲ λυχνάρια ἀναμμένα, ὅμως φοβοῦνται μερικοὺς κρότους ποὺ δὲν ἔχουν τίποτε τὸ φοβερό, ἐνῶ οἱ ἄνδρες τίποτε ἀπὸ αὐτὰ δὲν προσέχουν.

Ἐπειδὴ λοιπὸν πολλοὶ εἶναι πιὸ ἀνόητοι ἀπὸ τὰ παιδιά, κάμνει αὐτὸ τὸ διαχωρισμὸ καὶ λέγει ποιὰ πρέπει νὰ φοβόμαστε, ὄχι ἐκεῖνα ποὺ θεωροῦνται ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους φοβερά, ἐννοῶ τὴ φτώχεια, τὴν ἀδοξία καὶ τὴν ἀρρώστια (διότι αὐτὰ ὄχι μόνο στοὺς πολλοὺς εἶ-

*φορτικά· ἀλλ' οὐδὲν τούτων τίθησιν), ἀλλ' ἁμαρτίαν μόνην· τοῦτο γάρ ἐστιν, «Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με». Τοῦτο οὖν ἐστιν αἰνιγματώδης λόγος, τοῦτο καινὸς καὶ παράδοξος τρόπος. Σφόδρα γὰρ καινὸν καὶ παράδοξον τοῖς πολλοῖς εἶναι δοκεῖ τὸ λέγειν, μὴ δεῖν τι φοβεῖσθαι τῶν ἐν τῷ βίῳ λυπηρῶν. Τί οὖν φοβοῦμαι, φησίν, ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ; Ἓν μόνον μήποτε ἡ ἀνομία τῆς ὁδοῦ μου καὶ τοῦ βίου μου κυκλώσῃ με. Οἶδε δὲ καὶ πτέρναν καλεῖ τὴν ἀπάτην ἡ Γραφή· «Ὁ ἐσθίων γὰρ μετ' ἐμοῦ», φησίν, «ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ πτερνισμόν». Καὶ πάλιν ὁ Ἠσαῦ ἔλεγεν περὶ τοῦ Ἰακώβ· «Δεύτερον τοῦτο ἐπτέρνικέ με». Τοιοῦτον γὰρ ἡ ἁμαρτία, ἀπατηλόν, καὶ ἱκανὸν συναρπάσαι. Ταύτην, φησί, δέδοικα τὴν ἀπατῶσάν με ἁμαρτίαν, τὴν κυκλοῦσάν με.*

*4. Διὸ καὶ ὁ Παῦλος αὐτὴν εὐπερίστατον καλεῖ, τὴν συνεχῶς περιβάλλουσαν δηλῶν, τὴν εὐκόλως, τὴν ῥᾳδίως. Ἐν μὲν οὖν τούτοις τοῖς δικαστηρίοις πολλὰ δεδοίκασιν οἱ ἄνθρωποι, καὶ χρημάτων περιουσίαν, καὶ δυναστείαν, καὶ ἐπήρειαν, καὶ ἀπάτην, ἐκεῖ δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἡ ἁμαρτία μόνον φοβερόν, πανταχοῦ κυκλοῦσα τοὺς ἁλισκομένους, καὶ στρατοπέδων χαλεπώτερον. Δεῖ μὲν οὖν πάντα πράττειν, ὥστε μὴ κυκλοῦσθαι ὑπ' αὐτῆς, ἀλλ' ἐπειδὰν ἴδωμεν βουλομένην αὐτὴν ἡμᾶς περιβαλεῖν, διαφεύγειν αὐτῆς τὰς λαβάς, ὅπερ οἱ γενναῖοι τῶν στρατιωτῶν ποιοῦσιν· ἂν δὲ καὶ ἁλῶμεν, διακόπτειν ταχέως αὐτήν, ὅπερ καὶ ὁ Δαυὶδ ἐποίησε, διατεμὼν αὐτῆς τὴν ἰσχὺ διὰ τῆς μετανοίας. Ἐκυκλώθη μὲν γὰρ ὑπ' αὐτῆς, ἀλλὰ ταχέως αὐτὴν διέφυγεν. Ὁ τοῦτο δεδοικώς, οὐδὲν ἄλλο*

---

13. Ψαλμ. 40, 10.
14. Γεν. 27, 36.
15. Ἑβρ. 12, 1.
16. Β' Βασ. 12, 13.

ναι φοβερά, ἀλλ' εἶναι καὶ πολὺ δυσάρεστα καὶ ἀβάστακτα· ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἐννοεῖ), ἀλλὰ μόνο τὴν ἁμαρτία· διότι αὐτὸ σημαίνει «Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με». Αὐτὸ λοιπὸν εἶναι αἰνιγματικὸς λόγος, αὐτὸ νέος καὶ παράδοξος τρόπος. Διότι φαίνονται πάρα πολὺ πρωτάκουστα καὶ παράδοξα τὰ λόγια, ὅτι δὲν πρέπει νὰ φοβόμαστε τίποτε ἀπὸ τὰ λυπηρὰ τῆς ζωῆς. Τί λοιπόν, λέγει, φοβοῦμαι κατὰ τὴν πονηρὴ ἡμέρα; Ἕνα μόνο, μήπως ἡ ἀνομία μὲ περικυκλώσει στὸ δρόμο τῆς ζωῆς μου. Γνωρίζει δὲ ἡ Γραφὴ νὰ ὀνομάζει τὴν ἀπάτη καὶ φτέρνα· διότι λέγει· «Ἐκεῖνος ποὺ ἔτρωγε μαζί μου ἀπὸ τοὺς ἄρτους μου σήκωσε καὶ μὲ κτύπησε μὲ ὕπουλο τρόπο»[13]. Καὶ πάλι ὁ Ἡσαῦ ἔλεγε γιὰ τὸν Ἰακώβ· «Γιὰ δεύτερη φορὰ μοῦ ἔδωσε ὕπουλο κτύπημα»[14]. Διότι τέτοιο πράγμα εἶναι ἡ ἁμαρτία, ἀπατηλὸ καὶ ἱκανὸ νὰ μᾶς καταγοητεύσει. Αὐτή, λέγει, φοβοῦμαι, τὴν ἀπατηλὴ ἁμαρτία, ποὺ μπορεῖ νὰ μὲ περικυκλώσει ὕπουλα.

4. Γι' αὐτὸ καὶ ὁ Παῦλος ὀνομάζει αὐτὴν εὐπερίστατη[15], γιὰ νὰ δηλώσει, ὅτι αὐτὴ συνέχεια μᾶς περικυκλώνει μὲ τρόπο εὔκολο καὶ κατάλληλο. Σ' αὐτὰ λοιπὸν τὰ δικαστήρια πολλὰ πράγματα φοβοῦνται οἱ ἄνθρωποι, καὶ τὴ χρηματικὴ περιουσία, καὶ τὴν ἐξουσία, καὶ τὴν περιφρόνηση, καὶ τὴν ἀπάτη, σ' ἐκεῖνο τὸ οὐράνιο ὅμως δικαστήριο τίποτε παρόμοιο δὲν εἶναι φοβερό, παρὰ μόνο ἡ ἁμαρτία, ποὺ περικυκλώνει ἀπὸ παντοῦ ἐκείνους ποὺ συλλαμβάνει καὶ κατὰ τρόπο φοβερώτερο ἀπὸ τὰ στρατόπεδα. Πρέπει λοιπὸν νὰ κάμνομε τὰ πάντα, ὥστε νὰ μὴ κυκλωνόμαστε ἀπ' αὐτή, ἀλλ' ὅταν δοῦμε νὰ θέλει αὐτὴ νὰ μᾶς συλλάβει, ν' ἀποφεύγουμε τὶς λαβές της, πράγμα ποὺ κάνουν καὶ οἱ γενναῖοι ἀπὸ τοὺς στρατιῶτες· ἂν ὅμως συμβεῖ καὶ μᾶς κυριεύσει, νὰ ἀποκόπτουμε ἀμέσως αὐτή, πράγμα ποὺ ἔκαμε καὶ ὁ Δαυίδ[16], ποὺ συνέτριψε τὴ δύναμή της μὲ τὴ μετάνοιά του. Διότι κυκλώθηκε μὲν ἀπ' αὐτή, ἀλλ' ἀμέσως τὴ διέφυγε. Αὐτὸς ποὺ φοβεῖται αὐτό, τίποτε ἄλλο δὲν θὰ

φοβηθήσεταί ποτε, ἀλλὰ καταγελάσει τῶν ἐν τῷ παρόντι βίῳ χρηστῶν, ὑπερόψεται τῶν λυπηρῶν, τοῦ φόβου μόνον ἐκείνου κατασείοντος αὐτοῦ τὴν διάνοιαν. Οὐδὲν γάρ, οὐδὲν τῶν ἄλλων φοβερὸν τῷ τοῦτον κεκτημένῳ τὸν φόβον, οὐδὲ αὐτὸ τὸ κεφάλαιον τῶν φοβερῶν, ὁ θάνατος, ἀλλ' ἢ τοῦτο μόνον. Πῶς Ὅτι γεέννῃ παραδίδωσιν, ὅτι πρὸς τὰς ἀθανάτους παραπέμπει τιμωρίας. Τοῦτο πάλιν κατορθωθὲν ἅπασαν εἰσάγει τὴν ἀρετήν. Ἐννόησον γὰρ ἡλίκον ἐστί, μὴ φυσᾶσθαι τοῖς χρηστοῖς, μὴ ταπεινοῦσθαι τοῖς λυπηροῖς, μηδένα τῶν παρόντων ποιεῖσθαι λόγον, πρὸς τὰ μέλλοντα ὁρᾶν, τὴν ἡμέραν ἀναμένει ἐκείνην, τοιούτῳ φόβῳ συζῆν. Ὁ τοιοῦτος ἄγγελος ἔσται, τοῦτο μόνον δεδοικώς, τῶν δὲ ἄλλων μηδέν· οὐδὲ γὰρ φοβηθήσεταί τι τῶν ἄλλων, ἂν τοῦτο μόνον ᾖ δεδοικώς, ὡς δεδοικέναι χρή· ὥσπερ οὖν ὁ μὴ τοῦτο δεδοικώς, πολλοῖς ὑποκείσεται φοβεροῖς.

«Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι». Ἄλλος, «Ἀλαζονευόμενοι». «Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ, καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ». Καὶ ποία αὕτη ἡ ἀκολουθία; εἴποι τις ἄν. Πολλὴ μὲν οὖν καὶ συνεχὴς καὶ σφόδρα τῶν ἔμπροσθεν ἐκκρεμαμένη. Ἐπειδὴ γὰρ περὶ δικαστηρίου ὁ λόγος αὐτῷ, καὶ τῶν φοβερῶν ἐκείνων εὐθυνῶν, καὶ τῆς ἀδεκάστου ψήφου, πολλοὶ δὲ ἐν δικαστηρίοις τοῖς ὧδε τὸ δίκαιον διέφθειραν, καὶ δικαστὰς ὠνήσαντο, καὶ διέφυγον τὴν δίκην, ἀνακηρύττων ἐκείνης τῆς ψήφου τὸ ἀδέκαστον, καὶ τὸν φόβον αὔξων, ὃν

φοβηθεῖ ποτέ, ἀλλὰ θὰ περιφρονήσει τὰ ἀγαθὰ τῆς παρούσας ζωῆς, θὰ παραβλέψει τὰ λυπηρά, καὶ μόνο ἐκεῖνος ὁ φόβος θὰ συνταράσσει τὴ σκέψη του. Διότι τίποτε, τίποτε ἀπὸ τὰ ἄλλα δὲν εἶναι φοβερὸ σ' ἐκεῖνον ποὺ ἔχει μέσα του αὐτὸν τὸ φόβο, οὔτε αὐτὸ τὸ ἀποκορύφωμα τῶν φοβερῶν, ὁ θάνατος, παρὰ αὐτὸ μόνο. Πῶς; Διότι παραδίνει στὴ γέεννα, διότι ὁδηγεῖ πρὸς τὶς ἀθάνατες τιμωρίες. Ἂν αὐτὸ πάλι κατορθωθεῖ, τότε παρέχει ὅλη τὴν ἀρετή. Σκέψου λοιπὸν πόσο σπουδαῖο πράγμα εἶναι νὰ μὴ καυχέται κανεὶς γιὰ τὰ κοσμικὰ ἀγαθά, νὰ μὴ ταπεινώνεται ἀπὸ τὰ δυσάρεστα, νὰ μὴ δίνει καμμιὰ σημασία γιὰ τὰ πράγματα τῆς παρούσας ζωῆς, νὰ ἀποβλέπει πρὸς τὰ μέλλοντα, νὰ περιμένει τὴν ἡμέρα ἐκείνη, νὰ ζεῖ μαζὶ μὲ αὐτὸ τὸ φόβο. Ἕνας τέτοιος ἄνθρωπος θὰ εἶναι ἄγγελος, καὶ θὰ φοβᾶται αὐτὸ μόνο, ἐνῶ τίποτε ἀπὸ τὰ ἄλλα· διότι δὲν θὰ φοβηθεῖ τίποτε ἀπὸ τὰ ἄλλα, ἂν αὐτὸ μόνο φοβᾶται, ὅπως πρέπει νὰ τὸ φοβᾶται· ὅπως ἀκριβῶς βέβαια ἐκεῖνος ποὺ δὲν φοβᾶται αὐτό, θὰ ὑποπέσει σὲ πολλὰ φοβερά.

«Αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ στηρίζουν τὴν πεποίθησή τους στὴ δύναμή τους καὶ ποὺ καυχῶνται γιὰ τὸ πλῆθος τοῦ πλούτου τους». Ἄλλος «Καὶ ποὺ δείχνουν ἀλαζονεία». «Αὐτὸν ἀδελφὸς δὲν μπορεῖ νὰ τὸν σώσει, θὰ μπορέσει νὰ τὸν σώσει ὁ τυχὼν ἄνθρωπος; Δὲν εἶναι δυνατὸ ὁ ἄνθρωπος νὰ δώσει τὸν ἑαυτό του γιὰ ἐξίλασμα, οὔτε νὰ προσφέρει τίμημα γιὰ νὰ ἐξαγοράσει τὴ ζωή του». Καὶ ποιὰ σχέση ἔχουν αὐτὰ μὲ τὰ προηγούμενα; θὰ μποροῦσε κάποιος νὰ ρωτήσει. Ὁπωσδήποτε ἔχουν μεγάλη σχέση καὶ συνεχὴ καὶ εἶναι πάρα πολὺ στενὰ συνδεδεμένα μὲ τὰ προηγούμενα. Διότι, ἐπειδὴ κάμνει λόγο γιὰ δικαστήριο, γιὰ τὶς φοβερὲς ἐκεῖνες εὐθύνες καὶ τὴν ἀμερόληπτη ἀπόφαση, πολλοὶ δὲ στὰ ἐδῶ δικαστήρια διέφθειραν τὸ δίκιο καὶ δικαστὲς ἐξαγόρασαν καὶ διέφυγαν τὴν τιμωρία, διακηρύσσοντας ἐκείνης τῆς ἀποφάσεως τὸ ἀμερόληπτο, καὶ αὐξάνοντας τὸ φόβο, τὸν ὁποῖο ἀνέφερε προηγουμέ-

*πρότερον εἴρηκε, ταῦτα ἐπήγαγε δεικνύς, ὅτι καλῶς εἶπεν ἕνα φόβον φοβεῖσθαι τὸν ἀπὸ τῆς ἁμαρτίας, ἄλλον δὲ μηδένα. Οὐ γάρ ἐστιν ἐκεῖ χρήμασι φθεῖραι τὸ δίκαιον, οὐδὲ καταβαλόντα δῶρα ἐξαρπάσαι τῆς γεέννης ἑαυτόν· οὐδὲ προστασία καὶ συνηγορία σώζει, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν. Κἂν γὰρ πλούσιος ᾖς, κἂν δυνάστης, κἂν τινι γνώριμος, πάντα ταῦτα εἰκῇ καὶ μάτην· ἀπὸ τῶν ἔργων ἕκαστος ἐκεῖ καὶ κολάζεται καὶ στεφανοῦται. Ἐπεὶ καὶ ὁ ἐπὶ τοῦ Λαζάρου σφόδρα πλούσιος ἦν, ἀλλ', οὐδὲν αὐτὸν ὁ πλοῦτος ὤνησε· καὶ αἱ παρθένοι γνωρίμους εἶχον τὰς παρθένους, ἀλλ' οὐδὲν αὐτὰς ἡ οἰκείωσις ὠφέλησεν· ἓν γάρ ἐστι τὸ ζητούμενον ἐκεῖ μόνον.*

*Ὑμεῖς τοίνυν, φησίν, οἱ τῷ πλούτῳ θαρροῦντες, καὶ δυναστείαν περιβεβλημένοι, εἰκῇ καὶ μάτην φυσᾶσθε· οὐδὲ γὰρ διαβήσεται μεθ' ὑμῶν εἰς ἐκεῖνο τὸ δικαστήριον ἡ τῶν χρημάτων περιουσία, οὐδὲ ἡ τῆς δυναστείας ἰσχύς· ἀλλ' οὐδὲ οἰκειότης καὶ συγγένεια, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν ὑμᾶς ἐξαιρήσεται. Οὐκ ἔστιν ἐκεῖ καταβαλόντα χρήματα, οὐδὲ ἐξιλασμόν, οὐδὲ τιμὴν ψυχῆς σωθῆναί ποτε. Τί οὖν ὅτι φησὶν ἡ Γραφή, «Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ, ὅπως εἰσδέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς»; Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; Οὐδὲν ἐναντίον, οὐδὲ μαχόμενον τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συμφωνοῦν. Φίλους γὰρ ἐνταῦθα δεῖ ποιεῖν ἐν τῷ παρόντι βίῳ, χρήματα καταβάλλοντας, τὰ ὄντα δαπανῶντας εἰς τοὺς δεομένους. Οὐδὲν οὖν ἄλλο ἐνταῦθα ἢ ἐλεημοσύνην δαψιλῆ αἰνίττεται. Ὡς ἐὰν ἀπέλθῃς ἐκεῖ, μηδὲν τούτων ἐργασάμενος, οὐδείς σου προστήσεται. Οὐδὲ γὰρ ἡ φιλία ἐκείνων ἡμῖν προΐσταται, ἀλλὰ τὸ ἐκ τοῦ μαμωνᾶ*

---

17. Λουκᾶ 16, 20.
18. Ματθ. 25, 1 - 13.
19. Μαμωνᾶς ἐδῶ ὀνομάζεται ὁ πλοῦτος.
20. Λουκᾶ 16, 9.

νῶς, πρόσθεσε αὐτά, γιὰ νὰ δείξει, ὅτι καλὰ εἶπε, ὅτι πρέπει ἕνα φόβο νὰ φοβᾶται κανείς, αὐτὸν ποὺ προέρχεται ἀπὸ τὴν ἁμαρτία, ἄλλον δὲ κανένα. Διότι δὲν εἶναι δυνατὸ ἐκεῖ μὲ χρήματα νὰ διαφθείρει κανεὶς τὸ δίκιο, οὔτε νὰ προσφέρει δῶρα καὶ ν' ἀποσπάσει τὸν ἑαυτό του ἀπὸ τὴ γέεννα, οὔτε προστασία καὶ συνηγορία σώζει, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια. Διότι εἴτε εἶσαι πλούσιος, εἴτε ἄρχοντας, εἴτε γνώριμος σὲ κάποιο, ὅλα αὐτὰ εἶναι ἄσκοπα καὶ μάταια· διότι ἀπὸ τὰ ἔργα ὁ καθένας ἐκεῖ καὶ τιμωρεῖται καὶ στεφανώνεται. Καθόσον καὶ ὁ πλούσιος, σχετικὰ μὲ τὸ Λάζαρο, ἦταν πάρα πολὺ πλούσιος, ἀλλὰ σὲ τίποτε δὲν τὸν ὠφέλησε ὁ πλοῦτος[17]· καὶ οἱ παρθένες εἶχαν γνωστὲς τὶς παρθένες, ἀλλὰ σὲ τίποτε δὲν τὶς ὠφέλησε ἡ φιλία[18]· διότι ἕνα μόνο ἐκεῖ εἶναι τὸ ζητούμενο.

Σεῖς λοιπόν, λέγει, ποὺ παίρνετε θάρρος ἀπὸ τὸν πλοῦτο σας καὶ κρατᾶτε στὰ χέρια σας τὴν ἐξουσία, ἄδικα καὶ ἄσκοπα καυχιέσθε· διότι δὲν θὰ σᾶς συνοδεύσει στὸ δικαστήριο ἐκεῖνο ἡ περιουσία τῶν χρημάτων σας, οὔτε ἡ δύναμη τῆς ἐξουσίας σας, ἀλλ' οὔτε καὶ ἡ φιλία καὶ ἡ συγγένεια, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια θὰ σᾶς σώσει. Δὲν εἶναι δυνατὸ ἐκεῖ νὰ καταβάλεις χρήματα, οὔτε ἐξιλαστήρια προσφορά, οὔτε ἄλλο τίμημα γιὰ τὴν ψυχή σου γιὰ νὰ σωθεῖ κάποτε. Γιατί λοιπόν, λέγει ἡ Γραφή, «Ἀποκτήσατε φίλους χρησιμοποιώντας τὸν ἄδικο μαμμωνά[19], γιὰ νὰ σᾶς ὑποδεχθοῦν στὶς αἰώνιες σκηνές»[20]; Τί τέλος πάντων σημαίνουν αὐτὰ τὰ λόγια; τίποτε τὸ ἀντίθετο, οὔτε ἀντιμάχονται τὰ προηγούμενα, ἀλλὰ καὶ συμφωνοῦν πάρα πολύ. Διότι πρέπει ν' ἀποκτοῦμε ἐδῶ στὴν παρούσα ζωὴ φίλους, μοιράζοντας χρήματα καὶ ξοδεύοντας τὴν περιουσία μας σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη. Τίποτε λοιπὸν ἄλλο ἐδῶ δὲν ὑπαινίσσεται, παρὰ τὴν γενναιόδωρη ἐλεημοσύνη. Διότι, ἂν μεταβεῖς ἐκεῖ, χωρὶς νὰ ἔκαμες τίποτε ἀπὸ αὐτά, κανεὶς δὲν θὰ σὲ προφυλάξει. Καθόσον οὔτε ἡ φιλία ἐκείνων μᾶς προφυλάσσει, ἀλλὰ μόνο ἂν ἀποκτήσεις φί-

*γενέσθαι φίλους· διὰ τοῦτο προσέθηκε, «Φίλους ἐκ τοῦ μαμωνᾶ», ἵνα μάθῃς, ὅτι αὐτά σου τὰ ἔργα φείσεται, ἡ ἐλεημοσύνη, ἡ φιλανθρωπία, ἡ εἰς τοὺς δεομένους φιλοτιμία.*

*Ἐπεὶ ὅτι γε οὔτε συγγένεια, οὔτε οἰκειότης ὠφελεῖ τι χωρὶς ἔργων, ἄκουσον τί φησιν ὁ προφήτης· «Ἐὰν στῇ Νῶε, καὶ Ἰώβ, καὶ Δανιήλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ρύσονται». Καὶ τί λέγω ἐν τῷ μέλλοντι, ὅπου γε καὶ ἐν τῷ παρόντι βίῳ οὐδὲν ὤνησε φιλία; Πόσα οὖν ἀπωδύρατο καὶ ἐθρήνησεν ὁ Σαμουήλ, καὶ τὸν Σαοὺλ οὐκ ἐξήρπασε; πόσα δὲ ὁ Ἱερεμίας ηὔξατο, καὶ τοὺς Ἰουδαίους οὐδὲν ὤνησεν; ἀλλὰ καὶ ἐπετιμήθη εὐχόμενος. Καὶ τί θαυμάζεις, εἰ Ἱερεμίας οὐδὲν ὀνίνησιν, ὅπου γε οὐδὲ τὸν Μωσέα λέγει, εἰ κατ' ἐκεῖνο καιροῦ ἦν, δύνασθαι σῶσαι τοὺς τότε Ἰουδαίους, ἐπειδὴ τὰ τῆς κακίας ἐκράτησε, καὶ οὐδὲν οἴκοθεν εἰσήνεγκαν; Πόσα περὶ Ἰουδαίων ὁ Παῦλος ἐθρήνει, λέγων, «Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν»; Τί οὖν ἴσχυσεν αὐτοῦ ἡ δέησις; Οὐδέν. Καὶ τί λέγω δέησις, ὅπου γε καὶ ἀνάθεμα ηὔχετο εἶναι ὑπὲρ αὐτῶν;*

*Τί οὖν; περιτταί εἰσιν αἱ τῶν ἁγίων εὐχαί; Οὐδαμῶς, ἀλλὰ καὶ σφόδρα ἰσχὺν ἔχουσαι, ὅταν αὐταῖς καὶ σὺ βοηθῇς. Οὕτως ἀνέστησε τὴν Ταβιθὰν ὁ Πέτρος, οὐκ εὐχῇ μόνον, ἀλλὰ καὶ τῇ ἐκείνης ἐλεημοσύνῃ· οὕτως ἑτέρων προέστησαν εὐχόμενοι οἱ ἅγιοι. Καὶ τοῦτο μὲν ἐνταῦ-*

21. Ἰεζ. 14, 14 - 18.
22. Α' Βασ. 15, 35.
23. Ἱερ. 14, 7.
24. Ρωμ. 10, 1.
25. Ρωμ. 9, 3.
26. Πράξ. 9, 36.

λους μὲ τὴν καλὴ χρήση τοῦ πλούτου· γι' αὐτὸ πρόσθεσε, «Φίλους ἀπὸ τὴν καλὴ χρησιμοποίηση τοῦ πλούτου», γιὰ νὰ μάθεις, ὅτι αὐτὰ τὰ ἔργα σου θὰ σοῦ χαρίσουν εὐσπλαγχνία, ἡ ἐλεημοσύνη, ἡ φιλανθρωπία, ἡ γενναιόδωρη προσφορὰ πρὸς ἐκείνους ποὺ ἔχουν ἀνάγκη.

Πράγματι, λοιπόν, τὸ ὅτι οὔτε ἡ συγγένεια, οὔτε ἡ φιλία ὠφελοῦν καθόλου, ἄκουσε τί λέγει ὁ προφήτης· «Ἂν ἔλθουν ὁ Νῶε, ὁ Ἰὼβ καὶ ὁ Δανιήλ, δὲν θὰ μπορέσουν νὰ ἐλευθερώσουν τοὺς υἱούς τους καὶ τὶς θυγατέρες τους»[21]. Καὶ γιατί λέγω γιὰ τὰ ὅσα πρόκειται νὰ συμβοῦν στὸ μέλλον, τὴ στιγμὴ βέβαια ποὺ οὔτε καὶ στὴν παροῦσα ζωὴ δὲν ὠφέλησε καθόλου ἡ φιλία; Πόσους λοιπὸν ὀδυρμοὺς καὶ θρήνους δὲν ἐξέβαλε ὁ Σαμουὴλ[22] καὶ παρ' ὅλα αὐτὰ δὲν μπόρεσε νὰ σώσει τὸν Σαούλ; Πόσες δὲ εὐχὲς δὲν ἔκαμε ὁ Ἱερεμίας[23], καὶ ὅμως σὲ τίποτε δὲν ὠφέλησε τοὺς Ἰουδαίους; ἀλλὰ καὶ κατηγορήθηκε γιὰ τὶς προσευχές του. Καὶ γιατί θαυμάζεις, ἂν ὁ Ἱερεμίας σὲ τίποτε δὲν ὠφέλησε μὲ τὶς προσευχές του, τὴ στιγμὴ βέβαια ποὺ οὔτε γιὰ τὸν Μωυσῆ λέγει, ἐὰν κατὰ τὴν ἐποχὴ ἐκείνη εἶχε τὴ δύναμη νὰ σώσει τοὺς τότε Ἰουδαίους, ἐπειδὴ ἀνέλαβε τὸ βάρος τῆς κακίας τους χωρὶς ἐκεῖνοι νὰ προσφέρουν τίποτε ἀπὸ μόνοι; Πόσο δὲν θρήνησε ὁ Παῦλος τοὺς Ἰουδαίους, λέγοντας, «Ἀδελφοί, ἡ μεγάλη ἐπιθυμία τῆς καρδιᾶς μου καὶ ἡ προσευχή μου πρὸς τὸ Θεὸ εἶναι νὰ χαρίσει σ' αὐτοὺς ὁ Θεὸς τὴ σωτηρία»[24]; Τί λοιπὸν ἐπέτυχε ἡ προσευχή του; Τίποτε. Καὶ γιατί λέγω ἡ προσευχή του, τὴ στιγμὴ βέβαια ποὺ εὐχόταν καὶ ἀνάθεμα νὰ γίνει γιὰ χάρη τους[25];

Τί λοιπόν; εἶναι περιττὲς οἱ προσευχὲς τῶν ἁγίων; Καθόλου, ἀλλὰ καὶ ἔχουν πάρα πολὺ μεγάλη δύναμη, ὅταν τὶς βοηθᾶς καὶ σύ. Ἔτσι ἀνέστησε ὁ Πέτρος τὴν Ταβιθά[26], ὄχι μόνο μὲ τὴν προσευχή, ἀλλὰ καὶ μὲ τὴν ἐλεημοσύνη ἐκείνης· ἔτσι βοήθησαν ἄλλους οἱ ἅγιοι μὲ τὶς προσευχές τους. Καὶ αὐτὸ μὲν ἰσχύει γιὰ ἐδῶ, ὅπου ὑπάρχουν τὰ

*θα, ἔνθα τὰ σκάμματα καὶ τὰ παλαίσματα, ἐκεῖ δὲ οὐδὲν τούτων, ἀλλ' ἀπὸ τῶν ἔργων ἡ σωτηρία μόνον. Σφόδρα δέ μοι καὶ κωμῳδεῖ τοὺς πλουτοῦντας ἐνταῦθα, καὶ τοὺς πεφυσημένους. Οὐδὲ γὰρ εἶπεν, οἱ ἔχοντες χρήματα, οὐδέ, οἱ δύναμιν κεκτημένοι, ἀλλ', «Οἱ πεποιθότες ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν, καὶ ἐπὶ τῇ δυνάμει αὐτῶν καυχώμενοι», καταγελῶν αὐτῶν καὶ καθαπτόμενος, ὅτι σκιαῖς πεποίθασι καὶ ἐπὶ καπνῷ μέγα φρονοῦσι. Καὶ καλῶς εἶπε, «Τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ οὐ δώσει»· τιμὴ γὰρ ψυχῆς οὐδὲ ὁ κόσμος ὅλος. Διὸ καὶ ἔλεγε· «Τί ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδάνῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;». Ἵνα δὲ μάθῃς, ὅτι οὐδὲ ὁ κόσμος ὅλος ψυχῆς τιμή, ἄκουσον καὶ περὶ ἑτέρων ἁγίων τί φησιν ὁ Παῦλος· «Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμεοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος». Καὶ γὰρ διὰ τὴν ψυχὴν ὁ κόσμος. Ὥσπερ οὖν οὐκ ἂν ἕλοιτο πατὴρ τὴν οἰκίαν ἀντὶ τοῦ παιδός, οὕτως οὐδὲ ὁ Θεὸς τὸν κόομον ἀντὶ τῆς ψυχῆς· ἀλλ' ἔργων χρεία, καὶ κατορθωμάτων. Βούλει μαθεῖν, ὅση τῶν ἡμετέρων ψυχῶν ἡ τιμή; Μέλλων αὐτὴν ὁ Μονογενὴς λυτροῦσθαι, οὐ κόσμον ἔδωκεν, οὐκ ἄνθρωπον, οὐ γῆν, οὐ θάλατταν, ἀλλὰ τὸ αἷμα αὐτοῦ τὸ τίμιον. Διὸ καὶ ὁ Παῦλος ἔλεγε· «Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων». Εἶδες τιμῆς μέγεθος; Ὅταν τοίνυν τὴν τοσούτου ἀγορασθεῖσαν ἀπολέσῃς, πῶς λοιπὸν αὐτὴν σὺ ὠνήσασθαι δυνήσῃ; Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει. Εἶδες τὸ πολυτελὲς τῆς τιμῆς; εἶδες τὸ ἀξίωμα τῆς ψυχῆς; Μὴ τοίνυν αὐτῆς καταφρόνει, μηδὲ αἰχμάλωτον ποίει.*

---

27. Ματθ. 16, 26.
26. Πράξ. 9, 38.
29. Α΄ Καρ. 7, 23.
30. Ρωμ. 6, 9.

σκάμματα καὶ οἱ ἀγῶνες, ἐνῶ ἐκεῖ τίποτε δὲν ἰσχύει ἀπ' αὐτά, ἀλλ' ἡ σωτηρία παρέχεται μόνο ἀπὸ τὰ ἔργα. Νομίζω καὶ πὼς πάρα πολὺ διακωμωδεῖ ἐδῶ τοὺς πλουσίους καὶ τοὺς ἀλαζόνες. Διότι δὲν εἶπε, αὐτοὶ ποὺ ἔχουν χρήματα, οὔτε αὐτοὶ ποὺ ἔχουν δύναμη, ἀλλ' «Αὐτοὶ ποὺ στηρίζουν τὴν πεποίθησή τους στὸ πλῆθος τοῦ πλούτου τους καὶ καυχῶνται γιὰ τὴ δύναμή τους», καταγελώντας αὐτοὺς καὶ κατηγορώντας τους, ὅτι στηρίζουν τὴν πεποίθησή τους στὶς σκιὲς καὶ μεγαλοφρονοῦν γιὰ τὸν καπνό. Καὶ καλὰ εἶπε, «Δὲν θὰ μπορέσει νὰ δώσει ἀντίτιμο γιὰ τὴ λύτρωση τῆς ψυχῆς του»· διότι σὰν ἀντίτιμο τῆς ψυχῆς δὲν φθάνει οὔτε ὅλος ὁ κόσμος. Γι' αὐτὸ καὶ ἔλεγε· «Τί ὠφελεῖται ὁ ἄνθρωπος ἂν κερδίσει ὅλο τὸν κόσμο, ἀλλὰ ζημιωθεῖ ὡς πρὸς τὴν ψυχή του;»[27]. Γιὰ νὰ μάθεις δέ, ὅτι οὔτε ὅλος ὁ κόσμος ἀρκεῖ σὰν ἀντίτιμο τῆς ψυχῆς, ἄκουσε τί λέγει ὁ Παῦλος καὶ γιὰ ἄλλους ἁγίους· «Περιπλανιόνταν φορώντας προβειὲς καὶ δέρματα γιδιῶν, γεμάτοι ἀπὸ στερήσεις, θλίψεις καὶ κακουχίες, πρὸς τοὺς ὁποίους δὲν ἦταν ἄξιος νὰ συγκριθεῖ ὅλος ὁ κόσμος»[28]. Καθόσον γιὰ τὴν ψυχὴ ἔγινε ὁ κόσμος. Ὅπως ἀκριβῶς λοιπὸν δὲν θὰ προτιμοῦσε πατέρας τὴν οἰκία ἀντὶ τοῦ παιδιοῦ του, ἔτσι οὔτε ὁ Θεὸς τὸν κόσμο ἀντὶ τῆς ψυχῆς· ἀλλὰ χρειάζονται ἔργα καὶ κατορθώματα. Θέλεις νὰ μάθεις πόση εἶναι ἡ ἀξία τῶν ψυχῶν μας; Θέλοντας ὁ Μονογενὴς νὰ τὴν λυτρώσει δὲν ἔδωσε σὰν ἀντίτιμο τὸν κόσμο, οὔτε τὸν ἄνθρωπο, οὔτε τὴ γῆ, οὔτε τὴ θάλασσα, ἀλλὰ τὸ αἷμα του τὸ τίμιο. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ἐξαγορασθήκατε ἀντὶ μεγάλης τιμῆς, μὴ γίνεσθε δοῦλοι τῶν ἀνθρώπων»[29]. Εἶδες μέγεθος τιμῆς; Ὅταν λοιπὸν χάσεις αὐτὴν ποὺ ἀγοράσθηκε ἀντὶ τόσης τιμῆς, πῶς θὰ μπορέσεις πλέον σὺ νὰ τὴν ἐξαγοράσεις; «Διότι ὁ Χριστὸς ἀναστηθεὶς ἀπὸ τοὺς νεκρούς, δὲν πεθαίνει πλέον»[30]. Εἶδες τὸ βαρύτιμο τῆς τιμῆς; εἶδες τὴν ἀξία τῆς ψυχῆς; Μὴ λοιπὸν τὴν περιφρονεῖς, οὔτε νὰ τὴν κάμνεις αἰχμάλωτη τῆς ἁμαρτίας.

*«Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος». Ἕτερος ἑρμηνευτής φησι, «Καὶ ἐπαύσατο εἰς τὸν αἰῶνα». Ἄλλος, «Ἀναπαυσάμενος τῷ αἰῶνι τούτῳ, ζῶν εἰς αἰῶνα διατελέσει». Ἐπειδὴ γὰρ εἶπε περὶ τῶν πλουτούντων, ἐπειδὴ εἶπε περὶ τῶν δυναστῶν, καὶ ἔδειξεν, ὅτι οὐδὲν ἐκεῖθεν κέρδος ἐστί, λέγει λοιπὸν περὶ τῶν ἐν ἀρετῇ βεβιωκότων, περὶ τῶν ἐν πόνῳ καὶ ταλαιπωρίᾳ, ἀλείφων τοὺς ἀθλητὰς τῆς φιλοσοφίας. Μὴ γάρ μοι λέγε τοῦτο, φησίν, ὅτι κόπον ἔσχε καὶ μόχθον, ἀλλ' ἐννόησον τὸν καρπόν, ὅτι ἄνθρωπος ἀθάνατος γίνεται, ὅτι ζωὴ ἀθάνατος διαδέξεται, ζωὴ τέλος οὐκ ἔχουσα. Πόσῳ τοίνυν βέλτιον, μικρὸν ἐνταῦθα πονέσαντας, αἰώνιον καρποῦσθαι ἄνεσιν, ἢ χαρισάμενον ἑαυτῷ μικρὸν διαπαντὸς ἐν ὀδύναις εἶναι; Εἶτα δεικνὺς ὡς οὐκ ἐκεῖ μόνον τὰ τῶν βραβείων καὶ τὰ τῶν στεφάνων, ἀλλὰ καὶ ἐντεῦθεν τὰ προοίμια τῶν ἐπάθλων, ἐπάγει λέγων· «Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας». Μὴ γάρ μοι λέγε, τὰ μέλλοντα λέγεις μόνον. Ἐνταῦθά σοι δίδωμι τὰ ἐνέχυρα τῶν στεφάνων, μᾶλλον δὲ αὐτὸν τὸν ἀρραβῶνα καὶ τὰ ἔπαθλα. Πῶς, καὶ τίνι τρόπῳ; Ὅτι ὁ φιλοσοφῶν, καὶ ταῖς τῶν μελλόντων ἐλπίσιν ὀρθούμενος, οὐδὲ τὸν θάνατον ἡγήσεται θάνατον, ἀλλ' ὁρῶν πρὸ τῶν ὀφθαλμῶν κείμενον τὸν τεθνηκότα, οὐ πείσεται τὰ τῶν πολλῶν ὁ τοιοῦτος, τοὺς στεφάνους ἀναλογιζόμενος, τὰ βραβεῖα, τὰ ἀπόρρητα ἀγαθά, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε», τὴν ζωὴν ἐκείνην, τὴν μετ' ἀγγέλων χορείαν. Ὥσπερ οὖν ὁ γηπόνος τὸν σῖτον διαλυόμενον ὁρῶν, οὐ καταπίπτει, οὐδὲ κατηφὴς γίνεται, ἀλλὰ τότε μάλιστα χαίρει καὶ γέγηθεν, εἰδὼς ὅτι ἡ διάλυσις ἐκείνη βελτίονος γίνεται γενέσεως ἀρχή, καὶ πλείονος ὑπό-*

«Καὶ ἂν κόπιασε στὸν αἰώνα θὰ ζήσει μέχρι τέλους». Ἄλλος ἑρμηνευτὴς λέγει, «Θὰ ἀναπαυθεῖ στὸν αἰώνα». Ἄλλος, «Θὰ ἀναπαυθεῖ στὸν παρόντα αἰώνα καὶ θὰ κατορθώσει νὰ ζήσει στὸν αἰώνα». Ἀφοῦ λοιπὸν μίλησε γιὰ τοὺς πλουσίους, ἀφοῦ μίλησε γιὰ τοὺς ἰσχυροὺς ἄρχοντες, καὶ ἔδειξε, ὅτι δὲν ὑπάρχει ἀπὸ ἐκεῖ κανένα κέρδος, ὁμιλεῖ στὴ συνέχεια καὶ γιὰ ἐκείνους ποὺ ἔζησαν ἐνάρετα, γιὰ ἐκείνους ποὺ ἔζησαν μὲ πόνο καὶ ταλαιπωρία, προετοιμάζοντας τοὺς ἀθλητὲς τῆς εὐσεβείας. Μὴ λοιπὸν μοῦ λέγεις, λέγει, αὐτό, ὅτι κόπιασε καὶ μόχθησε, ἀλλὰ σκέψου τὸν καρπό, τὸ ὅτι γίνεται ἄνθρωπος ἀθάνατος, τὸ ὅτι θὰ ἀκολουθήσει ζωὴ ἀθάνατη, ζωὴ ποὺ δὲν ἔχει τέλος. Πόσο λοιπὸν προτιμότερο εἶναι, ἀφοῦ κοπιάσουμε ἐδῶ λίγο, νὰ καρποθοῦμε αἰώνια ἀνάπαυση, παρὰ εὐχαριστώντας γιὰ λίγο τὸν ἑαυτό μας, νὰ ὑποφέρουμε συνέχεια; Ἔπειτα, γιὰ νὰ δείξει ὅτι δὲν ὑπάρχει μόνο ἐκεῖ ἡ πρόγευση τῶν βραβείων καὶ τῶν στεφάνων, ἀλλὰ καὶ ἐδῶ ὑπάρχει ἡ πρόγευση τῶν ἐπάθλων, προσθέτει τὰ ἑξῆς λόγια· «Δὲν θὰ δεῖ τὴ φθορὰ καὶ τὴ διάλυση ὅταν θὰ δεῖ σοφοὺς νὰ πεθαίνουν. Μὴ λοιπὸν μοῦ λέγεις, μόνο γιὰ τὰ μέλλοντα μᾶς ὁμιλεῖς. Ἐδῶ σοῦ δίνω τὰ ἐνέχυρα, ἢ καλύτερα αὐτὸν τὸν ἴδιο τὸν ἀρραβώνα καὶ τὰ ἔπαθλα. Πῶς καὶ μὲ ποιὸ τρόπο; Μὲ τὸ ὅτι ἐκεῖνος ποὺ ζεῖ μὲ φιλοσοφικότητα καὶ ἔχει στηριγμένες τὶς ἐλπίδες του στὰ μελλοντικὰ ἀγαθά, οὔτε τὸ θάνατο θὰ θεωρήσει θάνατο, ἀλλὰ βλέποντας μπροστά του ξαπλωμένο τὸ πεθαμένο, αὐτὸς δὲν θὰ πάθει ἐκεῖνο ποὺ παθαίνουν οἱ πολλοί, σκεπτόμενος τοὺς στεφάνους, τὰ βραβεῖα, τὰ ἀπερίγραπτα ἀγαθά, «ποὺ μάτι ἀνθρώπου δὲν εἶδε, οὔτε αὐτὶ τὰ ἄκουσε», τὴ ζωὴ ἐκείνη, τὴ συναναστροφὴ μὲ τοὺς ἀγγέλους. Ὅπως ἀκριβῶς λοιπὸν ὁ γεωργὸς βλέποντας τὸ σιτάρι νὰ σαπίζει, δὲν ἀπογοητεύεται, οὔτε στενοχωρεῖται, ἀλλὰ τότε πρὸ πάντων χαίρεται καὶ ἀγάλλεται, γνωρίζοντας ὅτι ἐκείνη ἡ διάλυση γίνεται ἀρχὴ καλύτερης παραγωγῆς καὶ ἀφορμὴ περισσό-

*θεσις φορᾶς, οὕτω καὶ ὁ δίκαιος κατορθώμασι κομῶν, καὶ τὴν βασιλείαν καθ' ἑκάστην προσδοκῶν τὴν ἡμέραν, ὅταν ἴδῃ τὸν θάνατον πρὸ τῶν ὀφθαλμῶν κείμενον, οὐκ ἀλύει, καθάπερ οἱ πολλοί, οὐ θορυβεῖται καὶ ταράττεται· οἶδε γάρ, ὅτι θάνατος τοῖς ὀρθῶς βεβιωκόσι μετάστασίς ἐστιν ἐπὶ τὰ βελτίω καὶ ἀποδημία πρὸς τὰ ἀμείνω, καὶ δρόμος ἐπὶ τοὺς στεφάνους.*

*Τίνας δὲ λέγει σοφούς; Οὐ τοὺς ὄντως σοφούς, ἀλλὰ τοὺς νομιζομένους σοφούς. Ἐμοὶ δὲ δοκεῖ τοὺς τῶν ἔξωθεν σοφοὺς λέγειν, κωμῳδῶν αὐτοὺς καὶ ἐντεῦθεν, ὅτι δοκοῦντες εἶναι σοφοὶ ἐμωράνθησαν, οὐδὲν περὶ ἀναστάσεως φιλοσοφήσαντες. Ὅταν οὖν ἴδῃ τοὺς φιλοσόφους ἐκείνους ἀπολλυμένους, θρηνουμένους, δακρυομένους, μετὰ οἰμωγῆς ἐκπεμπομένους, τότε αὐτὸς οὐδὲν πείσεται τοιοῦτον, ἀλλὰ ἀνώτερος ἔσται τῶν τοιούτων βελῶν, ταῖς χρησταῖς ἐλπίσιν ὀρθούμενος καὶ εἰδὼς ὅτι ἡ διαφθορὰ αὕτη οὐκ ἔστι τῆς οὐσίας ἀναίρεσις, ἀλλὰ τῆς θνητότητος δαπάνη, καὶ τῆς φθορᾶς ἀνάλωμα. Ὁ γὰρ θάνατος οὗτος οὐ τὸ σῶμα ἀπόλλυσιν, ἀλλὰ τὴν φθορὰν δαπανᾷ· ὡς ἥ γε οὐσία μένει μετὰ πλείονος ἀνισταμένη τῆς δόξης, ἀλλ' οὐχὶ πάντων. Ἡ μὲν γὰρ ἀνάστασις κοινὴ πάντων ἔσται, ἡ δὲ μετὰ δόξης ἀνάστασις τῶν ὀρθῶς βεβιωκότων. «Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται, καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. Καὶ οἱ τάφοι αὐτῶν εἰς γενεὰν καὶ γενεάν· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν». Ἄλλος φησί, «Τὰ ἐντὸς τῶν οἰκιῶν αὐτῶν εἰς τὸν αἰῶνα». Ἄλλος, «Τὰς κατασκηνώσεις αὐτῶν εἰς γενεάν, ὀνομάσαντες ἐπ' ὀνόμασιν αὐτῶν τὰς γαίας»· ὁ*

τερης καρποφορίας, ἔτσι καὶ ὁ δίκαιος, φροντίζοντας γιὰ τὰ κατορθώματά του καὶ περιμένοντας καθημερινὰ τὴν οὐράνιο βασιλεία, ὅταν δεῖ τὸ θάνατο νὰ βρίσκεται μπροστά του, δὲν κυριεύεται ἀπὸ τὴ θλίψη, ὅπως ἀκριβῶς οἱ πιὸ πολλοί, δὲν θορυβεῖται καὶ δὲν ταράσσεται· διότι γνωρίζει, ὅτι ὁ θάνατος εἶναι, γιὰ ἐκείνους ποὺ ἔζησαν ὀρθά, μεταφορὰ πρὸς τὰ καλύτερα καὶ ἀποδημία πρὸς πιὸ μεγάλα ἀγαθὰ καὶ δρόμος πρὸς στεφάνια.

Ποιοὺς δὲ ὀνομάζει σοφούς; Ὄχι τοὺς πραγματικὰ σοφούς, ἀλλ' ἐκείνους ποὺ θεωροῦνται σοφοί. Ἐγὼ νομίζω, ὅτι ἐννοεῖ τοὺς μὴ χριστιανοὺς σοφούς, διακωμωδώντας αὐτοὺς καὶ ἐδῶ, διότι, νομίζοντας ὅτι εἶναι σοφοί, μωράθηκαν, ἀφοῦ τίποτε μὲ τὴ φιλοσοφία τους δὲν δίδαξαν γιὰ τὴν ἀνάσταση τοῦ Χριστοῦ. Ὅταν λοιπὸν θὰ δεῖ ἐκείνους τοὺς φιλοσόφους νὰ ὁδηγοῦνται στὴν ἀπώλεια νὰ θρηνοῦν, νὰ χύνουν δάκρυα, νὰ ἐκδιώκονται μὲ ὀδυρμούς, τότε αὐτὸς δὲν θὰ πάθει τίποτε παρόμοιο, ἀλλὰ θὰ σταθεῖ ἐπάνω ἀπὸ αὐτὰ τὰ βέλη, στηριζόμενος ἀπὸ τὶς ἀγαθὲς ἐλπίδες καὶ γνωρίζοντας ὅτι ὁ θάνατος αὐτὸς δὲν εἶναι ἐξαφάνιση τῆς οὐσίας, ἀλλὰ καταστροφὴ τῆς θνητότητας καὶ ἐξαφάνιση τῆς φθορᾶς. Καθόσον αὐτὸς ὁ θάνατος δὲν καταστρέφει τὸ σῶμα, ἀλλὰ ἐξαφανίζει τὴ φθορά· διότι ἡ οὐσία μένει καὶ θ' ἀναστηθεῖ μὲ μεγαλύτερη δόξα, ὄχι ὅμως ὅλων. Ἡ μὲν λοιπὸν ἀνάσταση θὰ εἶναι κοινὴ γιὰ ὅλους, ἐνῶ ἡ ἔνδοξη ἀνάσταση θὰ εἶναι γιὰ ἐκείνους ποὺ ἔζησαν ἐνάρετα. «Κατὰ τὸν ἴδιο τρόπο θὰ ὁδηγηθοῦν στὴν ἀπώλεια ὁ ἄφρων καὶ ὁ ἀνόητος καὶ θ' ἀφήσουν στοὺς ξένους τὸν πλοῦτο τους. Καὶ οἱ τάφοι τους θὰ εἶναι αἰώνιες κατοικίες τους· θὰ εἶναι τὸ κατοικητήριό τους σ' ὅλες τὶς γενεές. Κατέγραψαν τὰ ὀνόματά τους ἐπάνω στὰ κτήματά τους». Ἄλλος λέγει, «Τὰ ὅσα βρίσκονται μέσα στὶς κατοικίες τους θὰ μείνουν ἔτσι στὸν αἰῶνα». Ἄλλος λέγει, «Τὸ κατοικητήριό τους θὰ εἶναι γιὰ ὅλες τὶς γενεὲς καὶ κατέγραψαν τὰ ὀνόματά τους ἐπάνω στὰ κτήματά τους»·

δὲ Ἑβραῖος «Ἀληαδαμώθ» τοῦτο εἶπεν.

5. Εἶδες πῶς οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλὰ καὶ ἀπὸ τῶν ἐνταῦθα συμβαινόντων, ἀπάγει κακίας καὶ πλεονεξίας, καὶ χειραγωγεῖ πρὸς ἀρετήν, καταλύων τὴν περὶ τὰ χρήματα μανίαν, καὶ τοὺς πρὸς τὰ παρόντα ἐπτοημένους ἀνοήτους καλῶν, καὶ διὰ τῶν πραγμάτων τοῦτο ἀποδεικνύς; Τί γὰρ ἀνοητότερον, εἰπέ μοι, ἀνθρώπου πονοῦντος, καὶ ταλαιπωρουμένου, καὶ τοσαῦτα συνάγοντος, ὥστε ἑτέρους ἐντρυφᾶν τοῖς αὐτοῦ πόνοις; τί δὲ τῆς ματαιοπονίας ταύτης χεῖρον, ὅταν αὐτὸς μὲν ἀπέλθῃ τοὺς ἱδρῶτας ἀνασχόμενος καὶ τοὺς καμάτους ὑπομείνας, ἑτέροις δὲ παρέχῃ τὴν ἀπόλαυσιν, καὶ οὐδὲ οἰκείοις τισὶ καὶ γνωρίμοις, ἀλλὰ καὶ πολλάκις ἐχθροῖς καὶ πολεμίοις; Διὰ τοῦτο οὐκ εἶπεν, 'ἑτέροις', ἀλλ', «Ἀλλοτρίοις καταλείψουσι τὸν πλοῦτον αὐτῶν». Τί δέ ἐστιν, «Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται; Μετὰ τῶν ἔμπροσθεν εἰρημένων, φησί. Ἐνταῦθά μοι τὸν περὶ τῶν ἀσεβῶν δοκεῖ κινεῖν λόγον τῶν πρὸς τὰ παρόντα ἐπτοημένων, καὶ οὐδὲ περὶ τῶν μελλόντων φιλοσοφούντων, ἀνοήτους αὐτοὺς καὶ ἐντεῦθεν καλῶν. Εἰ γὰρ μηδὲν ἡγῇ μετὰ ταῦτα εἶναι, τίνος ἕνεκεν σαυτὸν κόπτεις καὶ ταλαιπωρῇ, μυρία συνάγων πανταχόθεν χρήματα, καὶ τοὺς μὲν πόνους ὑπομένων, τῆς δὲ ἀπολαύσεως οὐ μετέχων;.

«Καὶ οἱ τάφοι αὐτῶν οἰκία αὐτῶν εἰς τὸν αἰῶνα». Τοῦτο κατὰ τὴν ὑπόνοιαν ἐκείνων φησί. «Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν». Τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν χεῖρον, τὸ τοὺς τάφους οἰκίαν νομίζειν διηνεκῆ, τὸ φιλοτιμεῖσθαι περὶ ταῦτα; Πολλοὶ γοῦν πολλάκις τοὺς τάφους τῶν οἰκιῶν λαμπροτέρους εἰργάσαντο. Ἢ γὰρ τοῖς πολεμίοις πονοῦσι καὶ τα-

ὁ δὲ Ἑβραῖος αὐτὸ τὸ ὀνόμασε, «Ἀλησδαμώθ».

5. Εἶδες πῶς ὄχι ἀπὸ τὰ μελλοντικά, ἀλλὰ ἀπὸ τὰ παρόντα καταμετρεῖ τὶς κακίες καὶ τὶς πλεονεξίες καὶ ὁδηγεῖ πρὸς τὴν ἀρετή, καταργώντας τὴ μανία γιὰ τὰ χρήματα καὶ ὀνομάζοντας ἀνοήτους ἐκείνους ποὺ κυριεύονται ἀπὸ τὸ πάθος γιὰ τὰ πράγματα τῆς παρούσας ζωῆς καὶ τὸ ἀποδεικνύει αὐτὸ ἀπὸ τὰ ἴδια τὰ πράγματα; Διότι πές μου, τί ὑπάρχει πιὸ ἀνόητο ἀπὸ ἄνθρωπο ποὺ κοπιάζει, ταλαιπωρεῖται καὶ ποὺ συγκεντρώνει τόσα πολλά, ὥστε ἄλλοι ν' ἀπολαμβάνουν τοὺς κόπους του; τί ὑπάρχει πιὸ χειρότερο ἀπὸ αὐτὴ τὴ ματαιοπονία, ὅταν αὐτὸς μὲν φύγει ἀπ' αὐτὴ τὴ ζωὴ ἀφοῦ ἔχυσε τοὺς ἱδρῶτες καὶ ὑπέμεινε τοὺς κόπους, σ' ἄλλους δὲ παρέχει τὴν ἀπόλαυση, καὶ ὄχι σὲ κάποιους συγγενεῖς καὶ γνωστούς, ἀλλὰ καὶ πολλὲς φορὲς σὲ ἐχθροὺς καὶ ἀντιπάλους του; Γι' αὐτὸ δὲν εἶπε, 'σ' ἄλλους', ἀλλὰ «Σὲ ξένους θὰ ἐγκαταλείψουν τὸν πλοῦτο τους». Τί σημαίνει δὲ «Κατὰ τὸν ἴδιο τρόπο θὰ ὁδηγηθοῦν στὴν ἀπώλεια ὁ ἄφρων καὶ ὁ ἀνόητος»; Μαζὶ μὲ ἐκείνους, λέγει, ποὺ ἀναφέρθηκαν προηγουμένως. Ἐδῶ μοῦ φαίνεται ὅτι ὁμιλεῖ γιὰ τοὺς ἀσεβεῖς, ποὺ κυριεύονται ἀπὸ τὸ πάθος γιὰ τὰ πράγματα τῆς παρούσας ζωῆς καὶ δὲν σκέπτονται καθόλου τὰ τῆς μέλλουσας ζωῆς, ὀνομάζοντας αὐτοὺς καὶ γι' αὐτὸ ἀνοήτους. Διότι, ἂν πιστεύεις ὅτι δὲν ὑπάρχει τίποτε μετὰ ἀπὸ τὴν ἐδῶ ζωή, γιὰ ποιὸ λόγο κατακουράζεις καὶ ταλαιπωρεῖς τὸν ἑαυτό σου, συγκεντρώνοντας ἀμέτρητα χρήματα ἀπὸ παντοῦ, καὶ τοὺς μὲν κόπους τοὺς ὑπομένεις, δὲν μετέχεις ὅμως στὴν ἀπόλαυση;

«Καὶ οἱ τάφοι τους θὰ εἶναι αἰώνια κατοικία τους». Αὐτὸ τὸ λέγει σύμφωνα μὲ τὴ δική τους σκέψη. «Θὰ εἶναι τὸ κατοικητήριό τους σ' ὅλες τὶς γενεὲς καὶ αὐτοὶ κατέγραψαν τὸ ὄνομά τους ἐπάνω στὰ κτήματά τους». Τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπ' αὐτὴ τὴν ἀνοησία, τὸ νὰ θεωροῦν τοὺς τάφους τους κατοικία αἰώνια, τὸ νὰ δεί-

λαιπωροῦνται, ἢ τῷ σκώληκι καὶ τῇ κόνει εἰς οὐδὲν δέοντα ταῦτα ἀναλίσκοντες. Τοιαύτη γὰρ τῶν οὐδὲν περὶ τῶν μελλόντων ἐλπιζόντων ἡ φρόνησις. Ἀλλ᾽ ἐνταῦθά μοι στενάξαι ἔπεισιν, ὅτι πολλοὶ καὶ τῶν τὰ μέλλοντα ἐλπιζόντων, κατὰ τοῦτο ἐκείνους μιμοῦνται, τοὺς οὐδεμίαν περὶ τῶν μελλόντων ἔχοντας ἐλπίδα, τάφους οἰκοδομοῦντες, καὶ λαμπρὰ σήματα ποιοῦντες, καὶ χρυσίον κατορύττοντες, καὶ εἰς ἑτέρους τὰ ὄντα παραπέμποντες, κατὰ τοῦτο ἐκείνων χείρους ὄντες. Ὁ μὲν γὰρ οὐδὲν προσδοκῶν μετὰ ταῦτα εἰ καὶ αὐτὸς ἀλόγως, ἀλλ᾽ ὅμως διὰ τὸ μηδὲν προσδοκᾶν, περὶ τὰ παρόντα φιλοπονεῖται, σὺ δὲ ὁ τὴν μέλλουσαν ζωὴν εἰδώς, ἄνθρωπε, καὶ τὰ ἀγαθὰ ἐκεῖνα τὰ ἀπόρρητα, κατὰ τὴν ῥῆσιν ἐκείνην τὴν εὐαγγελικήν, ὅτι «Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος», ποίαν ἂν σχοίης συγγνώμην; τίνα ἀπολογίαν; ποίαν δὲ οὐκ ἂν ὑποσταίης δικαίως κόλασιν, πάντα ἐνταῦθα καταδαπανῶν εἰς τὴν κόνιν, εἰς τὴν τέφραν, εἰς τὰ σήματα, εἰς τοὺς πολεμίους, εἰς τοὺς ἐχθρούς;

«Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν». Ἰδοὺ καὶ ἑτέρας ἀνοίας εἶδος· τὸ περιτιθέναι τὰς προσηγορίας αὐτῶν οἰκοδομήμασι, καὶ ἀγροῖς, καὶ λουτροῖς, καὶ μεγίστην ἐντεῦθεν καρποῦσθαι παραμυθίαν νομίζειν, καὶ τὴν σκιὰν διώκειν ἀντὶ τῆς ἀληθείας. Εἰ γὰρ μνήμης ἐρᾷς διηνεκοῦς, μὴ ὀνόματα περιθῇς οἰκοδομήμασιν, ἄνθρωπε, ἀλλ᾽ ἀνάστησον τρόπαια κατορθωμάτων, ἃ καὶ ἐν τῷ παρόντι σοι βίῳ τὸ ὄνομα διατηρεῖ, καὶ πρὸς τὴν μέλλουσαν ζωὴν ἀθάνατον κατασκευάζει σοι τὴν ἀνάπαυσιν. Εἰ μνήμης ἐρᾷς καὶ

31. Ματθ. 13, 43.

χνουν τόση άγάπη καὶ ζῆλο γι' αὐτά; Πράγματι πολλοὶ πολλὲς φορὲς κατασκεύασαν τοὺς τάφους τους πιὸ λαμπροὺς ἀπὸ τὶς οἰκίες τους. Διότι ἢ κοπιάζουν καὶ ταλαιπωροῦνται γιὰ τοὺς ἐχθρούς τους, ἢ γιὰ τὰ σκωλήκια καὶ τὴ σκόνη, ξοδεύοντας αὐτὰ σὲ τελείως ἄχρηστα πράγματα. Διότι τέτοιο εἶναι τὸ φρόνημα αὐτῶν ποὺ δὲν τρέφουν καμιὰ ἐλπίδα γιὰ τὰ πράγματα τῆς μέλλουσας ζωῆς. Ἀλλ' ἐδῶ μοῦ ἔρχεται ν' ἀναστενάξω, διότι πολλοὶ καὶ ἀπὸ αὐτοὺς ποὺ ἐλπίζουν γιὰ τὰ μελλοντικὰ πράγματα, μιμοῦνται, ὡς πρὸς αὐτό, ἐκείνους ποὺ δὲν ἐλπίζουν τίποτε γιὰ τὰ μελλοντικὰ πράγματα, οἰκοδομώντας τάφους, κατασκευάζοντας λαμπρὰ μνημεῖα, κρύβοντας χρυσάφι μέσα στὴ γῆ καὶ κληροδοτώντας τὴν περιουσία τους σὲ ἄλλους, καὶ ἔτσι γίνονται ὡς πρὸς αὐτὰ χειρότεροι ἀπὸ ἐκείνους. Διότι ἐκεῖνος μὲν μὴ περιμένοντας τίποτε μετὰ τὴν ἐδῶ ζωή, ἂν καὶ αὐτὸς τὸ κάνει αὐτὸ τελείως ἀνόητα, ἀλλ' ὅμως ἐπειδὴ δὲν περιμένει τίποτε, συγκεντρώνει ὅλη τὴν προσπάθειά του στὰ πράγματα τῆς παρούσας ζωῆς, ἐνῶ σύ, ἄνθρωπε, ποὺ γνωρίζεις τὴ μέλλουσα ζωὴ καὶ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, σύμφωνα μὲ τὰ εὐαγγελικὰ ἐκεῖνα λόγια, ὅτι «Τότε οἱ δίκαιοι θὰ λάμψουν ὅπως ὁ ἥλιος»[31], ποιὰ συγγνώμη θὰ μποροῦσες νὰ ἔχεις; ποιὰ ἀπολογία; ποιὰ τιμωρία θὰ ἦταν δυνατὸ νὰ μὴ ὑποστεῖς δίκαια, ὅταν ὅλα τὰ κατασπαταλᾶς ἐδῶ στὴ σκόνη, στὴ στάχτη, στὰ νεκρικὰ μνημεῖα, στοὺς ἀντιπάλους σου, στοὺς ἐχθρούς σου;

«Ἔγραψαν τὰ ὀνόματά τους ἐπάνω στὰ κτήματά τους». Νὰ καὶ ἄλλο εἶδος ἀνοησίας· τὸ νὰ τοποθετοῦν τὰ ὀνόματά τους ἐπάνω στὰ οἰκοδομήματα, στοὺς ἀγρούς, στὰ λουτρά, καὶ νὰ νομίζουν ὅτι ἀπὸ ἐδῶ ἀπολαμβάνουν πάρα πολὺ μεγάλη παρηγορία καὶ νὰ ἐπιδιώκουν τὴ σκιὰ ἀντὶ τῆς ἀληθείας. Διότι, ἂν ἐπιθυμεῖς νὰ μνημονεύεσαι αἰώνια, μὴ τοποθετεῖς, ἄνθρωπε, ὀνόματα στὰ οἰκοδομήματα, ἀλλὰ ὕψωσε τρόπαια κατορθωμάτων, ποὺ καὶ στὴν παροῦσα ζωὴ διατηροῦν τὸ ὄνομά σου καὶ πρὸς τὴ μέλ-

ἐπιθυμεῖς, ἐγώ σε διδάσκω τὴν ἀληθῆ καὶ σαφεστάτην ὁδόν· ἀρετῆς ἐπιμελοῦ. Οὐδὲν γὰρ οὕτως ἀθάνατον ὄνομα ποιεῖ, ὡς ἀρετῆς φύσις. Καὶ τοῦτο δηλοῦσιν οἱ μάρτυρες, δηλοῖ τῶν ἀποστόλων τὰ λείψανα, δηλοῖ τῶν ἐν ἀρετῇ βεβιωκότων ἡ μνήμη. Πόσοι βασιλεῖς πόλεις ἀνέστησαν, λιμένας κατεσκεύασαν, καὶ τὰ ὀνόματα ἐπιθέντες ἀπῆλθον; ἀλλ' οὐδὲν ἀπώναντο, ἀλλὰ σεσίγηνται καὶ λήθῃ παραδέδονται. Ὁ δὲ ἁλιεὺς Πέτρος οὐδὲν τούτων ἐργασάμενος, ἐπειδὴ ἀρετὴν μετῆλθε, καὶ τὴν βασιλικωτάτην κατέλαβε πόλιν, ὑπὲρ τὸν ἥλιον λάμπει καὶ μετὰ τελευτήν. Ὃ δὲ σὺ ποιεῖς, καταγέλαστον καὶ αἰσχύνης γέμον. Οὐ γὰρ μόνον σε λαμπρὸν ταῦτα οὐκ ἐργάσεται τὰ μνημεῖα, ἀλλὰ καὶ καταγέλαστον καὶ τὰ πάντων ἀνοίξει στόματα. Αἱ γὰρ οἰκοδομαὶ τῷ χρόνῳ δυναμένην σου τὴν πλεονεξίαν λήθῃ παραδοθῆναι, ὥσπερ στῆλαι καὶ τρόπαιά σου τῆς πλεονεξίας ἑστήκασι πανταχοῦ.

«Καὶ ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς». Ἐνταῦθα μοι λοιπὸν ἀποδύεσθαι ὁ προφήτης δοκεῖ, ὅτι τὸ ζῶον τὸ λογικόν, τὸ καὶ τὴν βασιλείαν τὴν ἐπὶ γῆς ἐγχειρισθέν, πρὸς τὴν τῶν ἀλόγων εὐτέλειαν ἐξέκλινε, ματαιοπονοῦν, ἐναντία τῇ σωτηρίᾳ τῇ ἑαυτοῦ κατασκευάζον, κενοδοξίαν διῶκον, πλεονεξίαν μετιόν, ἀνήνυτα πονοῦν. Τιμὴ γὰρ ἀνθρώπου ἀρετή, καὶ τὸ περὶ τῶν μελλόντων φιλοσοφεῖν, καὶ πρὸς ἐκείνην τὴν ζωὴν ἅπαντα πραγματεύεσθαι, καὶ τὸ τῶν παρόντων ὑπερορᾶν. Ἡ μὲν γὰρ

λουσα ζωὴ ἑτοιμάζουν ἀθάνατη τὴν ἀνάπαυσή σου. Ἂν ποθεῖς καὶ ἐπιθυμεῖς νὰ μνημονεύεσαι, ἐγὼ σὲ διδάσκω τὴν ἀληθινὴ καὶ καθαρώτατη ὁδό· φρόντιζε ν' ἀσκεῖς τὴν ἀρετή. Διότι τίποτε δὲν κάμνει τόσο ἀθάνατο τὸ ὄνομα, ὅσο ἡ φύση τῆς ἀρετῆς. Καὶ αὐτὸ τὸ φανερώνουν οἱ μάρτυρες, τὸ φανερώνουν τὰ λείψανα τῶν ἀποστόλων, τὸ φανερώνει ἡ μνήμη ἐκείνων ποὺ ἔζησαν ἀσκώντας τὴν ἀρετή. Πόσοι βασιλεῖς ἔκτισαν πόλεις, κατασκεύασαν λιμένες καὶ ἔφυγαν ἀπ' αὐτὴ τὴ ζωὴ ἀφοῦ ἔγραψαν ἐπάνω σ' αὐτὰ τὰ ὀνόματά τους; καὶ ὅμως σὲ τίποτε δὲν ὠφελήθηκαν, ἀλλ' ἀποσιωπήθηκαν καὶ λησμονήθηκαν. Ἀντίθετα ὁ ψαρὰς Πέτρος, ἂν καὶ τίποτε ἀπὸ αὐτὰ δὲν ἔκανε, ἐπειδὴ ἄσκησε τὴν ἀρετή, καὶ τὴν βασιλικώτατη πόλη κατέλαβε, καὶ λάμπει περισσότερο ἀπὸ τὸν ἥλιο μετὰ τὸ θάνατό του. Ἐνῶ αὐτὸ ποὺ κάνεις σὺ εἶναι ἄξιο γιὰ γέλια καὶ γεμάτο ἀπὸ ντροπή. Διότι ὄχι μόνο αὐτὰ τὰ μνημεῖα δὲν θὰ σὲ κάνουν λαμπρό, ἀλλὰ καὶ καταγέλαστο θὰ σὲ κάνουν καὶ θ' ἀνοίξουν τὰ στόματα ὅλων. Καθόσον οἱ οἰκοδομές, ἐνῶ μὲ τὸ πέρασμα τοῦ χρόνου εἶναι δυνατὸ νὰ λησμονηθεῖ ἡ πλεονεξία σου, στέκονται παντοῦ σὰν στῆλες καὶ τρόπαια τῆς πλεονεξίας σου.

«Καὶ ὁ ἄνθρωπος, ἐνῶ περιβλήθηκε μὲ τιμὴ καὶ ἀξία, δὲν τὸ ἀντιλήφθηκε· ἐξίσωσε τὸν ἑαυτό του μὲ τὰ ἀνόητα κτήνη καὶ ἔγινε ὅμοιος μὲ αὐτά». Ἐδῶ μοῦ φαίνεται πλέον ὅτι ὁ προφήτης θρηνεῖ, διότι τὸ λογικὸ ζῶο, στὸ ὁποῖο παραδόθηκε ἡ ἐπίγεια βασιλεία, ξέκλινε πρὸς τὴν εὐτέλεια τῶν ἀλόγων ζώων, μὲ τὸ νὰ καταγίνεται μὲ ματαίους κόπους, νὰ κάμνει πράγματα ἀντίθετα μὲ τὴ σωτηρία του, νὰ ἐπιδιώκει τὴν κενοδοξία, νὰ φροντίζει νὰ πλουτεῖ καὶ νὰ κοπιάζει ἀσταμάτητα. Διότι τιμὴ καὶ δόξα τοῦ ἀνθρώπου εἶναι ἡ ἀρετή, τὸ ν' ἀσχολεῖται μὲ τὰ μελλοντικὰ πράγματα, τὸ νὰ κάμνει ὅλα ἐκεῖνα ποὺ θὰ τὸν φέρουν πρὸς ἐκείνη τὴ ζωὴ καὶ τὸ νὰ περιφρονεῖ τὰ πράγματα τῆς παρούσας ζωῆς. Καθόσον ἡ μὲν ζωὴ τῶν ἀλόγων

τῶν ἀλόγων ζωὴ μέχρι τοῦ παρόντος συγκέκλεισται βίου, ἡ δὲ ἡμετέρα πρὸς ἑτέραν ὁδεύει βελτίω καὶ τέλος οὐκ ἔχουσαν. Ἀλλ' οὗτοι οἱ περὶ τῶν μελλόντων οὐδὲν εἰδότες, τῶν ἀλόγων χείρους εἰσίν· οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ οἱ βίῳ διεφθαρμένῳ συζῶντες, ὄφεις γινόμενοι καὶ σκορπίοι καὶ λύκοι διὰ τῆς πονηρίας, καὶ βόες διὰ τῆς ἀνοίας, καὶ κύνες διὰ τῆς ἀναισχυντίας.

6. Τί γὰρ ἀνοητότερον, εἰπέ μοι, τῶν περὶ τάφους καὶ μνήματα ἀσχολουμένων, καὶ πρὸς ὀνομάτων προσηγορίας ἑτέρων κεχηνότων; Οὐδὲν γὰρ μνήμην ποιεῖ, ἀλλ' ἀρετὴ μόνη, οὐκ οἰκία, οὐκ ἀνδριάς, οὐ παιδία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Ἡ μὲν γὰρ τῆς τέκτονος σοφίας ἐστὶν ἔργον, ὁ δὲ τῆς τοῦ ἀνδριαντοποιοῦ, τὸ δὲ τῆς φύσεως ἔργον· σοῦ δὲ οὐδαμοῦ μνήμη. Διὰ δὴ τοῦτο ἄλογον αὐτὸν ὁ προφήτης καλεῖ· ἐπειδὴ πρὸς τὸν τῆς ἀνοίας ὑποθεὶς ζυγὸν ἑαυτόν, ἄγεται τοῦ ἀλόγου χεῖρον. Ἐκεῖνο μὲν γὰρ χρήσιμον, καὶ πρὸς γεωργίαν ἐπιτήδειον, οὗτος δὲ τῇ ἀνοίᾳ ἑαυτὸν ὑποβαλών, καὶ ἐκείνου χείρων γέγονε κατὰ τοῦτο. Ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω τὸ παχὺ τῆς διανοίας αὐτῶν, τὸ γεῶδες, τὸ χαμαίζηλον, τὸν ἀνόνητον περὶ τὰ χρήματα πόνον, αὐξῆσαι βουλόμενος καὶ τὴν κατηγορίαν τῶν τοιούτων, καὶ τὰς παρὰ τοῦ Θεοῦ τίθησιν εὐεργεσίας, ὅπερ πολλαχοῦ ποιεῖν εἰώθασιν οἱ προφῆται. Ἐπεὶ καὶ ὁ Ἡσαΐας μέλλων αὐτῶν κατηγορεῖν, πρῶτον λέγει τὴν παρὰ τοῦ Θεοῦ τιμὴν εἰς τοὺς Ἰουδαίους γεγενημένην, οὕτω γράφων· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν». Καὶ ἐνταῦθα τοίνυν διὰ μιᾶς λέξεως τὰ ὑπηργμένα

32. Ἡσ. 1, 2.

ζώων περιορίζεται μόνο στὴν παροῦσα ζωή, ἐνῶ ἡ δική μας ζωὴ βαδίζει πρὸς ἄλλη καλύτερη καὶ ποὺ δὲν ἔχει τέλος. Ἀλλ᾽ αὐτοὶ ποὺ δὲν γνωρίζουν τίποτε γιὰ τὰ μελλοντικὰ ἀγαθά, εἶναι χειρότεροι ἀπὸ τὰ ἄλογα ζῶα· καὶ ὄχι μόνο αὐτοί, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ κάμνουν διεφθαρμένη ζωή, ποὺ γίνονται φίδια καὶ σκορπιοὶ καὶ λύκοι μὲ τὴν κακία τους, βόδια μὲ τὴν ἀνοησία τους, καὶ σκύλοι μὲ τὴν ἀδιαντροπιά τους.

6. Διότι πές μου, τί πιὸ ἀνόητο ὑπάρχει ἀπὸ ἐκείνους ποὺ ἀσχολοῦνται μὲ τοὺς τάφους καὶ τὰ μνήματα καὶ γοητεύονται ἀπὸ τὸ νὰ χαρίζουν τὸ ὄνομά τους σὲ ἄλλα μνημεῖα; Καθόσον τίποτε ἄλλο δὲν γίνεται αἰτία νὰ μνημονεύεται κανείς, οὔτε ἡ οἰκία, οὔτε ὁ ἀνδριάντας, οὔτε τὰ παιδιά, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια, παρὰ μόνο ἡ ἀρετή. Διότι ἡ μὲν οἰκία εἶναι ἔργο τῆς σοφίας τοῦ ἀρχιτέκτονα, ὁ ἀνδριάντας αὐτοῦ ποὺ κατασκευάζει ἀνδριάντες, τὰ δὲ παιδιὰ εἶναι ἔργο τῆς φύσεως, ἐνῶ σὺ πουθενὰ δὲν ἀναφέρεσαι. Γι᾽ αὐτὸ λοιπὸν αὐτὸν τὸν ὀνομάζει ὁ προφήτης ἄλογο· ἐπειδὴ συμπεριφέρεται χειρότερα ἀπὸ τὸ ἄλογο ζῶο, ἀφοῦ ἔθεσε τὸν ἑαυτό του κάτω ἀπὸ τὸ ζυγὸ τῆς ἀνοησίας. Διότι τὸ μὲν ζῶο εἶναι χρήσιμο καὶ κατάλληλο γιὰ τὴ γεωργία, ἐνῶ αὐτός, ἀφοῦ ἔθεσε τὸν ἑαυτό του κάτω ἀπὸ τὴν ἀνοησία, ἔγινε ὡς πρὸς αὐτὸ χειρότερος καὶ ἀπὸ ἐκεῖνο. Ἐπειδὴ δηλαδὴ μίλησε προηγουμένως γιὰ τὰ ὑλιστικὰ φρονήματά τους, γιὰ τὴν προσκόλλησή τους στὰ γήϊνα, γιὰ τὶς εὐτελεῖς ἐπιδιώξεις τους, τὸν ἀνώφελο κόπο τους γιὰ τὰ χρήματα, θέλοντας νὰ αὐξήσει καὶ τὴν κατηγορία γι᾽ αὐτοὺς τοὺς ἀνθρώπους, ἀναφέρει καὶ τὶς εὐεργεσίες ἐκ μέρους τοῦ Θεοῦ, πράγμα ποὺ συνηθίζουν οἱ προφῆτες νὰ κάνουν σὲ πολλὲς περιπτώσεις. Διότι καὶ ὁ Ἡσαΐας, θέλοντας νὰ τοὺς κατηγορήσει, πρῶτα ἀναφέρει τὴν τιμὴ ποὺ δόθηκε ἀπὸ τὸ Θεὸ στοὺς Ἰουδαίους, γράφοντας τὰ ἑξῆς· «Υἱοὺς ἐγέννησα καὶ τοὺς ὕψωσα σὲ μεγάλη τιμή, ὅμως αὐτοὶ μὲ περιφρόνησαν»[12]. Καὶ ἐδῶ

*τῷ γένει τῶν ἀνθρώπων παρὰ Θεοῦ δηλῶν, «Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε», φησί.*

*Καὶ ποίαν λέγει τιμήν; Ἄκουσον αὐτοῦ ἐν ἑτέρῳ ψαλμῷ λέγοντος· «Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν». Εἶτα ἐξηγούμενος τὴν τιμήν, ἐπάγει· «Πάντα ὑπέταξας ὑποκάτω ποδῶν αὐτοῦ, πρόβατα, καὶ βόας ἁπάσας· ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου· τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν». Καὶ γὰρ μεγίστη τοῦτο τιμή, τὸ πάντων τῶν ὁρωμένων αὐτῷ τὰ σκῆπτρα ἐπιτρέψαι, καὶ ταῦτα μηδέπω κατωρθωκότι μηδέν. Οὐδέπω γὰρ αὐτὸν πλάσας, ἔλεγε· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν ἡμετέραν».*

*Εἶτα ἑρμηνεύων τό, «Κατ' εἰκόνα», ἐπήγαγε, «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ». Καὶ τὸν βραχὺν τοῦτον καὶ τρίπηχυν καὶ τοσούτῳ τῶν ἀλόγων ἐλάττονα κατὰ τὴν τοῦ σώματος ἰσχύν, τῇ τοῦ λόγου συγγενείᾳ ὑψηλότερον πάντων ἐποίησε, λογικὴν ψυχὴν αὐτῷ χαρισάμενος, ὅπερ ἐστὶ μάλιστα τιμῆς τεκμήριον. Διὰ γὰρ τούτου καὶ πόλεις ᾠκοδόμησε καὶ θάλασσαν ἔτεμε καὶ γῆν ἐκαλλώπισε καὶ τέχνας μυρίας ἐξεῦρε καὶ τῶν ἀγριωτέρων ἀλόγων περιεγένετο, καὶ τὸ δὴ πάντων μέγιστον καὶ πρῶτον, τὸν ποιήσαντα αὐτὸν ἐπέγνω Θεόν, καὶ πρὸς ἀρετὴν ἐχειραγωγήθη, καὶ ἔγνω τί μὲν καλόν, τί δὲ οὐ τοιοῦτον. Θεῷ προσεύχεται τῶν ὁρωμένων μόνος, ἀποκαλύψεων ἀπέλαυσε, καὶ τοῦτο μόνος πάλιν· πολλὰ τῶν ἀπορρήτων ἔγνω, τὰ ἐν τοῖς οὐρανοῖς ἐπαιδεύθη, δι' αὐτὸν γῆ.*

---

33. Ψαλμ. 8, 6.
34. Αὐτόθι 7 - 9.
35. Γεν. 1, 26.
36. Αὐτόθι 27.

λοιπὸν δηλώνοντας μὲ μιὰ λέξη ἐκεῖνα ποὺ ἀπὸ τὴν ἀρχὴ δόθηκαν ἀπὸ τό Θεὸ στὸ γένος τῶν ἀνθρώπων, λέγει «Ὁ ἄνθρωπος, ἐνῶ περιβλήθηκε μὲ τιμὴ καὶ ἀξία, δὲν τὸ κατενόησε».

Καὶ ποιὰ τιμὴ ἐννοεῖ; Ἄκουσε αὐτὸν ποὺ λέγει σ' ἄλλο ψαλμό· «Ἔπλασες τὸν ἄνθρωπο λίγο πιὸ κατώτερο ἀπὸ τοὺς ἀγγέλους, καὶ τὸν στεφάνωσες μὲ δόξα καὶ τιμή»[33]. Ἔπειτα, ἐξηγώντας τὴν τιμή, προσθέτει· «Ὅλα τὰ ὑπέταξες κάτω ἀπὸ τὰ πόδια του, πρόβατα, ὅλα τὰ βόδια, ἀκόμη δὲ καὶ τὰ ἄγρια ζῶα τοῦ ἀγροῦ, τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ ψάρια τῆς θάλασσας, ποὺ διασχίζουν τὶς θάλασσες»[34]. Καθόσον αὐτὸ εἶναι ἡ πιὸ μεγάλη τιμή, τὸ ὅτι παρέδωσε τὰ σκῆπτρα ὅλων τῶν ὁρατῶν πραγμάτων στὸν ἄνθρωπο, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ ἀκόμη δὲν εἶχε κατορθώσει τίποτε. Διότι πρὶν ἀκόμη τόν πλάσει, ἔλεγε· «Ἂς δημιουργήσουμε ἄνθρωπο σύμφωνα μὲ τή δική μας εἰκόνα καὶ ὁμοίωση»[35].

Ἔπειτα ἑρμηνεύοντας τὸ «Κατ' εἰκόνα», πρόσθεσε· «Καὶ ἂς ἐξουσιάζουν τά ψάρια τῆς θάλασσας, τὰ θηρία τῆς γῆς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ»[36]. Καὶ αὐτὸν τὸν μικρόσωμο ποὺ ἔχει μῆκος τρεῖς πήχεις καὶ ποὺ τόσο μικρότερη εἶναι ἡ σωματικὴ δύναμή του ἔναντι τῶν ἀλόγων ζώων, τὸν ἔκαμε ἀνώτερο ἀπὸ ὅλα μὲ τὴ συγγένεια τοῦ λόγου, ἀφοῦ τοῦ χάρισε λογικὴ ψυχή, πράγμα ποὺ εἶναι ἡ κατ' ἐξοχὴ ἀπόδειξη τιμῆς. Διότι μὲ τὸ λογικὸ καὶ πόλεις ἀνοικοδόμησε καὶ τὴ θάλασσα διέσχισε καὶ τὴ γῆ καλλώπισε καὶ τέχνες ἀμέτρητες ἐξεῦρε καὶ ὑπερίσχυσε τῶν ἀγριωτέρων ἀλόγων ζώων, καὶ τὸ μέγιστο καὶ τὸ πρῶτο ἀπὸ ὅλα βέβαια εἶναι τὸ ὅτι γνώρισε τό Θεό ποὺ τὸν δημιούργησε, καὶ καθοδηγήθηκε πρὸς τὴν ἄσκηση τῆς ἀρετῆς, καὶ γνώρισε τί μὲν εἶναι καλό, τί δὲ δὲν εἶναι. Αὐτὸς μόνο ἀπὸ ὅλα τὰ ὁρατὰ δημιουργήματα προσεύχεται στὸ Θεό, ἀπήλαυσε ἀποκαλύψεις, καὶ αὐτό πάλι μόνος· πολλὰ ἀπὸ τὰ ἀπόρρητα γνώρισε, διδάχθηκε τά οὐράνια μυστήρια, γι'

δι' αὐτὸν οὐρανός, δι' αὐτὸν ἥλιος καὶ ἀστέρες· δι' αὐτὸν σελήνης δρόμοι, καὶ ὡρῶν καὶ τροπῶν διαφοραί· δι' αὐτὸν καρπῶν γενέσεις, καὶ φυτά, καὶ ἀλόγων γένη τοσαῦτα· δι' αὐτὸν ἡμέρα καὶ νύξ· δι' αὐτὸν ἀπόστολοι καὶ προφῆται ἐπέμφθησαν, δι' αὐτὸν ἄγγελοι πολλάκις ἀπεστάλησαν.

Τί δεῖ τὰ πολλὰ λέγειν; Οὐδὲ γὰρ δυνατὸν ἅπαντα ἐπελθεῖν. Δι' αὐτὸν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε καὶ ἐσταυρώθη καὶ ἐτάφη καὶ τὰ φρικώδη θαύματα ἐκεῖνα μετὰ τὴν ἀνάστασιν δι' αὐτὸν γέγονε. Δι' αὐτὸν νόμος, δι' αὐτὸν ὁ παράδεισος, δι' αὐτὸν ὁ κατακλυσμός. Καὶ γὰρ καὶ τοῦτο μέγιστον τιμῆς εἶδος, τὸ καὶ δι' εὐεργεσίας καὶ τιμωρίας αὐτὸν διορθοῦν. Δι' αὐτὸν μυρίαι κατὰ τὸν ἔμπροσθεν χρόνον ἅπαντα οἰκονομίαι. Καὶ αὐτὴ δὲ ἡ κρίσις ἡ μέλλουσα ἔσεσθαι τῆς εἰς αὐτὸν τιμῆς ἕνεκα γίνεται. Διὸ καὶ ὁ Ἰὼβ φησι· «Τί ἐστιν ἄνθρωπος, ὅτι ἤγαγες αὐτὸν εἰς κρίσιν», ὥσπερ ἀλλαχοῦ ὁ αὐτὸς ψαλμῳδὸς οὗτός φησι· «Τί ἐστιν ἄνθρωπος, ὅτι ἐμνήσθης αὐτοῦ;». Δι' αὐτὸν πάλιν ὁ Μονογενὴς ἥξει τὰ μυρία διδοὺς ἀγαθά. Τὰ μὲν γὰρ ἔδωκεν ἤδη διὰ τοῦ βαπτίσματος, καὶ τῶν μυστηρίων, καὶ τῆς ἄλλης μυσταγωγίας παρασχεθέντα ἀγαθά, καὶ θαυμάτων ἑτέρων τὴν γῆν ἐνέπλησε· τὰ δὲ ὑπέσχετο δώσειν, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν ζωὴν τὴν αἰώνιον, καὶ κληρονόμους αὐτοῦ ποιήσειν, καὶ παρασκευάζειν συμβασιλεύειν αὐτῷ. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν».

Ταῦτ' οὖν ἅπαντα λογιζόμενος ὁ προφήτης, εἰκότως ἀλόγοις παραβάλλει τοὺς τὴν τοσαύτην εὐγένειαν τῇ κακίᾳ παρα-

37. Ἰὼβ 14, 3.
38. Ψαλμ. 8, 5.
39. Β΄ Τιμ. 2, 12.

αὐτόν ἔγινε ἡ γῆ, γι' αὐτόν ὁ οὐρανός, γι' αὐτὸν ὁ ἥλιος καὶ τὰ ἀστέρια· γι' αὐτόν οἱ κινήσεις τῆς σελήνης καὶ οἱ ἐναλλαγές τῶν ὡρῶν καὶ τῶν ἐποχῶν· γι' αὐτὸν ἡ δημιουργία τῶν καρπῶν, γι' αὐτόν τὰ φυτὰ καὶ τὰ τόσα πολλὰ γένη τῶν ἀλόγων ζώων· γι' αὐτὸν ἡ μέρα καὶ ἡ νύχτα· γι' αὐτὸν στάλθηκαν ἀπόστολοι καὶ προφῆτες, γι' αὐτὸν στάλθηκαν πολλὲς φορὲς ἄγγελοι.

Γιατί χρειάζεται ν' ἀναφέρουμε τόσα πολλά; Διότι δὲν εἶναι δυνατὸ ὅλα νὰ τ' ἀναφέρουμε. Γι' αὐτόν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἔγινε ἄνθρωπος καὶ σταυρώθηκε καὶ τάφηκε καὶ γι' αὐτὸν ἔγιναν τὰ φρικώδη ἐκεῖνα θαύματα μετὰ τὴν ἀνάσταση. Γι' αὐτὸν δόθηκε ὁ νόμος, γι' αὐτὸν ὁ παράδεισος, γι' αὐτὸν ἔγινε ὁ κατακλυσμός. Καθόσον καὶ αὐτὸ εἶναι μέγιστο εἶδος τιμῆς, τὸ νὰ διορθώνει αὐτόν καὶ μὲ τὴν εὐεργεσία καὶ μὲ τὴν τιμωρία. Γι' αὐτὸν καθ' ὅλο τὸν προηγούμενο χρόνο ἐφαρμόσθηκαν ἀμέτρητοι τρόποι συγκαταβάσεως. Καὶ αὐτὴ δὲ ἡ κρίση ποὺ πρόκειται νὰ γίνει στὸ μέλλον γίνεται ἐξ αἰτίας τῆς τιμῆς πρὸς αὐτόν. Γι' αὐτὸ καὶ ὁ Ἰὼβ λέγει· «Τί εἶναι ὁ ἄνθρωπος, ποὺ τὸν ὁδήγησες στὴν κρίση;»[37]· ὅπως ἀκριβῶς σὲ ἄλλο μέρος ὁ ἴδιος αὐτὸς ὁ ψαλμωδός λέγει· «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ ἐνθυμεῖσαι αὐτόν;»[38]. Γι' αὐτόν πάλι θὰ ἔλθει ὁ Μονογενὴς γιὰ νὰ τοῦ χαρίσει τὰ ἀμέτρητα ἀγαθά. Διότι ἄλλα μὲν τὰ ἔδωσε ἤδη μὲ τὸ βάπτισμα καὶ τὰ μυστήρια καὶ μὲ ὅλη τὴν ἄλλη μυσταγωγία χάρισε πολλὰ ἀγαθά, καὶ γέμισε τὴ γῆ καὶ μὲ ἄλλα θαύματα· ἄλλα ὅμως ὑποσχέθηκε νὰ τὰ δώσει, ὅπως τὴ βασιλεία τῶν οὐρανῶν, τὴν αἰώνια ζωή, καὶ ὅτι θὰ μᾶς κάνει κληρονόμους καὶ θὰ μᾶς ἑτοιμάσει νὰ βασιλεύσουμε μαζί του. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ἂν δείχνουμε ὑπομονή, θὰ συμβασιλεύσουμε μαζί του»[39].

Σκεπτόμενος λοιπὸν ὅλα αὐτὰ ὁ προφήτης, πολὺ εὔλογα συγκρίνει μὲ τὰ ἄλογα ζῶα αὐτούς ποὺ παρέδωσαν στὴν κακία τὴν τόσο μεγάλη εὐγένειά τους καὶ παραδό-

*δεδωκότας καὶ πρὸς τὰ ἐκείνων αὐτομολήσαντας πάθη. Ποιοῦσι δὲ αὐτὰ καὶ ἕτεροι πολλαχοῦ προφῆται, τῇ συγκρίσει τὸν ἀναίσχυντον ἀκροατὴν ἐντρέψαι βουλόμενοι. Καὶ ὁ μέν φησιν, «Ἵπποι θηλυμανεῖς ἐγένοντο», ὁ δέ, «Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ», χαλεπώτερον τοῦ Δαυὶδ οὕτω λέγων. Ὁ μὲν γὰρ Δαυίδ φησι, «Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς», ἐκεῖνος δέ, ὅτι καὶ τούτων ἀλογώτεροι γεγόνασιν· ἐκεῖνα γὰρ ἔγνω τὸν κτησάμενον, Ἰσραὴλ δέ με οὐκ ἔγνω φησί.*

7. *Καὶ ἀλλαχοῦ δὲ ἕτερός τις σοφὸς ἀνὴρ χείρονα δεικνὺς καὶ μυρμήκων τὸν νωθῆ καὶ ἀναπεπτωκότα καὶ ὑπὸ ἀργίας διαφθειρόμενον, ἐκεῖ πέμπει μαθησόμενον φιλοπονεῖν, «Ἴθι», λέγων, «πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ». Ἐκεῖνος γάρ, γεωργίου μὴ ὑπάρχοντος αὐτῷ, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφήν, καὶ πολλὴν ποιεῖται ἐν τῷ ἀμήτῳ τὴν παράθεσιν. Καὶ πρὸς τὴν μέλιτταν πάλιν ἰέναι κελεύει· «Πορεύθητι πρὸς τὴν μέλιτταν, καὶ μάθε ὡς ἐργάτις ἐστίν· ἀρχὴ γὰρ γλυκυσμάτων ὁ καρπὸς αὐτῆς, ἧς τοὺς πόνους βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται». Ἕτερος δέ φησιν· «Οἱ ἄρχοντές σου ὡς λύκοι τῆς Ἀραβίας». Καὶ ἄλλος, «Ἐκάθισας ἐν τῇ ἐρήμῳ, ὡς κορώνη». Ὁ δὲ τοῦ Ζαχαρίου, «Ὄφεις, γεννήματα ἐχιδνῶν», λέγει, «τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;». Καὶ ἄλλος δὲ πάλιν· «Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν». Ἀλλαχοῦ δὲ ὁ αὐτὸς οὗτος προφήτης φησί· «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν». Καὶ πάλιν· «Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως». Τοιοῦτον γὰρ ἡ κακία· τὸν το-*

---

40. Ἱερ. 5, 8.
41. Ἠσ. 1, 3.
42. Ψαλμ. 48, 13.
43. Παροιμ. 6, 6 ἑ.
44. Ἐκκλ. 11, 3.
45. Σοφον. 3, 3.
46. Ἱερ. 3, 2.
47. Ματθ. 3, 7.
48. Ἠσ. 59, 5.
49. Ψολμ. 139, 4.
50. Ψαλμ. 57, 5.

θηκαν στὰ πάθη τῶν ἀλόγων ζώων. Αὐτὸ τὸ κάνουν καὶ ἄλλοι προφῆτες σὲ πολλὲς περιπτώσεις, θέλοντας μὲ τὴ σύγκριση νὰ στρέψουν τὸ ἐνδιαφέρον τοῦ ἀδιάντροπου ἀκροατῆ πρὸς τὴν ἀρετή. Καὶ ὁ μὲν ἕνας λέγει «Ἔγιναν ἵπποι θηλυμανεῖς»[40], ὁ δὲ ἄλλος, «Γνώρισε τὸ βόδι τὸν κύριό του καὶ ὁ ὄνος τὴ φάτνη ποὺ τοῦ ἔκαμε ὁ κύριός του»[41], μιλώντας ἔτσι σκληρότερα ἀπὸ τὸ Δαυίδ. Διότι ὁ μὲν Δαυὶδ λέγει, «Ἐξίσωσε τὸν ἑαυτό του μὲ τὰ ἀνόητα κτήνη καὶ ἔγινε ὅμοιος μ' αὐτά»[42], ἐνῶ ἐκεῖνος λέγει ὅτι ἔγιναν πιὸ ζῶα ἀπ' αὐτά· καθόσον τὰ μὲν ζῶα γνώρισαν τὸν κύριό τους, ἐνῶ ὁ Ἰσραήλ, λέγει, δὲν τὸν γνώρισε.

7. Καὶ ἀλλοῦ δὲ κάποιος ἄλλος σοφὸς ἄνδρας γιὰ νὰ δείξει χειρότερο καὶ ἀπὸ τὰ μυρμήγκια τὸν ἀδιάφορο, τὸν κυλιόμενο μέσα στὴν ἁμαρτία καὶ καταστρεφόμενο ἀπὸ τὴν ὀκνηρία του ἄνθρωπο, ἐκεῖ τὸν παραπέμπει γιὰ νὰ μάθει νὰ εἶναι φιλόπονος, λέγοντας, «Πήγαινε πρὸς τὸ μυρμήγκι, ὀκνηρέ, καὶ ζήλεψε τὸν τρόπο ἐργασίας του»[43]. Διότι τὸ μυρμήγκι, χωρὶς νὰ ἔχει χωράφι, χωρὶς νὰ ἔχει κάποιον νὰ τὸ ἐξαναγκάζει καὶ χωρὶς νὰ εἶναι ὑπὸ τὴν ἐξουσία κυρίου, ἑτοιμάζει τὴν τροφή του κατὰ τὸ θέρος καὶ κάμνει μεγάλη ἐναποθήκευση κατὰ τὸ θερισμό. Ἀλλὰ καὶ πρὸς τὴ μέλισσα πάλι προτρέπει νὰ μεταβεῖ· «Πήγαινε πρὸς τὴ μέλισσα καὶ μάθε, ὅτι εἶναι ἐργάτρια· διότι ἡ βάση τῶν γλυκισμάτων εἶναι ὁ καρπός της, τοὺς κόπους τῆς ὁποίας καρποῦνται οἱ βασιλεῖς καὶ οἱ ἰδιῶτες γιὰ χάρη τῆς ὑγείας τους»[44]. Ἄλλος δὲ λέγει· «Οἱ ἄρχοντές σου μοιάζουν μὲ λύκους τῆς Ἀραβίας»[45]. Καὶ ἄλλος· «Κάθισες στὴν ἔρημο σὰν κουρούνα»[46]. Ὁ δὲ υἱὸς τοῦ Ζαχαρία λέγει· «Φίδια, γεννήματα τῶν ἐχιδνῶν, ποιὸς σᾶς ὑπέδειξε ν' ἀποφύγετε τὴ μέλλουσα ὀργή;»[47]. Καὶ ἄλλος δὲ πάλι λέγει· «Κατέστρεψαν τὰ αὐγὰ τῶν ἀσπίδων καὶ ὑφαίνουν τὸν ἱστὸ τῆς ἀράχνης»[48]. Ἀλλοῦ δὲ ὁ ἴδιος αὐτὸς ὁ προφήτης λέγει· «Δηλητήριο ἀσπίδων βρίσκεται κάτω ἀπὸ τὰ χείλη τους»[49]. Καὶ πάλι· «Ὁ θυμός τους μοιάζει μὲ τοῦ φιδιοῦ»[50]. Διότι

σοῦτον καὶ τηλικοῦτον καὶ τοσαῦτα διαδήματα ἔχοντα, πρὸς τὴν τῶν ἀλόγων καταβάλλει δυσγένειαν. Διὸ καὶ ἐν τῷ παρόντι ψαλμῷ δύο κακίας ἐπιλεξάμενος εἴδη, καὶ τὰ ἄλλα τοὺς ἀκροατὰς ἀφεὶς συλλογίζεσθαι, οὕτω στίζει τοὺς ἁλόντας. Τί γὰρ ἀνθρώπου γένοιτ' ἂν ἀλογώτερον, εἰκῇ καὶ μάτην καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς τὴν οἰκουμένην περιτρέχοντος, καὶ συνάγοντος ἄπειρα χρήματα, οὐχ ἑαυτῷ, ἀλλ' ἑτέροις ἀγνοουμένοις, πολλάκις δὲ καὶ ἐχθροῖς καὶ ἐπιβούλοις; Καὶ καλῶς εἶπε, «Καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν». Τί γὰρ ἀνοητότερον, ὅταν οὗτοι μὲν τοὺς πόνους καὶ τὰς ἁμαρτίας ὑπομένωσι τὰς ἐκ τῆς συλλογῆς, ἑτέροις δὲ τῆς ἀπολαύσεως παραχωρῶσιν;

Εἶτα μετὰ τῆς φιλοχρηματίας καὶ τὴν κενοδοξίαν εἰς μέσον ἄγων, στίζει μετὰ πολλῆς τῆς σφοδρότητος, λέγων· «Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν». Τί τούτων ἀλογώτερον πάλιν, οἳ λίθοις καὶ ξύλοις καὶ ἀψύχῳ ὕλῃ τὴν ἑαυτῶν ἐγχειρίζουσι μνήμην, καὶ τὴν οἰκείαν ἐμπιστεύουσι δόξαν; Καὶ γὰρ ὁλοκλήρους οὐσίας ἀνέτρεψαν, καὶ χήρας ἀπέδυσαν, καὶ ὀρφανοὺς ἥρπασαν, ὥστε τῷ σκώληκι λαμπρὰν ποιῆσαι τὴν οἰκίαν, καὶ τῷ σητὶ καὶ τῇ φθορᾷ λαμπροὺς οἰκοδομῆσαι περιβόλους, τῷ νομίζειν ὑπὸ τούτων ἀθάνατον ἔσεσθαι αὐτῶν τὴν μνήμην, τῶν οὐδὲ τὰ σώματα μικρὰν καιροῦ ῥοπὴν κατασχεῖν δυνηθέντων. «Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς». Ποία αὕτη ὁδός, εἰπέ μοι; Ἡ περὶ τὰ τοιαῦτα σπουδή, ἡ ματαιοπονία, ἡ πολλὴ τῶν χρημάτων μανία, ἡ ἀκόρεστος τῆς δόξης μέθη· καὶ πρὸ τῆς κολάσεως, φησί, τῆς μελλούσης ἐνταῦθα αὐτοῖς σκάνδαλον καὶ ἐμπόδιον

τέτοιο πράγμα είναι ή κακία˙ τόν τόσο σπουδαίο καί τόσο ἀνώτερο καί ἐκεῖνον πού ἔχει τιμηθεῖ μέ τόσα βασιλικά γνωρίσματα, τόν ὑποβιβάζει στήν ταπεινή καταγωγή τῶν ἀλόγων ζώων. Γι' αὐτό καί σ' αὐτόν τόν ψαλμό, ἀφοῦ διάλεξε δύο εἴδη κακίας καί ἄφησε τά ἄλλα στούς ἀκροατές νά τά συλλογισθοῦν, ἔτσι στιγματίζει ἐκείνους πού κυριεύθηκαν ἀπό τά πάθη τους. Διότι τί θά μποροῦσε νά ὑπάρξει ἀλογώτερο ἀπό τόν ἄνθρωπο πού περιτρέχει ὅλη τήν οἰκουμένη ἄσκοπα καί μάταια καί γιά κακό τῆς κεφαλῆς του καί συγκεντρώνει ἄπειρα χρήματα, ὄχι γιά τόν ἑαυτό του, ἀλλά γιά ἄλλους πού δέν τούς γνωρίζει, πολλές φορές δέ ἐχθρούς του καί συκοφάντες του; Καί πολύ καλά εἶπε. «Θά ἐγκαταλείψουν τόν πλοῦτο τους σέ ξένους. Διότι τί πιό ἀνόητο ὑπάρχει, ὅταν αὐτοί μέν ὑπομένουν τούς κόπους καί τίς ἁμαρτίες τῆς συγκεντρώσεως τοῦ πλούτου, παραχωροῦν δέ σέ ἄλλους τήν ἀπόλαυση;

Ἔπειτα ἀναφέροντας μαζί μέ τή φιλοχρηματία καί τήν κενοδοξία, τή στιγματίζει μέ μεγάλη σφοδρότητα, λέγοντας˙ «Κατέγραψαν τά ὀνόματά τους ἐπάνω στά κτήματά τους». Τί πιό παράλογο πάλι ὑπάρχει ἀπ' αὐτούς πού παραδίνουν τή μνήμη τους στούς λίθους, τά ξύλα καί τήν ἄψυχη ὕλη καί ἐμπιστεύονται σ' αὐτά τή δόξα τους; Καθόσον ὁλόκληρες περιουσίες κατέστρεψαν καί χῆρες ξεγύμνωσαν καί ὀρφανῶν τά ὑπάρχοντα ἅρπαξαν, ὥστε νά κάνουν λαμπρή τήν οἰκία γιά τά σκωλήκια καί νά οἰκοδομήσουν λαμπρούς περιβόλους γιά τό σαράκι καί τή φθορά, μέ τό νά νομίζουν ὅτι ἀπό αὐτά θά μείνει ἀθάνατη ἡ μνήμη τους, αὐτοί πού δέν μπόρεσαν οὔτε στά σώματά τους νά προσφέρουν μιά ἐλάχιστη στιγμή ἀπολαύσεως. «Αὐτός εἶναι ὁ τρόπος ζωῆς τους καί πού γίνεται σκάνδαλο γι' αὐτούς». Ποιά εἶναι «αὐτή ἡ ὁδός», πές μου; Ἡ φροντίδα γιά τά πράγματα αὐτοῦ τοῦ εἴδους, ἡ ματαιοπονία, ἡ μεγάλη μανία γιά τά χρήματα, ἡ ἀχόρταγη μέθη τῆς δόξας˙ καί πρίν ἀπό τή μέλλουσα κόλαση, λέγει, γίνεται σ' αὐτούς

*γίνεται. Οὐ μικρὸν οὖν σκάνδαλον, οὐ μικρὸν ἐμπόδιον, οὐ μικρὸν κώλυμα αὕτη ἡ ὁδὸς πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν. Διό φησιν, «Αὕτη ἡ ὁδὸς σκάνδαλον αὐτοῖς».*

*Καὶ καλῶς εἶπε σκάνδαλον αὐτοῖς τὴν ὁδόν. Ἑαυτοὺς δεσμοῦσιν, ἑαυτοὺς συμποδίζουσι. Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι. Τὸ χαλεπώτατον καὶ τῶν λοιπῶν αἴτιον τῶν κακῶν τοῦτό ἐστιν, ὅπερ εἴρηκεν. Οἱ γὰρ τοιαῦτα ἁμαρτάνοντες καὶ πλημμελοῦντες καὶ οὕτως ἀνοηταίνοντες, μακαρίζουσιν ἑαυτοὺς καὶ θαυμάζουσι, καὶ ζηλωτοὺς εἶναί φασι, καὶ ἀρέσκονται τοῖς πραττομένοις· κακία δὲ ἐπαινουμένη καὶ παρ' αὐτῶν τῶν ἐργαζομένων ἐννόησον ἡλίκην λαμβάνει τῆς πονηρᾶς ἐπιθυμίας προσθήκην. Εἰ γὰρ κακιζομένη, εἰ γὰρ ὑβριζομένη, εἰ γὰρ ἐλεγχομένη, εἰ γὰρ ὑπὸ τοῦ συνειδότος τῶν ὁπωσδήποτε νηφόντων μαστιγουμένη, ξαινομένη, μισουμένη, οὕτως ἀναισχύντως ἀνθεῖ καὶ καθ' ἑκάστην αὔξεται τὴν ἡμέραν, μὴ μόνον τὰ κωλύοντα αὐτὴν μὴ ᾖ, οἷον ἡ κατηγορία, τοῦ συνειδότος ὁ ἔλεγχος, τὸ ἐπιλαμβάνεσθαι τῶν γινομένων, τὸ μετανοεῖν ἐν τοῖς πραττομένοις, τὸ καταδύεσθαι, τὸ ἐγκαλύπτεσθαι, τὸ στένειν, τὸ θρηνεῖν, ἀλλὰ τοὐναντίον ἅπαν, καὶ ἐπαινῶσιν ἑαυτοὺς οἱ ἐργαζόμενοι, καὶ ἐγκώμια ἑαυτῶν ὑφαίνωσι, καὶ τῶν ἄλλων βελτίους κατὰ τοῦτο αὐτὸ εἶναι νομίζωσι, καὶ μετὰ τὸ πρᾶξαι ἐπαινῶσι τὰ γεγενημένα (τοῦτο γάρ ἐστι, «Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι»), ποῦ οὐκ ἂν ἐκτραπεῖεν; Οὕτω γάρ εἰσι παραπλῆγες, οὕτω παραπαίουσιν, ὡς καὶ μετὰ τὴν πλήρωσιν τῆς ἐπιθυμίας, ὅτε μάλιστα ὁρῶντας τὴν παρανομίαν αἰσχύνεσθαι*

ἐδῶ σκάνδαλο καὶ ἐμπόδιο. Δὲν εἶναι λοιπὸν μικρὸ σκάνδαλο, δὲν εἶναι μικρὸ ἐμπόδιο, δὲν εἶναι μικρὸ κώλυμα αὐτὸς ὁ τρόπος ζωῆς γιὰ τὴν ἄσκηση τῆς ἀρετῆς. Γι' αὐτὸ λέγει, «Αὐτὸς ὁ τρόπος ζωῆς γίνεται σκάνδαλο γι' αὐτούς».

Καὶ καλὰ ὀνόμασε σκὰνδαλο γι' αὐτοὺς τὸν τρόπο ζωῆς τους. Τοὺς ἑαυτούς τους δένουν, τοὺς ἑαυτούς τους ἐμποδίζουν. Τὸ πιὸ χειρότερο καὶ ἡ αἰτία ὅλων τῶν κακῶν αὐτὸ εἶναι ποὺ ἀνέφερε. Διότι αὐτοὶ ποὺ κάμνουν τέτοιες ἁμαρτίες καὶ τέτοια πλημμελήματα καὶ συμπεριφέρονται τόσο ἀνόητα, μακαρίζουν τοὺς ἑαυτούς τους καὶ τοὺς θαυμάζουν καὶ θεωροῦν τοὺς ἑαυτούς τους ἀξιοζηλεύτους καὶ ἀρέσκονται μὲ αὐτὰ ποὺ κάμνουν· κακία δὲ ποὺ ἐπαινεῖται καὶ ἀπὸ αὐτοὺς ποὺ τὴν πράττουν σκέψου πόση αὔξηση δίνει στὴν πονηρὴ ἐπιθυμία. Διότι, ἄν, μολονότι κακίζεται, μολονότι προσβάλλεται, μολονότι ἐλέγχεται, μολονότι μαστιγώνεται ἀπὸ τὴ συνείδηση ἐκείνων ποὺ ἔχουν τέλος πάντων κάποια σωφροσύνη, δέχεται πλήγματα καὶ μισεῖται, παρ' ὅλα αὐτὰ τόσο πολὺ ἀδιάντροπα ἀνθεῖ καὶ καθημερινὰ αὐξάνεται, ὅταν ὄχι μόνο δὲν ὑπάρχουν τὰ ὅσα τὴν ἐμποδίζουν, ὅπως ἡ κατηγορία, ὁ ἔλεγχος τῆς συνειδήσεως, ἡ ἀναγνώριση τῶν γινομένων, ἡ μετάνοια γιὰ τὰ πραχθέντα, τὸ κρύψιμο ἀπὸ τοὺς ἀνθρώπους, τὸ σκέπασμα τοῦ προσώπου ἀπὸ ντροπή, οἱ ἀναστεναγμοί, τὰ κλάματα, ἀλλ' ὑπὰρχουν ὅλα τὰ ἀντίθετα, καὶ ἐπαινοῦν τοὺς ἑαυτούς τους αὐτοὶ ποὺ τὰ κάμνουν αὐτὰ καὶ ἐγκώμια πλέκουν γιὰ τοὺς ἑαυτούς τους καὶ τοὺς θεωροῦν ἀκριβῶς γι' αὐτὸ καλυτέρους ἀπὸ τοὺς ἄλλους, καὶ μετὰ ἀπὸ τὴ διὰπραξη τῆς κακίας τους ἐπαινοῦν αὐτὰ ποὺ ἔκαμαν (διότι αὐτὸ σημαίνει, «Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι», ποὺ θὰ ἦταν δυνατὸ νὰ μὴ παρεκτραποῦν; Καθόσον τόσο παράφρονες εἶναι, τόσο παράλογοι, ὥστε καὶ μετὰ τὴν ἐκπλήρωση τῆς ἐπιθυμίας τους, ὅταν μάλιστα ἔπρεπε νὰ ντρέπονται βλέποντας τὴν παρα-

*ἔδει, γαυροῦνται κορυφοῦνται, ἀρέσκονται τῷ γεγενημένῳ. Τοιοῦτον γὰρ ἡ ἁμαρτία· πρὸ μὲν τοῦ πραχθῆναι, συσκιάζει ἑαυτῆς τὸ εἰδεχθές, τῇ μέθῃ τῆς ἡδονῆς περιστέλλουσα αὐτῆς τὸ βδελυρόν, ἐπειδὰν δὲ πραχθῇ, καὶ ἡ μὲν ἡδονὴ τῆς ἐπιθυμίας κατὰ μικρὸν ἀναχωρήσῃ, ἡ δὲ τοῦ συνειδότος κατηγορία ἐπέλθῃ, γυμνοὺς μαστίζουσα τοὺς λογισμούς, τότε μάλιστα φαίνεται αὐτῆς τὸ βλαβερόν. Οὗτοι δὲ οὐδὲ μετὰ τὸ πληρῶσαι, ἀλλ' ὅταν ἴδωσι τὸν πλοῦτον ὀγκωθέντα, τοὺς τάφους ἐγηγερμένους, τὰς ματαίας οἰκοδομὰς ἀπηρτισμένας, δέον τότε γοῦν κατανυγῆναι, καὶ στενάξαι, οἱ δὲ καὶ μετὰ ταῦτα, μετὰ τὸ ἔργον, μετὰ τὴν πλήρωσιν, τότε ἔτι μειζόνως νοσοῦσιν. Ἐπεὶ οὖν τὰ παρ' αὐτῶν οἴχεται, ἕπεται λοιπὸν τὰ παρὰ τοῦ Θεοῦ.*

*8. Ὥσπερ γὰρ οἱ κατακρίνοντες ἑαυτούς, ἐφ' οἷς ἁμαρτάνουσι, προλαμβάνοντες ἀποκρούονται τὴν παρὰ τοῦ Θεοῦ ψῆφον, καθάπερ καὶ Παῦλός φησιν, «Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα», οὕτως οἱ νοσοῦντες ἀμετανόητα, καὶ ἁμαρτάνοντες, μὴ καταγινώσκοντες δὲ ὧν ἐπλημμέλησαν, μετὰ πολλῆς τῆς σφοδρότητος ἐπισπῶνται τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν ἑαυτοῖς. Ἐπεὶ οὖν καὶ οὗτοι ἢ τὰ ἀλλότρια ἁρπάζοντες, ἢ τὰ οἰκεῖα μάτην καὶ εἰκῇ δαπανῶντες, ἅπερ εἰς πένητας ἀναλίσκειν ἐχρῆν, εἰς τάφους, καὶ σκώληκας, καὶ σῆτας δαπανῶσι, καὶ οὐ μετανοοῦσιν ἐπὶ τῶν γεγενημένων, ἀλλὰ ἀνίατα μένουσι νοσοῦντες, ἄκουσον τί γίνεται λοιπόν. Τί δὴ οὖν γίνεται; Τιμωρία τῇ παρὰ τοῦ Θεοῦ δίδονται· διὸ ἐπήγαγεν, «Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο· θάνατος ποιμανεῖ αὐ-*

51. Α΄ Κορ. 4, 31.

νομία, ὑπερηφανεύονται, μεγαλοφρονοῦν, ἀρέσκονται μὲ αὐτὸ πού ἔγινε. Διότι τέτοιο πράγμα εἶναι ἡ ἁμαρτία· πρὶν μὲν διαπραχθεῖ κρύβει τὴ βρωμερή ὄψη της, περικαλύπτοντας καὶ τὴ μέθη τῆς ἡδονῆς τὴ βδελυρότητά της, ὅταν δὲ διαπραχθεῖ καὶ ἡ μὲν ἡδονὴ τῆς ἐπιθυμίας σιγὰ - σιγὰ ἐξαφανισθεῖ, κάνει δὲ τὴν ἐμφάνισή της ἡ κατηγορία τῆς συνειδήσεως, κτυπώντας γυμνοὺς τοὺς λογισμούς, τότε πρὸ πάντων ἀποκαλύπτεται ἡ βλαβερὴ δύναμή της. Αὐτοὶ ὅμως οὔτε μετὰ τὴν πραγματοποίηση τῆς κακίας τους σταματοῦν, ἀλλ' ὅταν δοῦν τὸν πλοῦτο ὀγκωμένο, τοὺς τάφους ἀνεγερμένους, τὶς μάταιες οἰκοδομὲς κατασκευασμένες, ἐνῶ ἔπρεπε λοιπὸν τότε νὰ νοιώσουν συντριβὴ καρδιᾶς καὶ ν' ἀναστενάξουν, αὐτοὶ ὅμως καὶ μετὰ ἀπὸ αὐτά, μετὰ τὴν πράξη, μετὰ τὴν πραγματοποίηση, τότε ἀκόμη περισσότερο νοσοῦν. Ἐπειδὴ λοιπὸν ἐξαφανίσθηκαν αὐτὰ πού ἐξαρτιόνταν ἀπὸ αὐτούς, ἀκολουθοῦν πλέον τὰ ἐκ μέρους τοῦ Θεοῦ.

8. Ὅπως ἀκριβῶς λοιπὸν αὐτοὶ πού κατακρίνουν τοὺς ἑαυτούς τους γιὰ τ' ἁμαρτήματά τους, προλαβαίνουν καὶ ἀποκρούουν τὴν καταδικαστικὴ ἀπόφαση τοῦ Θεοῦ, ὅπως ἀκριβῶς λέγει ὁ Παῦλος, «Διότι, ἂν κρίναμε τοὺς ἑαυτούς μας ὅπως πρέπει, δὲν θὰ καταδικαζόμασταν»[51], ἔτσι αὐτοὶ πού νοσοῦν καὶ δὲν μετανοοῦν, ἀλλὰ καὶ ἐξακολουθοῦν ν' ἁμαρτάνουν, πού δὲν καταδικάζουν τὸν ἑαυτό τους γιὰ τὰ πλημμελήματά τους, μὲ μεγάλη δύναμη ἐπισύρουν ἐναντίον τους τὴν τιμωρία τοῦ Θεοῦ. Ἐπειδὴ λοιπὸν καὶ αὐτοὶ ἢ ἁρπάζοντας τὰ ξένα ἢ ξοδεύοντας τὰ δικά τους ἄσκοπα καὶ στὰ χαμένα, ἐνῶ θὰ ἔπρεπε νὰ τὰ ξοδεύουν γιὰ τοὺς φτωχούς, τὰ ξοδεύουν στούς τάφους, στὰ σκουλήκια καὶ στοὺς σκόρους καὶ δὲν μετανοοῦν γιὰ τὰ ὅσα ἔχουν κάνει, ἀλλὰ παραμένουν ἀθεράπευτα ἀσθενεῖς, ἄκουσε τί γίνεται πλέον. Τί γίνεται λοιπόν; Παραδίνονται ἀπὸ τὸ Θεὸ στὴν τιμωρία· γι' αὐτὸ πρόσθεσε, «Σὰν πρόβατα ὁδήγησαν τοὺς ἑαυτούς τους στὸν ᾅδη καὶ ὁ θάνατος θὰ

τούς», οὐ τὸ ἥμερον ἐνταῦθα διὰ ὀνόματος τῶν προβάτων δηλῶν (τί γὰρ ἐκείνων ἀγριώτερον γένοιτ' ἄν, τῶν παρορώντων μὲν γυμνὰ σώματα πενήτων καὶ γαστέρας τηκομένας λιμῷ, καλλωπιζόντων δὲ οἴκους φθορᾷ, καὶ σκώληκι, καὶ σητί;), ἀλλὰ τὸ εὔκολον αὐτῶν τῆς ἀπωλείας, τὴν ἐξ ἐπιδρομῆς πανωλεθρίαν, τὸ εὐχείρωτον τοῖς ἐπιβουλεύουσιν. Οὐδὲν γὰρ ἀσθενέστερον ἀνθρώπου κακίᾳ συζῶντος. Ὅπερ καὶ οὗτοι πείσονται· καὶ οὕτω κατακοπήσονται, οὕτως ἀπολοῦνται ἄρδην, καὶ εἰς τὸν ᾅδην ἀπελεύσονται ῥᾳδίως, εὐκόλως, συντόμως, ἀπονητί, ὡσανεὶ πρόβατα κατακοπτόμενα.

Τοῦτο θάνατος, μᾶλλον δὲ πρᾶγμα θανάτου πολὺ χαλεπώτερον. Μετὰ γὰρ τὴν τοιαύτην τελευτὴν ἀθάνατος αὐτοὺς διαδέξεται θάνατος, διὰ τοῦτο οὐδαμοῦ εἰς κόλπους Ἀβραάμ, οὐδὲ εἰς ἄλλο χωρίον φαίνονται ἀπιόντες, ἀλλ' εἰς ᾅδην, τὸ τῆς τιμωρίας, τὸ τῆς κολάσεως, τὸ τῆς πανωλεθρίας ὄνομα. Καὶ ἡ ἐνταῦθα αὐτῶν τελευτὴ εὐτελής, καὶ εὐκαταφρόνητος, καὶ ἡ ἐκεῖ διατριβὴ κολάσεως γέμουσα. Οὕτω καὶ ἡμῖν ἔθος λέγειν περὶ τῶν εὐκόλως ἀπολλυμένων, 'ὡς πρόβατον ὁ δεῖνα ἐσφάγη'. Ἐπειδὴ γὰρ ὡς ἄλογα ἔζων, καὶ ὡς ἄλογα ἀπόλλυνται, οὐκ ἔχοντες περὶ τῶν μελλόντων ἐλπίδα χρηστήν· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἐπὶ κακῷ· «Θάνατος ποιμανεῖ αὐτούς». Ἐνταῦθά μοι τὸν θάνατον δοκεῖ λέγειν, τὴν ἀπώλειαν τὴν ἐκεῖ, τὴν τιμωρίαν, καθάπερ καὶ ἀλλαχοῦ φησι· «Ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀπολεῖται», οὐ τὴν τοῦ εἶναι ἀναίρεσιν, ἀλλὰ τὴν τιμωρίαν παραδηλῶν. Καὶ ἐπιμένει τῇ μεταφορᾷ τῆς λέξεως. Ἐπειδὴ γὰρ εἶπε πρόβατα, ἔδειξεν αὐτῶν καὶ τὸν ποιμένα. Τίς δὲ οὗτος; Ὁ σκώληξ ὁ ἰοβόλος,

52. Ἰεζ. 18, 20.

τούς ποιμάνει», ὄχι γιὰ νὰ δηλώσει μὲ τὸ ὄνομα τοῦ προβάτου τὴν ἡμερότητα (διότι τί θὰ μποροῦσε νὰ ὑπάρχει ἀγριώτερο ἀπὸ ἐκείνους, ποὺ παραβλέπουν μὲν τὰ γυμνὰ σώματα τῶν φτωχῶν καὶ κοιλιὲς ποὺ λειώνουν ἀπὸ τὴν πείνα, καλλωπίζουν δὲ οἴκους γιὰ τὴ φθορά, τὰ σκουλήκια καὶ τὸ σκόρο;), ἀλλὰ γιὰ νὰ δείξει τὴν εὐκολία τῆς ἀπωλείας τους, τὴν αἰφνίδια πανωλεθρία τους, τὴν εὔκολη κατάληψή τους ἀπὸ τοὺς ἐχθρούς τους. Διότι δὲν ὑπάρχει τίποτε πιὸ ἀσθενέστερο ἀπὸ τὸν ἄνθρωπο ποὺ συζεῖ μὲ τὴν κακία. Καὶ αὐτὸ ἀκριβῶς θὰ πάθουν καὶ αὐτοί· ἔτσι θὰ ἐξολοθρευθοῦν, ἔτσι θὰ καταστραφοῦν ριζικὰ καὶ θὰ ὁδηγηθοῦν στὸν ἅδη χωρὶς δυσκολία, εὔκολα, σύντομα καὶ ἄκοπα, σὰν πρόβατα κατασφαζόμενα.

Αὐτὸ εἶναι θάνατος, μᾶλλον δὲ πράγμα πολὺ πιὸ χειρότερο ἀπὸ τὸ θάνατο. Διότι μετὰ ἀπὸ τὸ θάνατο αὐτοῦ τοῦ εἴδους, θάνατος ἀθάνατος θὰ διαδεχθεῖ αὐτούς, καὶ γι' αὐτὸ δὲν φαίνονται νὰ μεταβαίνουν στοὺς κόλπους τοῦ Ἀβραάμ, οὔτε σ' ἄλλο τόπο, ἀλλὰ στὸν ἅδη, ποὺ εἶναι τὸ ὄνομα τῆς τιμωρίας, τῆς κολάσεως, τῆς πανωλεθρίας. Καὶ ἐδῶ ὁ θάνατός τους εἶναι εὐτελὴς καὶ περιφρονημένος, καὶ ἡ ἐκεῖ διαμονή τους εἶναι γεμάτη ἀπὸ κόλαση. Ἔτσι καὶ ἐμεῖς συνηθίζομε νὰ ὁμιλοῦμε γιὰ ἐκείνους ποὺ χάνονται εὔκολα, λέγοντας, 'ὁ τάδε σφάγηκε σὰν πρόβατο'. Ἐπειδὴ δηλαδὴ ζοῦσαν σὰν ἄλογα ζῶα, καὶ σὰν ἄλογα χάνονται, χωρὶς νὰ ἔχουν ἀγαθὴ ἐλπίδα γιὰ τὴ μέλλουσα ζωὴ καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ πρὸς μεγάλη τους συμφορά. «Ὁ θάνατος θὰ ποιμάνει αὐτούς». Ἐδῶ νομίζω ὅτι ἐννοεῖ σὰν θάνατο τὴν ἐκεῖ ἀπώλειά τους, τὴν τιμωρία τους, ὅπως ἀκριβῶς καὶ ἀλλοῦ λέγει· «Ἡ ψυχὴ ποὺ ἁμαρτάνει, θὰ ὁδηγηθεῖ στὴν ἀπώλεια»[58], δηλώνοντας ὄχι τὸν τερματισμὸ τῆς ζωῆς, ἀλλὰ τὴν τιμωρία. Καὶ ἐπιμένει στὴ μεταφορικὴ σημασία τῆς λέξεως. Ἐπειδὴ δηλαδὴ εἶπε πρόβατα, ἔδειξε καὶ τὸν ποιμένα τους. Ποιός δὲ εἶναι αὐτός; Τὸ σκουλήκι τὸ φαρμακερό, τὸ σκο-

τὸ σκότος τὸ ἀτελεύτητον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ βρυγμὸς τῶν ὀδόντων. Ὅρα τοίνυν αὐτοὺς πάντοθεν κολαζομένους. Ἐν τῇ ζωῇ, ὅτι πρὸς ἀρετὴν ἐνεποδίσθησαν, ὅτι κακίας ἐγένοντο δοῦλοι καὶ αἰχμάλωτοι, καὶ περιττὸν ἐπόνησαν πόνον, καὶ καταγέλαστον· ἐν τῇ τελευτῇ, ὅτι ἁπλῶς καὶ ὡς ἔτυχεν ἀπώλοντο· ἐν τῷ καιρῷ τῷ μετὰ τὴν τελευτήν, ὅτι διαπαντὸς ὑπὸ τῆς ἀπωλείας κατέχονται.

«Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ». Ἐπειδὴ πολλοὶ τῶν παχυτέρων καὶ πρὸς ἀναισθησίαν λίθων ἐκβεβηκότων, οὐκ ἔχουσι περὶ τῶν μελλόντων ἐλπίδι σαφῆ, οὔτε τετρανωμένην, ἀλλὰ πρὸς τὰ παρόντα κεχήνασι, καὶ πρὸς τὰ ὁρώμενα, καταπλήττει τοὺς τοιούτους αἰνιγματωδῶς. Εἶτα διὰ βραχέων τὰ μέλλοντα αἰνιξάμενος, πάλιν ἐπὶ τὴν ἐν τῷ παρόντι βίῳ γινομένην αὐτῶν εὐτέλειαν καὶ τιμωρίαν μετατίθησι τὸν λόγον, δεικνὺς αὐτῶν τὸ ἀσθενές, τὸ εὐτελές, τὸ εὐκαταφρόνητον, καὶ ὅτι κἂν μυριάκις πλουτῶσι, κἂν δυναστείαν ὦσι περιβεβλημένοι, ἐν τάξει δούλων καὶ ἀνδραπόδων ἀρετὴν μετιοῦσίν εἰσιν. Διό φησι, «Κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ», τουτέστι, ταχέως, διηνεκῶς, καὶ οὐδὲ χρόνου δεήσονται, οὐδὲ πόνου, οὐδὲ μελλήσεώς τινος. Τοιαύτη γὰρ ἡ τῶν πραγμάτων φύσις, τῇ ἀρετῇ τὴν κακίαν δουλεύειν, καὶ τρέμειν αὐτήν, καὶ δεδοικέναι, κἂν μυρία ἐπιτρίμματα αὕτη ἔχῃ, καὶ πολλὰς τὰς ὑπογραφάς, ἐκείνη δὲ γυμνὴ ᾖ, καθ' ἑαυτὴν ἀγωνιζομένη.

Καὶ μὴν τοὐναντίον ὁρῶμεν, φησί, τούτους ἐκείνων κρατοῦντας. Ἀλλὰ μὴ τὸ σφάλμα τῆς τῶν πολλῶν διανοίας ἴδωμεν, τοῦτο γὰρ πεπλανημένης ὑπολήψεώς ἐστι ψῆφος, ἀλλ' αὐτὴν τῶν πραγμάτων τὴν ὀρθὴν κρίσιν διευκρινήσωμεν, καὶ

τάδι τὸ ἀτέλειωτο, τὰ ἄλυτα δεσμά, τὸ τρίξιμο τῶν δοντιῶν. Πρόσεχε λοιπὸν αὐτοὺς ποὺ τιμωροῦνται ἀπὸ παντοῦ. Στὴ ζωή, διότι ἐναντιώθηκαν στὴν ἄσκηση τῆς ἀρετῆς, διότι ἔγιναν δοῦλοι καὶ αἰχμάλωτοι τῆς κακίας, κόπιασαν ἄσκοπα καὶ γελοιοποιήθηκαν· ὅταν πέθαναν, διότι χάθηκαν στὴν τύχη καὶ ἄσκοπα· κατὰ τὸ χρόνο μετὰ τὸ θάνατο, διότι ζοῦν αἰώνια μέσα στὴν καταστροφή.

«Καὶ πολὺ γρήγορα οἱ φτωχοὶ καὶ ἀφανεῖς καὶ δίκαιοι θὰ γίνουν κύριοί τους». Ἐπειδὴ πολλοὶ ἀπὸ τοὺς πνευματικὰ παχυτέρους ποὺ ἔχουν φθάσει στὴν ἀναισθησία τῶν λίθων δὲν ἔχουν σαφὴ ἐλπίδα γιὰ τὰ μελλοντικὰ ἀγαθὰ οὔτε πνευματικὰ ἐξυψουμένη, ἀλλ᾿ εἶναι ἀπορροφημένοι ἀπὸ τὰ πράγματα τῆς παρούσας ζωῆς καὶ ἀπὸ τὰ ὅσα μόνο βλέπουν, πλήττει αὐτοὺς μὲ τρόπο ἀσαφή. Ἔπειτα, ἀφοῦ ἔκαμε σύντομο ὑπαινιγμὸ γιὰ τὰ μελλοντικὰ πράγματα, πάλι μεταφέρει τὸ λόγο στὴν εὐτέλεια καὶ στὴν τιμωρία τους στὴν παροῦσα ζωή, δείχνοντας τὴν ἀδυναμία, τὴν εὐτέλεια καὶ τὴν περιφρόνησή τους, καὶ ὅτι καὶ ἂν ἀκόμη ἀποκτοῦν ἀμέτρητα πλούτη, καὶ ἂν ἀκόμη περιβάλλονται ἀπὸ μεγάλη ἐξουσία, εὑρίσκονται στὴ θέση τῶν δούλων καὶ τῶν ἀνδραπόδων καὶ κάτω ἀπὸ τὴν ἐξουσία ἐκείνων ποὺ ἀσκοῦν τὴν ἀρετή. Γι᾿ αὐτὸ λέγει· «Πολὺ γρήγορα οἱ ἀφανεῖς καὶ δίκαιοι θὰ γίνουν κύριοί τους», δηλαδὴ ἀμέσως, διαρκῶς καὶ δὲν θὰ χρειασθοῦν οὔτε χρόνο, οὔτε κόπο, οὔτε κάποια προσπάθεια. Διότι τέτοια εἶναι ἡ φύση τῶν πραγμάτων, τὸ νὰ εἶναι δούλη ἡ κακία τῆς ἀρετῆς καὶ νὰ τρέμει αὐτὴν καὶ νὰ τὴν φοβεῖται, καὶ ἂν ἀκόμη αὐτὴ ἔχει ἀμέτρητα ἐξωτερικὰ στολίσματα καὶ πολλὰ καλλωπίσματα, ἐνῶ ἡ ἀρετὴ εἶναι γυμνὴ καὶ ἀγωνίζεται μόνη της.

Καὶ ὅμως, λέγει, βλέπομε τὸ ἀντίθετο, τοὺς κακοὺς νὰ ἐξουσιάζουν τοὺς ἐναρέτους. Ἀλλ᾿ ἂς μὴ δώσουμε σημασία στὸ σφάλμα τῆς διανοίας τῶν πολλῶν, διότι αὐτὸ εἶναι ἀποτέλεσμα πλανημένης ἀντιλήψεως, ἀλλ᾿ ἂς ἐξετάσουμε τὴν ὀρθὴ κρίση τῶν πραγμάτων καὶ θὰ δεῖς αὐ-

ὄψει τοῦτον κρατοῦντα τὸν λόγον. Ἔστω γάρ τις πονηρὸς δεσπότης, καὶ οἰκέτης χρηστός· μᾶλλον δέ, εἰ βούλει, ἐφ' ἕτερον μεῖζον ὑπόδειγμα τὸν λόγον ἀνάγωμεν. Ἔστω βασιλεὺς πονηρός, καὶ ἰδιώτης χρηστός, ἴδωμεν τίς τίνος κύριός ἐστι, καὶ ποῦ τὰ τῆς δεσποτείας διαλάμπει· τίς ὁ κρατῶν, καὶ τίς ὁ κρατούμενος. Πῶς οὖν εἰσόμεθα τοῦτο; Ἐπιταττέτω τῷ ἰδιώτῃ ὁ βασιλεὺς πονηρόν τι πρᾶγμα καὶ πλημμελείας γέμον· τί οὖν ὁ χρηστὸς ἰδιώτης καὶ ὑπήκοος; Οὐ μόνον οὐκ εἴξει, οὐδὲ ὑπακούσεται, ἀλλὰ πειράσεται καὶ τὸν ἐπιτάττοντα ἀπαγαγεῖν τοῦ προκειμένου, κἂν ἀποθανεῖν δέῃ. Τίς οὖν ἐλεύθερος; ὁ ποιῶν ὃ βούλεται καὶ μηδὲ τὸν βασιλέα δεδοικώς, ἢ ὁ παρὰ τοῦ ὑπηκόου καταφρονούμενος;

Καὶ ἵνα μὴ ἐπὶ παραδείγματος ἀδιορίστου τὸν λόγον προαγάγωμεν, ἡ τοῦ Πεντεφρῆ γυνὴ ἡ Αἰγυπτία οὐχὶ βασιλὶς ἦν; οὐχὶ πάσης Αἰγύπτου ἐκράτει; οὐχὶ σύνοικον εἶχε βασιλέα; οὐ πολλὴν περιεβάλλετο δυναστείαν; Τί δὲ ὁ Ἰωσήφ; οὐ δοῦλος; οὐκ αἰχμάλωτος; οὐκ ἀργυρώνητος οἰκέτης; οὐ μετὰ πάσης τῆς παρατάξεως αὐτῆς ὡπλίσατο κατὰ τοῦ νεανίσκου, οὐχ ἑτέρῳ τὸν πόλεμον ἐγχειρήσασα, ἀλλ' αὐτὴ πρὸς τὴν παράταξιν ἐλθοῦσα; Τίς οὖν ἐν δουλείᾳ τότε ἦν, τίς δὲ ἐν ἐλευθερίᾳ; ἡ δεομένη καὶ παρακαλοῦσα καὶ ἱκετεύουσα καὶ οὐδὲ ἀνθρώπου, ἀλλὰ πονηροτάτου πάθους αἰχμάλωτος γενομένη, ἢ ὁ καταφρονῶν καὶ διαδήματος καὶ σκήπτρου καὶ ἁλουργίδος καὶ τῆς φαντασίας ἐκείνης ἁπάσης καὶ ἀνακόπτων αὐτῆς τὰ μηχανήματα; Οὐχ ἡ μὲν ἀπῆλθε παρακουσθεῖσα καὶ ἑτέρῳ

---

53. Γεν. 39, 7.

τόν τὸ λόγο ἰσχυρότερο. Ἂς ὑποθέσουμε λοιπὸν ὅτι ὑπάρχει κάποιος κακὸς κύριος καὶ κάποιος καλὸς δοῦλος· μᾶλλον δέ, ἂν θέλεις, ἂς μεταφέρουμε τὸ λόγο σὲ ἄλλο σπουδαιότερο παράδειγμα. Ἂς ὑποθέσουμε ὅτι ὑπάρχει κάποιος κακὸς βασιλιὰς καὶ κάποιος καλὸς πολίτης, ἂς δοῦμε δὲ ποιός εἶναι κύριος τοῦ ἄλλου καὶ σέ ποιὸν διαλάμπουν τὰ γνωρίσματα τῆς δεσποτείας· ποιὸς ἀπὸ αὐτοὺς εἶναι ὁ ἐξουσιαστὴς καὶ ποιὸς ὁ ἐξουσιαζόμενος. Πῶς λοιπὸν θὰ τὸ γνωρίσουμε αὐτό; Ἂς ὑποθέσουμε ὅτι ὁ βασιλιὰς διατάσσει στὸν πολίτη κάποιο κακὸ πράγμα, καὶ γεμάτο ἀπὸ ἁμαρτία· τί θὰ κάνει λοιπὸν ὁ καλὸς πολίτης καὶ ὑπήκοος; Ὄχι μόνο δὲν θὰ δεχθεῖ, οὔτε θὰ ὑπακούσει, ἀλλὰ θὰ προσπαθήσει ν' ἀπομακρύνει ἀπ' αὐτὸ τὸ πράγμα καὶ ἐκεῖνον ποὺ δίνει τὴν ἐντολή, καὶ ἂν ἀκόμη χρειασθεῖ νὰ πεθάνει. Ποιὸς λοιπὸν εἶναι ὁ ἐλεύθερος; ἐκεῖνος ποὺ κάμνει αὐτὸ ποὺ θέλει καὶ δὲν φοβεῖται οὔτε καὶ τὸν βασιλιά, ἢ ἐκεῖνος ποὺ περιφρονεῖται ἀπὸ τὸν ὑπήκοο;

Καὶ γιὰ νὰ μὴ συνεχίζουμε τὸ λόγο μὲ ἀόριστο παράδειγμα, ἡ γυναίκα τοῦ Πεντεφρῆ ἡ Αἰγύπτια δὲν ἦταν βασίλισσα;[33] δὲν ἐξουσίαζε ὁλόκληρη τὴν Αἴγυπτο; δὲν εἶχε σύζυγο βασιλιά; δὲν εἶχε στὰ χέρια της μεγάλη ἐξουσία; Τί ἦταν δὲ ὁ Ἰωσήφ; δὲν ἦταν δοῦλος; δὲν ἦταν αἰχμάλωτος; δὲν ἦταν ἐξαγορασμένος δοῦλος; δὲν ἐξαπέλυσε τὴν ἐπίθεσή της ἐναντίον τοῦ νεανίσκου μὲ ὅλες τὶς δυνάμεις της, χωρὶς ν' ἀναθέσει σ' ἄλλον τὸν πόλεμο, ἀλλ' ἡ ἴδια ἀνέλαβε τὸν ἀγώνα; Ποιὸς λοιπὸν ἦταν τότε ὁ δοῦλος, ποιὸς δὲ ὁ ἐλεύθερος; ἐκείνη ποὺ εἶχε ἀνάγκη καὶ παρακαλοῦσε καὶ ἱκέτευε καὶ ἦταν αἰχμάλωτη ὄχι ἀνθρώπου, ἀλλὰ πάθους πονηροτάτου, ἢ ἐκεῖνος ποὺ περιφρονοῦσε καὶ τὸ βασιλικὸ στέμμα καὶ τὸ σκῆπτρο καὶ τὴ βασιλικὴ πορφύρα καὶ ὅλη ἐκείνη τὴν ἐξωτερικὴ ἐμφάνιση καὶ ἀναχαίτιζε τὰ πονηρὰ σχέδιά της; Δὲν ἔφυγε ἐκείνη μὲν ἀφοῦ δὲν ἔγιναν δεκτὰ τὰ ὅσα ζήτησε

πάλιν πάθει γινομένη δούλη, τῷ θυμῷ τῷ ἀλόγῳ, τῇ μιαιφονίᾳ, ὁ δὲ ἐξῆλθε μυρίους στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχων, καὶ ἐν αὐτῇ τῇ δουλείᾳ τὴν ἐλευθερίαν μειζόνως διαλάμπουσαν δεικνύς;

9. Οὐδὲν γὰρ οὕτως ἐλεύθερον ὡς ἀρετή, οὐδὲν οὕτω δοῦλον ὡς κακία. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησί τις· «Σοφὸς οἰκέτης κρατήσει δεσποτῶν ἀφρόνων». Ὥσπερ γὰρ αἰχμάλωτος, κἂν μυρίον ἔχῃ πλοῦτον, δι' αὐτὸ τοῦτο μάλιστα πᾶσίν ἐστιν εὐάλωτος, οὕτω καὶ ὁ ὑπὸ τῶν παθῶν ἁλισκόμενος, ἀράχνης ἐστὶν εὐτελέστερος. Τί δὲ ἐν πολέμῳ; οὐχὶ τούτους ὁρῶμεν κρατοῦντας; Τί δὲ ἐν πράγμασι καὶ βουλαῖς; οὐ τὰ τούτων ἕστηκε, κἂν μηδεὶς ὁ πειθόμενος ᾖ; Τί δὲ ἐν τοῖς μετὰ ταῦτα; οὐχ ὁ μὲν πλούσιος, καθάπερ προσαίτης, σταγόνα ᾔτει, καὶ οὐκ ἐπετύγχανεν; ὁ δὲ πένης, ἐπειδὴ σπουδαῖος καὶ ἐνάρετος ἦν, οὐκ ἐν μεγίστῃ εὐπραγίᾳ ἦν, τὴν αὐτὴν τῷ Ἀβραὰμ λῆξιν ἔχων; Τί δὲ ἐπὶ τῶν ἀποστόλων; οὐχὶ δεσμούμενοι, μαστιγούμενοι, μυρία πάσχοντες δεινά, τῶν ταῦτα ποιούντων περιεγίνοντο; Ἐννόησον γοῦν εἰς ὅσην αὐτοὺς ἀπορίαν ἐνέβαλον, ὡς ἐκείνους λέγειν· «Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;». Καίτοι δεδεμένους εἶχον, καὶ ἐν μέσῳ δικαστηρίων συνειλημμένους, καὶ οἱ μὲν ἐν τάξει δικαστῶν καὶ ἀρχόντων, οἱ δὲ ἐν τάξει δικαζομένων εἱστήκεισαν, ἀλλ' ὅμως οὗτοι τούτων ἐκράτησαν. Καὶ πανταχοῦ, εἴ τις μετὰ ἀκριβείας ἐπεξίοι τῷ λόγῳ, τὸν ἐνάρετον ὄψεται τοῦ πονηροῦ κρατοῦντα, τὴν κυρίως κράτησιν, οὐ ταύτην τὴν τῶν πολλῶν, καὶ ψευδῆ, τὴν πεπλανημένην, καὶ ῥαδίως ἐλεγχομένην, ἀλλ'

---

54. Παροιμ. 17, 2.
55. Λουκᾶ 16, 24.
56. Πράξ. 4, 16.

καὶ ἀφοῦ ἔγινε δούλη ἄλλου πάλι πάθους, τοῦ παραλόγου θυμοῦ, τῆς δίψας γιὰ αἷμα, ἐνῶ ἐκεῖνος ἐξῆλθε ἔχοντας στὴν κεφαλή του ἀμέτρητα στεφάνια καὶ προβάλλοντας τὴν ἐλευθερία μέσα ἀπὸ τὴν ἴδια τὴ δουλεία νὰ λάμπει ἀσυγκρίτως περισσότερο;

9. Πράγματι τίποτε δὲν εἶναι τόσο ἐλεύθερο ὅσο ἡ ἀρετή, τίποτε δὲ τόσο δουλικὸ ὅσο ἡ κακία. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει κάποιος· «Ὁ σοφὸς δοῦλος θὰ γίνει κύριος τῶν ἀφρόνων κυρίων»[54]. Διότι, ὅπως ἀκριβῶς ὁ αἰχμάλωτος, καὶ ἂν ἀκόμη ἔχει ἀμέτρητο πλοῦτο, γι' αὐτὸ πρὸ πάντων τὸ πράγμα συλλαμβάνεται εὔκολα ἀπὸ ὅλους, ἔτσι καὶ ἐκεῖνος ποὺ κυριεύεται ἀπὸ τὰ πάθη του, εἶναι εὐτελέστερος καὶ ἀπὸ τὴν ἀράχνη. Τί δὲ συμβαίνει ἐν καιρῷ πολέμου; δὲν βλέπουμε αὐτοὺς νικητές; Τί δὲ μέσα στὰ πράγματα τῆς ζωῆς καὶ στὰ συμβόλαια; δὲν ὑπερισχύουν τὰ ὅσα αὐτοὶ διακηρύσσουν καὶ ἂν ἀκόμη κανεὶς δὲν τοὺς πιστεύει; Τί δὲ συμβαίνει μετὰ τὴν ἐδῶ ζωή; δὲν ζητοῦσε ὁ πλούσιος, ὅπως ἀκριβῶς ὁ ἐπαίτης, σταγόνα νεροῦ καὶ δὲν τὸ κατόρθωνε[55]; ὁ δὲ φτωχός, ἐπειδὴ ἦταν ἠθικὸς καὶ ἐνάρετος, δὲν ἀπολάμβανε τὴν πιὸ μεγάλη εὐτυχία, ἔχοντας τὸ ἴδιο τέλος μὲ τὸν Ἀβραάμ; Τί δὲ συνέβηκε μὲ τοὺς ἀποστόλους; δὲν φυλακίζονταν, μαστιγώνονταν, ὑπόφεραν ἀμέτρητα κακὰ καὶ ὅμως ὑπερίσχυαν ἐκείνων ποὺ τοὺς ἔκαμναν αὐτά; Σκέψου βέβαια σὲ πόση ἀπορία τοὺς ἔβαζαν ὥστε νὰ λέγουν ἐκεῖνοι· «Τί νὰ κάνουμε μ' αὐτοὺς τοὺς ἀνθρώπους;»[56]. Ἂν καὶ τοὺς εἶχαν φυλακισμένους καὶ τοὺς κρατοῦσαν δεμένους μέσα στὸ δικαστήριο, καὶ ἐκεῖνοι μὲν ἦταν στὴ θέση τῶν δικαστῶν καὶ τῶν ἀρχόντων, ἐνῶ οἱ ἀπόστολοι βρίσκονταν στὴ θέση τῶν δικαζομένων, ἀλλ' ὅμως αὐτοὶ ὑπερίσχυαν αὐτῶν. Καὶ παντοῦ, ἂν κανεὶς μὲ προσοχὴ ἤθελε ἐξετάσει τὶς διηγήσεις, θὰ δεῖ τὸν ἐνάρετο νὰ ὑπερισχύει τοῦ κακοῦ, μὲ τὴν πραγματικὴ ὑπερίσχυση, ὄχι μὲ αὐτὴ ποὺ ὑπερισχύουν οἱ πολλοί, τὴν ψευδή, τὴν πλανημένη, ποὺ εὔκολα ἐλέγχεται, ἀλλὰ τὴ

*ἐκείνην τὴν πεπηγυῖαν καὶ ἀκίνητον.*

*«Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ»· τουτέστιν, ἀσθενήσει. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ μόνον ἐνταῦθα εὐχείρωτοι ἔσονται, μηδενὸς ἀμύνοντος, μηδενὸς χεῖρα ὀρέγοντος, πᾶσι προκείμενοι, ἀλλὰ καὶ τὸ χαλεπώτερον, οὐδὲ ἐκεῖ ἕξουσί τινα τὸν παριστάμενον, καὶ βοηθοῦντα, καὶ χεῖρα ὀρέγοντα, καὶ παραμυθούμενον αὐτῶν τὴν τιμωρίαν. Οὕτω γοῦν οὔτε αἱ παρθένοι αἱ φρόνιμοι ταῖς μωραῖς βοηθῆσαι ἴσχυσαν, οὐχ ὁ Ἀβραὰμ τῷ πλουσίῳ, οὐ Νῶε, καὶ Ἰὼβ, καὶ Δανιήλ, υἱοῖς καὶ θυγατράσι. Τὸ γάρ, «Παλαιωθήσεται», ἀσθενήσει ἐστίν, ἀφανισθήσεται. «Τὸ γὰρ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ». Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. Οὗ μάλιστα ἐπεθύμουν, δι' ὃ πάντα ἐποίουν, καὶ ἐπραγματεύοντο, ὥστε καὶ μετὰ τελευτὴν δόξης ἀπολαῦσαι πολλῆς, διὰ τῶν χρημάτων, διὰ τῶν οἰκοδομημάτων, διὰ τῶν τάφων, διὰ τῶν ὀνομάτων τῶν ἐπικειμένων τοῖς τάφοις, καὶ τούτου, φησίν, ἐκπεσοῦνται, ὃ μάλιστα αὐτοὺς ἐλύπει ζῶντας καὶ ταῦτα μανθάνοντας. Αἱ γὰρ τοιαῦται οἰκοδομαὶ κατηγορίαι τῶν ἀπελθόντων εἰσί. Κἂν γὰρ τὸ σῶμα τῇ γῇ κρύπτηται, ἀλλ' ὅμως οἱ λίθοι φωνὴν ἀφιᾶσι, καθ' ἑκάστην αὐτῶν κατηγοροῦντες ἡμέραν τῆς ὠμότητος, τῆς ἀναισχυντίας, τοὺς κοινοὺς ἐχθροὺς ἀνακηρύττοντες, τοὺς παριόντας ἀεὶ εἰς ἀρὰς ἐπισπώμενοι καὶ ἐγκλήματα καὶ διαβολάς. Ποία οὖν αὕτη ἡ δόξα, καταλιμπάνειν κατήγορον μὴ σιγῶντα, ἀλλὰ διὰ τῆς ὄψεως τὰ πάντων ἀνοίγοντα στόματα, καὶ πρὸς τοὺς ὀ-*

---

57. Ματθ. 25, 9.
58. Λουκᾶ 16, 25.
59. Ἰεζ. 14, 20.
60. Ἑβρ. 8, 13.

σταθερὴ ἐκείνη καὶ ἀκλόνητη.

«Καὶ ἡ βοήθειά τους, ποὺ εἶχαν ἀπὸ τὰ πλούτη καὶ τὴν ἄλλη κοσμικὴ δύναμη, θὰ παλαιωθεῖ καὶ θ' ἀχρηστευθεῖ στὸν ἅδη»· δηλαδή, θὰ ἐξασθενήσει. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὄχι μόνο ἐδῶ θὰ συλληφθοῦν εὔκολα, ἀφοῦ δὲν θὰ ὑπάρχει κανεὶς νὰ τοὺς ὑπερασπισθεῖ καὶ ν' ἁπλώσει χέρι βοηθείας, καὶ ἔτσι θὰ εἶναι σ' ὅλους ἐκτεθειμένοι, ἀλλὰ καὶ τὸ φοβερώτερο, οὔτε ἐκεῖ θὰ ἔχουν κάποιον νὰ τοὺς ὑποστηρίξει, νὰ τοὺς βοηθήσει, ν' ἁπλώσει χέρι βοηθείας καὶ νὰ παρηγορήσει τὴν τιμωρία τους. Ἔτσι λοιπὸν οὔτε οἱ φρόνιμες παρθένες[57] μπόρεσαν νὰ βοηθήσουν τὶς μωρές, οὔτε ὁ Ἀβραὰμ τὸν πλούσιο[58], οὔτε ὁ Νῶε, ὁ Ἰώβ, καὶ ὁ Δανιὴλ τοὺς υἱούς τους καὶ τὶς θυγατέρες τους[59]. Διότι τό, «Παλαιωθήσεται», σημαίνει θὰ ἐξασθενίσει, θὰ ἐξαφανισθεῖ. Καθόσον «Ἐκεῖνο ποὺ παλαιώνει καὶ γηράσκει, βρίσκεται κοντὰ στὸν ἐξαφανισμό»[60]. Ἀπὸ τὴν ἐπίγειο δόξα τους ἀπογυμνώθηκαν. Ἐκεῖνο ποὺ πρὸ πάντων ἐπιθυμοῦσαν καὶ γιὰ τὸ ὁποῖο ἔκαμναν τὰ πάντα καὶ ἀσχολοῦνταν σ' ὅλη τὴ ζωή τους, ὥστε καὶ μετὰ τὸ θάνατό τους ν' ἀπολαύσουν πολλὴ δόξα, μὲ τὰ χρήματα, μὲ τὰ οἰκοδομήματα, μὲ τοὺς τάφους καὶ μὲ τὰ ὀνόματα ποὺ ἔγραφαν ἐπάνω στοὺς τάφους καὶ ἀπὸ αὐτό, λέγει, θὰ ἐκπέσουν, πράγμα ποὺ πρὸ πάντων τοὺς λυποῦσε ὅσο ζοῦσαν καὶ μάθαιναν αὐτά. Καθόσον οἱ παρόμοιες οἰκοδομὲς εἶναι κατήγοροι ἐκείνων ποὺ ἔφυγαν ἀπὸ αὐτὴ τὴ ζωή. Διότι καὶ ἂν ἀκόμη τὸ σῶμα κρύπτεται μέσα στὴ γῆ, ἀλλ' ὅμως οἱ λίθοι ἀφήνουν φωνή, κατηγορώντας καθημερινὰ τὴ σκληρότητά τους, τὴν ἀιδαντροπιά τους, διακηρύσσοντας τοὺς κοινοὺς ἐχθρούς, καὶ παρακινώντας πάντοτε τοὺς περαστικοὺς σὲ κατάρες, κατηγορίες καὶ συκοφαντίες. Τί δόξα λοιπὸν εἶναι αὐτή, τὸ νὰ ἀφήνει κανεὶς κατήγορο ποὺ δὲν σιωπᾶ, ἀλλ' ἀνοίγει τὰ στόματα ὅλων καὶ μόνο μὲ τὴ θέα, καὶ κάμνει ὅλους ποὺ περνοῦν ἀπὸ ἐκεῖ καὶ βλέπουν τὸν κατήγορο αὐτὸ νὰ ἐξαπολύουν σφο-

ρῶντας ἅπαντας καὶ παριόντας σφοδροτάτην ποιούμενον τὴν ἐντυχίαν κατὰ τῶν οἰκοδομησαμένων; Τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν ἴσον, ὅταν ποιῶσι, ἀφ' ὧν κολάζονται, ἀφ' ὧν καταισχύνονται, ἀφ' ὧν κατηγοροῦνται, ἀφ' ὧν καὶ μετὰ τελευτὴν παρὰ πολλῶν ἀνορύττονται· ἀφ' ὧν αὐτοῖς ἀραὶ καὶ διαβολαὶ καὶ ἐγκλήματα μυρία, καὶ παρὰ τῶν ἠδικημένων καὶ τῶν οὐκ ἠδικημένων;

«Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με». Εἰπὼν τῶν πονηρῶν τὰ ἐπίχειρα, τῆς ἁμαρτίας τὰ ὀψώνια, λέγει καὶ τὰ τῶν χρηστῶν ἔπαθλα· ὃ καὶ αὐτῷ καὶ ἑτέροις προφήταις ποιεῖν ἔθος, ὥστε ἑκατέρωθεν ρυθμίζειν τὸν ἀκροατήν, καὶ ἐκ τῆς κολάσεως τῶν ἁμαρτημάτων, καὶ ἐκ τῶν ἐπάθλων τῆς ἀρετῆς. Τὰ μὲν οὖν ἐκείνων τοιαῦτα, φησίν, ἀτιμία, ματαιοπονία, ἄνοια, γέλως, αἰσχύνη, πανωλεθρία, θάνατος, τιμωρία, κόλασις διηνεκής, τὸ εὐεπηρέαστον, τὸ καὶ δόξης καὶ ἀσφαλείας ἐκπεπτωκέναι, καὶ ζῶντας καὶ τελευτῶντας, τὸ διαβάλλεσθαι, τὸ κατηγορεῖσθαι, τὸ μηδεμίαν εὑρίσκειν παραμυθίαν κακῶν, τὰ δὲ ἡμέτερα τοὐναντίον ἅπαν, ἀπαλλαγὴ κολάσεως, ἐλευθερία ψυχῆς, ἀσφάλεια, δόξα, τιμή. Ταῦτα γὰρ πάντα ᾐνίξατο, εἰπών· «Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με», ᾅδην ἐνταῦθα τὴν κόλασιν λέγων, τὰς ἀφορήτους ἐκείνας ὀδύνας.

Ἐννόησον δὲ καὶ ἡλίκα τὰ τῆς τιμῆς, οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ ἐπαγομένῳ. Ὅταν γὰρ λαμβάνῃ με, φησί, τότε αὐτὸν ἀκριβέστερον ὄψομαι ἢ νῦν. Νῦν γὰρ διὰ πίστεως περι-

δρότατη κατηγορία ἐναντίον ἐκείνων ποὺ τὰ οἰκοδόμησαν; Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴν ἀνοησία, ὅταν κάμνουν πράγματα ἀπὸ τὰ ὁποῖα τιμωροῦνται, ἀπὸ τὰ ὁποῖα καταξευτιλίζονται, ἀπὸ τὰ ὁποῖα κατηγοροῦνται, ἀπὸ τὰ ὁποῖα καὶ μετὰ τὸ θάνατό τους ξεσκεπάζονται ἀπὸ πολλοὺς τὰ ὅσα διέπραξαν, ἀπὸ τὰ ὁποῖα ἐξαπολύονται ἐναντίον τους κατάρες καὶ συκοφαντίες καὶ ἀμέτρητες κατηγορίες καὶ ἀπὸ ἐκείνους ποὺ ἀδικήθηκαν ἀπὸ αὐτούς, καὶ ἀπὸ ἐκείνους ποὺ δὲν ἀδικήθηκαν;

«Πλὴν ὅμως ὁ Θεὸς θὰ ἐλευθερώσει τὴν ψυχή μου ἀπὸ τὰ χέρια τοῦ ἅδη, ὅταν θὰ μὲ πάρει ἀπ' αὐτὴ τὴ ζωή». Ἀφοῦ περιέγραψε τὶς τιμωρίες τῶν κακῶν ἀνθρώπων, τὶς ἀμοιβὲς τῆς ἁμαρτίας, ἀναφέρει καὶ τὰ ἔπαθλα τῶν ἐναρέτων, πράγμα ποὺ συνηθίζει νὰ κάμνει καὶ αὐτὸς καὶ οἱ ἄλλοι προφῆτες, ὥστε καὶ ἀπὸ τὶς δύο πλευρὲς νὰ καθοδηγεῖ τὸν ἀκροατὴ στὴν ἄσκηση τῆς ἀρετῆς, καὶ ἀπὸ τὴν τιμωρία τῶν ἁμαρτημάτων, καὶ ἀπὸ τὰ ἔπαθλα τῆς ἀρετῆς. Τὰ μὲν γνωρίσματα λοιπὸν ἐκείνων εἶναι, λέγει, τὰ ἑξῆς, δηλαδὴ ἀτιμία, ματαιοπονία, ἀνοησία, γέλωτας, ἀδιαντροπιά, πανωλεθρία, θάνατος, τιμωρία, κόλαση αἰώνια, ὁ εὔκολος ἐπηρεασμός, ἡ ἀπώλεια τῆς δόξας καὶ τῆς ἀσφάλειας καὶ ἐν ὅσω ζοῦν καὶ μετὰ θάνατο, τὸ νὰ συκοφαντοῦνται, τὸ νὰ κατηγοροῦνται, τὸ νὰ μὴ βρίσκουν καμιὰ παρηγοριὰ ἀπὸ τὰ κακά, ἐνῶ τὰ δικά μας εἶναι ἐντελῶς τὰ ἀντίθετα, ἀπαλλαγὴ ἀπὸ τὴν κόλαση, ἐλευθερία ψυχῆς, ἀσφάλεια, δόξα, τιμή. Διότι ὅλα αὐτὰ τὰ ὑπαινίχθηκε μὲ τὰ λόγια· «Πλὴν ὅμως ὁ Θεὸς θὰ λυτρώσει τὴν ψυχή μου ἀπὸ τὰ χέρια τοῦ ἅδη, ὅταν θὰ μὲ πάρει ἀπ' αὐτὴ τὴ ζωή», ὀνομάζοντας ἅδη ἐδῶ τὴν κόλαση, τοὺς ἀνυπόφορους ἐκείνους ὀδυνηροὺς πόνους.

Σκέψου λοιπὸν πόσο μεγάλη εἶναι ἡ τιμή, ὄχι μόνο ὡς πρὸς αὐτό, ἀλλὰ καὶ ὡς πρὸς ἐκεῖνο ποὺ προσθέτει. Διότι λέγει «Ὅταν θὰ μὲ πάρει ἀπὸ τὴν ἐδῶ ζωή», τότε θὰ τὸν δῶ ἀκριβέστερα παρὰ τώρα. Διότι τώρα περπατᾶ-

πατοῦμεν, οὐ διὰ εἴδους, τότε δὲ πρόσωπον κατὰ πρόσωπον. Τῆς δὲ ψυχῆς λυτρουμένης, καὶ τὸ σῶμα κοινωνήσει τῶν ἀγαθῶν. «Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ». Τούτων οὕτως ἐχόντων, φησί, τί δέδοικας τὰ παρόντα; τί σε λυπεῖ πενία; τί φοβῇ τὸν εὔπορον; Ἤκουσας τὰ περὶ τῆς ἀναστάσεως καὶ τῆς τῶν ἀγαθῶν λήξεως, καὶ τῆς τῶν πονηρῶν τιμωρίας; Τί τοίνυν δέδοικας λοιπὸν τὰς σκιάς; Τὰ μὲν γὰρ μόνιμα καὶ πεπηγότα ἐκεῖνα, ταῦτα δὲ ἄνθεσι μαραινομένοις ἔοικε. Διὸ καὶ πάντα τὰ ἄλλα ἀείς, ἐπὶ τὴν ἀκρόπολιν τῶν κακῶν ἐπήδησε τοῦ πλούτου τὴν ἐπιθυμίαν· ταύτης γὰρ καταβληθείσης, καὶ τὰ ἄλλα συγκαταλύεται.

10. Καὶ πῶς μὴ φοβηθῶ, φησί, τοσαῦτα δυναμένους; Πρόσκαιρος ἡ δυναστεία, μονόωρος ἡ ἰσχύς, παροδεύεται ἡ εὐημερία, σκιὰς μιμεῖται καὶ ὀνείρατα τὰ χρήματα, καὶ ὁ πλοῦτος, καὶ ἡ τοσαύτη τιμή· διὸ καὶ ἐπήγαγεν· «Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ», τὴν αἰτίαν τιθεὶς τοῦ μὴ δεδοικέναι τὰ πρόσκαιρα. Ἦλθεν ὁ θάνατος, φησί, τὴν ῥίζαν ἔτεμε, καὶ ἡ κόμη μετὰ τῶν φύλλων ἅπασα κατηνέχθη, καὶ πᾶσιν εὐχείρωτος ἡ οἰκία. Καθάπερ οὖν πρόβατα καὶ αἶγες ἐπιτίθενται δένδρῳ κειμένῳ μετὰ τὴν τομήν, οὕτω δὴ καὶ ἐπὶ τῶν οὕτω πλουτούντων πολλοὶ τῶν ἐχθρῶν, πολλοὶ τῶν φίλων, πολλοὶ τῶν εὐεργετηθέντων τὰ ἐκείνων λυμαινόμενοι εὑρίσκονται· καὶ ὁ τοσαῦτα περιβεβλημένος, καὶ τοσούτους οἰνοχόους, μαγείρους, κρατῆρας ἀργυροῦς καὶ χρυσοῦς ἔχων, πλέθρα γῆς τόσα καὶ τόσα, οἰκίας, ἀνδράποδα, ἵππους, ἡμιόνους, καμήλους, στρατόπεδα οἰκετῶν, ἄπεισι μόνος, καὶ οὐ-

με μὲ τὴν πίστη, καὶ ὄχι βλέποντας τὴ μορφή του, ἐνῶ τότε θὰ τὸν βλέπουμε πρόσωπο πρὸς πρόσωπο. Ἐφόσον δὲ θὰ λυτρωθεῖ ἡ ψυχή, θὰ μετάσχει καὶ τὸ σῶμα στὰ ἀγαθά. «Μὴ ἀπελπίζεσαι ὅταν ὁ ἄνθρωπος ἀποκτήσει πλοῦτο, ἢ ὅταν αὐξηθεῖ ἡ δόξα τοῦ οἴκου του». Ἀφοῦ αὐτὰ ἔχουν ἔτσι, γιατί, λέγει, φοβᾶσαι τὰ παρόντα; γιατί σὲ στενοχωρεῖ ἡ φτώχεια; γιατί φοβᾶσαι τὸν πλούσιο; Ἄκουσες τὰ σχετικὰ μὲ τὴν ἀνάσταση, τὸ τέλος τῶν ἀγαθῶν καὶ τὴν τιμωρία τῶν κακῶν; Τί λοιπὸν φοβᾶσαι πλέον τὶς σκιές; Διότι ἐκεῖνα μέν εἶναι μόνιμα καὶ σταθερά, ἐνῶ αὐτὰ μοιάζουν μὲ ἄνθη μαραινόμενα. Γι᾽ αὐτό, ἀφοῦ ἄφησε ὅλα τὰ ἄλλα, πήδησε πρὸς τὴν ἀκρόπολη τῶν κακῶν, δηλαδὴ τὴν ἐπιθυμία τοῦ πλούτου· διότι, ἂν αὐτὴ ἐξουδετερωθεῖ, καταστρέφονται μαζὶ μ᾽ αὐτὴ καὶ τὰ ἄλλα.

10. Καὶ πῶς, λέγει, νὰ μὴ φοβηθῶ, ἀφοῦ μποροῦν νὰ κάνουν τόσα πολλά; Εἶναι πρόσκαιρη ἡ ἐξουσία, στιγμιαία ἡ δύναμη, ἔρχεται καὶ φεύγει ἡ εὐτυχία, τὴ σκιὰ μιμοῦνται καὶ τὰ ὀνείρατα τὰ χρήματα, ὁ πλοῦτος καὶ ἡ τόσο μεγάλη τιμή· γι᾽ αὐτὸ καὶ πρόσθεσε· «Διότι δὲν θὰ τὰ πάρει ὅλα αὐτὰ μαζί του ὅταν πεθάνει, οὔτε ἡ δόξα του θὰ κατεβεῖ μαζί του στὸν τάφο», γιὰ νὰ δηλώσει τὸ λόγο γιὰ τὸν ὁποῖο δὲν πρέπει νὰ φοβᾶται τὰ πρόσκαιρα. Ἦλθε, λέγει, ὁ θάνατος, ἔκοψε τὴ ρίζα, καὶ ἡ κόμη μὲ ὅλα τὰ φύλλα σωριάσθηκε κάτω καὶ οἱ οἰκία ἔγινε εὐκολοκατάβλητη ἀπὸ ὅλους. Ὅπως ἀκριβῶς δηλαδὴ τὰ πρόβατα καὶ τὰ γίδια πέφτουν μὲ ὁρμὴ ἐπάνω στὸ μετὰ ἀπὸ τὸ κόψιμο σωριασμένο δένδρο, ἔτσι λοιπὸν συμβαίνει νὰ θέλουν νὰ καταστρέψουν πολλοὶ ἀπὸ τοὺς ἐχθρούς, πολλοὶ ἀπὸ τοὺς φίλους καὶ πολλοὶ ἀπὸ ἐκείνους ποὺ εὐεργετήθηκαν, τὰ ὅσα πλούτη ἐκεῖνοι ἀπέκτησαν κατ᾽ αὐτὸ τὸν τρόπο· καὶ αὐτὸς ποὺ περιβαλλόταν μὲ τόσα πολλὰ καὶ εἶχε τόσους πολλοὺς οἰνοχόους, μαγείρους, ἀργυρὰ καὶ χρυσὰ σκεύη, καὶ τόσες πολλὲς ἐκτάσεις γῆς καὶ οἰκίες καὶ δούλους καὶ ἵππους καὶ ἡμιόνους καὶ καμῆλες, καὶ στρατόπεδα ὑπηρε-

*δεὶς αὐτῷ συναπέρχεται, ἀλλ' οὐδὲ αὐτὰ λαμβάνων ἄπεισι τὰ ἱμάτια. Καὶ γὰρ ὅσωπερ ἂν λαμπρὰ περικέηται, τοσούτῳ δαψιλεστέραν ἄπεισι παρασκευάζων τῷ σκώληκι τὴν τράπεζαν, καὶ πλείονα τοῖς τυμβωρύχοις ἐπιθυμίαν, καὶ μείζονα κατὰ τοῦ ἀθλίου σώματος τὴν ἐπιβουλήν. Δι' ὧν γὰρ καλλωπίζει μειζόνως, διὰ τούτων ὑβρίζεσθαι σφοδρότερον αὐτὸν κατασκευάζων, τὰς χεῖρας τῶν ἀνορυττόντων τὰς θήκας ἐφ' ἑαυτὸν ὁπλίζων καὶ καλῶν.*

*Καὶ τί τοῦτο; φησίν· ἀλλ' ἐνταῦθα μεγάλα κομπάζει, καὶ φυσᾷ μέχρι τῆς τελευτῆς. Μάλιστα μὲν πολλοὶ οὐδὲ μέχρι τῆς τελευτῆς, ἀλλ' ἐπιβούλων τινῶν ἐπιφυέντων αὐτοῖς, μυρίων καταδίκων χαλεπώτερα ἔπαθον, καὶ τὰ χρήματα ἀφαιρεθέντες, καὶ ἀτιμίᾳ περιβληθέντες, καὶ δεσμωτήριον οἰκήσαντες Καὶ γὰρ ὁ χθὲς ἐν ὀχήματι, σήμερον ἐν ἁλύσει· ὁ χθὲς ὑπὸ κολάκων θεραπευόμενος, ὑπὸ δημίων κυκλοῦται νῦν· ὁ μύρων ὄζων, αἵματι περιρρεῖται· ὁ κατακείμενος ἐπὶ στρωμνῆς ἁπαλῆς, ἐπ' ἐδάφους ἔρριπται σκληροῦ· ὁ παρὰ πάντων θεραπευόμενος, παρὰ πάντων καταφρονεῖται. Ἀλλὰ καὶ μέχρι τελευτῆς τὰ πρὸς κηδείαν αὐτῷ λαμπρὰ καὶ περιφανῆ. Καὶ τί πρὸς ἐκεῖνον τὸν οὐκ αἰσθανόμενον; Πλείων ἡ δυσωδία, μείζων ἡ βδελυγμία, σφοδρότερος ὁ φθόνος· καὶ γὰρ τελευτήσαντι διηνεκὴς τοῖς παιδίοις ὁ πόλεμος ἀπὸ τῆς πολυτελείας ἐκείνης. Καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ ῥήματος, καὶ τὴν ἐπίτασιν τῆς φιλοσοφίας. Οὐ γὰρ μόνον αὐτὸν ἐκ τοῦ μὴ συναποδημεῖν πλήττει, ἀλλὰ καὶ ἐνταῦθα αὐτὸν πάσης*

τῶν, φεύγει μόνος ἀπ' αὐτὴ τὴ ζωὴ καὶ κανεὶς δὲν τὸν ἀκολουθεῖ, ἀλλ' φεύγει χωρὶς νὰ παίρνει μαζί του οὔτε τὰ ἐνδύματά του. Καθόσον μὲ ὅσο περισσότερο λαμπρὰ πράγματα περιβάλλεται, τόσο πλουσιώτερη, φεύγοντας, προετοιμάζει τὴν τράπεζα τῶν σκουληκιῶν, τόσο περισσότερο μεγαλώνει τὴν ἐπιθυμία τῶν τυμβωρύχων καὶ τόσο περισσότερο αὐξάνει τὰ ἐπίβουλα σχέδια ἐναντίον τοῦ ἀθλίου σώματός του. Διότι μὲ ὅσα περισσότερα τό καλλωπίζει, μέ αὐτά προετοιμάζει τόσο περισσότερο τὴν περιφρόνηση τοῦ ἑαυτοῦ του, ὁπλίζοντας καὶ καλώντας κατὰ τοῦ ἑαυτοῦ του τὰ χέρια ἐκείνων πού σκάβουν τοὺς τάφους.

Καὶ τί σημασία, λέγει, ἔχει αὐτό; διότι ἐδῶ ἔχει νὰ παρουσιάζει μεγάλη ἐπίδειξη καὶ καυχιέται μέχρι τὸ τέλος τῆς ζωῆς του. Καὶ μάλιστα πολλοὶ οὔτε μέχρι τὸ θάνατό τους, ἀλλ' ἀφοῦ ξεφύτρωσαν μερικοὶ ἐπίβουλοι ἐναντίον τους, ἔπαθαν χειρότερα ἀπὸ ἀμέτρητους καταδίκους, καὶ τὰ χρήματα τοὺς ἀφαιρέθηκαν, καὶ τὴν ἀτίμωση ὑπέστησαν καὶ τὴ φυλακὴ ἔκαναν κατοικία τους. Καθόσον ἐκεῖνος πού χθὲς μεταφερόταν μὲ ὄχημα, σήμερα εἶναι ἁλυσοδεμένος, ἐκεῖνος πού χθὲς δεχόταν τὶς περιποιήσεις τῶν κολάκων, σήμερα περικυκλώνεται ἀπὸ δημίους· ἐκεῖνος πού μοσχοβολοῦσε ἀπὸ ἀρώματα, εἶναι περιλουσμένος μὲ αἷμα· ἐκεῖνος πού ἀναπαυόταν σὲ στρῶμα μαλακό, εἶναι πεταμένος ἐπάνω στὸ σκληρό χῶμα· ἐκεῖνος πού ὑπηρετοῦνταν ἀπὸ ὅλους, ἀπὸ ὅλους περιφρονεῖται. Ἀλλὰ καὶ μέχρι τὸ θάνατό του εἶναι λαμπρὲς καὶ ἔνδοξες οἱ φροντίδες γιὰ τὴν κηδεία του. Καὶ ποιὰ ἀξία ἔχουν αὐτὰ γιὰ ἐκεῖνον πού δὲν αἰσθάνεται; Εἶναι περισσότερη ἡ δυσωδία, μεγαλύτερη ἡ ἀηδία, σφοδρότερος ὁ φθόνος· καθόσον πεθαίνοντας καθίσταται ἀδιάκοπος ὁ πόλεμος ἐναντίον τῶν παιδιῶν του ἐξ αἰτίας ἐκείνης τῆς πολυτελείας. Καὶ πρόσεχε τὴν ἀκρίβεια τοῦ λόγου καὶ τὸ μέγεθος τῆς φιλοσοφίας. Διότι δέν πλήττει μόνο αὐτόν μὲ τὸ ὅτι δὲν τόν ἀκολουθεῖ ὁ πλοῦτος πεθαίνοντας, ἀλλὰ καὶ ἐδῶ τὸν ἀπο-

*γυμνοῖ τῆς φαντασίας, καὶ οὐδὲ πλοῦτον ὄντα δείκνυσιν, οὐδ' ὅταν ἀπολαύῃ αὐτοῦ ὁ κεκτημένος. Οὐ γὰρ εἶπεν, 'ὅταν πληθυνθῇ ἡ δόξα αὐτοῦ', ἀλλ', «Ἡ δόξα τοῦ οἴκου αὐτοῦ». Ταῦτα γὰρ ἅπαντα, ἅπερ ἀπηριθμησάμην, πηγαί, καὶ περίπατοι, καὶ βαλανεῖα, χρυσίον καὶ ἀργύριον, ἵπποι καὶ ἡμίονοι, καὶ τάπητες καὶ ἱμάτια, τοῦ οἴκου δόξα, οὐ τοῦ τὸν οἶκον οἰκοῦντος ἀνθρώπου. Ἀνθρώπου γὰρ ἡ δόξα ἡ ἀρετή, ὅθεν καὶ συναποδημεῖ τῷ κεκτημένῳ. Αὕτη δὲ οἴκου δόξα μένει· μᾶλλον δὲ οὐδὲ μένει, ἀλλὰ μετὰ τοῦ οἴκου καὶ συγκαταλύεται, οὐδὲν τὸν ἐν αὐτῷ ἀναστραφέντα ὠφελήσασα· οὐδὲ γὰρ ἦν αὐτοῦ.*

*«Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται». Εἰπὼν περὶ τοῦ πλούτου αὐτοῦ καὶ τῆς δόξης, ἐπὶ τὸν τῶν εὐφημιῶν διαβαίνει λόγον. Ἐπειδὴ γὰρ καὶ τοῦτο μάλιστα τοῖς πλουσίοις περισπούδαστον, αἱ ἐν ἀγορᾷ κολακεῖαι, αἱ παρὰ τοῦ δήμου θεραπεῖαι, αἱ δημοτελεῖς εὐφημίαι, τὰ ὑποκρίσεως γέμοντα ἐγκώμια, καὶ μέγα εἶναι δοκεῖ τὸ καὶ ἐν θεάτροις, τὸ καὶ ἐν συμποσίοις, τὸ καὶ ἐν δικαστηρίοις κροτεῖσθαι, παρὰ πάντων ἀνακηρύττεσθαι, ζηλωτοὺς εἶναι νομίζεσθαι, ὅρα καὶ τοῦτο πῶς καθαιρεῖ πάλιν ἀπὸ τοῦ χρόνου. Ἐν γὰρ τῇ ζωῇ αὐτοῦ, φησί, τουτέστιν, αὗται αἱ θεραπεῖαι, καὶ τὸ εὐλέγεσθαι αὐτόν, μέχρι τοῦ παρόντος βίου· μετὰ δὲ τῶν ἄλλων καὶ τοῦτο συγκαταλύεται, ὡς πρόσκαιρον, καὶ ἐπίκηρον. Ἀλλὰ καὶ ἡνίκα ἂν γίνηται ἐκ παροχῆς τῶν εὐφημούντων, μετὰ τελευτὴν εἰς τοὐναντίον μεθίσταται, ὅταν τὸ τοῦ φόβου προσωπεῖον περιαιρεθῇ.*

*«Ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ». Ὅρα πῶς καὶ τὰς εὐεργεσίας αὐτῶν διαβάλλει. Σὺ μὲν γὰρ κολακεύεις καὶ θεραπεύεις, ὑποκρινόμενος πρόσκαιρόν τινα θερα-*

γυμνώνει ἀπὸ κάθε ἐξωτερικὴ λαμπρότητα, καὶ δείχνει ὅτι δὲν εἶναι πλοῦτος, οὔτε καὶ ὅταν τὸν ἀπολαμβάνει ὁ κάτοχός του. Διότι δὲν εἶπε, 'ὅταν αὐξηθεῖ ἡ δόξα του', ἀλλ' «Ἡ δόξα τοῦ οἴκου του». Καθόσον ὅλα αὐτὰ ποὺ ἀπαριθμήσαμε, πηγὲς δηλαδὴ καὶ περίπατοι καὶ λουτρὰ καὶ χρυσὰ καὶ ἀργυρὰ νομίσματα, ἵπποι καὶ ἡμίονοι, τάπητες καὶ ἐνδύματα, εἶναι δόξα τοῦ οἴκου, καὶ ὄχι δόξα τοῦ ἀνθρώπου ποὺ κατοικεῖ στὸν οἶκο. Διότι δόξα τοῦ ἀνθρώπου εἶναι ἡ ἀρετή, γι' αὐτὸ καὶ ἀναχωρεῖ μαζὶ μέ αὐτόν ποὺ τὴν ἔχει. Ἐνῶ αὐτὴ παραμένει δόξα τοῦ οἴκου· μᾶλλον δὲ οὔτε μένει, ἀλλὰ μαζὶ μὲ τὸν οἶκο συγκαταστρέφεται, χωρὶς νὰ ὠφέλησε καθόλου αὐτὸν ποὺ ἔζησε μέσα σ' αὐτόν· διότι δὲν ἦταν δική του.

«Διότι αὐτὸς μόνο σ' αὐτὴ τὴ ζωὴ θὰ ἐπαινεῖται». Ἀφοῦ μίλησε γιὰ τὸν πλοῦτο αὐτοῦ καὶ τὴ δόξα του, προχωρεῖ στὴ συνέχεια στοὺς ἐπαινετικοὺς λόγους. Ἐπειδὴ δηλαδὴ καὶ αὐτό ἀποτελεῖ κατ' ἐξοχὴ φροντίδα τῶν πλουσίων, οἱ κολακεῖες δηλαδὴ στὴν ἀγορά, οἱ ἐκδουλεύσεις τοῦ δήμου, οἱ ἐπευφημίσεις τῶν δημοτῶν, τὰ γεμάτα ἀπὸ ὑποκρισία ἐγκώμια, καὶ θεωρεῖται πολὺ σπουδαῖο τὸ νὰ χειροκροτοῦνται στὰ θέατρα, στὰ συμπόσια καὶ στὰ δικαστήρια, καὶ ἀπό ὅλους νὰ διακηρύσσονται καὶ νὰ θεωροῦνται ἀξιοζήλευτοι, πρόσεχε καὶ αὐτὸ πῶς τό ἐξαφανίζει πάλι μέ τὸ χρόνο. Διότι, λέγει, διαρκοῦν ὅλα αὐτὰ ὅσο ἡ ζωή του, δηλαδὴ οἱ ἐκδουλεύσεις καὶ οἱ ἔπαινοι διαρκοῦν ὅσο ἡ παρούσα ζωή, μαζὶ δὲ μὲ τὰ ἄλλα ἐξαφανίζεται καὶ αὐτό, σὰν πρόσκαιρο καὶ παροδικό. Ἀλλὰ καὶ ὅταν συμβαίνει νὰ προέρχεται ἀπὸ αὐτοὺς ποὺ ἐπαινοῦν, μετὰ τὸ θάνατό του καὶ αὐτὸ μεταβάλλεται στὸ ἀντίθετο, ὅταν ἀφαιρεθεῖ τὸ προσωπεῖο τοῦ φόβου.

«Θὰ σὲ ἐπαινέσει καὶ αὐτός, ὅταν καὶ σὺ ἐπαινεῖς αὐτόν». Πρόσεχε πῶς κατηγορεῖ καὶ τὶς εὐεργεσίες αὐτῶν. Διότι σὺ μὲν κολακεύεις καὶ κάμνεις ἐκδουλεύσεις, ὑποκρινόμενος κάποια πρόσκαιρη ἐκδούλευση καὶ γεμάτη

*πείαν καὶ ὑποκρίσεως γέμουσαν, ἐκεῖνος δὲ κἂν χάριτάς σοι ὁμολογήσει, ὠνούμενος παρὰ σοῦ τὸ τὰ ἀρέσκοντα αὐτῷ ποιεῖν, καὶ πολλοῦ τοῦτο ὠνούμενος, τότε εὐχαριστήσει σοι, φησί. Τὸ γὰρ «ἐξομολογήσεται» τοῦτό ἐστιν, «ὅταν ἀγαθύνῃς αὐτῷ». Οὐκ εἶπεν, ὅταν τι χρήσιμον ἐργάσῃ, ὅταν εὐεργετήσῃς, ἀλλ', «Ὅταν τὰ ἀρεστὰ αὐτῷ, καὶ κατὰ γνώμην ᾖ, καὶ κατὰ νοῦν ὑπηρετήσῃς», δεικνύς, ὅτι ἑκατέρωθεν ἡ βλάβη, ἀπό τε τῆς πεπλασμένης κολακείας, καὶ ἀπὸ τῆς ἐπιβλαβοῦς διακονίας.*

*«Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς». «Εἰσελεύσεται», ἤγουν μιμήσεται τὸν τῶν πατέρων ζῆλον, καὶ ἐκ πονηρῶν ὤν, πονηρίαν διαδέξεται· ἢ ἀντὶ τοῦ, εἰ μὴ πράξας τι ἀγαθόν, εὑρεθήσεται ἐκ τοῦ πλούτου οὐδὲν ὠφελούμενος· καταλείψεται δὲ τοὺς πρὸ αὐτοῦ κειμένους ἐν κόνει ἄχρι τῆς κρίσεως, οὐδὲ φῶς ἰδεῖν δυνάμενος κατὰ τὸν τῆς φύσεως νόμον. Εἶτα πάλιν ἐπαναλαμβάνει τὰ προειρημένα λέγων· «Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς». Ὁ τοιοῦτος, φησίν, ὁ οὕτως ἀποθανών, ὁ μὴ διοικήσας δεόντως τὰ χρήματα, οὐδὲν διοίσει ἀλόγου, ὡς μὴ ἐπιγνοὺς ἣν ἐδέξατο τιμὴν ἐκ Θεοῦ, ἀφομοιωθεὶς τοῖς κτήνεσιν, οἷς τὸ πέρας ἐστὶ τῆς ζωῆς θάνατος μόνον· ὧν ῥυσθείημεν οἵ τε μανθάνοντες ταῦτα καὶ οἱ διδάσκοντες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἀπὸ ὑποκρισία, ἐκεῖνος ὅμως καὶ ἂν ἀκόμη ἐκφράσει τὴν εὐγνωμοσύνη του πρὸς ἐσένα, ἐξαγοράζοντας ἀπὸ σένα τό νὰ κάμνεις αὐτὸ ποὺ ἀρέσει σ' αὐτόν, καὶ ἐξαγοράζοντας αὐτὸ ἀντὶ μεγάλου τιμήματος, τότε, λέγει, θὰ σὲ εὐχαριστήσει. Διότι αὐτὸ σημαίνει τὸ «ἐξομολογήσεται», «ὅταν καὶ σὺ ἐπαινεῖς αὐτόν». Δὲν εἶπε, ὅταν κάμεις κάτι τὸ χρήσιμο, ὅταν τὸν εὐεργετήσεις, ἀλλ' «Ὅταν κάμεις αὐτὰ ποὺ ἀρέσουν σ' αὐτὸν καὶ ποὺ συμφωνοῦν μὲ αὐτὸν καὶ τὸν ὑπηρετήσεις ὅπως αὐτὸς θέλει», γιὰ νὰ δείξει, ὅτι ἡ βλάβη προέρχεται καὶ ἀπὸ τὶς δυὸ πλευρές, καὶ ἀπὸ τὴν πλαστὴ κολακεία, καὶ ἀπὸ τὴν ἐπιβλαβὴ ἐκδούλευση.

«Θά εἰσέλθει καὶ θὰ προχωρήσει μέσα στὸν ᾅδη μέχρι ποὺ νὰ συναντήσει τὶς γενεὲς τῶν πατέρων του, καὶ αἰώνια πλέον δὲν θά δεῖ φῶς. Καὶ ἐνῶ εἶναι ἄνθρωπος μὲ τιμὴ καὶ ἀξία, ὅμως δὲν τὸ ἀντιλήφθηκε· ἐξισώθηκε μὲ τὰ ἀνόητα κτήνη καὶ ἔγινε ὅμοιος μὲ αὐτά». «Εἰσελεύσεται», δηλαδὴ θὰ μιμηθεῖ τὸ ζῆλο τῶν πατέρων του, καὶ προερχόμενος ἀπὸ κακοὺς θὰ διαδεχθεῖ καὶ τὴν κακία τους· ἢ σημαίνει, ὅτι θὰ βρεθεῖ χωρὶς καμιὰ ὠφέλεια ἀπὸ τὸν πλοῦτο, ἀφοῦ δὲν ἔκαμε κανένα καλό· θά κληρονομήσει δὲ τούς θαμμένους πρὶν ἀπὸ αὐτὸν μέσα στὴ σκόνη μέχρι τὴν ἡμέρα τῆς κρίσεως, μὴ μπορώντας, σύμφωνα μὲ τὸν φυσικὸ νόμο, νά δεῖ φῶς. Ἔπειτα πάλι ἐπαναλαμβάνει τὰ προαναφερθέντα λόγια· «Καί, ἐνῶ εἶναι ἄνθρωπος μὲ τιμὴ καὶ ἀξία, δέν τὸ ἀντιλήφθηκε· ἐξισώθηκε μὲ τὰ ἀνόητα κτήνη καὶ ἔγινε ὅμοιος μὲ αὐτά». Ὁ ἄνθρωπος, λέγει, αὐτός, ποὺ πέθανε ἔτσι, ποὺ δὲν χρησιμοποίησε ὅπως πρέπει τὰ χρήματα, δὲν θὰ διαφέρει καθόλου ἀπὸ τὸ ἄλογο ζῶο, διότι δὲν ἀντιλήφθηκε τὴν τιμὴ ποὺ ἔλαβε ἀπό τὸ Θεὸ καὶ ἔτσι ἔγινε ὅμοιος μὲ τά κτήνη, τῶν ὁποίων τὸ τέλος τῆς ζωῆς εἶναι μόνο θάνατος. Εἴθε νὰ λυτρωθοῦμε ἀπὸ αὐτὰ καὶ οἱ διδασκόμενοι αὐτὰ καὶ οἱ διδάσκοντες, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΜΘ΄ ΨΑΛΜΟΝ

*«Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν».*

*1. Καὶ ἀλλαχοῦ φησιν ὁ αὐτός· «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν». Καὶ πάλιν· «Ἐγὼ εἶπα, θεοί ἐστε». Καὶ ὁ Παῦλος· «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ καὶ κύριοι πολλοί». Καὶ ὁ Μωϋσῆς· «Θεοὺς οὐ κακολογήσεις». Καὶ ἀλλαχοῦ· «Ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων». Καὶ πάλιν ὁ αὐτός· «Ὁ καταρώμενος Θεόν, ἁμαρτίαν λήψεται· ὁ δὲ ὀνομάζων τὸ ὄνομα Κυρίου, λιθοβοληθήσεται». Καὶ πάλιν· «Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ὑποκάτω τοῦ οὐρανοῦ». Τίνας οὖν δηλοῖ διὰ τοῦ ὀνόματος τούτου ἐν ἐκείναις ταῖς μαρτυρίαις, καὶ τίνας ἐνταῦθα λέγει θεούς; Τοὺς ἄρχοντας. Διὸ καὶ ἐπάγει· «Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς». Λέγει καὶ τοὺς ἐκ προγόνου τινὸς ἐναρέτου γεγεννημένους. Ἐπειδὴ γὰρ ὁ Ἐνὼς πολλὴν ἀρετὴν ἐπιδειξάμενος ἐκλήθη τῷ ὀνόματι τοῦ Θεοῦ· οἱ δὲ ἐξ ἐκείνου πάντες, καὶ οἱ ἔκγονοι τοῦ ἀδελφοῦ ἐκείνου ἀλλήλοις ἐμίγνυντο, υἱοὺς τοῦ Θεοῦ καλεῖ τοὺς τοῦ ἐναρέτου. «Ἤρξαντο» γάρ, φησίν, «ἐπικαλεῖσθαι τῷ ὀνόματι τοῦ Θεοῦ». Λέγει καὶ τὸν τῶν Ἰουδαίων λαόν, ταύτῃ τιμηθέντα τῇ προσηγορίᾳ ἐν τῷ λέγειν· «Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες»· καὶ ἄλλος, «Υἱὸς πρω-*

---

1. Εἶναι ψαλμὸς λυρικὸς καὶ δραματικὸς καὶ προϊὸν τοῦ χρυσοῦ αἰώνα τῆς ἑβραϊκῆς ποιήσεως. Κεντρικὴ ἔννοια τοῦ ὅλου ψαλμοῦ εἶναι τὸ ἀνωφελὲς καὶ ἄκαρπο τῆς λατρείας ποὺ περιορίζεται στοὺς ἐξωτερικοὺς μόνο τύπους καθὼς καὶ τὸ θεομίσητο τῆς ὑποκρισίας, ποὺ, κάτω ἀπὸ τὸ προσωπεῖο τῆς διδασκαλίας τοῦ νόμου, καταργεῖ τελείως ἀδιάντροπα τὴν ἀληθινὴ λατρεία πρὸς τὸ Θεό. Ὁ Θεὸς δὲν ἀρέσκεται σὲ θυσίες ζώων, ἀλλὰ θέλει θυσίες πνευματικές, θυσίες αἰνέσεως.

2. Ψαλμ. 81, 1.
3. Ψαλμ. 81, 6.
4. Α΄ Κορ. 8, 5.
5. Ἐξ. 22, 28.
6. Γεν. 6, 2.
7. Λευτ. 24, 15 - 16.
8. Ἰερ. 10, 11.
9. Ἐξ. 22, 8.

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΜΘ΄ ΨΑΛΜΟ[1]

«Ὁ Θεὸς ὁ Κύριος τῶν θεῶν μίλησε καὶ κάλεσε τοὺς κατοίκους τῆς γῆς ἀπὸ τὴν ἀνατολὴ μέχρι τὴ δύση».

1. Καὶ ἀλλοῦ λέγει ὁ ἴδιος· «Ὁ Θεὸς στάθηκε ἀνάμεσα σὲ σύναξη θεῶν»[2]. Καὶ πάλι· «Ἐγὼ εἶπα, εἶστε θεοί»[3]. Καὶ ὁ Παῦλος· «Διότι καὶ ἂν ὑπάρχουν λεγόμενοι θεοὶ καὶ κύριοι πολλοί»[4]. Καὶ ὁ Μωϋσῆς λέγει· «Νὰ μὴ κακολογεῖς τοὺς θεούς»[5]. Καὶ ἀλλοῦ· «Ὅταν εἶδαν οἱ υἱοὶ τοῦ Θεοῦ τὶς θυγατέρες τῶν ἀνθρώπων»[6]. Καὶ πάλι ὁ ἴδιος λέγει· «Ἐκεῖνος ποὺ θὰ βλασφημήσει τὸ Θεὸ θὰ θεωρηθεῖ ἔνοχος ἁμαρτίας, ἐνῶ ἐκεῖνος ποὺ θ' ἀναφέρει μὲ ἀσέβεια τὸ ὄνομα τοῦ Κυρίου, θὰ λιθοβοληθεῖ»[7]. Καὶ πάλι· «Θεοὶ ποὺ δὲν δημιούργησαν τὸν οὐρανὸ καὶ τὴ γῆ ἂς χαθοῦν ἀπὸ κάθε σημεῖο ποὺ βρίσκεται κάτω ἀπὸ τὸν οὐρανό»[8]. Ποιοὺς λοιπὸν ἐννοεῖ μὲ αὐτὸ τὸ ὄνομα στὶς μαρτυρίες ποὺ ἀναφέραμε, καὶ ποιοὺς ὀνομάζει ἐδῶ θεούς; Τοὺς ἄρχοντες. Γι' αὐτὸ καὶ προσθέτει· «Νὰ μὴ καταλογήσεις τοὺς θεούς, καὶ ἄρχοντα τοῦ λαοῦ σου νὰ μὴ κατακρίνεις»[9]. Ἀκόμη ὀνομάζει θεοὺς καὶ ἐκείνους ποὺ γεννήθηκαν ἀπὸ κάποιο ἐνάρετο πρόγονο. Ἐπειδὴ δηλαδὴ ὁ Ἐνὼς ἐπέδειξε πολλὴ ἀρετὴ ὀνομάσθηκε μὲ τὸ ὄνομα τοῦ θεοῦ· ὅλους δὲ ἐκείνους ποὺ γεννήθηκαν ἀπὸ αὐτὸν καθὼς καὶ τοὺς ἀπογόνους τοῦ ἀδελφοῦ του ἀπὸ τοὺς μεταξύ τους γάμους, τοὺς ὀνομάζει υἱοὺς τοῦ ἐναρέτου θεοῦ. Διότι λέγει· «Ἄρχισαν νὰ ἀποκαλοῦνται μὲ τὸ ὄνομα τοῦ Θεοῦ»[11]. Ἐννοεῖ καὶ τὸν Ἰουδαϊκὸ λαό, ποὺ τιμήθηκε μὲ αὐτὴ τὴν ὀνομασία μὲ τὰ λόγια· «Ἐγὼ εἶπα, εἶστε θεοὶ καὶ ὅλοι εἶστε υἱοὶ τοῦ Ὑψίστου»[12]. Καὶ ἄλλος λέγει· «Ὁ Ἰσραὴλ εἶναι ὁ

---

10. Ἐνώς· ἦτο υἱὸς τοῦ Σήθ. Γεν. 4, 26 καὶ 5, 6-10.
11. Γεν. 4, 26. 12. Ψαλμ. 81, 6.

τότοκός μου Ἰσραήλ». Καὶ γὰρ οὕτως ἐκάλει αὐτῶν τὸν δῆμον δι' οἰκείαν φιλανθρωπίαν. Οὕτω καὶ ἐκεῖνο λύεται τό, «Ὁ καταρώμενος Θεόν, ἁμαρτίαν λήψεται»· τουτέστιν, ὁ τὸν ἄρχοντα κακῶς λέγων, ἁμαρτάνει «Ὁ δὲ ὀνομάζων τὸ ὄνομα Κυρίου λιθοβοληθήσεται»· τουτέστιν ὁ τοῖς μὴ οὖσι προσάπτων τὸ τοῦ ὄντος Θεοῦ ὄνομα. Ἐπεὶ γὰρ ἀσύγγνωστον τὸ ἁμάρτημα, καὶ ἡ ἐπ' αὐτῷ τιμωρία χαλεπωτάτη. Λέγονται καὶ οἱ τῶν Ἑλλήνων θεοί, οὐ κατὰ τιμήν, οὔτε χάριτι προσηγορίας, ἀλλὰ διὰ τὴν ἀπάτην τῶν πλανηθέντων, καὶ οὕτως αὐτοὺς καλεσάντων. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί», δηλῶν ὅτι οὐκ ὄντες οὐδὲ μέχρι προσηγορίας τῆς κατὰ τιμήν.

Ἐνταῦθα οὖν περὶ τίνων λέγει, «Θεὸς θεῶν»; Ἐμοὶ δοκεῖ τῶν Ἑλληνικῶν, οὐχ ὡς ὄντων, ἀλλ' ὡς παρὰ τοῖς πεπλανημένοις ὑποπτευομένων. Ἐπεὶ γὰρ ἔτι παχύτεροι ἦσαν οἱ Ἰουδαῖοι, καὶ οὐ πάντη εἰδωλολατρίας ἀπηλλαγμένοι, ἀλλὰ κεχηνότες πρὸς τὰ εἴδωλα, καὶ λείψανα πολλὰ τῆς παρανομίας ἔχοντες, καὶ ἐντεῦθεν αὐτῶν καθαιρεῖ τὰ φρονήματα, δεικνὺς ὅτι κἀκείνων δεσπότης ἐστί. Καὶ γὰρ καὶ τῶν δαιμόνων δεσπότης ἐστίν, αὐτῶν τῶν οὐσιῶν λέγω· αἱ γὰρ γνῶμαι παρ' αὐτῶν εἰσιν εἰσενηνεγμέναι, καὶ ἡ πονηρία πᾶσα. Δοκεῖ δέ μοι καὶ οὗτος ἔχεσθαι τοῦ προτέρου ψαλμοῦ. Καὶ γὰρ καὶ ἐνταῦθα ἔλεγχος καὶ κατηγορία τῶν πεπλημμεληκότων γέγραπται, ἀλλ' ἐκεῖ μὲν τὴν οἰκουμένην ἐκάλει πᾶσαν εἰς ἀκρόασιν, ἐνταῦθα δὲ αὐτὰ τὰ στοιχεῖα τὰ καθ' ὅλης ἐκτεταμένα τῆς οἰκουμένης. Ἄλλο θέατρον ὧδε καὶ ἄλλο ἀκροατήριον· ἐκεῖ τὰ ἔθνη, οἱ γηγενεῖς, ὁ πλούσιος, ὁ πένης·

13. Ἐξ. 4, 22.
14. Α' Κορ. 8, 5.

πρωτότοκος υἱός μου»[13]. Καθόσον ἔτσι ὀνόμαζε τὸ λαὸ αὐτῶν ἐξ αἰτίας τῆς φιλανθρωπίας του. Ἔτσι καὶ ἐκεῖνο ἐξηγεῖται, τὸ «Ἐκεῖνος ποὺ βλασφημεῖ στὸ Θεό, γίνεται ἔνοχος ἁμαρτίας»· δηλαδή, ἐκεῖνος ποὺ κακολογεῖ τὸν ἄρχοντα, ἁμαρτάνει. «Ἐκεῖνος δὲ ποὺ βλασφημεῖ στὸ ὄνομα τοῦ Κυρίου, θὰ λιθοβολεῖται»· δηλαδὴ ἐκεῖνος ποὺ προσδίδει τὸ ὄνομα τοῦ πραγματικοῦ Θεοῦ σ' ἐκείνους ποὺ δὲν εἶναι ἀληθινοὶ θεοί. Ἐπειδὴ δηλαδὴ τὸ ἁμάρτημα εἶναι ἀσυγχώρητο, καὶ ἡ τιμωρία αὐτοῦ εἶναι πάρα πολὺ φοβερή. Ἔτσι ὀνομάζονται καὶ οἱ θεοὶ τῶν Ἑλλήνων, ὄχι σ' ἔνδειξη τιμῆς, οὔτε χάριν προσφωνήσεως, ἀλλ' ἐξ αἰτίας τῆς ἀπάτης ἐκείνων ποὺ πλανήθηκαν καὶ τοὺς ὀνόμασαν ἔτσι. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «Διότι καὶ ἂν ἀκόμη ὑπάρχουν ὀνομαζόμενοι θεοὶ ἀπ' τοὺς βρισκομένους σὲ ἄγνοια»[14], γιὰ νὰ δείξει ὅτι ἀφοῦ δὲν ὑπάρχουν δὲν εἶναι ἄξιοι οὔτε τῆς τιμητικῆς προσφωνήσεως.

Ἐδῶ λοιπὸν γιὰ ποιοὺς λέγει, «Θεὸς θεῶν»; Ἐγὼ νομίζω γιὰ τοὺς θεοὺς τῶν Ἑλλήνων, ὄχι ὅτι ὑπάρχουν, ἀλλ' ἐπειδὴ θεωροῦνται ὅτι ὑπάρχουν ἀπὸ ἐκείνους ποὺ πλανήθηκαν. Διότι ἐπειδὴ ἀκόμη οἱ Ἰουδαῖοι ἦταν πνευματικὰ παχύτεροι καὶ δὲν ἦταν ἐξ ὁλοκλήρου ἀπαλλαγμένοι ἀπὸ τὴν εἰδωλολατρία, ἀλλ' ἦταν προσηλωμένοι στὰ εἴδωλα καὶ εἶχαν πολλὰ ὑπολείμματα τῆς παρανομίας, καὶ μὲ αὐτὸ καθαρίζει τὰ φρονήματά τους, δείχνοντας ὅτι καὶ ἐκείνων κύριος εἶναι. Καθόσον καὶ τῶν δαιμόνων κύριος εἶναι, αὐτῶν τῶν οὐσιῶν ἐννοῶ· διότι ὅλες οἱ κακὲς δοξασίες καὶ ἡ ὅλη γενικὰ κακία ἀπὸ αὐτοὺς ἔχει εἰσέλθει στὸν κόσμο. Νομίζω δὲ ὅτι καὶ αὐτὸς ὁ ψαλμὸς συνδέεται μὲ τὸν προηγούμενο. Καθόσον καὶ ἐδῶ περιγράφεται ὁ ἔλεγχος καὶ ἡ κατηγορία τῶν διαπραχθέντων ἀδικημάτων, ἀλλὰ στὸ μὲν προηγούμενο ψαλμὸ καλοῦσε σὲ ἀκρόαση ὅλη τὴν οἰκουμένη, ἐνῶ ἐδῶ τὰ ἴδια τὰ στοιχεῖα τῆς φύσεως ποὺ εἶναι ἁπλωμένα σ' ὅλη τὴν οἰκουμένη. Ἄλλο θέατρο ἐδῶ καὶ ἄλλο ἀκροατήριο· ἐκεῖ τὰ ἔθνη, οἱ γηγενεῖς, ὁ

*ἐνταῦθα ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ αὐτὸν εἰσάγει τὸν Θεὸν δικαζόμενον, καὶ τοιούτους κινεῖ λόγους παρ' αὐτοῦ δικαιολογουμένου πρὸς τὸν δῆμον τῶν Ἰουδαίων. Διὸ καὶ πλείονος ἡμῖν δεῖ τῆς προσοχῆς. Ποιεῖ δὲ τοῦτο καὶ ἕτερος προφήτης, καὶ εἰσάγει τὸν Θεὸν δικαζόμενον, καὶ ἐν τάξει δικαστῶν τίθησι τὰς φάραγγας καὶ τὰ θεμέλια τῆς γῆς. «Ἀκούσατε» γάρ, φησί, «φάραγγες καὶ θεμέλια τῆς γῆς· ὅτι κρίσις τῷ Θεῷ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ λαοῦ διαλεχθήσεται». Καὶ πάλιν· «Κριθήσεται πρὸς ὑμᾶς, καὶ πρὸς τοὺς πατέρας ὑμῶν». Καὶ πολλαχοῦ τῶν Γραφῶν ἴδοι τις ἂν τοῦτο τὸ σχῆμα, ὅπερ ἐστὶ μάλιστα πληκτικώτατον καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἄξιον. Καὶ γὰρ τὴν ἄφατον αὐτοῦ δείκνυσιν ἀγαθότητα, τοσοῦτον καταβαίνοντος, ὥστε κρίνεσθαι μετὰ ἀνθρώπων.*

*«Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ». Ἔχει μέν τι προφητικόν, ἔχει δὲ καὶ ἱστορικὸν τὸ εἰρημένον· γέγονε μὲν γὰρ καὶ ἐπὶ τῆς Παλαιᾶς ἐκεῖθεν αὐτοῦ ἡ εὐπρέπεια. Καὶ γὰρ ὁ ναός, τὰ ἅγια τῶν ἁγίων, ἡ λατρεία πᾶσα καὶ ἡ πολιτεία τῆς παλαιᾶς νομοθεσίας, καὶ ἱερέων τὸ πλῆθος, καὶ θυσίαι, καὶ ὁλοκαυτώσεις, καὶ ὕμνοι ἱεροὶ καὶ ψαλμῳδίαι, καὶ πάντα ἐκεῖθεν, καὶ τῶν μελλόντων ἐκεῖθεν ὁ τύπος προδιεγέγραπτο. Ἐπειδὴ δὲ καὶ ἡ ἀλήθεια παραγέγονεν, ἐκεῖθεν πάλιν τὴν ἀρχὴν ἔλαβεν. Ἐκεῖθεν ὁ σταυρὸς ἔλαμψεν· ἐκεῖθεν τὰ μυρία κατορθώματα. Διὰ δὴ τοῦτο καὶ περὶ τοῦ νόμου φησὶν ὁ Ἡσαΐας τῆς Καινῆς Διαθήκης γράφων· «Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν». Σιὼν γὰρ ἐνταῦθα ὁλόκληρον λέγει τὸ χωρίον, καὶ τὴν πόλιν τὴν παρακειμένην αὐτῷ, τὴν μητρόπολιν τῶν Ἰουδαίων. Ἐκεῖθεν γὰρ καθάπερ ἐκ βαλβῖδός τινος εὐσκελεῖς ἵπποι οἱ ἀπόστολοι εἰς*

15. Μιχ. 6, 2.
16. Πρβλ. Ἰερ. 2, 9.
17. Ἡσ. 2, 3 - 4.

πλούσιος, ὁ φτωχός, ἐνῶ ἐδῶ ὁ οὐρανὸς καὶ ἡ γῆ˙ παρουσιάζει τὸν ἴδιο τὸ Θεὸ δικαζόμενο, καὶ ἀπευθύνει τέτοιους λόγους, ἀπολογούμενος μέσω αὐτοῦ πρὸς τὸν Ἰουδαϊκὸ λαό. Γι᾽ αὐτὸ καὶ χρειάζεται νὰ δείξουμε περισσότερη προσοχή. Τὸ κάμνει δὲ αὐτὸ καὶ ἄλλος προφήτης καὶ παρουσιάζει τὸ Θεὸ δικαζόμενο καὶ τοποθετεῖ στὴ θέση τῶν δικαστῶν τὰ φαράγγια καὶ τὰ θεμέλια τῆς γῆς˙ διότι λέγει˙ «Ἀκοῦστε φαράγγια καὶ θεμέλια τῆς γῆς˙ διότι θὰ κριθεῖ ὁ Θεὸς ἀπὸ τὸ λαό του καὶ θὰ συνομιλήσει μὲ τὸ λαό του»[15]. Καὶ πάλι˙ «Θὰ κριθεῖ πρὸς ἐσᾶς καὶ πρὸς τοὺς πατέρες σας»[16]. Καὶ σὲ πολλὰ μέρη τῶν Γραφῶν θὰ μποροῦσε κανεὶς νὰ δεῖ αὐτὸν τὸν τρόπο ἐκφράσεως, ποὺ εἶναι πάρα πολὺ πληκτικὸς καὶ ἄξιος τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Καθόσον δείχνει τὴν ἀπερίγραπτη ἀγαθότητα τοῦ Θεοῦ, ποὺ τόση συγκατάβαση δείχνει, ὥστε νὰ κρίνεται ἀπὸ τοὺς ἀνθρώπους.

«Ἀπὸ τὴ Σιὼν ἐξέλαμψε ἡ εὐπρέπεια τῆς ὡραιότητάς του». Τὰ λόγια αὐτὰ περιέχουν καὶ κάτι προφητικό, ἀλλὰ περιέχουν καὶ κάτι ἱστορικό˙ διότι ἡ εὐπρέπειά του ἐξέλαμψε ἀπὸ ἐκεῖ καὶ κατὰ τὴν παλαιὰ ἐποχή. Καθόσον ὁ ναός, τὰ ἅγια τῶν ἁγίων, ὅλη ἡ λατρεία καὶ ἡ ζωὴ τῆς παλαιᾶς νομοθεσίας, τὸ πλῆθος τῶν ἱερέων, οἱ θυσίες, τὰ ὁλοκαυτώματα, οἱ ἱεροὶ ὕμνοι καὶ ψαλμωδίες ἀπὸ ἐκεῖ ἐξέλαμψαν καὶ ἡ προτύπωση τῶν μελλοντικῶν ἀγαθῶν ἀπὸ ἐκεῖ εἶχε προδιαγραφεῖ. Ὅταν δὲ ἦλθε στὸν κόσμο καὶ ἡ ἀλήθεια, ἀπὸ ἐκεῖ πάλι ἔλαβε τὴν ἀρχή. Ἀπὸ ἐκεῖ ἔλαμψε ὁ σταυρός˙ ἀπὸ ἐκεῖ τὰ ἀμέτρητα κατορθώματα. Γι᾽ αὐτὸ λοιπὸν καὶ ὁ Ἠσαΐας λέγει γιὰ τὸ νόμο τῆς Καινῆς Διαθήκης τὰ ἑξῆς˙ «Διότι ἀπὸ τὴ Σιὼν θὰ προέλθει ὁ νόμος καὶ ὁ λόγος τοῦ Κυρίου ἀπὸ τὴν Ἱερουσαλὴμ καὶ θὰ κάνει κρίση μεταξὺ τῶν ἐθνῶν»[17]. Ἐδῶ βέβαια Σιὼν ὀνομάζει ὅλο τὸν τόπο καὶ τὴν πόλη ποὺ βρίσκεται κοντά, τὴ μητρόπολη τῶν Ἰουδαίων. Διότι ἀπὸ ἐκεῖ, σὰν ἀπὸ κάποια ἀφετηρία, ἀφέθηκαν πρὸς ὅλη τὴν οἰκουμένη οἱ ἀπόστολοι

*τὴν οἰκουμένην ἀφέθησαν ἅπασαν· ἐκεῖθεν τὰ σημεῖα ἤρξαντο ποιεῖν· ἐκεῖ γέγονεν ἡ ἀνάστασις, ἐκεῖ ἡ ἀνάληψις, ἐκεῖ τὰ προοίμια καὶ ἡ ἀρχὴ τῆς σωτηρίας τῆς ἡμετέρας· ἐκεῖ τὰ ἀπόρρητα δόγματα κηρύττεσθαι ἀρχὴν ἔλαβεν. Ἐκεῖ πρῶτον ἀπεκαλύφθη ὁ Πατήρ, ἐγνωρίσθη ὁ Μονογενής, καὶ ἐδόθη τοσαύτη Πνεύματος χάρις. Καὶ τὸν περὶ τῶν ἀσωμάτων ἐκεῖ λόγον ἐγύμναζον οἱ ἀπόστολοι, τῶν δωρεῶν, καὶ δυνάμεων, καὶ τῶν μελλόντων ἀγαθῶν τῆς ἐπαγγελίας. Ἅπερ ἅπαντα ἐννοῶν ὁ προφήτης, ὡραιότητα αὐτοῦ καλεῖ. Κάλλη γὰρ Θεοῦ καὶ ὡραιότης ἡ ἀγαθότης καὶ ἡ φιλανθρωπία, καὶ ἡ εἰς ἅπαντας εὐεργεσία.*

*«Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται». Ὁρᾷς πῶς προϊὼν ἀπογυμνοῖ τὸν λόγον καὶ ἀποκαλύπτει τὸν θησαυρὸν καὶ φαιδροτέραν ἀφίησιν τὴν ἀκτῖνα, λέγων, «Ὁ Θεὸς ἐμφανῶς ἥξει»; Πότε γὰρ οὐκ ἐμφανῶς παραγέγονε; Πότε; Τῇ προτέρᾳ παρουσίᾳ· ἀψοφητὶ γὰρ ἦλθε τοὺς πολλοὺς κρύπτων, καὶ μέχρι πολλοῦ λανθάνων. Τί λέγω τοὺς πολλούς, ὅπου γε οὐδὲ αὐτὴ ἡ κυοφοροῦσα παρθένος ᾔδει τοῦ μυστηρίου τὸ ἀπόρρητον, οὐδὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν, οὐδὲ ὁ δοκῶν εἶναι πατὴρ μέγα τι ἐφαντάζετο περὶ αὐτοῦ;*

*2. Καὶ τί λέγω ἀνθρώπους; Καὶ αὐτὸν τὸν διάβολον ἐλάνθανεν· οὐδὲ γὰρ ἄν, εἴπερ ᾔδει, ἠρώτα αὐτὸν μετὰ τοσοῦτον χρόνον ἐπὶ τοῦ ὄρους, «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ», καὶ ἅπαξ, καὶ δίς, καὶ τρίτον τοῦτο ἐποίει. Διὸ καὶ τῷ Ἰωάννῃ ἔλεγεν ἀρξαμένῳ αὐτὸν ἐκκαλύπτειν· «Ἄφες ἄρτι»· τουτέστι, σίγα νῦν· οὐδέπω γὰρ καιρὸς τοῦ ἐκκαλυφθῆναι τὸ ἀπόρρητον τῆς οἰκονομίας· ἔτι λανθάνειν τὸν διάβολον βούλομαι· σίγα τοίνυν, φησίν· «Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν». Καὶ κατελθὼν*

18. Ματθ. 4, 3· 6.
19. Ματθ. 3, 15.
20. Αὐτόθι.

σάν ἵπποι γοργοπόδαροι· ἀπὸ ἐκεῖ ἄρχισαν νὰ κάμνουν θαύματα· ἐκεῖ ἔγινε ἡ ἀνάσταση, ἐκεῖ ἡ ἀνάληψη, ἐκεῖ τὰ προοίμια καὶ ἡ ἀρχὴ τῆς σωτηρίας μας· ἐκεῖ ἄρχισε τὸ κήρυγμα τῶν ἀπορρήτων δογμάτων. Ἐκεῖ πρῶτα φανερώθηκε ὁ Πατέρας, ἔγινε γνωστὸς ὁ Μονογενὴς καὶ δόθηκε ἡ τόση χάρη τοῦ ἁγίου Πνεύματος. Καὶ ἐκεῖ δίδασκαν οἱ ἀπόστολοι τὸ λόγο περὶ τῶν ἀσωμάτων, τῶν δωρεῶν, τῶν δυνάμεων καὶ τῶν μελλοντικῶν ἀγαθῶν τῆς ἐπαγγελίας. Αὐτὰ ἀκριβῶς ὅλα σκεπτόμενος ὁ προφήτης, ὀνομάζει αὐτὰ ὡραιότητα αὐτοῦ. Διότι κάλλη καὶ ὡραιότητα τοῦ Θεοῦ εἶναι ἡ ἀγαθότητα, ἡ φιλανθρωπία καὶ ἡ εὐεργεσία πρὸς ὅλους.

«Ὁ Θεὸς θὰ ἔλθει φανερά, ὁ Θεὸς μας, καὶ δὲν θὰ σιωπήσει». Βλέπεις πῶς προχωρώντας ἀπογυμνώνει τὸ λόγο, ἀποκαλύπτει τὸ θησαυρὸ καὶ ἀφήνει τὴν ἀκτίνα νὰ λάμψει φαιδρότερα, λέγοντας, «Ὁ Θεὸς θὰ ἔλθει φανερά»; Διότι πότε δὲν ἦλθε φανερά; Πότε; Κατὰ τὴν πρώτη παρουσία του· διότι ἦλθε ἀθόρυβα κρύβοντας τὸν ἑαυτό του ἀπὸ τοὺς πολλοὺς καὶ ἀποφεύγοντας αὐτοὺς γιὰ πολὺ χρόνο. Γιατί λέγω ἀπὸ τοὺς πολλούς, τὴ στιγμὴ βέβαια ποὺ οὔτε ἡ ἴδια ἡ παρθένος ποὺ τὸν κυοφόρησε γνώριζε τὸ ἀπόρρητο τοῦ μυστηρίου, οὔτε οἱ ἀδελφοί του πίστευαν σ' αὐτόν, οὔτε ὁ φαινομενικὸς πατέρας του Ἰωσὴφ σκεπτόταν κάτι τὸ σπουδαῖο γι' αὐτόν;

2. Καὶ γιατί λέγω τοὺς ἀνθρώπους; Καὶ τοῦ ἰδίου τοῦ διαβόλου τὴν προσοχὴ διέφευγε· διότι, ἂν τὸν γνώριζε, δὲν θὰ τὸν ρωτοῦσε μετὰ ἀπὸ τόσο χρόνο στὸ ὄρος, «Ἐὰν εἶσαι Υἱὸς τοῦ Θεοῦ»[18], καὶ αὐτὸ τὸ ἔκαμε μιά, δυὸ καὶ τρεῖς φορές. Γι' αὐτὸ καὶ στὸν Ἰωάννη, ποὺ εἶχε ἀρχίσει νὰ τὸν φανερώνει, ἔλεγε· «Ἄφησε τώρα τὶς ἀντιλογίες»[19]· δηλαδή, σιώπα τώρα· διότι δὲν εἶναι ἀκόμη καιρὸς νὰ φανερωθεῖ τὸ ἀπόρρητο μυστήριο τῆς θείας οἰκονομίας· ἀκόμη θέλω νὰ διαφεύγω τὴν προσοχὴ τοῦ διαβόλου· σιώπα λοιπόν, λέγει. «Διότι ἔτσι πρέπει νὰ γίνει μὲ ἐμᾶς»[20]. «Καὶ

*ἀπὸ τοῦ ὄρους ἐνετείλατο, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός». Τότε γὰρ ὡς ποιμὴν ἦλθε ζητῶν τὸ πεπλανημένον πρόβατον, καὶ τὴν ἀφηνιῶσαν ἄγραν θηρεῦσαι βουλόμενος· διὸ καὶ συνεσκίαζεν ἑαυτόν. Καὶ γὰρ ὥσπερ ἰατρὸς οὐκ εὐθέως φοβερὸς τῷ κάμνοντι γίνεται, οὕτω δὴ καὶ αὐτὸς ἐκ προοιμίων οὐκ ἠβουλήθη δῆλον ἑαυτὸν ποιῆσαι, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Διὸ τὴν ἀψοφητὶ ταύτην αὐτοῦ γινομένην παρουσίαν δηλῶν ὁ αὐτὸς οὗτος προφήτης λέγει προϊών· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν στάζουσα ἐπὶ τὴν γῆν». Οὐδὲ γὰρ κτυπῶν ἦλθεν, οὐ ταράττων, οὐ κλονῶν τὴν γῆν, οὐκ ἀστραπὰς ἀφιείς, οὐ τινάσσων τὸν οὐρανόν, οὐ δήμους ἀγγέλων ἐπιφερόμενος, οὐ μέσον τὸ στερέωμα διαρρηγνύς, καὶ οὕτω καταβαίνων ἐπὶ τῶν νεφελῶν, ἀλλ' ἀψοφητὶ διὰ μήτρας παρθενικῆς, ἐννεαμηνιαίῳ κυοφορούμενος χρόνῳ, ὡς τέκτονος υἱὸς ἐν φάτνῃ τίκτεται, ἐν σπαργάνοις εὐτελέσιν ἐπιβουλεύεται, φεύγει μετὰ τῆς μητρὸς εἰς Αἴγυπτον.*

*Εἶτα μετὰ τελευτὴν τοῦ τοιαῦτα παρανομήσαντος, τότε ἐπάνεισι, καὶ περιπολῶν διετέλει ὡς εἷς τῶν πολλῶν κατὰ τὸ σχῆμα, καὶ ἱμάτιον εὐτελὲς ἦν αὐτῷ, καὶ τράπεζα εὐτελεστέρα, καὶ βάδισις διηνεκής, καὶ οὕτω διηνεκής, ὡς καὶ κόπον ἀπὸ τῆς βαδίσεως γίνεσθαι. Ἀλλ', οὐ τότε οὕτως ἥξει, ἀλλ' οὕτω φανερῶς, ὡς μηδὲ χρείαν ἔχειν τοῦ προαγγέλλοντος αὐτοῦ τὴν παρουσίαν. Διὰ τοῦτο καὶ αὐτὸς δηλῶν αὐτοῦ τὸ περιφανὲς ἔλεγεν· «Ἐὰν ἀκούσητε, ὅτι ἰδοὺ ἐν τοῖς ταμιείοις, μὴ εἰσέλθητε· ὅτι ἐν τῇ ἐρήμῳ, μὴ ἐξέλθητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐκπορεύεται ἀπὸ ἀνατολῶν ἡλίου, καὶ φαίνεται ἕως δυσμῶν· οὕτως ἔσται ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου»,*

21. Ματθ. 17, 9.
22. Ψαλμ. 71, 6.
23. Δηλαδὴ τοῦ Ἡρώδη.

ἀφοῦ κατέβηκε ἀπὸ τὸ ὄρος τοὺς ἔδωσε ἐντολὴ νὰ μὴ ποῦν σὲ κανένα, ὅτι αὐτὸς εἶναι ὁ Χριστός»[21]. Διότι τότε ἦλθε σὰν ποιμένας ζητώντας τὸ πλανημένο πρόβατο καὶ θέλοντας νὰ συλλάβει τὸ ἀνυπάκουο θήραμα, γι᾽ αὐτὸ καὶ ἔκρυβε τὸν ἑαυτό του. Καθόσον, ὅπως ἀκριβῶς ὁ ἰατρὸς δὲν φέρεται ἀμέσως μὲ αὐστηρότητα στὸν ἀσθενή, ἔτσι λοιπὸν καὶ αὐτὸς ἀπὸ τὴν ἀρχὴ δὲν θέλησε νὰ φανερώσει τὸν ἑαυτό του, ἀλλὰ ἤρεμα καὶ σιγὰ - σιγά. Γι᾽ αὐτό, γιὰ νὰ δηλώσει ὁ ἴδιος αὐτὸς προφήτης τὴν κατὰ τρόπο ἀθόρυβο γινομένη αὐτὴ παρουσία του, λέγει στὴ συνέχεια· «Θὰ κατεβεῖ στὴ γῆ ὅπως ἡ βροχὴ ἐπάνω στὸ μαλλὶ ποὺ μόλις κουριεύθηκε, καὶ ὅπως ἡ σταγόνα ποὺ στάζει ἐπάνω στὴ γῆ»[22]. Διότι δὲν ἦλθε κτυπώντας, οὔτε δημιουργώντας ταραχές, οὔτε κλονίζοντας τὴ γῆ, οὔτε ρίπτοντας ἀστραπές, οὔτε ἀνακινώντας τὸν οὐρανό, οὔτε φερόμενος ἀπὸ πλῆθος ἀγγέλων, οὔτε σχίζοντας στὴ μέση τὸ στερέωμα καὶ κατεβαίνοντας ἔτσι καθισμένος ἐπάνω στὰ σύννεφα, ἀλλ᾽ ἀθόρυβα καὶ ἀπὸ παρθενικὴ μήτρα, ἀφοῦ κυοφορήθηκε ἐννέα μῆνες, γεννιέται στὴ φάτνη σὰν υἱὸς τοῦ μαραγκοῦ, καί, ἐνῶ εἶναι μέσα σὲ εὐτελῆ σπάργανα, ἐπιβουλεύεται καὶ φεύγει μὲ τὴ μητέρα του στὴν Αἴγυπτο.

Ἔπειτα μετὰ τὸ θάνατο ἐκείνου ποὺ ἔκαμε αὐτὲς τὶς παρανομίες τότε ἐπέστρεψε καὶ ἐζοῦσε, ὡς πρὸς τὴν ἐξωτερικὴ ἐμφάνιση, σὰν ἕνας ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους, φορώντας ἔνδυμα εὐτελές, τρώγοντας πολὺ φτωχικὰ πράγματα, βάδιζε διαρκῶς καὶ τόσο διαρκῶς, ὥστε καὶ ν᾽ ἀποκάμνει ἀπὸ τὸ βάδισμα. Ὅμως τότε δὲν θὰ ἔλθει ἔτσι, ἀλλὰ τόσο φανερά, ὥστε νὰ μὴ ἔχει οὔτε κἂν ἀνάγκη κάποιου ποὺ νὰ προαναγγέλει τὴν παρουσία του. Γι᾽ αὐτὸ καὶ αὐτὸς γιὰ νὰ δείξει τὴ λαμπρότητα αὐτοῦ, ἔλεγε· «Ἐὰν ἀκούσετε, ὅτι νά, βρίσκεται στὰ ἰδιαίτερα δωμάτια, μὴ εἰσέλθετε, ὅτι εἶναι στὴν ἔρημο, μὴ ἐξέλθετε. Διότι ὅπως ἀκριβῶς ἡ ἀστραπὴ βγαίνει ἀπὸ τὴν ἀνατολὴ καὶ φαίνεται καὶ μέχρι τὴ δύση, ἔτσι θὰ εἶναι ἡ παρουσία τοῦ

*αὐτὴ ἑαυτὴν δεικνύουσα καὶ ἀνακηρύττουσα. Καὶ γὰρ ἐπὶ τῆς ἀστραπῆς τοῦτο συμβαίνει, καὶ οὐ δεόμεθα τοῦ ἀπαγγέλλοντος, ἀλλ' ὁμοῦ τε ἐφάνη, καὶ γνωρίμη πᾶσι γέγονε, καὶ κατὰ ταὐτὸν πᾶσιν. Οὕτω καὶ ὁ Παῦλός φησιν· «Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν τῇ ἐσχάτῃ σάλπιγγι καταβήσεται ἀπ' οὐρανοῦ».*

*Καὶ ὁ προφήτης δὲ οὕτως αὐτὸν ἑώρα ἐπὶ τῶν νεφελῶν φερόμενον, καὶ ποταμὸν ἔμπροσθεν συρόμενον, καὶ τὸ βῆμα τὸ φοβερόν, καὶ τὰς εὐθύνας τὰς ἀπαραιτήτους. Τότε γάρ, τότε δικαστηρίου καιρὸς καὶ κρίσεως· διόπερ οὐκέτι ὡς ἰατρός, ἀλλ' ὡς δικαστὴς φαίνεται. Ὁ γοῦν Δανιὴλ καὶ τὸν θρόνον αὐτοῦ βλέπει, καὶ τὸν ποταμὸν πρὸ τοῦ βήματος ἑλκόμενον, καὶ πάντα ἀπὸ πυρὸς αὐτῷ δείκνυται, τὸ ἅρμα, οἱ τροχοί. Ἀλλ' οὐχ ὅτε παρὰ τὴν ἀρχὴν καὶ ἐν τῇ πρώτῃ παρουσίᾳ παρεγένετο, ἔδειξέ τι τοιοῦτον, οὐ πῦρ, οὐ ποταμόν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ φάτνη καὶ καταγώγιον, καὶ καλύβη, καὶ μήτηρ πενιχρά. Ἄλλως δὲ καὶ τὸ ἄτρεπτον αὐτοῦ δείκνυσιν ἐντεῦθεν καὶ ἀναλλοίωτον. Ἐπειδὴ γὰρ ἔφησε τὸν ἐπὶ τοῦ θρόνου καθήμενον τρίχα ἔχειν λευκὴν ὡσεὶ ἔριον, καὶ ἱμάτιον ὡς χιόνα, ἵνα μὴ τρίχας νομίσῃς, μήτε ἱμάτιον, ἀλλὰ τὸ καθαρὸν καὶ διαυγές, πῦρ πανταχοῦ εἶναι λέγει.*

*«Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα». Οὕτω καὶ οὗτος ὁμοῦ τε τὸ ἀναλλοίωτον, καὶ ἄτρεπτον, καὶ φωτεινόν, καὶ ἀπρόσιτον διὰ τούτων ἐνδείκνυται τῶν εἰκόνων. Καὶ οὐχ ἵσταται μέχρι τοῦ πυρός, ἀλλὰ τὸ σφοδρὸν τῆς τιμωρίας παραστῆσαι βουλόμενος, ἐπάγει λέγων, «Καταιγὶς σφοδρά». Καταιγὶς δὲ λέγεται ἢ βῶλος χιόνος ἀφόρητος τὸ ἐμπῖπτον ἅπαν παρασύρουσα καὶ καταστρέ-*

24. Ματθ. 24, 26 - 27.
25. Α΄ Θεσ. 4, 16.
26 Δαν. 7. 9 - 10.

Υἱοῦ τοῦ ἀνθρώπου»[24], ἡ ἴδια δηλαδὴ θὰ δείχνει τὸν ἑαυτό της καὶ θὰ τὸν διακηρύσσει. Καθόσον καὶ μὲ τὴν ἀστραπὴ αὐτὸ συμβαίνει, δὲν χρειαζόμαστε κάποιον νὰ μᾶς τὴν ἀναγγείλει, ἀλλὰ φαίνεται συγχρόνως σ' ὅλους καὶ γίνεται γνωστὴ σ' ὅλους καὶ κατὰ τὸν ἴδιο τρόπο σ' ὅλους. Ἔτσι καὶ ὁ Παῦλος λέγει· «Διότι ὁ ἴδιος ὁ Κύριος μὲ πρόσταγμα καὶ μὲ φωνὴ ἀρχαγγέλου καὶ κάτω ἀπὸ τόν ἦχο τῆς σάλπιγγας θὰ κατεβεῖ ἀπὸ τὸν οὐρανό»[25].

Καὶ ὁ προφήτης δὲ ἔτσι τὸν ἔβλεπε νὰ φέρεται ἐπάνω στὶς νεφέλες, τὸν ποταμὸ νὰ τρέχει μπροστά του, τὸ βῆμα του τὸ φοβερὸ καὶ τὶς ἀπαραίτητες ὑποχρεώσεις[26] λογοδοσίας. Διότι τότε, τότε θὰ εἶναι καιρός δικαστηρίου καὶ κρίσεως, καὶ ἀκριβῶς γι' αὐτὸ θὰ φανεῖ ὄχι πιὰ σὰν γιατρός, ἀλλὰ σὰν δικαστής. Ὁ Δανιὴλ λοιπὸν καὶ τὸ θρόνο του βλέπει καὶ τὸν ποταμὸ νὰ τρέχει μπροστὰ ἀπό τὸ βῆμα του καὶ ὅλα φανερώνονται σ' αὐτὸν μὲ μορφὴ πυρός, τὸ ἅρμα, οἱ τροχοί. Ὅμως ὅταν ἦλθε κατὰ τὴν ἀρχικὴ καὶ πρώτη παρουσία του δὲν ἔδειξε κάτι παρόμοιο, οὔτε πῦρ, οὔτε ποταμό, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλὰ φάτνη, κατάλυμα φτωχικό, καλύβα καὶ μητέρα φτωχική. Ἄλλωστε δὲ μὲ αὐτὸ δείχνει τὸ ἀμετάβλητο καὶ ἀναλλοίωτο αὐτοῦ. Διότι, ἐπειδὴ εἶπε, ὅτι αὐτὸς ποὺ κάθεται ἐπάνω στὸ θρόνο ἔχει τρίχα λευκὴ σὰν μαλλὶ ὁλόλευκο καὶ ἔνδυμα σὰν χιόνι, γιὰ νὰ μὴ νομίσεις ὅτι ἐννοεῖ τρίχες ἢ ἔνδυμα, ἀλλὰ τὸ καθαρὸ καὶ τὸ φωτεινό, μᾶς τὰ παρουσιάζει ὅλα παντοῦ σὰν φωτιά.

«Φωτιὰ θὰ καίει μπροστά του καὶ τριγύρω του θὰ σαρώνει καταιγίδα φοβερή». Ἔτσι καὶ αὐτὸς μὲ αὐτὲς τὶς εἰκόνες δείχνει συγχρόνως τὸ ἀναλλοίωτο, τὸ ἀμετάβλητο, τὸ φωτεινὸ καὶ ἀλησίαστο. Καὶ δὲν σταματᾶ μέχρι τὴ φωτιά, ἀλλὰ θέλοντας νὰ παραστήσει τὴ φοβερὴ μορφὴ τῆς τιμωρίας, προσθέτει τὰ λόγια «Καταιγίδα σφοδρά». Καταιγίδα δὲ ὀνομάζεται ἡ μάζα χιονιοῦ ἀβάστακτη ποὺ ὅταν πέφτει παρασύρει τὰ πάντα καὶ τὰ καταστρέφει, ἢ

φουσα, ἢ ῥαγδαία πνευμάτων ῥύμη τὸ αὐτὸ δὴ ἐργαζομένη, καὶ ἀφόρητος οὖσα τοῖς ἐντυγχάνουσι. Δεῖξαι τοίνυν βουλόμενος τὸ ἀφόρητον τῆς κολάσεως ἐκείνης, ταύτας παρήγαγε τὰς εἰκόνας.

«Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ». Πάλιν τῶν στοιχείων μέμνηται, δι' ὧν τὰ μυρία γέγονεν ἀγαθὰ τῷ γένει τῶν ἀνθρώπων, οὐ μόνον πρὸς τὴν τοῦ σώματος ζωὴν καὶ συγκρότησιν, ἀλλὰ καὶ αὐτῆς τῆς θεογνωσίας τὴν ὑπόθεσιν. Τά τε γὰρ κάλλη, καὶ τὰ μεγέθη, καὶ οἱ τρόποι τῶν θέσεων, καὶ αἱ οὐσίαι, ἐξ ὧν ταυτὶ συνέστηκε τὰ στοιχεῖα, καὶ τὰ ἐξ αὐτῶν γενόμενα, τά τε καθολικῶς διὰ παντὸς τοῦ χρόνου, τά τε ἰδικῶς πολλάκις συμβαίνοντα, ἅπαντα ταῦτα καὶ τὰ σώματα τρέφει καὶ συγκροτεῖ καὶ πρὸς τὴν γνῶσιν τοῦ ποιήσαντος χειραγωγεῖ. Διὸ καὶ Παῦλος ἔλεγε· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀίδιος αὐτοῦ δύναμις καὶ θειότης». Καὶ πάλιν «Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν», τουτέστι, διὰ τῆς σοφίας τῆς ἐν τοῖς κτίσμασι φαινομένης, ὡς οὐ μικρᾶς, ἀλλὰ καὶ σφόδρα μεγίστης καὶ σαφεστάτης οὔσης διδασκαλίας. Καὶ τὰ καθ' ἡμέραν δὲ δι' αὐτῶν γινόμενα, εἰ καὶ κατὰ φύσεως ἀκολουθίαν γίνεσθαι δοκεῖ, ἀλλ' οὖν καὶ αὐτὰ τὸν δημιουργὸν ἀνακηρύττει. Καὶ γὰρ τῆς φύσεως Δεσπότης ὁ δημιουργός.

ϑ'. Μὴ θαυμάσῃς δέ, εἰ πρὸς Ἰουδαίους ἀποτείνει τὸν λόγον περὶ τῆς καθόλου κρίσεως διαλεγόμενος. Οὕτω γὰρ καὶ Παῦλός φησι· «Θυμὸς καὶ ὀργή, θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν,

---

27. Ρωμ. 1, 20.
28. Α' Κορ. 1, 21.

σφοδρὴ ὁρμὴ ἀνέμων ποὺ ἔχει τὸ ἴδιο ἀποτέλεσμα καὶ εἶναι ἀφόρητη στοὺς παραβρισκομένους ἐκεῖ. Θέλοντας λοιπὸν νὰ δείξει τὸ ἀνυπόφορο ἐκείνης τῆς κολάσεως, παρουσίασε αὐτὲς τὶς εἰκόνες.

«Θὰ προσκαλέσει τὸν οὐρανὸ ἀπὸ ἐπάνω καὶ τὴ γῆ ἀπὸ κάτω γιὰ νὰ κρίνει τὸ λαό του». Πάλι ἐνθυμεῖται τὰ φυσικὰ στοιχεῖα μὲ τὰ ὁποῖα δόθηκαν στὸ ἀνθρώπινο γένος τὰ ἀμέτρητα ἀγαθά, ὄχι μόνο γιὰ τὴ ζωὴ καὶ τὴν συγκρότηση τοῦ σώματος, ἀλλὰ καὶ γιὰ τὴν ἴδια τὴν ὑπόθεση τῆς θεογνωσίας. Διότι καὶ τὰ κάλλη καὶ τὰ μεγέθη καὶ οἱ τρόποι τῶν θέσεων καὶ οἱ οὐσίες ἀπὸ τὶς ὁποῖες ἔγιναν αὐτὰ τὰ στοιχεῖα, καὶ τὰ ὅσα δημιουργήθηκαν ἀπὸ αὐτά, καὶ γενικὰ ἐκεῖνα ποὺ συμβαίνουν καθ' ὅλο τὸ χρόνο, καὶ εἰδικὰ αὐτὰ ποὺ συμβαίνουν πολλὲς φορές, ὅλα αὐτὰ καὶ τὰ σώματα τρέφουν καὶ τὰ διατηροῦν στὴ ζωὴ καὶ τὰ καθοδηγοῦν νὰ γνωρίσουν ἐκεῖνον ποὺ τὰ δημιούργησε. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Διότι οἱ ἀόρατες ἰδιότητες καὶ ἐνέργειες αὐτοῦ, ἀπὸ τότε ποὺ κτίσθηκε ὁ κόσμος, γίνονται ἀντιληπτὲς διὰ μέσου τῶν ὁρατῶν δημιουργημάτων, καὶ ἡ αἰώνια δύναμή του καὶ ἡ θειότης του»[27]. Καὶ πάλι λέγει· «Ἐπειδὴ μὲ τὴ σοφία τοῦ Θεοῦ, ποὺ ἀποκαλύπτεται μέσω τῶν δημιουργημάτων του δὲν γνώρισε ὁ κόσμος μὲ τὴ σοφία καὶ γνώση του τὸ Θεό»[28], δηλαδὴ μὲ τὴ σοφία τοῦ Θεοῦ ποὺ ἀποκαλύπτεται στὰ δημιουργήματά του, ποὺ δὲν εἶναι μικρή, ἀλλὰ πάρα πολὺ μεγάλη καὶ καθαρώτατη διδασκαλία. Καὶ αὐτὰ δὲ ποὺ γίνονται καθημερινὰ ἀπὸ αὐτά, ἂν καὶ φαίνονται νὰ γίνονται σὰν φυσικὰ ἐπακόλουθα, ἀλλ' ὅμως καὶ αὐτὰ διακηρύσσουν τὸ δημιουργό. Καθόσον ὁ δημιουργὸς εἶναι Κύριος τῆς φύσεως.

3. Μὴ θαυμάσεις δὲ ἄν, μιλώντας γιὰ τὴν καθολικὴ κρίση, ἀπευθύνει τὸ λόγο πρὸς τοὺς Ἰουδαίους. Διότι ἔτσι ὁμιλεῖ καὶ ὁ Παῦλος· «Θυμὸς καὶ ὀργή, θλίψη καὶ στενοχώρια ὑπάρχει σὲ κάθε ψυχὴ ἀνθρώπου, ποὺ κάμνει τὸ

Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος». Καὶ πάλιν· «Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται». «Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις». Τί δήποτε, ὧν μέλλει κατηγορεῖν, καὶ οὓς μέλλει καταδικάζειν, ὁσίους ἐνταῦθα καλεῖ; Τὴν κατηγορίαν αὔξων, καὶ γνώρισμα μεῖζον τῇ τιμωρίᾳ τιθεὶς τὴν τιμήν. Οὕτω καὶ ἡμεῖς ἐπειδὰν ἴδωμέν τινας πεπλημμεληκότας καὶ βουλώμεθα αὐτῶν σφοδρότερον καθάψασθαι, μετὰ τῶν ἀξιωμάτων αὐτοὺς καλοῦμεν, ὥστε βαρυτέραν ἐργάσασθαι τὴν κατηγορίαν, λέγοντες· Κάλεσον τὸν διάκονον, ἢ τὸν πρεσβύτερον. Ἐπεὶ οὖν καὶ οὗτοι βασίλειον ἱεράτευμα καὶ λαὸς περιούσιος ἐχρημάτιζον καὶ μέγα ἐπὶ τούτῳ ἐφρόνουν, καὶ ἐντεῦθεν ὑφαίνει τῶν ἐγκλημάτων τὸ μέγεθος. «Τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις». Ἐπειδὴ μυρία τολμῶντες κακά, καὶ τοσαῦτα κακίας μεταχειρίζοντες εἴδη, ἁρπάζοντες, πλεονεκτοῦντες, φονεύοντες, μοιχεύοντες, αἵματα ἐφ' αἵμασι ἀναμιγνύντες ἐνόμιζον μεγάλα κατορθοῦν, καὶ τὸν νόμον πληροῦν καὶ τὴν διαθήκην, εἰ πρόβατα θύσαιεν καὶ μόσχους, ὀνειδίζων αὐτοῖς ἐντεῦθεν, καὶ κωμῳδῶν αὐτούς φησι· «Τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις»· τουτέστι, τοὺς νομίζοντας αὐτοῖς ἀρκεῖν εἰς σωτηρίαν τὸ καταθύειν ἀλόγων σώματα.

«Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ». Πάλιν ἐνταῦθα τὸ διαλάμπον αὐτοῦ τῆς δικαιοσύνης, τὸ φαιδρόν, τὸ σαφές, τὸ ἀναντίρρητον, τὸ ὡμολογημένον δεῖξαι βουλόμενος, εἰσάγει τὰ ἀναίσθητα στοιχεῖα, ἀνακηρύττοντα αὐτὴν

29. Ρωμ. 2, 8 - 9.
30. Ρωμ. 2, 12.

κακό, καὶ τοῦ Ἰουδαίου καὶ τοῦ εἰδωλολάτρη»[29]. Καὶ πάλι· «Ὅσοι ἁμάρτησαν χωρὶς τὸ νόμο, θὰ τιμωρηθοῦν καὶ χωρὶς νὰ ἔχουν κατήγορο τὸ νόμο, καὶ ὅσοι ἁμάρτησαν ἐνῷ εἶχε δοθεῖ ὁ νόμος θὰ κριθοῦν μὲ κατήγορο τὸ νόμο»[30]. «Συγκεντρῶστε ἐνώπιόν του τοὺς ὁσίους του ποὺ μὲ τὶς θυσίες τους ἔδειξαν τὴ συμφωνία τους μὲ τὴ διαθήκη του»· Γιατί τέλος πάντων, ἐκείνους ποὺ πρόκειται νὰ κατηγορήσει καὶ τοὺς ὁποίους πρόκειται νὰ καταδικάσει, τοὺς ὀνομάζει ἐδῶ ὁσίους; Γιὰ ν' αὐξήσει τὴν τιμωρία καὶ προβάλλει τὴν τιμὴ σὰν ἀπόδειξη μεγαλύτερη γιὰ τὴν τιμωρία. Ἔτσι καὶ ἐμεῖς, ὅταν δοῦμε κάποιους ποὺ ἔχουν κάνει παρανομίες καὶ θέλομε νὰ τοὺς ἐπιπλήξουμε αὐστηρότερα, τοὺς προσφωνοῦμε μὲ τὸ ἀξίωμά τους, ὥστε νὰ κάνουμε μεγαλύτερη τὴν κατηγορία, λέγοντας 'Κάλεσε τὸ διάκονο ἢ τὸν πρεσβύτερο'. Ἐπειδὴ λοιπὸν καὶ αὐτοὶ ἦταν βασίλειο ἱεράτευμα καὶ λαὸς περιούσιος καὶ ὑπερηφανεύονταν πάρα πολὺ γι' αὐτό, παρουσιάζει καὶ μὲ τὸν τρόπο αὐτὸ τὸ μέγεθος τῶν ἐγκλημάτων τους. «Ἐκείνους ποὺ μὲ τὶς θυσίες τους νόμιζαν ὅτι συμφωνοῦν μὲ τὴν διαθήκη του». Ἐπειδὴ ἔκαμναν ἀμέτρητα κακὰ καὶ μεταχειρίζονταν τόσα πολλὰ εἴδη κακίας, ἁρπάζοντας, συγκεντρώνοντας πλοῦτο, φονεύοντας, μοιχεύοντας, ἐρχόμενοι σὲ αἱμομειξίες καὶ ἐπιμειξίες, νόμιζαν ὅτι κατορθώνουν μεγάλα πράγματα καὶ ὅτι ἐφαρμόζουν τὸ νόμο καὶ τὴ διαθήκη ἂν θὰ θυσίαζαν πρόβατα καὶ μοσχάρια, κατηγορώντας τους γι' αὐτὸ καὶ διακωμωδώντας τους, λέγει· «Ἐκείνους ποὺ μὲ τὶς θυσίες τους νόμιζαν ὅτι ἐκπληρώνουν τὴν διαθήκη του»· δηλαδὴ ἐκείνους ποὺ νόμιζαν ὅτι ἀρκεῖ γιὰ τὴ σωτηρία τους τὸ νὰ θυσιάζουν ἄλογα σώματα.

«Καὶ θὰ διακηρύξουν οἱ οὐρανοὶ τὴν δικαιοσύνη αὐτοῦ». Πάλι ἐδῶ, θέλοντας νὰ δείξει τὴ λαμπρότητα τῆς δικαιοσύνης του, τὴ φαιδρότητα, τὴν καθαρότητα, τὸ ἀναμφισβήτητο αὐτῆς καὶ τὴν καθολικὴ ἀναγνώρισή της, παρουσιάζει τὰ ἀναίσθητα στοιχεῖα νὰ διακηρύσσουν αὐτὴν

κατὰ τὸ αὐτὸ σχῆμα, ὅπερ ἔμπροσθεν ἔλεγεν. «Ὅτι ὁ Θεὸς κριτής ἐστι». Τὰ δίκαια ὁρίζων ἑκάστῳ, φησίν. Οὐδὲ γὰρ ἁπλῶς τὸ κρίνειν ἐνταῦθα τέθεικεν, ἀλλ' ἵνα δηλώσῃ, ὅτι καὶ δίκαιός ἐστι καὶ ἑτέροις τοῦτο παρέχει. Ἐπὶ γὰρ τοῦ Θεοῦ τό, Κριτής, ἀντὶ τοῦ δίκαιος εἴληπται, καθὰ καὶ Παῦλος αὐτὸ τέθεικε λέγων· «Ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον;». Τοῦτο γὰρ μάλιστα κρίσις, τοῦτο μάλιστα κριτής, οὐ τὸ ψηφίσασθαι ἁπλῶς, ἀλλὰ τὸ δικαίως ψηφίσασθαι. Κριθήσονται δὲ Ἰουδαῖοι καὶ οἱ τότε καὶ οἱ μετὰ ταῦτα παρανομήσαντες ἐπὶ τῆς Καινῆς, ἐκεῖνοι μὲν τὴν φύσιν καὶ τὸν νόμον κατήγορον ἔχοντες, οὗτοι δὲ μετὰ τούτων καὶ τὰ παρὰ τοῦ Χριστοῦ γεγενημένα εἰς αὐτούς. Τί γὰρ καὶ ἔχοιεν ἂν εἰπεῖν, ἢ ποίαν προβαλέσθαι αἰτίαν, δι' ἣν οὐκ ἐπίστευσαν;

Ἀλλὰ προσέχετε τοῖς λεγομένοις, παρακαλῶ, ἵνα δύνησθε τοὺς ἀντιλέγοντας ἐπιστομίζειν. Βέλτιον γὰρ αὐτοὺς παρ' ἡμῶν ἡττηθέντας νῦν διορθωθῆναι, ἢ νομίζοντας νικᾶν ἀπελθεῖν ἐκεῖ, καὶ κατακριθῆναι παρὰ τοῦ κοινοῦ τῆς οἰκουμένης δικαστοῦ. Τί τοίνυν ἂν ἔχοιεν εἰπεῖν Ἰουδαῖοι, τίνος ἕνεκεν ἀνεῖλον τὸν Χριστόν; τί μικρὸν ἢ μέγα ἐγκαλεῖν ἔχοντες; Ὅτι ἐποίουν ἑαυτὸν Θεόν, φησί. Καὶ μὴν οὐ ταῦτα ἦν τὰ ῥήματα ἐν τῷ καιρῷ τοῦ σταυροῦ, ἀλλ' ἕτερά τινα. Οὐ γὰρ ἔλεγον, 'ὁ ποιῶν ἑαυτὸν Θεόν', ἀλλ', «Ὁ ποιῶν ἑαυτὸν βασιλέα, οὐκ ἔστι φίλος τοῦ Καίσαρος». Καίτοι γε πολλάκις ἠθέλησαν αὐτὸν βασιλέα χειροτονῆσαι, καὶ ἔφυγεν. Ἀλλὰ πρὸ τούτου, φησίν, ἐνεκάλουν, «ὅτι ἐποίει ἑαυτὸν Θεόν». Καὶ τί τοῦτο; Εἰ μὲν γὰρ ψευδῶς καὶ ἀδίκως, καὶ οὐκ ὤν, λόγον τὸ ἔγκλημα εἶχε· εἰ δὲ δικαίως, προσκυνεῖσθαι αὐτὸν ἐχρῆν,

---

31. Ρωμ. 3, 6.
32. Ἰω. 10, 33.
33. Ἰω. 19, 12.

κατά τὸν ἴδιο τρόπο μὲ τὸν ὁποῖο ἔλεγε προηγουμένως. «Διότι ὁ Θεός εἶναι δίκαιος κριτής». Ἀποδίδει, λέγει, τὰ *δίκαια στὸν καθένα*. Βέβαια ἐδῶ δὲ ἀνέφερε στὴν τύχη τό ὅτι εἶναι κριτής, ἀλλὰ γιά νὰ δείξει ὅτι καὶ δίκαιος εἶναι καὶ τό δίκαιο ἀποδίδει σὲ ἄλλους. Διότι ἐδῶ ἀνέφερε αὐτό, λέγοντας˙ «Διότι πῶς θά κρίνει ὁ Θεός τὸν κόσμο;»[31]. Διότι αὐτό πρό πάντων εἶναι κρίση, αὐτό πρό πάντων σημαίνει κριτής, ὄχι ἁπλῶς νά κρίνει, ἀλλὰ νά κρίνει μὲ δικαιοσύνη. Θὰ κριθοῦν δὲ οἱ Ἰουδαῖοι καὶ οἱ τότε καὶ ἐκεῖνοι ποὺ ἔκαμαν παρανομίες στὴ συνέχεια κατὰ τὴν ἐποχὴ τῆς Καινῆς Διαθήκης, ἐκεῖνοι μὲν ἔχοντας κατήγορο τὴ φύση καὶ τό νόμο, αὐτοὶ δὲ μαζὶ μὲ αὐτὰ καὶ τὰ ὅσα ἔκαμε ὁ Χριστὸς σ' αὐτούς. Διότι τί θὰ μποροῦσαν νὰ ποῦν, ἢ ποιὰ δικαιολογία νά προβάλουν, ποὺ δὲν πίστευσαν;

Ἀλλά προσέχετε, παρακαλῶ, τὰ λεγόμενα, γιὰ νὰ μπορεῖτε ν' ἀποστομώνετε ἐκείνους ποὺ ἀντιλέγουν. Διότι προτιμότερο εἶναι αὐτοὶ νά νικηθοῦν ἀπό ἐμᾶς καὶ νὰ διορθωθοῦν τώρα, παρά, νομίζοντας ὅτι εἶναι νικητές, νὰ μεταβοῦν ἐκεῖ καὶ νά καταδικασθοῦν ἀπὸ τὸν κοινὸ δικαστὴ τῆς οκουμένης. Τί λοιπὸν θὰ μποροῦσαν νὰ ποῦν οἱ Ἰουδαῖοι, γιά ποιό λόγο φόνευσαν τὸ Χριστό; Ποιὰ μικρὴ ἢ μεγάλη κατηγορία θὰ ἔχουν νὰ τοῦ ἀποδώσουν; Τό ὅτι, λέγει, ἔκαμνε τὸν ἑαυτό του Θεό[32]. Καὶ ὅμως δὲν ἦταν αὐτὲς οἱ κατηγορίες κατά τὸν καιρό τοῦ σταυροῦ, ἀλλὰ κάποιες ἄλλες. Διότι δὲν ἔλεγαν, 'αὐτὸς ποὺ κάμνει τὸν ἑαυτό του Θεό', ἀλλ', «Αὐτός ποὺ κάμνει τὸν ἑαυτό του βασιλιά, δὲν εἶναι φίλος τοῦ Καίσαρα»[33]. Μολονότι βέβαια πολλὲς φορὲς θέλησαν νὰ τὸν ἀνακηρύξουν βασιλιά, καὶ ὅμως ἔφυγε. Ἀλλά, λέγει, πρὶν ἀπὸ αὐτὸ τὸν κατηγοροῦσαν «ὅτι ἔκαμνε τὸν ἑαυτό του Θεό». Καὶ ποιὰ σημασία ἔχει αὐτό; Διότι ἂν τό ἔλεγε ψευδόμενος καὶ ἄδικα, χωρὶς νὰ εἶναι, θὰ εἶχε θέση ἡ κατηγορία τους, ἂν ὅμως δίκαια, ἔπρεπε νὰ τὸν προσκυνήσουν καὶ ὄχι νὰ τὸν

*οὐ σταυροῦσθαι. Ἴδωμεν τοίνυν εἰ μὴ Θεὸς ὤν, ὄντως ἐποίει ἑαυτὸν Θεόν, τουτέστιν, ἐδείκνυ καὶ ἐπέφαινε.*

*Πόθεν οὖν βούλει μαθεῖν; ἀπὸ τῶν τότε; ἀπὸ τῶν νῦν; ἀπὸ τῶν παρὰ τὸν τόκον; Τίς οὖν ὑπὸ παρθένου ποτὲ ἐτέχθη; τίς δὲ ἀστέρα ἔδειξε τοιοῦτον; τίς δὲ μάγους τοσαύτην ὁδὸν ἤγαγεν, οὐκ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ πειθοῖ καὶ ἀποκαλύψει; Ὁρᾷς τὴν κτίσιν ἅπασαν ἐπιγνοῦσαν τὸν Δεσπότην; Ἡ φύσις πρώτη παραχωρεῖ, καὶ οὐκ ἀντιλέγει, οὐδὲ ἀνθίσταται λέγουσα· οὐ λύω τὰς ὠδῖνας· οὐκ ἔμαθον ἐκ μήτρας παρθενικῆς παιδίον προφέρειν· οὐκ οἶδα γάμου χωρὶς μητέρα ποιεῖν· ἀλλ' ἐξέστη καὶ παρεχώρησε τῶν οἰκείων ὅρων· τὸν γὰρ αὐτῆς ἐπέγνω Δεσπότην. Τεχθέντος πάλιν, ἄγγελοι παρεγένοντο, τὸν ἐν οὐρανοῖς ἐπὶ γῆς μηνύοντες, καὶ οὐρανὸς ἐγίνετο ἡ γῆ, ἅτε τοῦ βασιλέως ἐνταῦθα ὄντος, καὶ μάγοι προσεκύνουν, ἐκ τοσούτου διαστήματος ἀφικόμενοι· καὶ τὸ μὲν παιδίον ἐπὶ φάτνης ἔκειτο ἐν Παλαιστίνῃ, οἱ δὲ ἀπὸ τῆς βαρβάρου χώρας τοσαύτην τιμὴν καὶ θεραπείαν προσῆγον, ὅσην εἰκὸς Θεῷ προσάγειν.*

*Ἀλλὰ ταῦτα μὲν ἴσως οὐ παραδέξονται, ἕτερα δὲ ἐπιζητήσουσι σημεῖα, τὰ κατὰ τὴν παροῦσαν γενεάν. Ἀλλ' οὐδὲ τούτων ἀπορήσομεν. Τοιοῦτον γὰρ ἡ ἀλήθεια· περιρρεῖται τοῖς δικαιώμασι. Μάλιστα μὲν γὰρ οὐδὲ ἐνταῦθα ἔχουσί τινα ἀντιλογίας σκιὰν εἰπεῖν. Εἰ γὰρ καὶ μὴ παρῆς, ὅτε ἐκ παρθένου ἐτίκτετο, τῷ προφήτῃ πιστεύειν ἔδει τῷ λέγοντι· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ». Εἰ μὴ παρῆς, ὅτε σάρκα περικείμενος περιεπόλει τὴν γῆν, καὶ συνανεστρέφετο τοῖς δού-*

34. Ματθ. 2, 1 ἑ.
35. Λουκᾶ 2, 9 ἑ.
36. Ματθ. 2, 11.
37. Ἠσ. 7, 14.

σταυρώσουν. Ἂς δοῦμε λοιπὸν ἄν, χωρὶς νὰ εἶναι Θεός, πράγματι ἔκαμνε τὸν ἑαυτό του Θεό, δηλαδὴ ἂν ἔδειχνε καὶ φανέρωνε αὐτό.

Ἀπὸ ποῦ λοιπὸν θέλεις νὰ τὸ μάθεις; ἀπὸ τὰ ὅσα συνέβηκαν τότε; ἀπὸ τὰ σημερινά; ἀπὸ τὰ ὅσα συνέβηκαν κατὰ τὴ γέννησή του; Ποιός λοιπὸν ποτὲ γεννήθηκε ἀπὸ παρθένο; ποιός δὲ ἔδειξε τέτοιο ἀστέρα; ποιὸς δὲ ὁδήγησε μάγους ἀπὸ τόση ἀπόσταση, χωρὶς ἐξαναγκασμὸ καὶ βία, ἀλλὰ μὲ τὴν πειθὼ καὶ τὴν ἀποκάλυψη[34]; Βλέπεις τὴν κτίση ὅλη ποὺ γνώρισε τὸν Κύριο; Ἡ φύση πρώτη ὑποχωρεῖ καὶ δὲν ἀντιλέγει, οὔτε ἀντιστέκεται, λέγοντας 'δὲν λύνω τὶς ὠδῖνες, δὲν ἔμαθα νὰ δίνω παιδὶ ἀπὸ παρθενικὴ μήτρα, δὲν γνωρίζω νὰ κάμνω μητέρα χωρὶς γάμο, ἀλλ' ἔμεινε ἔκπληκτη καὶ παραμέρησε τοὺς δικούς της ὅρους· διότι γνώρισε τὸν Κύριό της. Ὅταν πάλι γεννήθηκε παρουσιάσθηκαν ἄγγελοι[35], φέρνοντας τὸ μήνυμα τοῦ ἐρχομοῦ του ἀπὸ τὸν οὐρανὸ στὴ γῆ, καὶ ἡ γῆ γινόταν οὐρανός, ἀφοῦ ὁ βασιλεὺς βρισκόταν ἐδῶ, καὶ μάγοι προσκυνοῦσαν, ἀφοῦ ἦλθαν ἀπὸ τόση μακρινὴ ἀπόσταση[36]· καὶ τὸ μὲν παιδὶ βρισκόταν στὴν Παλαιστίνη μέσα στὴ φάτνη, οἱ δὲ μάγοι, ποὺ ἦλθαν ἀπὸ βαρβαρικὴ χώρα, τόση τιμὴ καὶ λατρεία πρόσφεραν, ὅση ἦταν φυσικὸ νὰ προσφέρουν σὲ Θεό.

Ἀλλ' αὐτὰ μὲν ἴσως δὲν τὰ παραδεχθοῦν, ζητήσουν δὲ ἄλλα θαύματα, ποὺ συνέβηκαν κατὰ τὴν παρούσα γενεά. Ὅμως οὔτε καὶ αὐτὰ θὰ βρεθοῦμε σὲ δύσκολη θέση νὰ τοὺς τὰ παρουσιάσουμε. Διότι τέτοια εἶναι ἡ ἀλήθεια· ἔχει ἀφθονία ἀποδείξεων. Καὶ βέβαια οὔτε ἐδῶ ἔχουν νὰ παρουσιάσουν κάποια σκιὰ ἀντιλογίας. Διότι καὶ ἂν ἀκόμη δὲν ἤσουν παρὼν ὅταν γεννιόταν ἀπὸ τὴν παρθένο, ἔπρεπε νὰ πιστεύεις στὸν προφήτη ποὺ λέγει· «Νὰ ἡ παρθένος θὰ συλλάβει καὶ θὰ γεννήσει υἱό καὶ θὰ τοῦ δώσουν τὸ ὄνομα Ἐμμανουήλ»[37]. Ἂν δὲν ἤσουν παρών, ὅταν περιόδευε τὴ γῆ, φορώντας τὴν ἀνθρώπινη σάρκα, καὶ συναναστρε-

*λοις ὁ Δεσπότης, ἔντυχε τῷ Ἱερεμίᾳ, κἀκεῖνός σοι διαλέξεται οὕτω λέγων· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη».*

*4. Καὶ ἐπὶ τῶν ἄλλων δὲ ἁπάντων ὄψει τοὺς προφήτας, ὧν τὰ βιβλία εἰκῇ μέχρι σήμερον περιστρέφεις καὶ ἐνοχλεῖς, ταύτης ἕνεκεν τῆς ὑποθέσεως, σαφῶς ἀνακηρύττοντας ἅπαντα. Ἀλλ' οἱ μὲν πρὸς τούτους ἀγῶνες καὶ εἴρηνται πολλάκις ἡμῖν, καὶ ῥηθήσονται, τέως δὲ τῶν προκειμένων ἐχώμεθα. «Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν». Ἐνταῦθά μοι τὴν δικαιοσύνην λέγειν δοκεῖ, τὴν πολλὴν αὐτοῦ κηδεμονίαν, τὴν φιλανθρωπίαν τὴν εἰς αὐτοὺς ἐκείνους, τὴν εἰς πάντας ἀνθρώπους πολυειδῆ τινα οἰκονομίαν καὶ πολύτροπον, τὴν διὰ τῆς κτίσεως, τὴν διὰ τοῦ νόμου, τὴν διὰ τῆς χάριτος, τὴν διὰ τῶν ὁρωμένων, τὴν διὰ τῶν ἀοράτων, τὴν διὰ τῶν προφητῶν, τὴν διὰ τῶν ἀγγέλων, τὴν διὰ τῶν ἀποστόλων, τὴν διὰ τῶν κολάσεων, τὴν διὰ τῶν εὐεργεσιῶν, τὴν διὰ τῶν ἀπειλῶν, τὴν διὰ τῶν ἐπαγγελιῶν, τὴν διὰ τῆς τάξεως τῆς κατὰ τὸν χρόνον.*

*«Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι». Ὅρα πάλιν ἐπιείκειαν καὶ πραότητα ἐξ αὐτοῦ τοῦ προοιμίου. Ὡς γὰρ ἂν εἰ ἄνθρωπος πρὸς ἄνθρωπον εἴποι θορυβοῦντα καὶ ταράττοντα, ἐὰν ἀκούῃς, λαλῶ, ἐὰν προσέχῃς, ἐρῶ, οὕτω καὶ πρὸς τοὺς δούλους ὁ Δεσπότης, ἐὰν ἀκούῃς μου, φησίν, ἐρῶ. Καὶ γὰρ ἦσαν ῥάθυμοι καὶ ἀναπεπτωκότες, καὶ οὐδὲ ἐπὶ μικρὸν μετὰ ἡσυχίας παρεῖχον τῇ τῶν νόμων ἀναγνώσει τὴν ἀκρόασιν. Καὶ τοῦτο δηλῶν τις προφήτης ἔλεγεν ὁ ἐν Περσίδι διατρίβων· «Ἔσομαι αὐτοῖς ὡς φωνὴ ψαλτηρίου ἡδυφώνου»· καὶ συνεχῶς ἔλεγον τοῖς*

---

38. Βαρούχ 3, 36 - 38.
39. Ζαχ. 7, 11.
40. Ἰεζ. 33, 32 ἑ.

φόταν ὁ Κύριος τούς δούλους, διάβασε τόν Ἱερεμία καί ἐκεῖνος θά σοῦ πεῖ τά ἑξῆς· «Αὐτός εἶναι ὁ Θεός μας· κανένας δέν θά μπορέσει νά συγκριθεῖ μέ αὐτόν. Αὐτός ἔχει ὅλη τή σοφία καί τήν ἔδωσε στό δοῦλο του τόν Ἰακώβ καί στόν ἀγαπημένο του τόν Ἰσραήλ. Στή συνέχεια φανερώθηκε στή γῆ καί συναναστράφηκε μέ τούς ἀνθρώπους»[38].

4. Καί γιά ὅλα δέ τά ἄλλα θά δεῖς τούς προφῆτες, τῶν ὁποίων τά βιβλία, ἐξαιτίας αὐτῆς τῆς ὑποθέσεως, τά ξεφυλλίζεις μέχρι σήμερα ἄσκοπα καί τά ἐνοχλεῖς, νά τά διακηρύσσουν ὅλα καθαρά. Ἀλλ' οἱ μέν ἀγῶνες πρός αὐτούς καί ἔχουν λεχθεῖ πολλές φορές σέ μᾶς καί θά λεχθοῦν, προηγουμένως ὅμως θά ἐξετάσουμε αὐτά γιά τά ὁποῖα γίνεται λόγος. «Καί θά διακηρύξουν οἱ οὐρανοί τή δικαιοσύνη αὐτοῦ, διότι ὁ Θεός εἶναι δίκαιος κριτής». Ἐδῶ νομίζω ὅτι ὁμιλεῖ γιά τή δικαιοσύνη, τή μεγάλη φροντίδα του, τή φιλανθρωπία του πρός ἐκείνους τούς ἴδιους, τήν πολύμορφη καί πολύτροπη μέριμνά του πρός ὅλους τούς ἀνθρώπους, πού ἐπιδείχθηκε μέ τή δημιουργία, μέ τό νόμο, μέ τή χάρη, μέ τά ὁρατά, μέ τά ἀόρατα, μέ τούς προφῆτες, μέ τούς ἀγγέλους, μέ τούς ἀποστόλους, μέ τίς τιμωρίες, μέ τίς εὐεργεσίες, μέ τίς ἀπειλές, μέ τίς ἐπαγγελίες, μέ τήν τάξη πού ὑπάρχει στό χρόνο.

«Ἄκουσε, λαέ μου, καί θά σοῦ μιλήσω, Ἰσραήλ, καί θά διαμαρτυρηθῶ ἐνώπιόν σου». Πρόσεχε πάλι ἐπιείκεια καί πραότητα ἀπό αὐτό τό προμήνυμα. Διότι, ὅπως θά ἔλεγε ἄνθρωπος πρός ἄνθρωπο πού θορυβεῖ καί ἐνοχλεῖ, ἄν ἀκούεις, θά σοῦ μιλῶ, ἄν προσέχεις θά σοῦ πῶ, ἔτσι καί ὁ Κύριος πρός τούς δούλους, ἄν ἀκούεις, λέγει, θά σοῦ πῶ. Καθόσον ἦταν ράθυμοι, καί μέ χαμηλό θρησκευτικό συναίσθημα, καί δέν ἔδειχναν οὔτε ἐλάχιστη ἡσυχία γιά ν' ἀκούσουν τό νόμο πού διαβαζόταν[39]. Καί γιά νά δηλώσει αὐτό κάποιος προφήτης, πού ζοῦσε στήν Περσία, ἔλεγε· «Θά εἶμαι γι' αὐτούς σάν φωνή μελωδικοῦ ψαλτηρίου»[40]· συνέχεια δέ ἔλεγαν στούς προφῆτες νά μή προ-

*προφήταις μὴ προφητεύειν, μᾶλλον δὲ καὶ διεκρούοντο αὐτοὺς καὶ ἐνοχλεῖσθαι ἐδόκουν. Καὶ βασιλεὺς τοῦτο φαίνεται ἀπειλῶν προφήτῃ τινὶ καὶ προστάσσων, ὥστε μὴ ὀχλαγωγεῖν. «Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ». Οὐχ ἁπλῶς ὁ διπλασιασμὸς κεῖται, ἀλλὰ ἐπεὶ πρὸς ἀναισθήτους ἐλάλει, καὶ πεπωρωμένους, καὶ κεκωφωμένους, τὸν περὶ τῆς δεσποτείας αὐτοῦ κινεῖ λόγον, ἀρχὴν ἀρίστην τῇ μετὰ ταῦτα διηγήσει διδοὺς ἐντεῦθεν, καὶ δεικνὺς ὅτι ὀφείλουσιν αὐτῷ τὴν ἐλευθερίαν, καὶ χρέος ἂν εἶεν δίκαιοι καταθεῖναι ὡς Δεσπότῃ δοῦλοι, ὡς δημιουργῷ ἔργα, ὡς τὰ μέγιστα εὐεργετηθέντες, καὶ τοσαύτην τιμηθέντες τιμήν.*

*«Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε· τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διαπαντός». Οὕτω γὰρ οἱ λοιποὶ κατηγοροῦσιν αὐτῶν προφῆται, ἐπειδὴ τὸ πλέον τῆς ἀρετῆς παρορῶντες μέρος, ἐν τούτοις τὰς ἐλπίδας τῆς σωτηρίας εἶχον. Καὶ γὰρ εἰς ἀπολογίαν ἔμελλον αὐτὸ προβάλλεσθαι, ὅτι θυσίας σπένδομεν, ὅτι προσφέρομεν ὁλοκαυτώσεις. Ἀλλ' οὐκ ἐπὶ τούτοις εἰσῆλθον δικασόμενος, φησίν, οὐδὲ ὑπὲρ τούτων ἐγκαλέσων, ὅτι παρώφθη ταῦτα. Ὁ δὲ Ἡσαΐας καὶ εὐτονώτερον αὐτῶν καθικνεῖται λέγων· «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; Πλήρης εἰμί. Ὁλοκαύτωμα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν»; Καίτοι πολλοὶ περὶ θυσιῶν εἰσιν εἰρημένοι λόγοι, ἀλλ' οὐ προηγουμένως αὐτοῦ βουλομένου ταῦτα νομοθετεῖ, ἀλλὰ τῇ ἀσθενείᾳ αὐτῶν συγκαταβαίνοντος. Καὶ Ἱερεμίας δέ φησιν· «Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρεις καὶ κινάμωμον ἐκ γῆς μακρόθεν;». Καὶ πάντες δέ, ὡς εἰπεῖν, οἱ προφῆται οὐδὲν μέγα εἶναι τοῦτό*

41. Ἀμώς 7, 13.
42. Πρβλ. Γ' Βασ. 19, 10.
43. Ἱερ. 32, 3.
44. Ἡσ. 11, 11 - 12.
45. Ἱερ. 6, 20.

φητεύουν[41], μᾶλλον δὲ τοὺς ἀπέφευγαν[42] καὶ θεωροῦσαν ὅτι τοὺς ἐνοχλοῦν. Καὶ κάποιος βασιλιὰς αὐτὸ φαίνεται ἐπεδίωκε μὲ τὶς ἀπειλὲς καὶ τὶς προσταγές του πρὸς κάποιο προφήτη γιὰ νὰ μὴ ὁμιλεῖ στὸ λαό[43]. «Ὁ Θεὸς ὅλων καὶ Θεός σου ἐγὼ εἶμαι». Δὲν εἶναι τυχαία ἡ ἐπανάληψη τῆς λέξεως, ἀλλ' ἐπειδὴ μιλοῦσε πρὸς ἀναισθήτους, πωρωμένους καὶ πρὸς ἀνθρώπους ποὺ εἶχαν κλειστὰ τ' αὐτιά τους, ὁμιλεῖ γιὰ τὴν ἐξουσία του, κάμνοντας ἄριστη ἀρχὴ γιὰ τὴ διήγηση στὴ συνέχεια καὶ δείχνοντας ὅτι ὀφείλουν σ' αὐτὸν τὴν ἐλευθερία τους καὶ ἄρα εἶχαν χρέος νὰ συμπεριφερθοῦν σὰν δίκαιοι δοῦλοι πρὸς τὸν κύριό τους, σὰν ἔργα πρὸς τὸ δημιουργό τους, σὰν κάποιοι ποὺ εὐεργετήθηκαν πάρα πολὺ καὶ τιμήθηκαν μὲ τόσο μεγάλη τιμή.

«Δὲν θὰ σὲ ἐλέγξω γιὰ τὶς θυσίες σου, τὰ δὲ ὁλοκαυτώματά σου μοῦ τὰ πρόσφερες πάντοτε». Γι' αὐτὸ βέβαια καὶ οἱ ἄλλοι προφῆτες τοὺς κατηγοροῦν, ἐπειδή, παραβλέποντας τὸ σπουδαιότερο μέρος τῆς ἀρετῆς, στήριζαν τὶς ἐλπίδες τῆς σωτηρίας σ' αὐτά. Καθόσον ἐπρόκειτο αὐτὸ νὰ προβάλλουν γιὰ δικαιολογία τους, ὅτι δηλαδὴ προσφέρομε θυσίες, ὅτι προσφέρομε ὁλοκαυτώματα. Ἀλλά, λέγει, δὲν ἦλθα γιὰ νὰ σᾶς δικάσω γι' αὐτά, οὔτε νὰ σᾶς κατηγορήσω γι' αὐτά, διότι μοῦ εἶναι ἀδιάφορα αὐτά. Ὁ δὲ Ἠσαΐας καταφέρεται ἐναντίον τους πιὸ ἔντονα, λέγοντας. Τί μοῦ χρειάζεται τὸ πλῆθος αὐτὸ τῶν θυσιῶν σας πρὸς ἐμένα; Εἶμαι χορτασμένος ἀπὸ αὐτά. Ὁλοκαυτώματα κριῶν καὶ στέαρ τῶν ἀρνιῶν καὶ αἷμα τῶν ταύρων καὶ τῶν τράγων δὲν τὰ θέλω. Διότι ποιὸς τὰ ζήτησε αὐτὰ ἀπὸ τὰ χέρια σας;»[44]. Καὶ βέβαια πολλὰ ἔχουν λεχθεῖ γιὰ τὶς θυσίες, ἀλλ' ὅμως δὲν τὰ νομοθέτησε αὐτὰ ἀπὸ τὴν ἀρχὴ ἐπειδὴ τὰ ἤθελε, ἀλλ' ἀπὸ συγκατάβαση πρὸς τὴν πνευματικὴ ἀδυναμία τους. Καὶ ὁ Ἱερεμίας δὲ λέγει· «Γιατί μοῦ φέρνετε λιβάνι ἀπὸ τὴ Σαβὰ καὶ κινάμωμο ἀπὸ χώρα μακρινή;»[45]. Καὶ ὅλοι δὲ οἱ προφῆτες, θὰ μπορούσαμε νὰ ποῦμε, λέγουν ὅτι αὐτὸ δὲν εἶναι τίποτε τὸ σπουδαῖο

*φασι. Διὸ καὶ αὐτὸς ἀρχόμενος οὕτως ἔφη· «Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ»· κἀντεῦθεν δηλῶν, ὅτι ἀνάξιος αὐτοῦ τῆς τοιαύτης θεραπείας ὁ τρόπος. Καὶ γὰρ τὸν Θεὸν οὐ διὰ καπνοῦ καὶ κνίσης, ἀλλὰ διὰ πολιτείας ἀρίστης καὶ ἀσωμάτου καὶ νοερᾶς θεραπεύεσθαι δεῖ. Ἀλλ' οὐχ οἱ δαίμονες τῶν ἔξωθεν οὕτως, ἀλλὰ καὶ ἐπιζητοῦσι ταῦτα. Τοῦτο καί τις παρ' Ἕλλησι ποιητὴς φαίνεται δεικνύς, λέγων· «Τὸ γὰρ λάχομεν γέρας ἡμεῖς».*

*Ἀλλ' οὐχ ὁ Θεὸς ἡμῶν οὕτως. Ἐκεῖνοι μὲν γὰρ αἱμάτων διψῶντες ἀνθρωπίνων, καὶ κατὰ μικρὸν αὐτοὺς εἰς ταύτας τὰς μιαιφονίας ἐνάγειν βουλόμενοι, ταῦτα ᾔτουν συνεχῶς, αὐτὸς δὲ καὶ τῆς τῶν ἀλόγων ἀποστῆσαι σφαγῆς κατὰ μικρὸν ἐθέλων, ἐχρήσατο τῇ συγκαταβάσει ταύτῃ, καὶ συνεχώρησε θυσίας, ἵνα ἀνέλῃ θυσίας. «Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν». Ὅρα πῶς κατὰ μικρὸν ἀνάγει τῶν χαμαιζήλων τὴν διάνοιαν, διανοίγων αὐτῶν τὴν πεπωρωμένην γνώμην, καὶ δεικνὺς ὅτι οὐ δεόμενος ταῦτα ἐπέταξεν, οὐδὲ ἀποδεχόμενος ἐνομοθέτησεν. Εἰ γὰρ ἐβουλόμην οὕτω θεραπεύεσθαι, φησί, τὴν ὑφήλιον πᾶσαν ἔχων, καὶ αὐτὸς πάντων γενόμενος δημιουργός, δαψιλεῖς ἂν παρεσκεύασά μοι γενέσθαι θυσίας. Εἶτα καὶ κωμῳδῶν αὐτοὺς καὶ διασύρων, ὥστε καὶ πληκτικωτέραν γενέσθαι τὴν κατηγορίαν, ἐπήγαγεν· «Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς».*

---

48. Ἰλιάς Δ 49. Ω 90.

Γι' αὐτὸ καὶ αὐτὸς ἀρχίζοντας λέγει τὰ ἑξῆς· «Ὁ Θεὸς ὅλων καὶ ὁ Θεὸς ὁ δικός σου ἐγὼ εἶμαι»· καὶ μὲ αὐτὸ θέλει νὰ δείξει, ὅτι εἶναι γι' αὐτὸν ἀνάξιος αὐτὸς ὁ τρόπος λατρείας. Καθόσον τὸ Θεὸ πρέπει νὰ τὸν λατρεύουμε ὄχι μὲ καπνὸ καὶ κνίσα, ἀλλὰ μὲ ἄριστο τρόπο ζωῆς, ἀσώματο καὶ πνευματικό. Ἀλλ' ὅμως δὲν συμβαίνει τὸ ἴδιο καὶ μὲ τοὺς δαίμονες τῶν εἰδωλολατρῶν, ἀντίθετα μάλιστα καὶ τὰ ἐπιζητοῦν. Αὐτὸ φαίνεται νὰ δηλώνει καὶ κάποιος ποιητὴς τῶν Ἑλλήνων, λέγοντας· «Διότι θὰ λάβουμε ἐμεῖς μὲ κλῆρο τὸ τιμητικὸ δῶρο»[46].

Ἀλλ' ὅμως δὲν εἶναι τέτοιος ὁ Θεός μας. Διότι, ἐκεῖνοι μὲν δηλώνοντας γιὰ ἀνθρώπινα αἵματα καὶ θέλοντας σιγὰ - σιγὰ νὰ τοὺς ὁδηγήσουν σ' αὐτὲς τὶς αἱμοχαρεῖς πράξεις, ζητοῦσαν συνέχεια αὐτά, ἐνῶ ὁ Θεός μας, θέλοντας νὰ μᾶς ἀπομακρύνει σιγὰ - σιγὰ καὶ ἀπὸ τὴ σφαγὴ τῶν ἀλόγων ζώων, χρησιμοποίησε αὐτὴ τὴ συγκατάβαση καὶ ἐπέτρεψε θυσίες, γιὰ νὰ καταργήσει τὶς θυσίες. «Δὲν θὰ δεχθῶ μόσχους ἀπὸ τὸν οἶκο σου, οὔτε τράγους ἀπὸ τὰ ποίμνιά σου. Διότι δικά μου εἶναι ὅλα τὰ ἄγρια ζῶα τοῦ δάσους, τὰ κτήνη ποὺ βόσκουν στὰ ὄρη καθὼς καὶ τὰ βόδια. Καὶ γνωρίζω πολὺ καλὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἡ ὡραιότητα τοῦ ἀγροῦ εἶναι στὴ διάθεσή μου». Πρόσεχε πῶς σιγὰ - σιγὰ ἐξυψώνει τὴν πνευματικότητα τῶν πνευματικὰ κατωτέρων, διανοίγοντας τὴν πωρωμένη συνείδησή τους καὶ δείχνοντας ὅτι αὐτὰ δὲν τὰ παράγγειλε ἀπὸ ἀνάγκη, οὔτε τὰ νομοθέτησε ἐγκρίνοντάς τα. Διότι, λέγει, ἂν ἤθελα ἔτσι νὰ λατρεύομαι, θὰ μποροῦσα, σὰν κύριος ὁλοκλήρου τοῦ κόσμου καὶ δημιουργὸς τῶν πάντων, νὰ ἑτοιμάσω γιὰ τὸν ἑαυτό μου ἄφθονες θυσίες. Ἔπειτα διακωμωδώντας καὶ διασύροντας αὐτούς, ὥστε ἡ κατηγορία νὰ ἔχει τὴ δύναμη νὰ πληγώνει περισσότερο, πρόσθεσε· «Ἂν πεινάσω, δὲν θὰ σοῦ πῶ νὰ μοῦ δώσεις, διότι δική μου εἶναι ἡ οἰκουμένη καὶ ὅλα ὅσα ἔχει».

*Ἐπειδὴ γὰρ αὐτὸς μὲν αὐτὰ συνεχώρησεν, ἵνα κατὰ μικρὸν αὐτοὺς ἀπαγάγῃ τούτων, αὐτοὶ δὲ ἐναπέμειναν τῇ εὐτελείᾳ, οὐδὲν μέγα ἐκ τῆς συγκαταβάσεως ταύτης καρπωσάμενοι, διὰ τοῦτο παχύτερόν πως καὶ ἀνθρωπινώτερον διαλεγόμενός φησιν· «Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω»· τουτέστιν, οὔτε πεινῶ· Θεὸς γὰρ οὐ πεινάσει, οὐ κοπιάσει· οὔτε εἰ τούτοις ἐβουλόμην θεραπεύεσθαι, ἠπόρουν ἀπείρων θυσιῶν καὶ ὁλοκαυτωμάτων. Καὶ γὰρ πρόκειταί μοι πάντα μετὰ πολλῆς τῆς ἀφθονίας, καὶ Κύριος αὐτῶν ὢν καὶ Δεσπότης, τὰ ἐμὰ βούλομαι παρὰ σοῦ λαβεῖν, ἵνα τούτῳ σε τῆς ὁδοῦ τῷ τρόπῳ πρὸς τὴν ἐμὴν ἐπισπάσωμαι φιλίαν, καὶ τῆς τῶν ματαίων ἀποστήσω συνηθείας.*

*5. Εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον ἀγαγὼν φησι· «Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;». Ταῦτα γὰρ οὔτε ἀνθρώποις ποιεῖν ἐπέταξα, φησίν, ἀλλὰ καὶ μεγίστην ὥρισα κόλασιν τοῖς τὸ αἷμα ἐσθίουσι. Πῶς οὖν ἤμελλον αἵματος δεήσεσθαι ὁ τοὺς δούλους ἀπάγων τοὺς ἐμοὺς τῆς τοιαύτης θοίνης; Ἐκβαλὼν τοίνυν ταῦτα ἅπαντα, καὶ δείξας ἀνάξια αὐτοῦ, καὶ πολλὴν τῇ κατηγορίᾳ τὴν κωμῳδίαν ἀναμίξας, οὐκ ἔστησε τὸν λόγον μέχρι τούτου, ἀλλὰ δείκνυσιν ἑτέρας θυσίας τρόπον, ὅπερ ἐστὶν ἰατρείας ἀρίστης εἶδος, τῶν οὐδὲν ὠφελούντων ἀπάγοντα, τὰ δυνάμενα διορθοῦν ἐπιτιθέναι τοῖς τραύμασι. Μετὰ γὰρ τὸ ταῦτα ἀπαρτίσαι, λέγει «Θῦσον τῷ Θεῷ». Καὶ πῶς θύσω, φησίν; Αἵματος χωρίς. Τοῦτο γὰρ μάλιστα θυσία Θεῷ πρέπουσα. Διὰ τοῦτο εἰπών, «Θῦσον τῷ Θεῷ», ἐπήγαγε, «Θυσίαν αἰνέσεως»· τουτέστιν, εὐχαριστίας, ὕμνων ἱερῶν, τῆς διὰ τῶν ἔργων δοξολογίας. Ὃ δὲ λέγει,*

47. Λευιτ. 7, 26 - 27.

Ἐπειδὴ λοιπὸν ὁ Θεὸς μὲν τὰ ἐπέτρεψε αὐτά, ὥστε σιγά - σιγὰ νὰ τοὺς ἀπομακρύνει ἀπὸ αὐτά, αὐτοὶ δὲ παρέμειναν προσκολλημένοι στὴν εὐτέλεια, χωρὶς ν' ἀποκομίσουν καμιὰ μεγάλη ὠφέλεια ἀπ' αὐτὴ τὴ συγκατάβαση, γι' αὐτὸ μιλώντας κάπως πιὸ παχύτερα καὶ ἀνθρωπινώτερα, λέγει· «Ἂν συμβεῖ νὰ πεινάσω, δὲν θὰ σοῦ πῶ νὰ μοῦ δώσεις»· δηλαδή, οὔτε πεινῶ. Διότι ὁ Θεὸς δὲν θὰ πεινάσει οὔτε θὰ κοπιάσει· οὔτε, ἂν ἤθελα νὰ λατρεύομαι μὲ αὐτά, θὰ στερούμουν ἀπὸ ἄπειρες θυσίες καὶ ὁλοκαυτώματα. Καθόσον βρίσκονται στὴ διάθεσή μου ὅλα μὲ πολὺ μεγάλη ἀφθονία, καί, ἐνῶ εἶμαι Κύριος καὶ Δεσπότης αὐτῶν, θέλω νὰ λάβω ἀπὸ σένα τὰ δικά μου, ὥστε μὲ αὐτὸν τὸν τρόπο νὰ σὲ προσελκύσω πρὸς τὴν ἀγάπη μου καὶ νὰ σέ ἀπομακρύνω ἀπὸ τὴ συνήθεια τῶν ματαίων.

5. Ἔπειτα πάλι, γιὰ νὰ τοὺς ἀνεβάσει ψηλότερα, λέγει· «Ἀλλὰ μήπως ἔχω ἀνάγκη νὰ φάγω κρέατα ταύρων ἢ νὰ πιῶ αἷμα τράγων;». Διότι, λέγει, αὐτὰ δέν διέταξα οὔτε στοὺς ἀνθρώπους νὰ τὰ κάμνουν, ἀλλὰ καὶ ὅρισα πάρα πολὺ μεγάλη τιμωρία σ' ἐκείνους ποὺ τρώγουν τὸ αἷμα[47]. Πῶς λοιπὸν ἐπρόκειτο νὰ ἔχω ἀνάγκη ἀπὸ αἷμα ἐγὼ ποὺ ἀπομακρύνω τοὺς δούλους μου ἀπὸ τέτοιου εἴδους συμπόσια; Ἀφοῦ λοιπὸν ἀπέρριψε τὴ σπουδαιότητα ὅλων αὐτῶν καὶ ἔδειξε ὅτι εἶναι ἀνάξια αὐτοῦ, ἀναμιγνύοντας στὴν κατηγορία καὶ πολλὴ γελοιοποίηση, δὲν σταμάτησε τὸ λόγο μέχρις ἐδῶ, ἀλλὰ δείχνει τρόπο ἄλλης θυσίας, πράγμα ποὺ εἶναι εἶδος ἀρίστης θεραπείας, τὸ ν' ἀπομακρύνει δηλαδὴ ἀπὸ ἐκεῖνα ποὺ δὲν ὠφελοῦν καθόλου, νὰ ἐπιθέτει δὲ στὰ τραύματα ἐκεῖνα ποὺ μποροῦν νὰ θεραπεύσουν αὐτά. Διότι, μετὰ τὴν ὁλοκλήρωση ὅλων αὐτῶν, λέγει· «Θυσίασε στὸ Θεό». Καὶ πῶς, λέγει, θὰ θυσιάσω; Χωρὶς αἷμα. Διότι αὐτὸ πρὸ πάντων εἶναι θυσία καὶ ταιριάζει στὸ Θεό. Γι' αὐτό, ἀφοῦ εἶπε, «Θυσίασε στὸ Θεό», πρόσθεσε, «Θυσία αἰνέσεως»· δηλαδή, εὐχαριστίας, ὕμνων ἱερῶν, δοξολογία μὲ ἔργα. Αὐτὸ δὲ ποὺ

*τοιοῦτόν ἐστιν· οὕτω ζῆθι, ὥστε δοξάζεσθαί σου τὸν Δεσπότην. Ὅπερ καὶ ὁ Χριστὸς ἐδίδαξε λέγων· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Αἶνος γὰρ οὐδὲν ἕτερον ἢ ἔπαινός ἐστι, δόξα καὶ εὐφημία. Ἔστω τοίνυν ὁ βίος σου τοιοῦτος, ὥστε εὐφημεῖσθαί σου τὸν Δεσπότην, καὶ ἀπηρτισμένην εἰσήγαγες τὴν θυσίαν.*

*Ταύτην καὶ ὁ Παῦλος ἐπιζητεῖ τὴν θυσίαν, λέγων· «Παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ». Καὶ ἀλλαχοῦ πάλιν ὁ αὐτὸς προφήτης· «Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει· καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς». Οὕτως ἔθυε καὶ Ἰὼβ μετὰ τὰς πληγὰς ἐκείνας τὰς ὑπὲρ φύσιν, εὐχαριστῶν, καὶ ταῦτα φθεγγόμενος τὰ ῥήματα· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». «Καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου». Τὰς ἱκετηρίας ἐνταῦθά φησιν, ὥστε διηνεκῶς τῇ δεήσει προσκαρτερεῖν, καὶ ἅπερ ἂν ἐπαγγελώμεθα μετὰ τάχους ἀποδιδόναι. Καὶ καλῶς εἶπεν, «Ἀπόδος». Μετὰ γὰρ τὴν ἐπαγγελίαν χρέος τὸ πρᾶγμα γίνεται. Οὕτως Ἄννα ἀπέδωκε τὸν υἱόν, ὡς ὄφλημα μέγιστον.*

*Καὶ σὺ τοίνυν κἂν ἐλεημοσύνην ἐπαγγέλλῃ, κἂν σώφρονα βίον, κἂν ἕτερόν τι τοιοῦτον, σπεῦδε πρὸς τὴν ἔκτισιν. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, κἂν μὴ ἐπαγγέλληται, χρεωστεῖ αὐτῷ τὰ τῆς ἀρετῆς. Καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· «Ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν». Καίτοι τὴν παραβο-*

48. Ματθ. 5, 16.
49. Ρωμ. 12, 1.
50. Ψαλμ. 68, 31 - 32.
51. Ἰὼβ 1, 21.
52. Α΄ Βασ. 49, 14.

λέγει σημαίνει τὸ ἑξῆς· ἔτσι νὰ ζεῖς, ὥστε νὰ δοξάζεται ὁ Κύριός σου. Πράγμα ποὺ καὶ ὁ Χριστὸς δίδαξε, λέγοντας· «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[48]. Διότι αἶνος δὲν εἶναι τίποτε ἄλλο, παρὰ ἔπαινος, δόξα καὶ εὐφημία. Ἂς εἶναι λοιπὸν ἡ ζωή σου τέτοια, ὥστε νὰ δοξολογεῖται ὁ Κύριός σου, καὶ τότε πρόσφερες τὴν τελεία καὶ πρέπουσα θυσία.

Αὐτὴ τὴ θυσία ζητεῖ ἐπίμονα καὶ ὁ Παῦλος, λέγοντας· «Παραστῆστε τὰ μέλη σας θυσία ζωντανή, ἁγία, εὐάρεστη στὸ Θεό»[49]. Καὶ ἀλλοῦ πάλι ὁ ἴδιος αὐτὸς προφήτης λέγει· «Θὰ ὑμνήσω τὸ ὄνομα τοῦ Θεοῦ μου μὲ ᾠδή, θὰ διακηρύξω τὸ μεγαλεῖο του μὲ ὕμνο δοξολογίας, καὶ αὐτὸ θὰ ἀρέσει στὸ Θεό μου περισσότερο ἀπὸ θυσία μόσχου τρυφεροῦ ποὺ μόλις ἀρχίζουν νὰ φυτρώνουν τὰ κέρατά του καὶ οἱ ὁπλὲς τῶν ποδιῶν του»[50]. Ἔτσι θυσίαζε καὶ ὁ Ἰὼβ μετὰ ἀπὸ ἐκεῖνες τὶς ὑπερφυσικὲς πληγές, εὐχαριστώντας τὸ Θεὸ καὶ λέγοντας αὐτὰ τὰ λόγια· «Ὁ Κύριος τὰ ἔδωσε καὶ ὁ Κύριος τὰ ἀφαίρεσε· ὅπως φάνηκε ἀρεστὸ στὸν Κύριο, ἔτσι καὶ ἔγινε· ἂς εἶναι εὐλογημένο τὸ ὄνομα τοῦ Κυρίου στοὺς αἰῶνες»[51]. «Καὶ ἀπόδωσε στὸν Ὕψιστο ὅσα εὐχήθηκες καὶ ἔταξες». Ἐδῶ ἐννοεῖ τὶς θερμὲς παρακλήσεις, ὥστε νὰ ἐπιμένουμε συνέχεια στὴν προσευχή μας καὶ νὰ ἀποδίδουμε ἀμέσως ἐκεῖνα ποὺ ὑποσχόμαστε. Καὶ καλὰ εἶπε, «Ἀπόδωσε». Διότι μετὰ τὴν ὑπόσχεση τὸ πράγμα γίνεται χρέος. Ἔτσι ἡ Ἄννα ἔδωσε τὸν υἱό της, σὰν πάρα πολὺ μεγάλο χρέος[52].

Καὶ σὺ λοιπὸν εἴτε ἐλεημοσύνη ὑπόσχεσαι, εἴτε φρόνιμο τρόπο ζωῆς, εἴτε κάτι ἄλλο παρόμοιο, σπεῦδε νὰ ἐκπληρώσεις αὐτό. Ἂν δὲ κάποιος ἐξετάσει μὲ προσοχὴ τὸ πράγμα, θὰ δεῖ ὅτι, καὶ ἂν ἀκόμη δὲν ὑπόσχεται, ὅμως χρεωστεῖ στὸ Θεὸ τὰ ἔργα τῆς ἀρετῆς. Καὶ γιὰ νὰ δηλώσει αὐτὸ ὁ Χριστός, ἔλεγε· «Διότι αὐτὰ ποὺ ὀφείλαμε νὰ

λὴν τοῦ δούλου ἔλεγε τοῦ ἐλαχίστην διακονίαν, οὐχὶ κατακλιθῆναι κελευομένου, ἀλλὰ παρελθεῖν καὶ διακονεῖν. Καὶ ἕτερος δὲ τίς φησι· «Μὴ χρονίσῃς ἀποδοῦναι εὐχήν σου». Ἐπηγγείλω; Ἀπόδος, μή ποτε θάνατος ἐπελθὼν διακόψῃ. Καὶ τί πρὸς ἐμέ; φησίν· οὐ γὰρ κύριος ἤμην τῆς ζωῆς. Διὰ τοῦτο γὰρ ἐχρῆν μὴ χρονίσαι, τὸ ἄδηλον ἐννοοῦντα τῆς ἐξόδου, καὶ ὅτι κύριος οὐκ εἶ τῆς ζωῆς καὶ τῆς ἐντεῦθεν ἀποδημίας. Ὥστε ἡ δοκοῦσα ἀπολογία κατηγορία ἐστίν. Οὐδὲ γὰρ τοῦ θανάτου λοιπὸν τὸ μὴ ἀποδοῦναι γέγονεν, ἀλλὰ τῆς σῆς μελλήσεως καὶ ἀναβολῆς.

«Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με». Ὁρᾷς ἐκ πολλοῦ τοῦ περιόντος τὴν ἀντίδοσιν διδομένην; Τί τοίνυν τῆς τοιαύτης φιλανθρωπίας ἴσον γένοιτ' ἄν, ὅταν καὶ αὐτῆς τῆς ἀρετῆς μισθοὺς ἡμῖν διδῷ, καὶ μισθοὺς πολλῷ μείζονας τῶν πόνων, καὶ σφόδρα ἐν καιρῷ διδομένους; Καὶ διὰ τί, φησίν, εἶπεν, «Ἐπικάλεσαί με»; διὰ τί ἀναμένει καλεῖσθαι παρ' ἡμῶν; Μείζονα τὴν οἰκείωσιν ἡμῖν ποιῆσαι βουλόμενος, καὶ τὴν πρὸς αὐτὸν φιλίαν θερμοτέραν, καὶ τῷ δοῦναι, καὶ τῷ καλεῖσθαι, καὶ τῷ λαμβάνειν. Καὶ γὰρ ἡ ἀρετὴ πρὸς Θεὸν οἰκοιεῖ, καὶ ἡ ἀντίδοσις τὸ αὐτὸ ἐργάζεται· καὶ ἡ εὐχὴ πάλιν ταύτην συγκροτεῖ τὴν οἰκείωσιν. Διά τοῦτό φησι, δός μοι, καὶ δίδωμί σοι. Καὶ ἐν τῷ διδόναι δὲ οὐ λαμβάνεις· αὐτὸς γὰρ τούτων ἀνενδεής. Ὥστε κἂν ἐπιεικὴς γένῃ, κἂν μέτριος, κἂν σώφρων, οὐ τῷ Θεῷ τι προσέθηκας, ἀλλὰ σαυτὸν λαμπρὸν ἐποίησας καὶ ἀμείνω· ἀλλ' ὅμως καὶ τούτων ὡς αὐτὸν ὠφελοῦντι· μισθούς σοι καὶ στεφάνους ὁρίζει μεγίστους. Καὶ πρὸ τῶν στεφάνων δὲ ἐ-

---

53. Λουκᾶ 17, 10.
54. Λουκᾶ 17, 7 - 10.
55. Ἐκκλ. 5, 3.

κάνουμε, τὰ κάναμε»[53]. Ἂν καὶ βέβαια δίδασκε τὴν παραβολὴ τοῦ δούλου[54], πού, ἐπειδὴ θεωρήθηκε ἐλάχιστη ἡ ὑπηρεσία του, δὲν ἔλαβε ἐντολὴ νὰ ἀναπαυθεῖ, ἀλλὰ νὰ ἔλθει καὶ νὰ τὸν ὑπηρετήσει. Καὶ κάποιος ἄλλος δὲ λέγει· «Μὴ ἀργήσεις νὰ ἐκληρώσεις αὐτὸ ποὺ ἔταξες»[55]. Ὑποσχέθηκες; Ἀπόδωσέ το, μὴ τυχὸν ἔλθει ξαφνικὰ ὁ θάνατος καὶ σὲ ἐμποδίσει νὰ τὸ ἐκπληρώσεις. Καὶ ὡς πρὸς τί, λέγει, εἶμαι ἐγὼ ὑπεύθυνος; διότι δὲν ἤμουν κύριος τῆς ζωῆς μου. Γι᾿ αὐτὸ λοιπὸν ἔπρεπε νὰ μὴ βραδύνεις, σκεπτόμενος τὸ ἄγνωστο τοῦ θανάτου καὶ ὅτι δὲν εἶσαι κύριος τῆς ζωῆς καὶ τῆς ἀναχωρήσεως ἀπὸ τὴν ἐδῶ ζωή. Ὥστε ἡ φαινομενικὴ δικαιολογία εἶναι κατηγορία. Διότι δὲν ἔγινε βέβαια ὁ θάνατος αἰτία νὰ μὴ ἀποδώσεις τὸ χρέος σου, ἀλλ᾿ ἡ δική σου ἀδιαφορία καὶ ἀναβολή.

«Καὶ ζήτησε τὴ βοήθειά μου σὲ καιρὸ θλίψεώς σου καὶ θὰ σὲ ἀπαλλάξω ἀπ᾿ αὐτὴ καὶ θὰ μὲ δοξάσεις». Βλέπεις μὲ πόσο μεγάλη ἀφθονία παρέχει τὴν ἀνταμοιβή; Τί θὰ μποροῦσε λοιπὸν νὰ ἐξισωθεῖ μ᾿ αὐτὴ τὴ φιλανθρωπία, ὅταν ἀμείβει καὶ αὐτὴ τὴν ἀρετή μας ἀκόμα καὶ μὲ μισθοὺς πολὺ μεγαλύτερους ἀπὸ τοὺς κόπους καὶ στὸν κατάλληλο καιρὸ δοσμένους; Καὶ γιατί, λέγει, εἶπε, «Ζήτησε τὴ βοήθειά μου»; γιατὶ περιμένει νὰ κληθεῖ ἀπὸ μᾶς σὲ βοήθεια; Ἐπειδὴ θέλει νὰ κάνει μεγαλύτερη τὴν ἐξοικείωση καὶ θερμότερη τὴν ἀγάπη πρός αὐτὸν καὶ μὲ τὴν προσφορὰ καὶ μὲ τὴν κλήση καὶ μὲ τὴ λήψη. Καθόσον ἡ ἀρετὴ ἐξοικειώνει μὲ τὸ Θεό, τὸ ἴδιο δὲ κατορθώνει καὶ ἡ ἀνταμοιβή, ἀλλὰ καὶ ἡ προσευχὴ πάλι ἐπιτυγχάνει αὐτὴ τὴν ἐξοικείωση. Γι᾿ αὐτὸ λέγει, 'δός μου' 'καὶ σοῦ δίνω'. Καὶ ὅταν δὲ δίνεις, σὺ πάλι λαμβάνεις· διότι αὐτὸς δὲν ἔχει ἀνάγκη ἀπὸ αὐτά. Ὥστε εἴτε γίνεις ἐπιεικής, εἴτε μετριόφρονας, εἴτε σώφρονας, δὲν πρόσθεσες τίποτε στὸ Θεό, ἀλλὰ τὸν ἑαυτό σου ἔκαμες λαμπρὸ καὶ καλύτερο· ἀλλ᾿ ὅμως καὶ γι᾿ αὐτά, σὰν αὐτὸς νὰ εἶναι ὀφειλέτης, σοῦ προσφέρει μισθοὺς καὶ πολὺ μεγάλους στεφάνους. Καὶ

κείνων οὐ μικρᾶς ἀπολαύεις ἡδονῆς, ἀγαθῷ συντρεφόμενος συνειδότι, καὶ χρησταῖς πτερούμενος ἐλπίσιν. Ἡμέραν δὲ θλίψεως ἐνταῦθά φησιν, οὐ τὰς τῶν συμφορῶν, οὔτε τὰς τῶν περιστάσεων, ἀλλ' ὅτι κἂν ἁμαρτία πολεμῇ, κἂν διάβολος πολιορκῇ, ἐπιθυμίας εἰσάγων πονηράς, πολλῆς ἀπολαύσῃ τῆς συμμαχίας. «Καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με». Καὶ πάλιν ἐνταῦθα οὐ τῆς παρ' ἡμῶν δόξης δεόμενός φησι τοῦτο (πῶς γὰρ ὁ τῆς δόξης Θεός;), ἀλλ' ὥστε διὰ τὸν τῆς εὐχαριστίας ὕμνον γίνεσθαι τῆς εὐεργεσίας τὴν μνήμην, καὶ θερμοτέραν τὴν πρὸς αὐτὸν διάθεσιν, καὶ πρώτως εὐζωΐαν μεγίστην λαμβάνειν.

6. Οὐχ ἁμαρτήσεται δὲ τοῦ πρέποντος εἰπών τις ἐνταῦθα ἡμέραν θλίψεως αὐτὸν λέγειν, καὶ τὴν μέλλουσαν ἡμέραν· ἡ γὰρ θλῖψις ἐκείνη ἄπαυστος. Ἐνταῦθα μὲν γὰρ καὶ θάνατος ἐπιὼν λύει τὰς συμφοράς, καὶ φίλοι παρακαλοῦντες, καὶ τέλος προσδοκώμενον, πολλάκις δὲ καὶ πραγμάτων μεταβολὴ ἐλπιζομένη, καὶ χρόνου μῆκος ἐμάλαξε τῆς ψυχῆς τὸ πάθος, καὶ ἡ τῶν πλησίων δυσημερία. Τὸ γὰρ ἔχειν κοινωνοὺς τῶν ὀδυνηρῶν, καὶ πολλὰ τοιαῦτα δρᾶν ὑποδείγματα, μέγα πολλοῖς εἰς παραμυθίαν εἶναι ἔδοξεν. Ἐκεῖ δὲ οὐδὲν τοιοῦτόν ἐστιν· οὔτε γάρ τις παρακαλῶν πάρεστιν, ἀλλ' ἐν ἐρημίᾳ φίλων ἅπαντές εἰσιν. Οὐ χρόνου μῆκος μαλάσσει τὴν ὀδύνην (πῶς γὰρ ἐπικειμένης τῆς φλογὸς δι' ὅλου;), οὐκ ἐλπὶς ἀπαλλαγῆς· αἰωνία γὰρ ἡ κόλασις· οὐ θανάτου προσδοκία· ἀθάνατος γὰρ ἡ τιμωρία, καὶ τὰ σώματα δὲ τὰ κολαζόμενα ἀθάνατα· ἀλλ' οὐδὲ τοῦτο ὃ δοκεῖ πολλοῖς παραμυθίαν

πρὶν ἀπὸ ἐκείνους δὲ τοὺς στεφάνους δὲν εἶναι μικρὴ ἡδονὴ ποὺ ἀπολαμβάνεις, διότι ζεῖς μὲ ἀγαθὴ καὶ ἥσυχη συνείδηση καὶ ἐνδυναμώνεσαι μὲ τὶς χρηστὲς ἐλπίδες. Ἡμέρα δὲ θλίψεως ἐδῶ ἐννοεῖ ὄχι τὶς ἡμέρες τῶν συμφορῶν, οὔτε τὶς ἡμέρες τῶν περιστάσεων, ἀλλ' ὅτι καὶ ἂν ἀκόμη ἡ ἁμαρτία σὲ πολεμεῖ, καὶ ἂν ἀκόμη ὁ διάβολος σὲ πολιορκεῖ, προσπαθώντας νὰ σπείρει μέσα σου κακὲς ἐπιθυμίες, θ' ἀπολαύσεις πολλὴ βοήθεια. «Καὶ θὰ σ' ἀπαλλάξω ἀπὸ τὶς συμφορές σου καὶ θὰ μὲ δοξάσεις». Πάλι ἐδῶ δὲν τὸ λέγει αὐτὸ ἔχοντας ἀνάγκη ἀπὸ τὴ δική μας δόξα, (διότι πῶς θὰ εἶχε ἀνάγκη ὁ Θεὸς τῆς δόξας;), ἀλλὰ γιὰ νὰ θυμόμαστε μὲ τὸν εὐχαριστήριο ὕμνο τὴν εὐεργεσία καὶ νὰ κάμνουμε θερμότερη τὴν ἀγάπη μας πρὸς αὐτόν, καὶ πρὶν ἀπὸ ὅλα νὰ λαμβάνουμε μέγιστη εὐζωΐα.

6. Δὲν θὰ σφάλλει δὲ κανεὶς λέγοντας, ὅτι ἐδῶ αὐτὸς ἐννοεῖ σὰν ἡμέρα θλίψεως καὶ τὴ μέλλουσα ἡμέρα˙ καθόσον ἐκείνη ἡ θλίψη εἶναι χωρὶς τέλος. Διότι στὴν ἐδῶ ζωὴ ἐρχόμενος ὁ θάνατος δίνει τέρμα στὶς συμφορές, ὑπάρχουν καὶ οἱ φίλοι ποὺ παρηγοροῦν, καὶ τὸ προσδοκώμενο τέλος, πολλὲς φορὲς δὲ καὶ ἡ ἐλπίδα γιὰ μεταβολὴ τῶν πραγμάτων καὶ τό μῆκος τοῦ χρόνου καθὼς καὶ ἡ δυστυχία τῶν συνανθρώπων μαλάκωσε τὸ πάθος τῆς ψυχῆς. Διότι τὸ νὰ ἔχει κανεὶς κοινωνοὺς στὶς συμφορὲς καὶ νὰ βλέπει πολλὰ τέτοια παραδείγματα θεωρήθηκε ἀπὸ πολλοὺς σὰν μεγάλη παρηγοριά. Στὴν ἄλλη ὅμως ζωὴ τίποτε παρόμοιο δὲν ὑπάρχει˙ διότι δὲν ὑπάρχει κανεὶς ποὺ νὰ παρηγορεῖ, ἀλλ' ὅλοι βρίσκονται γυμνοὶ ἀπὸ φίλους. Οὔτε τὸ μῆκος τοῦ χρόνου μαλακώνει τὸν πόνο (διότι πῶς θὰ ἦταν δυνατὸ τὴ στιγμὴ ποὺ ἐπίκειται τὸ αἰώνιο πύρ;), οὔτε ἐλπίδα ἀπαλλαγῆς ὑπάρχει, διότι ἡ κόλαση εἶναι αἰώνια, οὔτε προσδοκία θανάταυ, διότι ἡ τιμωρία εἶναι ἀθάνατη, ἀθάνατα ἐπίσης εἶναι καὶ τὰ τιμωρούμενα σώματα˙ ἀλλ' οὔτε αὐτὸ ὑπάρχει, ποὺ φαίνεται ὅτι προξενεῖ παρηγοριὰ σὲ πολλούς, τὸ νὰ βλέπουν ἄλλους νὰ τιμωροῦν-

*φέρειν, τὸ ἑτέρους ὁρᾶν ἐν κολάσει. Πρῶτον μὲν γὰρ οὐδὲ ἰδεῖν ἐστι κολαζομένους, τοῦ σκότους ἀντὶ παντὸς διαφράγματος ἐπισκιάζοντος τὰς ὄψεις· ἔπειτα ἡ ὑπερβολὴ τῆς ὀδύνης οὔτε ταύτης ἀφίησιν αἴσθησιν λαβεῖν τῆς παραμυθίας. Ὁ γοῦν πλούσιος οὐδὲν ἔνθεν εἰς παραμυθίας ἐκαρπώσατο λόγον, οὐδὲ οἱ τοὺς ὀδόντας βρύχοντες.*

*«Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου;». Εἶδες τὴν ἀπηρτισμένην λύραν, τὴν σύμφωνον κιθάραν, τὴν ἐν διαφόροις φθόγγοις μίαν ἁρμονίαν ἠχοῦσαν; Τοῦτο γὰρ τὸ νόημα καὶ παρὰ ἀποστόλοις ἐστὶν ἰδεῖν, καὶ παρὰ προφήταις ἑτέροις κείμενον· καὶ Παῦλος μὲν οὕτω πως φησι, δεικνὺς καὶ αὐτός, ὅτι οὐδὲν ὄφελος τοῦ διδάσκειν ἑτέρους, ὅταν τις ἑαυτὸν πρότερον λαβὼν μὴ διδάσκῃ. Ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ὥσπερ ἐπὶ ταῖς θυσίαις, οὕτω καὶ ἐπὶ τῷ νόμον ἔχειν, καὶ διδάσκαλοι τῶν ἄλλων χρηματίζειν, δεικνὺς ὅτι οὐδὲν μέγα καρποῦνται, ὅταν ἀδίδακτοι μένωσιν αὐτοί, καθαπτόμενος σφοδρότερον τῶν τοιούτων, λέγει· «Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις;». Διὰ τοῦτο καὶ περὶ ἑαυτοῦ ἔλεγε· Φοβοῦμαι, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι», καθαιρῶν τὸ φύσημα τῶν ἐπὶ τῇ τοῦ λόγου διδασκαλίᾳ μέγα φρονούντων, αὐτῶν δὲ ἐρήμων ὄντων τῆς ἀρετῆς.*

*Καὶ ἑτέρως δὲ τὸν λόγον τοῦτον μεταχειρίζει πρὸς Ἰουδαίους ἀποτεινόμενος, ὅταν λέγῃ· «Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες*

56. Ρωμ. 2, 21-23.
57. Α´ Κορ. 9, 27.

ται. Διότι κατὰ πρῶτο οὔτε εἶναι δυνατὸ νὰ δεῖ κανεὶς τιμωρουμένους, ἀφοῦ τὸ σκοτάδι, σὰν κάποιο διάφραγμα, ἐπισκιάζει τὰ πρόσωπα· ἔπειτα ἡ ὑπερβολικὴ ὀδύνη δὲν ἀφήνει νὰ λάβει κανεὶς αἴσθηση τῆς παρηγορίας. Πράγματι ὁ πλούσιος δὲν ἔλαβε ἀπὸ ἐδῶ κανένα παρηγορητικὸ λόγο, οὔτε ἐκεῖνοι ποὺ ἔτριζαν τὰ δόντια τους.

«Καὶ εἶπε ὁ Θεὸς στὸν ἁμαρτωλό· γιατί σὺ διηγεῖσαι τὶς ἐντολές μου;». Εἶδες τὴν ὁλοκληρωμένη λύρα, τὴ σύμφωνη κιθάρα, ποὺ παράγει μιὰ ἁρμονία μὲ διαφόρους φθόγγους; Διότι αὐτὸ τὸ νόημα εἶναι δυνατὸ νὰ δεῖ κανεὶς νὰ ὑπάρχει καὶ στοὺς ἀποστόλους καὶ στοὺς προφῆτες· καὶ ὁ Παῦλος μὲν ἔτσι κάπως ὁμιλεῖ, γιὰ νὰ δείξει καὶ αὐτός, ὅτι δὲν ἔχει κανένας κανένα ὄφελος ἀπὸ τὸ νὰ διδάσκει τοὺς ἄλλους, ὅταν δὲν διδάσκει πρῶτα τὸν ἑαυτό του. Ἐπειδὴ δηλαδὴ μεγαλοφρονοῦσαν, ὅπως ἀκριβῶς γιὰ τὶς θυσίες, ἔτσι καὶ γιὰ τὸ ὅτι εἶχαν τὸ νόμο καὶ δίδασκαν τοὺς ἄλλους, γιὰ νὰ δείξει, ὅτι δὲν καρποῦνται καμιὰ μεγάλη ὠφέλεια, ὅταν παραμένουν οἱ ἴδιοι ἀδίδακτοι, κατηγορώντας τους σφοδρότερα, λέγει· «Σὺ λοιπὸν ποὺ διδάσκεις τὸν ἄλλο, δὲν διδάσκεις τὸν ἑαυτό σου; σὺ ποὺ διδάσκεις νὰ μὴ κλέβουν, κλέβεις; σὺ ποὺ ἀποστρέφεσαι τὰ εἴδωλα, κάμνεις ἱερόσυλες πράξεις; σὺ ποὺ καυχιέσαι ὅτι ἔχεις καὶ γνωρίζεις τὸ νόμο, ἀτιμάζεις τὸ Θεὸ παραβαίνοντας τὸ νόμο;»[56]. Γι' αὐτὸ καὶ γιὰ τὸν ἑαυτό του ἔλεγε· «Φοβοῦμαι, μήπως, ἐνῶ ἐκήρυξα σὲ ἄλλους, ἐγὼ δὲ ὁ ἴδιος φανῶ ἀνάξιος τοῦ στεφάνου»[57], ἀπαλλάσσοντας ἀπὸ τὴν ἀλαζονεία ἐκείνους ποὺ ὑπερηφανεύονταν γιὰ τὴ διδασκαλία τῶν ἐντολῶν τοῦ Θεοῦ, ἐνῶ οἱ ἴδιοι ἦταν γυμνοὶ ἀπὸ ἀρετή.

Ἀλλὰ καὶ μὲ ἄλλο τρόπο, ἀπευθυνόμενος πρὸς τοὺς Ἰουδαίους, χρησιμοποιεῖ αὐτὸν τὸ λόγο, ὅπως ὅταν λέγει· «Διότι, ὅταν οἱ ἐθνικοί, μολονότι δὲν ἔχουν νόμο γραπτό, πράττουν ἐκεῖνα ποὺ ὁρίζει ὁ νόμος, ὁδηγούμενοι ἀπὸ τὸ φυσικὸ νόμο, ἄρα αὐτοὶ εἶναι οἱ ἴδιοι νόμος γιὰ τοὺς ἑαυ-

*ἑαυτοῖς εἰσι νόμος». Καὶ πάλιν· «Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται». Καὶ ὁ προφήτης· «Οἱ ἀντεχόμενοι τοῦ νόμου, οὐκ ἠπίσταντό με». Καὶ πάλιν· «Εἰς μάτην ἐγενήθησαν σχοῖνος ψευδὴς γραμματεῦσι». Τίνος ἕνεκεν; Ὅτι τρυγὼν καὶ χελιδών, καὶ ἀγροῦ στρουθία ἔγνωσαν καιροὺς εἰσόδων αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματά μου». Οὗτος δὲ οὐ μόνον οὐδὲν κερδαίνειν φησὶν ἐκ τοῦ διδάσκειν ἑτέρους τὸν μὴ μετιόντα τὴν ἀρετήν, ἀλλὰ καὶ ἐκβάλλειν ταύτης αὐτὸν τῆς προεδρίας. Εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν δικαστηρίων ὁ πεπλημμεληκὼς τῇ τῆς σιγῆς ἀτιμίᾳ κολάζεται, πῶς ἂν ἐν κοινῷ διδασκαλείῳ, φησί, φωνὴν ἔχοι ὁ τῆς ἁμαρτίας ὑπεύθυνος; Μεῖζον δὲ τοῦτο τὸ διδασκαλεῖον τοῦ δικαστηρίου ἐκείνου. Ἐκεῖ μὲν γὰρ οἱ κολαζόμενοι τίνουσι τιμωρίας, ἐνταῦθα δὲ ἅπαντα γίνεται, ὥστε μὴ κολασθῆναι τοὺς πεπλημμεληκότας, ἀλλὰ τῇ μετανοίᾳ διορθώσασθαι τὸ πλημμεληθέν. Καὶ ἐν ταῖς βασιλικαῖς δὲ αὐλαῖς οὐδεὶς ἂν γένοιτο ἑρμηνεὺς βασιλικῆς φωνῆς ἐπὶ βίῳ διεφθαρμένῳ ἁλούς. Τίνος γὰρ ἕνεκα διηγῇ δικαιώματα καὶ διδάσκεις ἑτέρους; καὶ μὴν τοὐναντίον ποιεῖς, τοῦ βίου σου τοῖς λεγομένοις ἀντιφθεγγομένου, καὶ ἐνίους τῶν βουλομένων προσέχειν ἀποστρέφεις. Οὐ γὰρ οὕτω διδάσκεις διὰ τῶν λόγων, ὡς ἀπάγεις διὰ τῶν πραγμάτων. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐκεῖνον ἐπαινεῖ τὸν διδάσκαλον, τὸν διὰ τῶν ἔργων καὶ διὰ τῶν ῥημάτων ἀπηρτισμένην ἐπιδεικνύντα τὴν διδασκαλίαν. «Ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ», φησίν, «οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».*

*Ἐχέτω τοίνυν σου λαμπρὰν φωνὴν ὁ βίος, ταῦτα διδάσκουσαν· κἂν τὸ στόμα ἀποφράξῃς, σάλπιγγος λαμπρότερον ἠ-*

---

58. Ρωμ. 2, 14.
59. Ρωμ. 2, 13.
60. Ἱερ. 2, 8.
61. Ἱερ. 8, 8.
62. Ἱερ. 8, 7.
63. Ματθ. 5, 19.

τούς τους»[58]. Καὶ πάλι· «Διότι δὲν θὰ δικαιωθοῦν ἐνώπιον τοῦ Θεοῦ ἐκεῖνοι ποὺ ἀκούουν τὸ νόμο, ἀλλὰ θὰ δικαιωθοῦν ἐκεῖνοι ποὺ πράττουν τὸ νόμο»[59]. Καὶ ὁ προφήτης λέγει· «Ἐκεῖνοι ποὺ ἔχουν τὸ νόμο δὲν μὲ γνώρισαν»[60]. Καὶ πάλι· «Ματαιολογίες καὶ ψευδολογίες ἔγραψε ὁ κάλαμος τῶν γραμματέων σας»[61]. Γιὰ ποιὸ λόγο; «Διότι τὸ τριγώνι, τὸ χελιδόνι, καὶ τὰ σπουργίτια τοῦ ἀγροῦ γνωρίζουν τοὺς καταλλήλους καιροὺς τοῦ ἐρχομοῦ τους, ἐνῶ ὁ λαός μου δὲν γνωρίζει τὶς ἐντολές μου»[62]. Αὐτὸς δέ, λέγει, ποὺ δὲν ἀσκεῖ δηλαδὴ τὴν ἀρετή, ὄχι μόνο δὲν κερδίζει τίποτε ἀπό τὸ ὅτι διδάσκει τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν ἀπομακρύνει ἀπὸ αὐτὸ τὸ ἀξίωμα. Διότι, ἂν στὰ κοσμικὰ δικαστήρια ἐκεῖνος ποὺ διέπραξε παράπτωμα τιμωρεῖται μὲ τὴν περιφρονητικὴ τιμωρία τῆς σιωπῆς, πῶς θὰ μποροῦσε, λέγει, νὰ ὁμιλεῖ στὸ κοινὸ διδασκαλεῖο ὁ ὑπεύθυνος τῆς ἁμαρτίας; Αὐτὸ δὲ τὸ διδασκαλεῖο εἶναι ἀνώτερο ἀπό ἐκεῖνο τὸ δικαστήριο. Διότι ἐκεῖ μὲν οἱ τιμωρούμενοι ἐκτίουν τιμωρίες, ἐνῶ ἐδῶ γίνεται τό πᾶν, ὥστε νὰ μὴ τιμωρηθοῦν οἱ παραβάτες, ἀλλὰ νὰ διορθώσουν τό παράπτωμά τους μὲ τὴ μετάνοια. Καὶ στὶς βασιλικὲς δὲ αὐλὲς κανεὶς δὲν θὰ μποροῦσε νὰ γίνει ἑρμηνευτὴς τῶν βασιλικῶν ἐντολῶν, ἂν ἡ ζωή του εἶναι διεφθαρμένη. Γιὰ ποιό λόγο λοιπὸν διηγεῖσαι τὶς ἐντολές μου καὶ τὶς διδάσκεις σὲ ἄλλους; ἀλλὰ νὰ κάμνεις τὸ ἀντίθετο, διότι ὁ τρόπος τῆς ζωῆς σου ἀντιτίθεται στὰ λεγόμενά σου καὶ ἀπομακρύνεις καὶ τοὺς ὁρισμένους ἐκείνους ποὺ θέλουν ν' ἀκούσουν. Διότι δὲν διδάσκεις τόσο μὲ τὰ λόγια, ὅσο ἀπομακρύνεις μὲ τὰ ἔργα σου. Γι' αὐτό καὶ ὁ Χριστὸς ἐπαινεῖ ἐκεῖνον τὸ διδάσκαλο ποὺ παρουσιάζει ὁλοκληρωμένη διδασκαλία μὲ ἔργα καὶ μὲ λόγια. Διότι λέγει· «Ἐκεῖνος ποὺ θὰ διδάξει καὶ θὰ πράξει τὰ ὅσα θὰ διδάξει, αὐτός θὰ ὀνομασθεῖ μέγας στὴ βασιλεία τῶν οὐρανῶν»[63].

Ἂς ἔχει λοιπὸν ἡ ζωή σου λαμπρὴ φωνὴ καὶ νὰ διδάσκει αὐτά· καὶ ἂν ἀκόμη φράξεις τὸ στόμα, θὰ ἠχήσεις

χήσεις, καὶ εἰς τοὺς παρόντας, καὶ εἰς τοὺς πόρρωθεν ὄντας. Οὕτως ὁ οὐρανὸς διηγεῖται δόξαν Θεοῦ, οὐ στόμα ἔχων, οὐ γλῶσσαν κινῶν, οὐδὲ πνεῦμα κάτωθεν προϊέμενος, ἀλλὰ τῷ κάλλει τῆς ὄψεως τὸν θεατὴν εἰς θαῦμα τοῦ δημιουργοῦ παραπέμπων. Ὅπερ οὖν ἐστιν ἐκεῖ ἐπὶ τοῦ οὐρανοῦ τὸ κάλλος τῆς ὄψεως, τοῦτο ἔστω ἐπὶ τῆς ψυχῆς τῆς σῆς ἡ ἀρετή. Ἂν δὲ κατερρυπωμένος καὶ μυρίους κατηγόρους ἔχων, καὶ πρὸ πάντων τὸ συνειδός, σπουδάζῃς ἐπιλαμβάνεσθαι θρόνου διδασκαλικοῦ, ἐπειδὰν κακίας κατηγορῇς, οὐχ ἑτέρων μᾶλλον ἢ σαυτοῦ κατηγορήσεις. «Καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;». Καλῶς εἶπε, «Διὰ στόματος». Ἡ γὰρ καρδία ἔρημός ἐστι τῶν ἐντεῦθεν καρπῶν, καὶ τὰ χείλη κινεῖται μάτην, καὶ ἐπὶ κατακρίσει τοῦ λέγοντος. Ἂν δὲ τὴν διάνοιάν τις ἐρευνήσῃ, πολὺν εὑρήσει τὸν πόλεμον ὄντα. «Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὸ ὀπίσω». Παιδείαν ἐνταῦθά φησι τὴν τοῦ νόμου διδασκαλίαν, τὴν τὴν ψυχὴν ῥυθμίζουσαν, τὴν τὴν κακίαν ἀπελαύνουσαν, καὶ τὴν ἀρετὴν καταφυτεύουσα. Πῶς οὖν αὐτὴν μεταχειρίζεις, καὶ εἰς ἑτέρους σπείρεις, αὐτὸς διὰ τῶν ἔργων αὐτὴν μὴ ἔχων; «Ἐξέβαλες» γάρ, φησί, «τοὺς λόγους μου εἰς τὰ ὀπίσω».

7. Οὐ γὰρ μόνον οὐ προέβηκάς τι παρὰ τῆς τοῦ νόμου διδασκαλίας, ἀλλὰ καὶ ὃ ἀπὸ τῆς φύσεως ἔχεις, ἐπήρωσας. Τῶν γὰρ οὐ πρακτέων καὶ τῶν μὴ τοιούτων φυσικῶς ἔγκεινται ἡμῖν οἱ λόγοι. Σὺ δὲ αὐτοὺς ἀπώσω καὶ οὐκ εἶχες ἐν μνήμῃ. «Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις». Ἐπειδὴ γὰρ οὐκ ἔστιν ἄνθρω-

λαμπρότερα ἀπὸ τὴ σάλπιγγα καὶ στοὺς παρόντες καὶ σὲ ἐκείνους ποὺ βρίσκονται μακριά. Ἔτσι ὁ οὐρανὸς διηγεῖται τὴ δόξα τοῦ Θεοῦ, χωρὶς νὰ ἔχει στόμα, χωρὶς νὰ κινεῖ γλώσσα, χωρὶς νὰ στέλλει φωνὴ πρός τὰ κάτω, ἀλλὰ μὲ τὴν ὡραιότητα ποὺ παρουσιάζει ὁδηγεῖ τὸ θεατὴ στὸ νὰ θαυμάσει τὸ δημιουργό. Ἐκεῖνο λοιπὸν ποὺ εἶναι ἐκεῖ στὸν οὐρανὸ τὸ κάλλος τῆς ὄψεως, αὐτὸ ἂς εἶναι καὶ στὴ δική σου ψυχὴ ἡ ἀρετή. Ἂν δέ, ἐνῶ εἶσαι γεμάτος ἀπὸ αἰσχρὲς πράξεις καὶ ἔχεις ἀμέτρητους κατηγὸρους καὶ πρό πάντων τὴ συνείδησή σου, φροντίζεις ν' ἀναλάβεις τὸ ἀξίωμα τοῦ δασκάλου, ὅταν θὰ κατηγορεῖς κακίες, θὰ κατηγορήσεις περισσότερο ὄχι τῶν ἄλλων, ἀλλὰ τὶς δικές σου. «Καὶ παίρνεις στὸ στόμα σου τὴ διαθήκη μου;». Καλὰ εἶπε, «Στὸ στόμα σου». Διότι ἡ καρδιὰ εἶναι γυμνὴ ἀπὸ τοὺς ἐδῶ καρποὺς καὶ τὰ χείλη κινοῦνται ἄσκοπα καὶ γιὰ νὰ κατακρίνουν ἐκεῖνον ποὺ ὁμιλεῖ. Ἂν ὅμως ἐξετάσει κανεὶς τὴ διάνοια, θὰ βρεῖ μέσα ἐκεῖ μεγάλη ἀναστάτωση. «Σὺ ὅμως μίσησες τὴν καθοδήγηση διὰ τοῦ νόμου καὶ ἀπέρριψες τοὺς λόγους μου πρὸς τὰ πίσω σου». Παιδεία ἐδῶ ὀνομάζει τὴ διδασκαλία τοῦ νόμου ποὺ καθοδηγεῖ τὴν ψυχή, ἀπομακρύνοντας τὴν κακία καὶ τοποθετώντας μέσα σ' αὐτὴ τὴν ἀρετή. Πῶς λοιπόν τὰ μεταχειρίζεσαι καὶ τὰ διδάσκεις στοὺς ἄλλους, ἐνῶ σὺ δὲν τὴν ἀσκεῖς μὲ τὰ ἔργα σου; Διότι, λέγει, «Ἔρριψες περιφρονητικὰ τοὺς λόγους μου πρὸς τὰ πίσω σου».

7. Πράγματι ὄχι μόνο δὲν πῆρες τίποτε ἀπὸ τὴ διδασκαλία τοῦ νόμου, ἀλλὰ καὶ αὐτό, ποὺ ἔχεις ἐκ φύσεως, τὸ κατέστρεψες. Διότι ἐκ φύσεως ὑπάρχουν μέσα μας οἱ νόμοι ἐκείνων ποὺ πρέπει νὰ κάμνομε καὶ ἐκείνων ποὺ δὲν πρέπει νὰ κάμνομε. Σὺ ὅμως αὐτοὺς τοὺς περιφρόνησες καὶ δὲν τοὺς θυμόσουν καθόλου. «Ἂν ἔβλεπες κλέφτη, ἔτρεχες καὶ σὺ μαζί του γιὰ νὰ λάβεις μέρος στὴν κλοπή, καὶ εἶχες καὶ σὺ τὸ μερίδιό σου στὶς ἀκολασίες τοῦ μοιχοῦ». Ἐπειδὴ δηλαδὴ δὲν εἶναι δυνατὸ νὰ βρεῖ κανεὶς

*τον εὑρεῖν ἀναμάρτητον καθόλου, διὸ καί τις ἔλεγε, «Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας;»· καὶ Παῦλος εἰπών, «Οὐδὲν ἐμαυτῷ σύνοιδα», ἐπήγαγεν, «Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι», καί, «Δίκαιος δὲ ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ», εὔδηλον ὅτι τῶν ἡμαρτημένων αὐτῷ· ἵνα οὖν μηδεὶς ἔχῃ λέγειν, ὅτι εἰ πάντες ἐν ἁμαρτίαις, τὸν δὲ ἁμαρτωλὸν ἐκέλευσε μὴ διηγεῖσθαι τὰ δικαιώματα, τίς ἔσται ὁ διηγησόμενος; ἵνα μή τις οὖν ταῦτα λέγῃ, τίθησι καὶ κατ' εἶδος ἁμαρτιῶν εἴδη. «Ἔστι γὰρ ἁμαρτία πρὸς θάνατον», καθάπερ καὶ ὁ Ἠλεὶ ἔλεγεν· «Ἐὰν ἁμαρτὼν ἁμάρτῃ ἄνθρωπος, προσεύξεται περὶ αὐτοῦ ὁ ἱερεύς· ἐὰν δὲ τῷ Κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ;». Καὶ ἐν τῷ νόμῳ δὲ τὰ μὲν ἦν ἀνίατα, ὡς καὶ θανάτῳ κολάζεσθαι, τὰ δὲ εἶχέ τινα ταχίστην παραμυθίαν· οὕτω καὶ ὁ Χριστὸς ἐν τῇ Καινῇ «Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, φησίν, «ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. Ἐὰν δὲ μὴ ἀκούσῃ, παρέλαβε ἔτι μετὰ σαυτοῦ δύο», φησίν. «Ἐὰν μηδὲ τούτων ἀκούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ τελώνης».*

*Καίτοι γε ἀλλαχοῦ εἰπόντος τοῦ Πέτρου· «Ποσάκις, ἐὰν ἁμάρτῃ ὁ ἀδελφός μου εἰς ἐμέ, ἀφήσω αὐτῷ;» καὶ ἀκούσαντος, «Ἕως ἑβδομηκοντάκις ἑπτά», ἐνταῦθα δὲ μετὰ δύο παραινέσεις μέγα δείκνυσι τὸ πλημμέλημα, καὶ οὐκ ἀναγκάζει παραμεῖναι πάλιν. Τί οὖν; ἐναντία ταῦτα ἐκείνων; Ἄπαγε· ἀλλὰ τό, «Ἑβδομηκοντάκις ἑπτά», ἐὰν μετανοῇ, λέγει. Πῶς γὰρ ἄν τις ἀφήσει τῷ μηδὲ ἡμαρτηκέναι ὁμολογοῦντι,*

---

64. Παροιμ. 20, 9.
65. Α΄ Κορ. 4, 4.
66. Παροιμ. 18, 17.
67. Α΄ Ἰω. 5, 16.
68. Α΄ Βασ. 2, 25.
69. Ματθ. 18, 15.
70. Ματθ. 18, 21.

ἄνθρωπο τελείως ἀναμάρτητο, γι᾽ αὐτό καὶ κάποιος ἔλεγε, «Ποιὸς θὰ καυχηθεῖ ὅτι ἔχει ἁγνὴ καρδιά; ἢ ποιὸς μπορεῖ νὰ πεῖ μὲ θάρρος ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτία;»[64], καὶ ὁ Παῦλος, ἀφοῦ εἶπε, «Γιὰ τίποτε δὲν μὲ ἐλέγχει ἡ συνείδησή μου», πρόσθεσε, «Ἀλλὰ δὲν εἶμαι γι᾽ αὐτὸ δικαιωμένος»[65], καί, «Ὁ δίκαιος πρῶτος θὰ κατηγορήσει τὸν ἑαυτό του», καὶ φανερὸ εἶναι ὅτι θὰ κατηγορήσει τὸν ἑαυτό του γιὰ τὶς ἁμαρτίες του, γιὰ νὰ μὴ μπορεῖ λοιπὸν κανεὶς νὰ λέγει, ὅτι, ἂν ὅλοι εἶναι ἁμαρτωλοί, τὸν δὲ ἁμαρτωλὸ τόν πρόσταξε νὰ μὴ διηγεῖται τίς ἐντολές του, ποιὸς θὰ εἶναι ἐκεῖνος ποὺ θὰ τὶς διηγηθεῖ; γιὰ νὰ μὴ λέγει λοιπόν κανεὶς αὐτά, ἀναφέρει καὶ τὶς κατηγορίες τῶν ἁμαρτιῶν ἀνάλογα μὲ τὸ εἶδος τους. «Διότι ὑπάρχει ἁμαρτία ποὺ ὁδηγεῖ στό θάνατο»[67], ὅπως ἀκριβῶς ἔλεγε καὶ ὁ Ἠλεί· «Ἂν ἕνας ἄνθρωπος ἁμαρτήσει ἀπέναντι σὲ κάποιον ἄλλον, θὰ προσευχηθεῖ γι᾽ αὐτὸν ὁ ἱερεύς, ἂν ὅμως ἁμαρτήσει ἀπέναντι στὸν Κύριο ποιός θὰ προσευχηθεῖ γι᾽ αὐτόν;»[68]. Καὶ στὸ νόμο δὲ ἄλλα μὲν θεωροῦνταν ἀθεράπευτα, ὥστε τιμωροῦνταν καὶ μὲ θάνατο, ἄλλα δὲ εἶχαν καὶ κάποια σύντομη παρηγοριά· ἔτσι καὶ ὁ Χριστὸς λέγει στὴν Καινὴ Διαθήκη. «Ἂν ἁμαρτήσει ὁ ἀδελφός σου ἀπέναντί σου, πήγαινε καὶ ἔλεγξέ τον ἐνῶ θὰ εἶσθε μόνοι σας σὺ καὶ αὐτός. Ἂν δὲν δεχθεῖ τὶς ὑποδείξεις σου αὐτές, πάρε μαζί σου, λέγει, ἀκόμη ἕνα ἢ δυό. Ἂν δὲ δὲν δεχθεῖ καὶ τὶς ὑποδείξεις αὐτῶν τότε ἂς εἶναι γιὰ σένα ὅπως ἀκριβῶς ὁ ἐθνικός καὶ ὁ τελώνης»[69].

Μολονότι βέβαια, ὅταν σὲ ἄλλη περίπτωση ρώτησε ὁ Πέτρος, «Πόσες φορές, ἂν πταίσει ὁ συνάνθρωπός μου σὲ μένα, θὰ τόν συγχωρήσω;», καὶ ἄκουσε, «Μέχρι ἑβδομήντα φορὲς τὸ ἑπτά», ἐνῶ ἐδῶ μετὰ ἀπὸ δυὸ συμβουλὲς παρουσιάζει μέγα τὸ παράπτωμα καὶ δὲν τὸν ἀναγκάζει νὰ ἐπιμείνει καὶ πάλι. Τί λοιπόν; αὐτὰ εἶναι ἀντίθετα ἀπὸ ἐκεῖνα; Μακριὰ μιὰ τέτοια σκέψη· ἀλλὰ τὸ «Ἑβδομήντα φορὲς τὸ ἑπτά» τὸ λέγει, ἂν μετανοεῖ. Διότι πῶς θὰ μποροῦσε κανεὶς νὰ συγχωρήσει ἐκεῖνον ποὺ οὔτε τὸ ἁμάρτημά

*μηδὲ μετανοοῦντι; Καὶ γὰρ τὸν ἰατρὸν φάρμακα ἀπαιτοῦντες, καὶ τὸ ἕλκος δείκνυμεν. Τίς οὖν ἐστιν ὁ ἁμαρτωλός, περὶ οὗ φησιν ἐνταῦθα ἡ Γραφή; Ἀκούσωμεν μετὰ ἀκριβείας. Καὶ γὰρ ὑπογράφει αὐτόν, διὰ τῶν ἑξῆς οὕτω λέγων· «Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον». Εἶδες καθάπερ ἐν εἰκόνι τῆς κακίας τὰ χρώματα, καὶ πῶς θηρίον ὁ πονηρὸς γέγονε τῇ κακίᾳ, τῆς φύσεως τὴν συγγένειαν προδούς; Μὴ τοίνυν ἁπλῶς ἐπέλθωμεν τὴν εἰκόνα, ἀλλ' ἀκριβῶς καὶ καθ' ἕκαστον ἐξετάζοντες.*

*«Εἰ ἐθεώρεις κλέπτην», φησί, «συνέτρεχες αὐτῷ». Τοῦτο πάντων αἴτιον τῶν κακῶν· τοῦτο μάλιστά ἐστι τὸ ἀνατρέπον ἀρετήν, τὸ ἐκλύον τὴν περὶ τὰ καλὰ τῶν πολλῶν σπουδήν, ὅταν μὴ μόνον μὴ ἐπιτιμῶσί τινες, ἀλλὰ καὶ συνήδωνται τοῖς ἁμαρτάνουσι. Τοῦτο τοῦ ἁμαρτάνειν οὐκ ἔλαττον. Ἄκουσον γοῦν Παύλου λέγοντος· «Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσιν. Οὐ μικρὸν δὲ καὶ τοῦτο ἁμάρτημα, κἂν μὴ πράττῃ τις τὰ κακά, τὸ συνήδεσθαι τοῖς κακοῖς. Ὁ μὲν γὰρ ἔχει τὴν ἀνάγκην εἰπεῖν, τὴν πενίαν αἰτιάσασθαι, εἰ καὶ μὴ εὔλογοι αἱ προφάσεις, σὺ δὲ πόθεν ἐπαινεῖς τὸ γεγενημένον, οὐδὲ τὴν ἐξ αὐτοῦ καρπούμενος ἡδονήν; Κἀκεῖνος μὲν ἴσως καὶ μεταγνώσεται, σὺ δὲ καὶ ταύτας ἀποκλείεις τὰς θύρας, καὶ τὸ φάρμακον ἀναιρεῖς, καὶ ἀνατρέπεις τὴν τοσαύτην παραμυθίαν, πάντοθεν ἑαυτῷ προσχωννὺς τὸν λιμένα τῆς ἐπὶ τὴν μετάνοιαν ἐπανόδου. Ὅταν*

---

71. Ρωμ. 1, 32.

του ἀναγνωρίζει, οὔτε μετανοεῖ; Καθόσον καὶ στὸν ἰατρό, ὅταν τοῦ ζητοῦμε φάρμακα, τοῦ δείχνουμε τὴν πληγή. Ποιὸς λοιπὸν εἶναι ὁ ἁμαρτωλός, γιὰ τὸν ὁποῖο ὁμιλεῖ ἐδῶ ἡ Γραφή; Ἂς ἀκούσουμε μὲ προσοχή. Καθόσον τὸν περιγράφει στὴ συνέχεια μὲ τὰ ἑξῆς λόγια· «Ἂν ἔβλεπες κλέφτη, ἔτρεχες καὶ σὺ μαζί του, καὶ εἶχες καὶ σὺ τὸ μερίδιό σου στὶς ἀκολασίες τοῦ μοιχοῦ. Τὸ στόμα σου ἦταν γεμάτο ἀπὸ κακία καὶ ἡ γλώσσα σου ἐξύφαινε δολιότητες. Καθόσον καὶ κατηγοροῦσες τὸν ἀδελφό σου καὶ ἐναντίον τοῦ υἱοῦ τῆς μητέρας σου ἔστηνες παγίδες». Εἶδες σὰν σὲ ζωγραφιὰ τὰ χρώματα τῆς κακίας καὶ πῶς ὁ κακὸς ἔγινε μὲ τὴν κακία θηρίο, προδίδοντας τὴν εὐγένεια τῆς φύσεως; Ἂς μὴ προσπεράσουμε λοιπὸν ἔτσι στὴν τύχη τὴν εἰκόνα, ἀλλὰ μὲ προσοχὴ καὶ ἐξετάζοντας τὸ καθένα ξεχωριστά.

«Ἐὰν ἔβλεπες», λέγει, «κλέφτη, ἔτρεχες καὶ σὺ μαζί του». Αὐτὸ εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν· αὐτὸ πρὸ πάντων εἶναι ἐκεῖνο ποὺ ἀνατρέπει τὴν ἀρετή, ποὺ καταργεῖ τὴ φροντίδα τῶν πολλῶν γιὰ τὶς καλὲς πράξεις, ὅταν ὄχι μόνο δὲν τὸν ἐπιτιμοῦν μερικοί, ἀλλὰ καὶ χαίρονται μαζὶ μὲ τοὺς ἁμαρτάνοντες. Αὐτὸ δὲν εἶναι μικρότερο ἀπὸ τὸ ν' ἁμαρτήσει κανείς. Ἄκουσε λοιπὸν τὸν Παῦλο ποὺ λέγει· «Ὄχι μόνο κάμνουν αὐτά, ἀλλὰ καὶ ἐπαινοῦν ἐκείνους ποὺ τὰ κάμνουν»[71]. Δὲν εἶναι δὲ καὶ αὐτὸ μικρὸ ἁμάρτημα, τὸ νὰ εὐχαριστεῖται κανεὶς μὲ τὰ ὅσα πράττουν οἱ κακοί, καὶ ἂν ἀκόμη ὁ ἴδιος δὲν πράττει κακά. Διότι ὁ μὲν κλέφτης μπορεῖ νὰ παρουσιάσει τὴν ἀνάγκη, νὰ κατηγορήσει τὴ φτώχεια, ἂν καὶ δὲν εἶναι λογικὲς οἱ δικαιολογίες, σὺ ὅμως ἀπὸ ποιὰ αἰτία ἐπαινεῖς αὐτὴν τὴν κακὴ πράξη, τὴ στιγμὴ ποὺ οὔτε καὶ τὴν εὐχαρίστηση ἀπ' αὐτὴν ἀπολαμβάνεις; Καὶ ἐκεῖνος μὲν ἴσως καὶ νὰ μετανοήσει, σὺ ὅμως καὶ αὐτὲς τὶς πόρτες τὶς κλείνεις καὶ τὸ φάρμακο τὸ καταστρέφεις, καὶ τὴν τόσο μεγάλη παρηγοριὰ ἀποκρούεις, φράσσοντας γιὰ τὸν ἑαυτό σου ἀπὸ παντοῦ τὸ λιμάνι τῆς ἐπιστροφῆς σου στὴ μετάνοια. Ὅταν

οὖν ἴδῃ σε, τὸν ἐκτὸς τῆς ἁμαρτίας, καὶ τὸν ὀφείλοντα ἐπιτιμῆσαι, οὐ μόνον μὴ ἐπιτιμῶντα, ἀλλὰ καὶ συσκιάζοντα, καὶ μὴ συσκιάζοντα μόνον, ἀλλὰ καὶ συμπράττοντα, τί ἡγήσεται περὶ ἑαυτοῦ; τί δὲ περὶ τοῦ τολμηθέντος;

Ὡς γὰρ τὰ πολλὰ οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἐκ διανοίας μόνον ταύτας περὶ τῶν πρακτέων φέρουσι τὰς ψήφους, ἀλλὰ καὶ ἐκ τῆς ἑτέρων προαιρέσεως διαφθειρόμενοι· κἂν μὲν ἴδῃ πάντας ἀποστρεφομένους αὐτὸν ὁ ἡμαρτηκώς, μέγα τι καὶ πονηρὸν ἡγήσεται εἰργάσθαι, ὅταν δὲ μὴ μόνον μὴ ἀγανακτοῦντας, μηδὲ δυσχεραίνοντας, ἀλλὰ καὶ πράως φέροντας, καὶ συνεφαπτομένους, τὸ ἐκ τοῦ συνειδότος διαφθείρας λοιπὸν δικαστήριον, τῆς τῶν πολλῶν ψήφου συμπραττούσης αὐτοῦ τῇ διεφθαρμένῃ γνώμῃ, τί οὐ τολμήσει; πότε δὲ καταγνώσεται ἑαυτοῦ, καὶ παύσεται τοῦ ἀδεῶς ἁμαρτάνειν; Διὸ χρή, κἂν πράττῃ τις τὸ πονηρόν, καταγινώσκειν ἑαυτοῦ· ὁδὸς γὰρ τοῦτο ἐπὶ τὸ ἀποστῆναι τοῦ πονηροῦ· κἂν μὴ πράττῃ τὰ καλά, ἐπαινεῖν τὰ καλά. Ὁδὸς γὰρ ἐπὶ τὴν ἐργασίαν ἡ προθυμία. Ἐνταῦθα μέντοι, ἐπειδὴ καὶ συνεφάπτεται τῶν γινομένων, εἰκότως αὐτὸν μεθ' ὑπερβολῆς στίζει πάσης. Εἰ γὰρ ἐπιτιμωμένη ἡ κακία τοσοῦτον ἀνθεῖ, καὶ ἐπαινουμένη ἡ ἀρετὴ μόλις ἐκκαλεῖται πρὸς τοὺς ἱδρῶτας τοὺς ἑαυτῆς, τί ἔσται εἰ μὴ τοῦτο γένοιτο; Τοῦτο ἴδοι τις ἂν καὶ ἐν χορῷ ἱερέων πολλάκις γινόμενον· εἰ δὲ ἐπὶ τῶν μαθητῶν χαλεπὸν τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τῶν διδασκάλων.

8. Τί ποιεῖς ἄνθρωπε; Παρεβάθη ὁ νόμος, κατεφρονήθη σωφροσύνη, πλημμελήματα τοσαῦτα ἐτολμήθη παρά τινος τῶν

λοιπὸν δεῖ ἐσένα, πού εἶσαι ἔξω ἀπὸ τὴν ἁμαρτία καὶ ποὺ ὀφείλεις νὰ τὸν ἐπιτιμήσεις, ὄχι μόνο νὰ μὴ τὸν ἐπιτιμᾶς, ἀλλὰ καὶ νὰ τὸν καλύπτεις, καὶ μάλιστα ὄχι μόνο νὰ τὸν καλύπτεις, ἀλλὰ καὶ νὰ συμπράττεις μαζί του, τί θὰ νομίσει γιὰ τὸν ἑαυτό του; τί γιὰ τὴν πράξη ποὺ ἔκαμε;

Πράγματι λοιπὸν οἱ πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους, ὡς ἐπὶ τὸ πλεῖστο, δὲν παίρνουν τὴν ἀπόφαση ἀπό μόνοι τους γι' αὐτὰ ποὺ πρέπει νὰ πράξουν, ἀλλὰ παρασύρονται καὶ ἀπό τὴν πρόθεση τῶν ἄλλων· καὶ ἂν μὲν αὐτὸς ποὺ διέπραξε τὴν ἁμαρτία δεῖ ὅλους νὰ τόν ἀποστρέφονται, θὰ σκεφθεῖ ὅτι διέπραξε κάτι τὸ μεγάλο καὶ κακό, ὅταν ὅμως τοὺς δεῖ ὄχι μὸνο νὰ μὴ ἀγανακτοῦν, οὔτε νὰ δυσαναοχετοῦν, ἀλλὰ καὶ νὰ τοῦ φέρονται μὲ ἐπιείκεια καὶ νὰ τοῦ κάμνουν παρέα, ἀφοῦ πλέον κατέστρεψε τὸ δικαστήριο τῆς συνειδήσεως καὶ ἡ γνώμη τῶν πολλῶν συμφωνεῖ μὲ τὴ διεφθαρμένη γνώμη του, τί δὲν θὰ ἐπιχειρήσει τότε νὰ πράξει; πότε δὲ θὰ ἀντιληφθεῖ αὐτὸ πού κάμνει καὶ θὰ παύσει νὰ ἁμαρτάνει ἄφοβα; Γι' αὐτὸ πρέπει, καὶ ἂν ἀκόμη κανεὶς πράττει τὸ κακό, νὰ σκέφτεται αὐτὸ ποὺ ἔκανε καὶ νὰ καταδικάζει τόν ἑαυτό του· διότι αὐτὸ εἶναι ὁδὸς πού ἀπομακρύνει ἀπ' τὸ κακό· καὶ ἂν ἀκόμη δὲν πράττει τὰ καλά, νὰ ἐπαινεῖ τὰ καλά. Διότι ἡ προθυμία εἶναι ὁδός ποὺ ὁδηγεῖ στὴν ἐργασία. Ἐδῶ ὅμως, ἐπειδὴ συμμετέχει στὰ ὅσα γίνονται, εὔλογα στιγματίζει αὐτὸν μὲ κάθε ὑπερβολή. Διότι, ἂν ἡ κακία, μολονότι ἐπιτιμᾶται, ἀνθίζει τόσο πολύ, καὶ ἡ ἀρετή, μολονότι ἐπαινεῖται, μόλις καὶ μετὰ βίας προσελκύει τοὺς ἀνθρώπους πρὸς τοὺς ἱδρῶτες της, τί θὰ συμβεῖ ἂν αὐτὸ δὲν γινόταν; Αὐτὸ θὰ μποροῦσε κανεὶς νὰ τὸ δεῖ πολλὲς φορὲς νὰ συμβαίνει καὶ στὸν κύκλο τῶν ἱερέων· ἂν δὲ αὐτὸ εἶναι φοβερὸ ὅταν συμβαίνει μεταξὺ τῶν μαθητῶν, πολὺ περισσότερο εἶναι ὅταν συμβαίνει μεταξὺ τῶν διδασκάλων.

8. Τί κάμνεις, ἄνθρωπε; Παραβιάσθηκε ὁ νόμος, περιφρονήθηκε ἡ σωφροσύνη, τόσα πολλὰ παραπτώματα

*ἱερωμένων, τὰ ἄνω κάτω γέγονε, καὶ οὐ φρίττεις; Ἀλλ' ὁ μὲν προφήτης καὶ αὐτὰ τὰ ἀναίσθητα στοιχεῖα καλεῖ πρὸς ἔκτασιν καὶ κοινωνίαν τοῦ θρήνου τῶν κοινῇ πεπλημμελημένων κακῶν, «Ἐξέστη ὁ οὐρανός», λέγων, «καὶ ἔφριξεν ἡ γῆ ἐπὶ πλεῖον σφόδρα». Καὶ πάλιν· «Πενθήσει ὁ Κάρμηλος, πενθήσει οἶνος, πενθήσει ἄμπελος». Καὶ τὰ μὲν ἄψυχα πενθεῖ καὶ στένει καὶ συναγανακτεῖ τῷ Δεσπότῃ, σὺ δὲ ὁ λογικὸς οὐκ ἀλγεῖς; οὐκ ἐπιτιμᾷς; οὐ γίνῃ χαλεπὸς τιμωρὸς τῶν τοῦ Θεοῦ νόμων, ἀλλὰ καὶ κοινωνεῖς; Καὶ ποίαν ἂν σχοίης συγγνώμην; Μὴ γὰρ ὁ Θεὸς ἐκδίκου δεῖται; μὴ γὰρ βοηθούντων χρῄζει; ἀλλὰ βούλεταί σε ὑπηρέτην τούτου γενέσθαι, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσῃς, ἐν τῇ καθ' ἑτέρου ἀγανακτήσει σωφρονέστερος γινόμενος, ἵνα κἀντεῦθεν τὸ φιλόθεόν σου δείξῃς. Ὅταν γὰρ ἁμαρτόντος ἑτέρου παραδράμῃς, καὶ μὴ ἐπεξέλθῃς, μηδὲ ἀλγήσῃς, ῥᾳθυμοτέραν σου τὴν ψυχὴν ποιεῖς καὶ εὐέμπτωτον, καὶ μάλιστα πολλάκις παρασκευάζεις τοῖς αὐτοῖς περιπεσεῖν· κἀκεῖνον δὲ οὐ τὰ τυχόντα παραβλάπτεις τῇ ἀκαίρῳ χάριτι ταύτῃ, αὐστηροτέρας αὐτῷ ποιῶν τὰς ἐν τῷ μέλλοντι εὐθύνας, καὶ πρὸς τὰ παρόντα ῥᾳθυμότερον κατασκευάζων.*

*Ταῦτα δὲ οὐ περὶ κλεπτῶν μόνον εἴρηται, ἀλλὰ καὶ περὶ παντὸς ἁμαρτήματος· τὸ δὲ ἔσχατον τέθεικε τῶν πλημμελημάτων, ἵν' εἰδῇς ὅτι ὁ ἐπὶ τῷ τοιούτῳ συγγνώμην οὐκ ἔχων, πολλῷ μᾶλλον ἐφ' ἑτέρου οὐκ ἀπολαύσεται ταύτης τῆς παραμυθίας. Ἄκουσον γοῦν καὶ ἑξῆς τί φησι· «Καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις», ἐπὶ τὸ μεῖζον ἐλθών. Πολλῷ γὰρ ἐκεῖνο τούτου ἔλαττον. Καί τις τῶν ἁμαρτημάτων τούτων σύγκρισιν ποιούμενος οὕτως ἔλεγεν· «Οὐ θαυμαστὸν ἐὰν ἁλῷ*

72. Ἱερ. 2, 12.
73. Ἡσ. 24, 7.
74. Πρβλ. Ἡσ. 40, 13.

διέπραξε κάποιος άπό τούς ιερεῖς, τά πάντα ἔγιναν ἄνω κάτω, καί δέν φρίττεις; Ἀλλ' ὁ μέν προφήτης ἀκόμη καί αὐτά τά ἀναίσθητα στοιχεῖα προσκαλεῖ σέ συμμετοχή καί ἐπέκταση τοῦ θρήνου γιά τά ὅσα κακά διαπράχθηκαν ἀπό κοινοῦ, λέγοντας, «Ἔμεινε κατάπληκτος ὁ οὐρανός καί κυριεύθηκε ἀπό ὑπερβολική φρίκη ἡ γῆ»[72]. Καί πάλι· «Θά πενθήσει ὁ μάρμηλος, θά πενθήσει ὁ οἶνος, θά πενθήσει ἡ ἄμπελος»[73]. Καί τά μέν ἄψυχα πενθοῦν καί στενάζουν καί ἀγανακτοῦν μαζί μέ τόν Κύριο, σύ δέ, ἐνῶ εἶσαι λογικός, δέν πονᾶς; δέν ἐπιτιμᾶς; δέν γίνεσαι φοβερός τιμωρός τῶν νόμων τοῦ Θεοῦ, ἀλλά συμμετέχεις; Καί ποιά συγγνώμη θά ἦταν δυνατό νά ἔχεις; Μήπως ὁ Θεός δηλαδή χρειάζεται ἐκδικητή; μήπως χρειάζεται βοηθούς;[74] ἀλλά θέλει νά γίνεις ὑπηρέτης του, γιά νά μή πέσεις στά ἴδια παραπτώματα, γινόμενος σωφρονέστερος μέ τήν ἀγανάκτησή σου ἐναντίον τοῦ ἄλλου, ὥστε καί ἀπ' αὐτό νά δείξεις τήν εὐσέβειά σου πρός τό Θεό. Διότι ὅταν ἁμαρτήσει κάποιος ἄλλος καί τόν παραβλέψεις καί δέν τό ἐλέγξεις, οὔτε πονέσεις, κάμνεις τήν ψυχή σου πιό ὀκνηρή καί πιό εὔκολη στήν πτώση, καί μάλιστα πολλές φορές τήν προετοιμάζεις νά πέσει στά ἴδια κακά· ἀλλά καί ἐκεῖνον τόν βλάπτεις ὄχι τυχαῖα μέ τήν κακή αὐτή χάρη πού τοῦ κάνεις, κάμνοντας αὐστηρότερες τίς μελλοντικές εὐθύνες του καί ἀκόμη τόν μαθαίνεις ν' ἀντιμετωπίζει μέ ἀδιαφορία τά πράγματα τῆς παρούσας ζωῆς.

Αὐτά δέ ἔχουν λεχθεῖ ὄχι μόνο γιά τούς κλέφτες, ἀλλά καί γιά κάθε ἁμάρτημα, ἀλλ' ἀνέφερε τό μικρότερο ἀπό ὅλα τά παραπτώματα, γιά ν' ἀντιληφθεῖς, ὅτι αὐτός πού δέν ἔχει συγγνώμη γι' αὐτό τό ἀσήμαντο, πολύ περισσότερο δέν θ' ἀπολαύσει αὐτήν τήν παρηγορία γιά κάποιο ἄλλο. Ἄκουσε λοιπόν τί λέγει στή συνέχεια· «Καί εἶχες καί σύ τό μερίδιό σου στίς ἀκολασίες τοῦ μοιχοῦ», ἀναφέροντας τό μεγαλύτερο. Διότι ἐκεῖνο εἶναι πολύ πιό μικρότερο ἀπό αὐτό. Καί κάποιος, συγκρίνοντας αὐτά τά ἁμαρτήματα, ἔλεγε τά ἑξῆς· «Δέν εἶναι ἄξιο θαυμασμοῦ

τις κλέπτων· κλέπτει γὰρ ἵνα τὴν ψυχὴν αὐτοῦ ἐμπλήσῃ πεινῶσαν». Εἰ τοίνυν τοῦτο ἀσύγγνωστον, πολλῷ μᾶλλον μοιχεία. Ἐνταῦθα δὲ μοιχείαν τὴν πορνείαν φησίν. Ἂν τοίνυν ἴδῃς τινὰ τῶν μετὰ σοῦ ἀγελαζομένων πορνεύοντα, καὶ μυστηρίοις προσερχόμενον, εἰπὲ τῷ διακονουμένῳ τῇ τούτων διανομῇ· ὁ δεῖνα ἀνάξιος τῶν μυστηρίων, κώλυσον τὰς βεβήλους χεῖρας. Εἰ γὰρ μηδὲ διηγεῖσθαι τὰ δικαιώματα ἄξιος, ἐννόησον, οἷ προβήσεται τὰ τῆς κολάσεως αὐτῷ, ὅταν καὶ τῆς ἱερᾶς ἅπτηται τραπέζης, οὐκ αὐτῷ δὲ μόνον, ἀλλὰ καὶ τῷ συσκιάζοντι. Οὐ γὰρ εἶπε, 'καὶ ἐμοίχευσες', ἀλλά, «Μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις».

Βαβαί, ἡλίκον ἐστὶ κακὸν ἐκ τοῦ περιστέλλειν τῶν ἄλλων τὰς σηπεδόνας, ὅπου γε καὶ κοινωνὸν αὐτόν φησιν εἶναι τῆς ἐπὶ τῷ πλημμελήματι τιμωρίας, καὶ οὐκ ἔλαττον ἢ ἐκεῖνος. Ὁ μὲν γὰρ ἔχει τὸ πάθος εἰπεῖν, εἰ καὶ ἀσύγγνωστος ἡ πρόφασις, καθὰ ὁ κλέπτης τὸν λιμόν, σὺ δὲ οὐδὲ τοῦτο. Τίνος οὖν ἕνεκεν, τῆς ἡδονῆς οὐκ ἀπολαύων, τῆς κολάσεως κοινωνεῖς καὶ μεριστὴς γίνῃ; Διὰ δὴ τοῦτο καὶ οἱ ἔξωθεν δικασταὶ οὐχὶ τοὺς τολμήσαντας μόνον, ἀλλὰ καὶ τῶν οἰκετῶν οὓς ἂν ἴδωσι συνειδότας τῷ πράγματι κολάζουσι, καὶ οἱ παραδιδόντες δεσπόται ἡδέως ἂν τὸ αἷμα αὐτῶν ἐκπίοιεν καὶ τῶν σαρκῶν ἀπογεύσαιντο, καὶ αὐτοῖς λογίζονται τὴν ἐξουσίαν τοῦ γεγενημένου οὐκ ἔλαττον, ἢ τῇ μοιχευθείσῃ. Οἱ γὰρ τὰ παραπετάσματα μὴ ἀναστείλαντες, αὐτοὶ πλείονα τὴν ἐξουσίαν τοῖς κρυπτομένοις δεδώκασιν· οὗτοι καὶ τὴν μοιχευθεῖσαν καὶ τὸν ἠδικημένον ἄνδρα καὶ αὐτὸν τὸν μοιχεύσαντα. Εἰ γὰρ προκατήγγειλαν, εἰ γὰρ δῆλον ἐποίησαν, πᾶσαν ἂν τὴν ἄ-

75. Παροιμ. 6, 30.

ἂν συλληφθεῖ κάποιος νὰ κλέβει˙ διότι κλέβει γιά νὰ χορτάσει τὴν πεινασμένη ψυχή του»[75]. Ἂν λοιπὸν αὐτὸ εἶναι ἀσυγχώρητο, πολὺ περισσότερο ἡ μοιχεία. Ἐδῶ δὲ μοιχεία ὀνομάζει τὴν πορνεία. Ἂν λοιπὸν δεῖς κάποιον, ἀπ' αὐτοὺς ποὺ σὲ συναναστρέφονται, νὰ πορνεύει καὶ νὰ προσέρχεται στὰ μυστήρια, πὲς σ' αὐτὸν ποὺ φροντίζει γιὰ τὴ διανομὴ αὐτῶν˙ ὁ τάδε εἶναι ἀνάξιος τῶν μυστηρίων, ἐμπόδισε τὰ βέβηλα χέρια. Διότι, ἂν δὲν εἶναι ἄξιος νὰ κηρύττει τὶς ἐντολὲς τοῦ Θεοῦ, σκέψου σὲ ποιὸ βαθμὸ αὐξάνεται ἡ τιμωρία αὐτοῦ, ὅταν καὶ τὴν ἱερὰ τράπεζα πλησιάζει, ὄχι μόνο αὐτοῦ, ἀλλὰ καὶ ἐκείνου ποὺ τὸν συγκαλύπτει. Διότι δὲν εἶπε, ʽκαὶ ἐμοίχευες, ἀλλά, «ἐνέκρινες τὶς ἀκολασίες τῶν μοιχῶν».

Ἀλλοίμονο, πόσο μεγάλο κακὸ εἶναι τὸ νὰ συγκαλύπτει κανεὶς τὶς σαπίλες τῶν ἄλλων, τὴ στιγμὴ βέβαια ποὺ λέγει ὅτι συμμετέχει καὶ στὴν τιμωρία γιὰ τὸ παράπτωμα καὶ μάλιστα ὄχι λιγώτερο ἀπὸ ἐκεῖνον. Διότι ἐκεῖνος μὲν ἔχει νὰ προβάλει τὸ πάθος του, ἂν καὶ εἶναι ἀσυγχώρητη ἡ δικαιολογία, ὅπως καὶ ὁ κλέφτης τὴν πείνα, σὺ ὅμως οὔτε αὐτό. Γιὰ ποιὸ λόγο λοιπὸν ἐνῶ δὲν ἀπολαμβάνεις τῆς ἡδονῆς, συμμετέχεις στὴν τιμωρία καὶ μοιράζεσαι αὐτήν; Γι' αὐτὸ βέβαια καὶ οἱ μὴ χριστιανοὶ δικαστὲς τιμωροῦν ὄχι μόνο ἐκείνους ποὺ διαπράττουν τὸ παράπτωμα, ἀλλὰ καὶ ἀπὸ τοὺς ὑπηρέτες ἐκείνους ποὺ θὰ διαπιστώσουν ὅτι γνώριζαν τὸ πράγμα, καὶ οἱ κύριοι ποὺ τοὺς παραδίνουν στοὺς δικαστὲς εὐχαρίστως θὰ ἔπιναν τὸ αἷμα τους καὶ θὰ ἔτρωγαν τὶς σάρκες τους, καὶ ἀποδίδουν σ' αὐτοὺς τὴν εὐθύνη τοῦ συμβάντος ὄχι λιγώτερο ἀπ' ὅ,τι στὴ μοιχαλίδα. Διότι ἐκεῖνοι ποὺ δὲν σήκωσαν τὰ παραπετάσματα, αὐτοὶ ἔδωσαν στοὺς κρυπτομένους μεγαλύτερη δυνατότητα γιὰ τὴν παρανομία τους˙ αὐτοὶ ἐπρόσβαλαν καὶ τὴ μοιχαλίδα καὶ τὸν ἀπατημένο σύζυγο καὶ τὸν ἴδιο τὸ μοιχό. Διότι ἂν τὸ εἶχαν καταγγείλλει ἀπὸ τὴν ἀρχή, ἂν τὸ φανέρωναν, θὰ ἀποσοβοῦσαν τελείως τὸ θήραμα,

γραν ἐσόβησαν. Καὶ καθάπερ ἐκεῖνοι μάλιστά εἰσιν οἱ ἐμβάλλοντες εἰς τὰς πάγας, οἱ τὰς πάγας περιστέλλοντες, καὶ περικαθήμενοι τοῖς μέλλουσιν ἁλίσκεσθαι, καὶ πάντοθεν ἅπαντα κρύπτοντες δόλον, καὶ μήτε ψόφον, μήτε ἄλλο τι συγχωροῦντες γενέσθαι τὸ δυνάμενον σοβῆσαι τὴν θήραν, οὕτω δὴ καὶ ἐνταῦθα, ἂν παρακαθίσῃς τῇ κειμένῃ παρὰ τοῦ διαβόλου παγίδι, καὶ εἰδὼς μέλλοντα ἐμπίπτειν τὸν μοιχὸν μὴ θορυβήσῃς, μηδὲ πτοήσῃς, τότε μάλιστα αὐτὸν ἀπολεῖς. Μὴ γάρ μοι ἐκεῖνο τὸ ῥῆμα λέγε τὸ πολλῆς γέμον ἀναλγησίας· 'τί δέ μοι μέλει; τὰ ἐμαυτοῦ μεριμνῶ'· τότε γὰρ μάλιστα μεριμνήσεις τὰ σά, ὅταν τὰ σὰ ζητῇς ἐν τῷ τοῦ πλησίον συμφέροντι. Διὸ καὶ ὁ Παῦλος ἔλεγε· «Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου». Ἵνα, φησίν, εὕρῃς τὸ σαυτοῦ, ζήτει τὸ τοῦ ἑτέρου.

«Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον». Ἵνα γὰρ μὴ λέγῃ, ἀπὸ φιλανθρωπίας ταῦτα ποιῶ· μάλιστα μέν, ποία ἂν εἴη τοῦτο φιλανθρωπία, τὸν μέλλοντα εἰς βάραθρον ἐμπίπτειν μὴ κωλύειν, μηδὲ ἀναστέλλειν; τὸ χαρίζεσθαι ἡδονῇ ἀδίκῳ; τὸ περιορᾶν δηλητήριον φάρμακον πίνοντα; Πλὴν ἀλλ' οὐδὲ τοῦτο δυνήσῃ λέγειν. Ὅτι γὰρ οὐ φιλανθρωπίας τοῦτο, ἀλλ' ὕπνου καὶ νωθείας καὶ ῥᾳθυμίας, πῶς τὸν ἀδικοῦντα ἀφεὶς τὸν οὐδὲν ἠδικηκότα ἀδελφὸν κακῶς λέγεις; πῶς ἐπιβουλεύεις τῷ μηδὲν ἠδικηκότι, μηδὲ πεπλημμεληκότι; Ὅρα κακίαν ἑκατέρωθεν εἰς ἄκρον ἐκτεινομένην. Τὸν μὲν ὑπὸ τῆς ἐπιθυμίας μεθύοντα οὐ κωλύεις

76. Α' Κορ. 10, 24.

Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι πρὸ πάντων εἶναι ποὺ ὁδηγοῦν τὸ θήραμα στὶς παγίδες, ποὺ καλύπτουν δηλαδὴ τὶς παγίδες καὶ κάθονται κοντὰ στὰ θηράματα ποὺ πρόκειται νὰ συλληφθοῦν καὶ κρύπτουν ἀπὸ παντοῦ τὸ κάθε δόλωμα, καὶ δὲν ἀφήνουν οὔτε θόρυβος νὰ γίνει οὔτε κάτι ἄλλο ποὺ μπορεῖ ν' ἀπομακρύνει τὸ θήραμα, ἔτσι λοιπὸν καὶ ἐδῶ, ἂν καθήσεις κοντὰ στὴν παγίδα ποὺ στήνει ὁ διάβολος καί, γνωρίζοντας ὅτι πρόκειται νὰ εἰσορμήσει ὁ μοιχός, δὲν θορυβήσεις, οὔτε τὸν φοβήσεις, τότε πρὸ πάντων τὸν καταστρέφεις. Μὴ μοῦ πεῖς βέβαια ἐκεῖνα τὰ λόγια ποὺ εἶναι γεμάτα ἀπὸ πολλὴ ἀναισθησία· 'τί μὲ ἐνδιαφέρει; φροντίζω γιὰ τὰ δικά μου'· διότι τότε πρὸ πάντων θὰ φροντίσεις τὰ δικά σου, ὅταν ζητεῖς τὰ δικά σου στὸ συμφέρον τοῦ πλησίον. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Κανεὶς νὰ μὴ ζητεῖ τὸ δικό του συμφέρον, ἀλλὰ νὰ ζητεῖ τὸ συμφέρον τοῦ ἄλλου»[78]. Γιὰ νὰ βρεῖς λοιπόν, λέγει, τὸ δικό σου συμφέρον, ζήτα τὸ συμφέρον τοῦ ἄλλου.

«Τὸ στόμα σου ἦταν γεμάτο ἀπὸ κακία καὶ ἡ γλώσσα σου ἐξύφαινε δολιότητες. Καθόσουν ἀργόσχολος καὶ κατηγοροῦσες τὸν ἀδελφό σου καὶ ἔστηνες παγίδες ἐναντίον τοῦ υἱοῦ τῆς μητέρας σου». Γιὰ νὰ μὴ λέγει λοιπόν, αὐτὰ τὰ κάμνω ἀπὸ φιλανθρωπία· ἐξ ἄλλου, τί εἴδους φιλανθρωπία θὰ μποροῦσε νὰ εἶναι αὐτό, τὸ νὰ μὴ ἐμποδίζει ἐκεῖνον ποὺ πρόκειται νὰ πέσει στὸ βάραθρο, οὔτε νὰ τὸν σταματᾶ; τὸ νὰ ὑποχωρεῖ σὲ ἄδικη ἡδονή; τὸ ν' ἀδιαφορεῖ γιὰ ἐκεῖνον ποὺ πίνει δηλητήριο φάρμακο; Πλὴν ὅμως οὔτε αὐτὸ θὰ μπορέσεις νὰ λέγεις. 'Αλλ' αὐτὸ βέβαια δὲν εἶναι ἀποτέλεσμα φιλανθρωπίας, ἀλλ' ὕπνου καὶ νωθρότητας καὶ ραθυμίας· διότι πῶς ἀφήνεις τὸν ἄδικο καὶ κακολογεῖς τὸν ἀδελφὸ σου ποὺ δὲν σ' ἀδίκησε σὲ τίποτε; πῶς συκοφαντεῖς ἐκεῖνον ποὺ δὲν σ' ἀδίκησε σὲ τίποτε, οὔτε διέπραξε κανένα παράπτωμα; Πρόσεχε κακία ποὺ ἐπεκτείνεται καὶ πρὸς τὶς δύο κατευθύνσεις. Τὸν μὲν μεθυσμένο ἀπὸ τὴν ἐπιθυμία δὲν τὸν ἐμποδίζεις νὰ

*μεθύειν, ὥστε σωφρονῆσαι, τὸν δὲ οὐδὲν ἠδικηκότα κολάζεις. «Καθήμενος γὰρ κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον».*

*9. Ὅρα πῶς τῇ ἐπεξηγήσει τὴν κατηγορίαν αὔξει. Τον τὰς αὐτὰς λύσαντά σοι, φησίν, ὠδῖνας, τὸν τῆς αὐτῆς σοι κεκοινωνηκότα νηδύος, τὸν οἰκίας καὶ τραπέζης καὶ τροφῆς μετασχόντα τῆς αὐτῆς, τὸν ἀπὸ μιᾶς βλαστήσαντα ῥίζης, τὸν τὴν αὐτὴν ἔχοντα τῆς γενέσεως ἀρχήν, τὸν ἐκ πρώτης ἡλικίας συναναβάντα σοι, τοῦτον κακῶς λέγεις, καὶ οὐ κακῶς λέγεις μόνον, ἀλλὰ καὶ εἰς ἔργον τὴν ἐπιβουλὴν ἐξάγεις; Τοῦτο γάρ ἐστιν, «Ἐτίθεις σκάνδαλον». Εἰ δὲ τὸν φυσικῶν κοινωνήσαντα ὠδίνων οὐ δεῖ λέγειν κακῶς, πολλῷ μᾶλλον τῶν πνευματικῶν. Μὴ τοίνυν μήτε τὸν μέλλοντα ἁμαρτεῖν ἔα καταπίπτειν, μήτε τὸν οὐδὲν ἠδικηκότα διάβαλλε καὶ λοιδόρει. Τὸ μὲν γὰρ φθόνου, τὸ δὲ ἀναλγησίας· τὸ γὰρ μὴ ἀναχαιτίζειν τὸν μέλλοντα πίπτειν, ἀναλγησίας· φθόνου δέ, τὸ τὸν ἑστῶτα καταβάλλειν. Καὶ ὅρα πῶς οὐχ ἁπλῶς τὸν κατήγορον αἰνίττεται, ἀλλὰ τὸν μετὰ δόλου καὶ σπουδῆς τὸ ἔργον τοῦτο ποιούμενον. «Καθήμενος» γάρ, φησί, «κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις». Καὶ ὁ μὲν Κάιν τὸν ἀδελφὸν ἀνελών, ἕνα μόνον τῆς παρούσης ζωῆς ἐξήλασεν, οὗτοι δὲ μυρίους, δι' ὧν κακῶς λέγουσι, καταβάλλουσι, καὶ ἑαυτοὺς πρώτους. Οὐ γὰρ τὸν κατηγορούμενον μόνον, ἀλλὰ καὶ ἑτέρους βλάπτουσι· μᾶλλον δὲ ἐκείνους μόνον τοὺς παραδεχομένους. Ὁ γὰρ κακῶς ἀκούων ψευδῶς, οὐ μόνον οὐκ ἠδίκηται, ἀλλὰ καὶ μισθὸν ἔχει μέγιστον. Οὐ γὰρ ὁ πάσχων, ἀλλ' ὁ δρῶν κακῶς, οὗτός ἐστιν ὁ τῆς τιμωρίας ἄξιος· οὕτω καὶ ὁ λέγων, οὐχὶ ὁ ἀκού-*

κυριεύεται ἀπὸ τὴ μέθη του, ὥστε νὰ τὸν σωφρονίσεις, ἐνῶ ἐκεῖνον ποὺ δὲν ἀδίκησε σὲ τίποτε τὸν τιμωρεῖς. «Διότι καθόσουν καὶ κατηγοροῦσες τόν ἀδελφό σου καὶ ἔστηνες παγίδες ἐναντίον τοῦ υἱοῦ τῆς μητέρας σου».

9. Πρόσεχε πῶς μὲ τὴν ἐπεξήγηση αὐξάνει τὴν κατηγορία. Αὐτόν, λέγει, ποὺ ἔλυσε τὶς ἴδιες ὠδῖνες τοκετοῦ μὲ σένα, ποὺ συνελήφθηκε καὶ μεγάλωσε στὴν ἴδια κοιλιά, ποὺ διέμενε στὴν ἴδια οἰκία καὶ συμμετεῖχε στὴν ἴδια τράπεζα καὶ τροφή, ποὺ βλάστησε ἀπὸ μιὰ ρίζα, ποὺ ἔχει τὴν ἴδια ἀρχὴ γενέσεως, ποὺ μεγάλωσε ἀπὸ τὴν ἀρχὴ μαζὶ μὲ σένα, αὐτὸν τὸν κακολογεῖς, καὶ ὄχι μόνο τὸν κακολογεῖς, ἀλλὰ καὶ πραγματοποιεῖς τὴν ἐπιβουλή; Διότι αὐτὸ σημαίνει, «Ἐτίθεις σκάνδαλον». Ἂν δὲ δὲν πρέπει νὰ κακολογεῖς ἐκεῖνον ποὺ ἔλαβε μέρος στὶς ἴδιες φυσικὲς ὠδῖνες, πολὺ περισσότερο ἐκεῖνον ποὺ ἔλαβε μέρος στὶς πνευματικές. Μὴ λοιπὸν ἀφήνεις νὰ πέσει οὔτε ἐκεῖνος ποὺ πρόκειται ν' ἁμαρτήσει, οὔτε νὰ συκοφαντεῖς καὶ νὰ κατηγορεῖς ἐκεῖνον ποὺ δὲν σὲ ἀδίκησε σὲ τίποτε. Διότι αὐτὸ μὲν εἶναι δεῖγμα φθόνου, τὸ δὲ ἄλλο ἀναισθησίας· καθόσον τὸ νὰ μὴ ἐμποδίζεις ἐκεῖνον ποὺ πρόκειται νὰ πέσει εἶναι δεῖγμα ἀναισθησίας, τὸ δὲ νὰ ρίχνεις κάτω ἐκεῖνον ποὺ στέκεται ὄρθιος εἶναι δεῖγμα φθόνου. Καὶ πρόσεχε πῶς δὲν ὑπαινίσσεται ἁπλῶς τὸν κατήγορο, ἀλλ' ἐκεῖνον ποὺ κάμνει αὐτὴν τὴν πράξη μὲ δόλο καὶ μελέτη. Διότι λέγει, «Καθόσουν καὶ κακολογοῦσες τόν ἀδελφό σου». Καὶ ὁ μὲν Κάϊν, φονεύοντας τὸν ἀδελφό του, ἕνα μόνο ἀπομάκρυνε ἀπὸ τὴν παρούσα ζωή, ἐνῶ αὐτοὶ καταστρέφουν ἀμετρήτους μὲ τὶς κακολογίες τους, καὶ πρῶτα τοὺς ἑαυτούς τους. Διότι δὲν βλάπτουν μόνο τὸν κατηγορούμενο, ἀλλὰ καὶ ἄλλους· μᾶλλον δὲ ἐκείνους μόνο ποὺ παραδέχονται αὐτές. Διότι ἐκεῖνος ποὺ ἀκούει ψευδεῖς κακολογίες, ὄχι μόνο δὲν ἀδικήθηκε, ἀλλ' ἔχει καὶ πάρα πολὺ μεγάλο μισθό. Καθόσον ἄξιος τῆς τιμωρίας εἶναι ὄχι ἐκεῖνος ποὺ πάσχει, ἀλλ' αὐτὸς ποὺ ἐνεργεῖ κακῶς· ἔτσι

*ων, μόνον ἂν μὴ παράσχῃ λαβὰς τῆς κακηγορίας εὐλόγους ἐκεῖνος.*

*Μὴ δὴ οὖν τοῦτο σπουδάζωμεν, ὥστε μὴ κακῶς ἀκούειν (τοῦτο γὰρ ἀμήχανον· καὶ ἀπόφασίς ἐστι τοῦ Χριστοῦ λέγουσα, «Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες ἄνθρωποι»), ἀλλ' ὅπως ἡμεῖς μὴ παράσχοιμεν λαβάς. Καὶ γὰρ ὁ βουλόμενος παρὰ πάντων ἀκούειν καλῶς, πολλαχοῦ τὴν ἑαυτοῦ ψυχὴν ἀπόλλυσι, δόξης ἐρῶν ἀνθρωπίνης, διακονούμενος ἐν οἷς οὐ δεῖ, ἀρέσκων ἐν οἷς οὐ χρή, ὥστε ὠνήσασθαι τὴν παρ' αὐτῶν χάριν. Πάλιν ὁ καταφρονῶν τοῦ παρὰ πάντων ἀκούειν κακῶς, καὶ ἑαυτὸν προσαπόλλυσιν. Ὥσπερ γὰρ ἀμήχανον παρὰ πάντων ἀκούειν καλῶς τὸν ἐνάρετον, οὕτως ἀμήχανον μὴ παρὰ πάντων ἀκούειν κακῶς, τὸν πολλὰς πολλαχόθεν παρασχόντα τοῦ κακῶς ἀκούειν λαβάς. Ἂν δὲ τὸ ἀπρόσκοπόν σου παρέχοντος ὦσιν οἱ κατηγοροῦντες, τότε σοι καὶ πλείων ὁ μισθός, καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο, καὶ τῶν γενναίων ἐκείνων ἀνδρῶν.*

*Χρὴ δὲ κἀκεῖνο εἰδέναι, ὅτι κἂν λέγῃ τις κακῶς ἐπὶ πράγματι, οὗ τὸ συνειδὸς ἡμῶν οὐ καταγινώσκει, οὐ διὰ τοῦτο δεῖ καταφρονεῖν τοῦ κατηγόρου διὰ τὴν ἐκείνου βλάβην, ἀλλὰ πάντα ποιεῖν μετὰ τῆς πρεπούσης ἀσφαλείας, ὥστε ἀνελεῖν καὶ τὴν ἄλογον πρόφασιν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπὶ τῶν χρημάτων πολλοὺς ἔπεμπε τοὺς διακομίζοντας τῶν πενήτων τὰς διατροφάς· καὶ τὴν αἰτίαν τίθησι λέγων· «Ἵνα μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν». Οὐ γὰρ δὴ τοῦτο ἰδών, ὅτι ἤμελλον κακῶς σκανδαλίζεσθαι, παρεῖδε καὶ κατεφρόνησεν, ἀλλ' ἐπειδὴ κύριος ἦν τοῦ λῦσαι τὸ σκάνδαλον, καὶ αὐτῶν τῶν σκανδαλιζο-*

---

77. Λουκᾶ 6, 26.
78. Πρβλ. Α' Κορ. 16, 3.
79. Β' Κορ. 8, 20.

ἄξιος τιμωρίας εἶναι ἐκεῖνος ποὺ κακολογεῖ καὶ ὄχι αὐτὸς ποὺ ἀκούει τὶς κακολογίες, ἐκτὸς ἂν αὐτὸς δώσει δικαιολογημένες ἀφορμὲς γιὰ κατηγορία.

Ἂς μὴ φροντίζουμε λοιπὸν αὐτό, δηλαδὴ νὰ μὴ κακολογούμαστε, (διότι αὐτὸ εἶναι ἀδύνατο· καὶ ὑπάρχει καὶ ἀπόφαση τοῦ Χριστοῦ ποὺ λέγει· «Ἀλλοίμονο σὲ σᾶς, ὅταν ὅλοι οἱ ἄνθρωποι σᾶς ἐπαινοῦν»[77]), ἀλλὰ νὰ μὴ δίνουμε ἀφορμὲς γιὰ κατηγορία. Καθόσον ἐκεῖνος ποὺ θέλει νὰ ἐπαινεῖται ἀπὸ ὅλους, μὲ πολλοὺς τρόπους βλάπτει τὴν ψυχή του, μὲ τὸ ὅτι ἐπιθυμεῖ δόξα ἀνθρώπινη, μὲ τὸ νὰ ὑπηρετεῖ ἐκείνους ποὺ δὲν πρέπει, μὲ τὸ νὰ θέλει ν' ἀρέσει σ' ἐκείνους ποὺ δὲν πρέπει, ὥστε νὰ κερδίσει τὴν εὔνοιά τους. Ἐπίσης ἐκεῖνος ποὺ ἀδιαφορεῖ γιὰ τὶς κακολογίες ὅλων, αὐτὸς καὶ τὸν ἑαυτό του βλάπτει μαζὶ μὲ ἐκείνους. Διότι, ὅπως ἀκριβῶς εἶναι ἀδύνατο ὁ ἐνάρετος νὰ ἐπαινεῖται ἀπὸ ὅλους, ἔτσι εἶναι ἀδύνατο νὰ μὴ κακολογεῖται ἀπὸ ὅλους ἐκεῖνος ποὺ δίνει πολλὲς καὶ ποικίλες ἀφορμὲς γιὰ κατηγορία. Ἂν ὅμως σὺ κατηγορεῖσαι χωρὶς νὰ σκανδαλίζεις, τότε θὰ εἶναι μεγαλύτερος καὶ ὁ μισθός σου, ὅπως ἀκριβῶς συνέβαινε μὲ τοὺς ἀποστόλους καὶ τοὺς γενναίους ἐκείνους ἄνδρες.

Πρέπει δὲ ἐκεῖνο νὰ γνωρίζουμε, ὅτι καὶ ἂν ἀκόμη κάποιος μᾶς κατηγορεῖ γιὰ κάποιο πράγμα, ποὺ ἡ συνείδησή μας δὲν τὸ καταδικάζει, δὲν πρέπει γι' αὐτὸ ν' ἀδιαφοροῦμε γιὰ τὴ βλάβη τοῦ κατηγόρου, ἀλλὰ νὰ κάμνουμε τὸ πᾶν μὲ τὴν πρέπουσα ἀσφάλεια, ὥστε νὰ ἐξαφανίσουμε τὴν παράλογη αἰτία. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔστελνε πολλοὺς γιὰ νὰ μεταφέρουν τὰ χρήματα ποὺ προορίζονταν γιὰ τὴ διατροφὴ τῶν φτωχῶν[78], καὶ ἀναφέρει τὴν αἰτία, λέγοντας· «Γιὰ νὰ μὴ μπορεῖ κανεὶς νὰ μᾶς κατηγορήσει γιὰ τὴν ὡραία αὐτὴ εἰσφορὰ ποὺ διακονεῖται ἀπὸ ἐμᾶς»[79]. Διότι δὲν παρέβλεψε καὶ ἀδιαφόρησε γιὰ τὸ σκάνδαλο σκεπτόμενος αὐτό, ὅτι δηλαδὴ ἐπρόκειτο νὰ σκανδαλισθοῦν ἄδικα, ἀλλ' ἐπειδὴ ἦταν στὴν ἐξουσία του ν' ἀπομα-

*μένων προενόησε. Καὶ πάλιν ἀλλαχοῦ φησιν· «Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω». Καίτοι ταῦτα ἀδιάφορα ἦν, ἀλλ' ὅμως, εἰ σκάνδαλον φέρει, φησίν, κἂν ἐμὲ οὐ παραβλάπτῃ, οὐ καταφρονῶ τῆς σωτηρίας τῶν σκανδαλιζομένων. Εἰ μὲν γὰρ γίνοιτο βλάβη μείζων τῆς σωτηρίας, καταφρόνει τοῦ σκανδαλιζομένου, εἰ δὲ μὴ γένοιτο, μηκέτι. Ὅρος γὰρ οὗτος ἂν εἴη καθόλου καὶ κανών, παιδεύων πότε δεῖ καταφρονεῖν τῶν σκανδαλιζομένων, πότε δὲ μή· οἷόν τι λέγω· ἐσκανδαλίζοντο Ἰουδαῖοι, ὅτι Παῦλος οὐκ ἐτήρει τὸν νόμον, καὶ διὰ τοῦτο μυριάδες ἀπεπήδων πολλαί, καὶ περὶ τὴν πίστιν ἐχώλευον. Τί οὖν ποιεῖ; Θεραπεῦσαι τὸ σκάνδαλον βουλόμενος (μείζων γὰρ ἦν ἡ σωτηρία τῶν τοσούτων μυριάδων), καὶ διορθῶσαι τὴν χωλείαν, τῷ τέως ἐπιδείξασθαι, ὅτι οὐ τηρεῖ τὸν νόμον, ἐκώλυσεν, ὅπερ μεῖζον ἦν. Ἐσκανδαλίζοντο πάλιν, ὅτι ἐσταυρωμένον ἐκήρυσσεν· ἐνταῦθα κατεφρόνησε τῶν σκανδαλιζομένων· μεῖζον γὰρ ἦν τοῦ κηρύγματος τὸ κέρδος.*

*Οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. Ὅτε μὲν γὰρ περὶ βρωμάτων αὐτοῖς διελέγετο, καὶ ἐσκανδαλίσθησαν λέγοντος αὐτοῦ, ὅτι «Οὐ τὸ εἰσπορευόμενον κοινεῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον», λέγει, «Ἄφετε αὐτούς. Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου, ἐκριζωθήσεται». Ὅτε δὲ φόρους αὐτὸν ἀπήτουν, καίπερ εἰδὼς ὅτι τελεῖν οὐ δεῖ, ὅμως ἐπειδὴ ὁ καιρὸς οὐδέπω ἀπῄτει τὸ ἐκκαλυφθῆναι αὐτοῦ τὴν ἀξίαν, λέγει· «Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα ἰχθὺν ἆρον, καὶ*

---

80. Α' Κορ. 8, 13.
81. Α' Κορ. 1, 23.
82. Ματθ. 15, 11.
83. Ματθ. 15, 13 - 14.

κρύνει τὸ σκάνδαλο, προνόησε καὶ γιὰ τοὺς ἴδιους τοὺς σκανδαλιζομένους. Καὶ πάλι ἀλλοῦ λέγει· «Ἂν ἡ τροφὴ σκανδαλίζει τὸν ἀδελφό μου, δὲν θὰ φάγω κρέας στὸν αἰώνα, γιὰ νὰ μὴ σκανδαλίσω τὸν ἀδελφό μου»[80]. Μολονότι αὐτὰ ἦταν ἀδιάφορα, ἀλλ᾿ ὅμως, ἂν σκανδαλίζουν, λέγει, ἂν καὶ ἐμένα δὲν μὲ βλάπτουν, δὲν περιφρονῶ τὴ σωτηρία τῶν σκανδαλιζομένων. Ἂν δηλαδὴ συμβαίνει ἡ βλάβη νὰ εἶναι μεγαλύτερη ἀπὸ τὴ σωτηρία, τότε περιφρόνα τὸν σκανδαλιζόμενο, ἂν ὅμως δὲν εἶναι μεγαλύτερη ἡ βλάβη, μὴ τὸν περιφρονᾶς. Διότι γενικὸς νόμος καὶ κανόνας θὰ μποροῦσε νὰ εἶναι αὐτός, τὸ νὰ μᾶς διδάσκει πότε πρέπει νὰ ἀδιαφοροῦμε γιὰ τοὺς σκανδαλιζομένους, πότε δὲ ὄχι· ἀναφέρω ἕνα παράδειγμα. Σκανδαλίζονταν οἱ Ἰουδαῖοι, διότι ὁ Παῦλος δὲν τηροῦσε τὸ νόμο, καὶ γι᾿ αὐτὸ πάρα πολλοὶ ἀποσκιρτοῦσαν καὶ ἐχώλαιναν στὸ θέμα τῆς πίστεως. Τί κάμνει λοιπόν; Θέλοντας νὰ θεραπεύσει τὸ σκάνδαλο (διότι ἦταν σπουδαιότερη ἡ σωτηρία τῶν τόσων μυριάδων), καὶ νὰ διορθώσει τὴ χωλότητα στὸ θέμα τῆς πίστεως, ἐμπόδισε στὴν ἀρχὴ νὰ φανεῖ ὅτι δὲν τηρεῖ τὸ νόμο, πράγμα ποὺ ἦταν σπουδαιότερο. Σκανδαλίζονταν πάλι, διότι κήρυττε Χριστὸ σταυρωμένο[81]· ἐδῶ ἀδιαφόρησε γιὰ τοὺς σκανδαλιζομένους· διότι ἦταν μεγαλύτερο τὸ κέρδος τοῦ κηρύγματος.

Ἔτσι ἐνεργεῖ καὶ ὁ Χριστός. Διότι ὅταν τοὺς μιλοῦσε γιὰ τὶς τροφὲς καὶ σκανδαλίσθηκαν μὲ τὰ λόγια του, ὅτι «Δὲν μολύνει τὸν ἄνθρωπο ἐκεῖνο ποὺ εἰσέρχεται στὸ στόμα, ἀλλ᾿ ἐκεῖνο ποὺ βγαίνει ἀπὸ τὸ στόμα»[82], λέγει, «Ἀφήσατέ τους. Κάθε φυτεία, ποὺ δὲν τὴν φύτεψε ὁ Πατέρας μου ὁ οὐράνιος, θὰ ξερριζωθεῖ»[83]. Ὅταν δὲ ζητοῦσαν ἀπ᾿ αὐτὸν φόρους, ἂν καὶ γνώριζε ὅτι δὲν πρέπει νὰ πληρώνει, ὅμως ἐπειδὴ ὁ καιρὸς δὲν ἐπέτρεπε ἀκόμη ν᾿ ἀποκαλυφθεῖ ἡ ἀξία του, λέγει· «Ὅμως γιὰ νὰ μὴ τοὺς σκανδαλίσουμε, πήγαινε καὶ ρίξε τὸ ἀγκίστρι στὴ θάλασσα καὶ τὸ ψάρι ποὺ θὰ τραβήξεις ἐπάνω πάρε το καὶ μέσα σ᾿ αὐτὸ

ἐν αὐτῷ εὑρήσεις στατῆρα· τοῦτον δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ». Ὅτε μὲν γὰρ νόμον ἐτίθει πολλῆς γέμοντα φιλοσοφίας, καὶ ἀνιάτως εἶχον ἐκεῖνοι, εἰκότως αὐτῶν οὐκ ἐφρόντισε, καὶ τὸν νόμον ἔλυσεν, ὅτε δὲ οὐδέπω οἷοί τε ἦσαν τὸν περὶ τῆς ἀξίας αὐτοῦ δέξασθαι λόγον, εἰκότως συγκαταβαίνει πάλιν, καὶ συσκιάζει τῇ τοῦ φόρου δόσει τὸν περὶ τῆς θεότητος αὐτοῦ λόγον.

*10.* «Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις». Ἀλλ' ἵνα διορθώσωμαι, φησίν. Οὐκοῦν οὐ λάθρᾳ διαβάλλειν ἐχρῆν, ἀλλ', ὡς ἐκέλευσεν ὁ Χριστός, κατ' ἰδίαν λαβόντα διορθοῦν. Αἱ γὰρ δημοσίᾳ γινόμεναι κατηγορίαι, πολλάκις καὶ ἀναισχυντοτέρους ποιοῦσι· καὶ ἕως μὲν ἂν ἴδωσιν οἱ πολλοὶ τῶν ἁμαρτανόντων, ὅτι δυνατὸν αὐτοὺς λαθεῖν, καὶ ἐπανελθεῖν ῥᾳδίως αἱροῦνται, ὅταν δὲ τὴν παρὰ τῶν πολλῶν ἀπολέσωσι δόξαν, εἰς ἀπόγνωσίν τινες λοιπὸν ἐμπίπτουσι, καὶ εἰς ἀναισχυντίαν ἐξολισθαίνουσιν. Ἀλλ' ἠδικήθης τι παρ' αὐτοῦ. Τί τοίνυν καὶ σαυτὸν ἀδικεῖς; Ὁ γὰρ ἀμυνόμενος καθ' ἑαυτοῦ τὸ ξίφος ὠθεῖ. Εἰ γὰρ βούλει καὶ σαυτὸν εὐεργετῆσαι, κἀκεῖνον ἀμύνασθαι, εἰπὲ καλῶς τὸν ἠδικηκότα· οὕτω πολλοὺς αὐτοῦ ποιήσεις ἀντὶ σοῦ τοὺς κατηγόρους, καὶ αὐτὸς πολὺν λήψῃ μισθόν· ἂν δὲ κακῶς λέγῃς, οὐδὲ πιστευθήσῃ, ἔχθρας ὑποψίαν δεχόμενος. Ὥστε εἰς τοὐναντίον σοὶ περιτρέπεται τὰ τῆς σπουδῆς. Σὺ μὲν γὰρ τρῶσαι αὐτοῦ τὴν δόξαν βούλει, γίνεται δὲ τοὐναντίον· διὰ γὰρ εὐφημίας, οὐ διὰ κατηγορίας τοῦτο συμβαίνει· ἀλλὰ τοὐναντίον ἅπαν· καὶ σαυτὸν μὲν μειζόνως καταισχύνεις, ἐκείνου δὲ οὐχ ἅψεταί σου τὰ βέλη. Ἡ γὰρ ἔχθρα προσαπαντῶσα ταῖς τῶν ἀκουόντων διανοίαις, οὐκ

---

84. Ματθ. 17, 27.

θὰ βρεῖς ἕνα ἀργυρὸ τετράδραχμο· αὐτὸ δῶσε το σ' αὐτοὺς γιὰ μένα καὶ γιὰ σένα»[84]. Διότι, ὅταν μὲν θέσπιζε νόμο γεμάτο ἀπὸ πολλὴ φιλοσοφία καὶ ἐκεῖνοι ἦταν ἀθεράπευτοι, πολὺ εὔλογα δὲν φρόντισε γι' αὐτοὺς καὶ τὸ νόμο κατέλυσε, ὅταν ὅμως δὲν ἦταν ἀκόμη ἱκανοὶ νὰ δεχθοῦν τὸ λόγο γιὰ τὴν ἀξία του, εὔλογα δείχνει πάλι συγκατάβαση καὶ συγκαλύπτει μὲ τὴν πληρωμὴ τοῦ φόρου τὸ λόγο γιὰ τὴ θεότητά του.

10. «Καθόσουν καὶ κατηγοροῦσες τὸν ἀδελφό σου». Ἀλλά, λέγει, γιὰ νὰ τὸν διορθώσω. Ἔπρεπε λοιπὸν νὰ μὴ τὸν κατηγορεῖς κρυφά, ἀλλ', ὅπως ἔδωσε ἐντολὴ ὁ Χριστός, νὰ τὸν πάρεις καὶ νὰ τὸν διορθώσεις ἐνῶ θὰ εἶσθε μόνοι. Διότι οἱ κατηγορίες ποὺ γίνονται δημόσια, πολλὲς φορὲς τοὺς κάνουν πιὸ ἀδιάντροπους. Καὶ ἐν ὅσω βλέπουν οἱ πολλοὶ ἀπὸ τοὺς ἁμαρτάνοντες, ὅτι εἶναι δυνατὸ αὐτοὶ νὰ διαφύγουν τὴν προσοχὴ τῶν ἀνθρώπων, ἀποφασίζουν εὔκολα νὰ ἐπιστρέψουν στὸ σωστὸ δρόμο, ὅταν ὅμως χάσουν τὴν ἐκτίμηση ἀπὸ τοὺς πολλούς, κυριεύονται πλέον μερικοὶ ἀπὸ ἀπόγνωση καὶ παρεκτρέπονται στὴν ἀδιαντροπιά. Ἀλλ' ἀδικήθηκες σὲ κάτι ἀπ' αὐτόν. Γιατί λοιπὸν ἀδικεῖς καὶ τὸν ἑαυτό σου; Διότι ὁ ἀμυνόμενος σπρώχνει τὸ ξίφος ἐναντίον τοῦ ἑαυτοῦ του. Ἂν πράγματι θέλεις καὶ τὸν ἑαυτό σου νὰ εὐεργετήσεις καὶ ἐκεῖνον νὰ ἀντικρούσεις, μίλησε μὲ καλωσύνη σ' αὐτὸν ποὺ σὲ ἀδίκησε· ἔτσι ἀντὶ τοῦ ἑαυτοῦ σου θὰ κάνεις πολλοὺς κατηγόρους του, καὶ ὁ ἴδιος θὰ λάβεις πολὺ μισθό· ἂν ὅμως τὸν κακολογεῖς, δὲν θὰ γίνεις πιστευτός, καὶ θὰ δημιουργήσεις τὴν ἐντύπωση ὅτι τὸ κάνεις ἀπὸ ἔχθρα. Ὥστε στὸ ἀντίθετο ἀποβαίνει ἡ προσπάθειά σου. Διότι, σὺ μὲν ἐπιθυμεῖς νὰ προσβάλεις τὴν ὑπόληψή του, γίνεται ὅμως τὸ ἀντίθετο. Καθόσον αὐτὸ κατορθώνεται μὲ τὸν ἔπαινο καὶ ὄχι μὲ τὴν κατηγορία. Ἀλλὰ σὺ ἐνεργεῖς ἐντελῶς ἀντίθετα· καὶ τὸν μὲν ἑαυτό σου κατεντροπιάζεις περισσότερο, ἐκεῖνον ὅμως δὲν θὰ τὸν ἐγγίσουν τὰ βέλη σου. Διότι ἡ ἔχθρα φθάνον-

*ἀφίησιν αὐτῶν ἐντεθῆναι ταῖς ἀκοαῖς τὰ λεγόμενα, καὶ ταὐτὸν γίνεται οἷον ἐπὶ τῶν παραγραφῶν. Ὅταν γὰρ ἀντικρούσῃ τις εἰς δικαστήριον, τὸ πᾶν διαλύεται τέως, οὕτω δὴ καὶ ἐνταῦθα οὐκ ἀφίησιν εἰσαγώγιμον γενέσθαι τὴν δίκην ἡ τῆς ἔχθρας ὑπόνοια.*

*Μὴ τοίνυν λέγε κακῶς, ἵνα μὴ καὶ σαυτὸν μολύνῃς, μηδὲ βόρβορον ὕφαινε μετὰ πηλοῦ καὶ πλινθείας, ἀλλὰ στεφάνους ἀπὸ ῥόδων πλέκε, καὶ ἴων, καὶ τῶν λοιπῶν ἀνθέων· μηδὲ κόπρον ἐπὶ τοῦ στόματος φέρε, καθάπερ οἱ κάνθαροι (τοῦτο γὰρ οἱ κακηγοροῦντες· αὐτοὶ τῆς δυσωδίας ἀπολαύουσι πρῶτοι), ἀλλ' ἄνθη, καθάπερ αἱ μέλιτται, καὶ ὕφαινε κηρία κατ' ἐκείνας, καὶ γίνου πᾶσι προσηνής. Τὸν μὲν γὰρ κακήγορον ἅπαντες ἀποστρέφονται, ὡς σαπρὸν ὄζοντα, καθάπερ τινὰ βδέλλαν αἵματι, καὶ κάνθαρον κόπρῳ, τρεφόμενον τοῖς ἑτέρων κακοῖς· τὸν δὲ εὔφημον ἔχοντα στόμα, ὡς κοινὸν προσίενται μέλος, ὡς ἀδελφὸν γνήσιον, ὡς παῖδα, ὡς πατέρα. Καὶ τί λέγω τὰ παρόντα, καὶ τὰς τῶν ἀνθρώπων δόξας; Ἐννόησόν μοι τὴν φοβερὰν ἐκείνην ἡμέραν, τὸ κριτήριον τὸ ἀδέκαστον, ὅτι, ἂν μὲν ψευδῆ λέγῃς, προσθήκη ἁμαρτημάτων περιττῶν προσθήσεις. «Λέγω γὰρ ὑμῖν, ὅτι πᾶν ἀργὸν ῥῆμα, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως». Κἂν ἀληθῆ, φησίν, ᾖ, οὐδὲ οὕτως ἀπαλλαγήσῃ καταγνώσεως, ἐκπομπεύων τὰς τοῦ πλησίον συμφορὰς καὶ τὰ ὀνείδη. Ἐννόησον γοῦν τὸν Φαρισαῖον. Οὐκ ἦν τελώνης, ἀλλὰ τελώνου γέγονεν ἁμαρτωλότερος, ἐπειδὴ τὸν τελώνην ἐκάκισεν. Οὐκ ἦν Φαρισαῖος ὁ τελώνης, ἀλλὰ τοῦ Φαρισαίου γέγονε δικαιότερος, ἐπειδὴ ἑαυτὸν ἐταλάνισε.*

*11. «Ταῦτα ἐποίησας, καὶ ἐσίγησα. Ὑπέβαλες ἀνομίαν,*

85. Παραγραφή· ἔνσταση τοῦ δικαζομένου ὅτι ἡ κατηγορία εἶναι ἀνυπόστατη.
86. Ματθ. 12, 36.
87. Λουκᾶ 18, 10.

τας στὸ νοῦ τῶν ἀκροατῶν, δὲν ἀφήνει νὰ εἰσέλθουν μέσα στὶς ἀκοὲς τὰ λεγόμενα, καὶ γίνεται ὅ,τι καὶ στὴν περίπτωση τῶν παραγραφῶν. Ὅταν δηλαδὴ κάποιος ἀντικρούσει στὸ δικαστήριο τὴν κατηγορία, ἀμέσως διαλύεται ὅλη ἡ κακὴ ἐντύπωση, ἔτσι λοιπὸν καὶ ἐδῶ δὲν ἀφήνει ἡ ὑπόνοια τῆς ἔχθρας νὰ γίνει δεκτὸ τὸ δίκιο.

Μὴ λοιπὸν κακολογεῖς, γιὰ νὰ μὴ μολύνεις καὶ τὸν ἑαυτό σου, οὔτε νὰ ὑφαίνεις βρωμιὰ μαζὶ μὲ πηλὸ καὶ πλιθιά, ἀλλὰ πλέκε στεφάνια ἀπὸ τριαντάφυλλα καὶ κρίνα καὶ τ' ἄλλα τὰ ἄνθη· οὔτε νὰ φέρεις κοπριὰ στὸ στόμα σου, ὅπως ἀκριβῶς τὰ σκαθάρια (διότι αὐτὸ κάνουν ἐκεῖνοι ποὺ κατηγοροῦν καὶ πρῶτοι αὐτοὶ οἱ ἴδιοι ἀπολαμβάνουν τὴ δυσωδία), ἀλλ' ἄνθη, ὅπως ἀκριβῶς οἱ μέλισσες, καὶ ὕφαινε κηριὰ ὅπως ἐκεῖνες, καὶ γίνε πρὸς ὅλους εὐγενικός. Διότι τὸν μὲν κατήγορο τὸν ἀποστρέφονται ὅλοι, ὅπως τὸ σάπιο πράγμα ποὺ βρωμᾶ, ὅπως ἀκριβῶς κάποια βδέλλα μέσα στὸ αἷμα, καὶ τὸ σκαθάρι στὴν κοπριά, ποὺ τρέφεται ἀπὸ τὰ κακὰ τῶν ἄλλων· ἐκεῖνον ὅμως ποὺ ἔχει στόμα ἐπαινετικό, τὸν πλησιάζουν σὰν δικό τους πρόσωπο, σὰν ἀδελφὸ γνήσιο, σὰν παιδί τους, σὰν πατέρα τους. Καὶ γιατί ἀναφέρω τὸν παρόντα καὶ τὶς δόξες τῶν ἀνθρώπων; Σκέψου σὲ παρακαλῶ τὴ φοβερὴ ἐκείνη ἡμέρα, τὸ ἀδέκαστο δικαστήριο, ὅτι, ἂν μὲν λέγεις ψέματα, θὰ προσθέσεις πλῆθος περιττῶν ἁμαρτημάτων. «Διότι σᾶς λέγω, ὅτι γιὰ κάθε λόγο περιττὸ καὶ ἀνώφελο ποὺ θὰ ποῦν οἱ ἄνθρωποι θὰ λογοδοτήσουν γι' αὐτὸν στὸ Θεὸ κατὰ τὴν ἡμέρα τῆς κρίσεως»[86]. Καὶ ἂν ἀκόμη, λέγει, εἶναι ἀληθινά, οὔτε ἔτσι θ' ἀπαλλαγεῖς τῆς καταδίκης, διαπομπεύοντας τὶς συμφορὲς καὶ τὶς δυστυχίες τοῦ πλησίον σου. Σκέψου λοιπὸν τὸ Φαρισαῖο. Δὲν ἦταν τελώνης, ἀλλ' ἔγινε πιὸ ἁμαρτωλὸς ἀπὸ τὸν τελώνη, ἐπειδὴ κατηγόρησε τὸν τελώνη. Δὲν ἦταν ὁ τελώνης Φαρισαῖος, ἀλλ' ἔγινε πιὸ δίκαιος ἀπὸ τὸ Φαρισαῖο, ἐπειδὴ ταλάνισε τὸν ἑαυτό του[87].

11. «Αὐτὰ ἔκαμες ἐσὺ καὶ ἐγὼ ἐσιώπησα. Νόμισες

*ὅτι ἔσομαί σοι ὅμοιος. Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου». Εἶδες φιλανθρωπίαν ἄφατον; εἶδες ἀγαθότητος ὑπερβολήν; εἶδες μακροθυμίας πλοῦτον ἄπειρον; «Σιγὴν» γὰρ ἐνταῦθα τὴν μακροθυμίαν λέγει. Τοσαῦτα ἐτόλμησας, φησί, καὶ οὐκ ἐπεξῄειν, ἀλλ' ἠνειχόμην, καὶ ἔφερον, χώραν σοι διδοὺς εἰς μετάνοιαν. Σὺ δὲ οὐ μόνον οὐδὲν ἐκέρδανας ἐντεῦθεν, ἀλλὰ καὶ πρὸς μείζονα ἐξώκειλας κακίαν. Οὐ γὰρ δὴ μόνον οὐ μετεβάλου, οὐδὲ μόνον οὐ κατῃσχύνθης, οὐδὲ κατέγνως ἐπὶ τοῖς γεγενημένοις σαυτοῦ, ἀλλ' ἤδη καὶ ἐμὲ τὸν μακροθυμήσαντά σοι, τὸν ἀνασχόμενον, τὸν σιγήσαντα, τὸν τοσαῦτα ἐνεγκόντα, ἐνόμισας οὐ διὰ μακροθυμίαν καὶ φιλανθρωπίαν φέρειν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι ταῦτα σωφρονίζειν, μηδὲ ἀγανακτεῖν ἐπὶ τοῖς γινομένοις.*

*«Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ». Ποῖα; Τὰ εἰρημένα, φησί. Τί ἐστι, «Σύνετε»; Νοήσατε. Τί γὰρ συνεσκιασμένον εἴρηται; τί δὲ πολλῆς χρῇζον ἐρεύνης; Μάλιστα μὲν καὶ αὐτὸς ὁ τῆς διδασκαλίας τρόπος ἐνηλλαγμένην παρεισάγει πολιτείαν. Καὶ γὰρ τῶν θυσιῶν οὐ πολὺν ποιούμενος λόγον, τὴν εὐαγγελικὴν εἰσάγει νομοθεσίαν· ἄλλως δὲ ἐπειδὴ πολλῷ τῷ φορυτῷ τῶν ἁμαρτημάτων ἦσαν καταχωσθέντες, καθάπερ ἀπὸ τελμάτων τινῶν τῆς κακίας ἀνασπάσαι βουλόμενος, καὶ ὥσπερ τῶν ὀφθαλμῶν λήμην ἀποκαθᾶραι τὴν προλαβοῦσαν τῆς πονηρᾶς συνηθείας ὁδόν, διεγείρει εἰς μνήμην ἐλθεῖν τῶν γεγενημένων, ἵνα μὴ λήθῃ παραδόντες αὐτά, ἀκερδεῖς ἀναχωρήσωσιν. Πολλὴν γὰρ ἡ ἐν ἁμαρτήμασι συνήθεια πώρωσιν τῆς ψυχῆς ἐργάζεται, καὶ ἀνοήτους ποιεῖ, καὶ τυφλοῖ τὸ ὀξυδερκὲς τῆς διανοίας ὄμμα.*

*«Μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος». Ὢ φιλανθρωπίας ἀφάτου. Μητρὸς φιλοστόργου τὰ ῥήματα, μᾶλλον δὲ*

88. Ρωμ. 2, 4.

κατά τρόπο παράνομο ότι εἶμαι ὅμοιός σου. Θὰ σὲ ἐλέγξω γι' αὐτὸ καὶ θὰ παρουσιάσω μπροστά σου τὶς ἁμαρτίες σου». Εἶδες φιλανθρωπία ἀπερίγραπτη; εἶδες ὑπερβολικὴ ἀγαθότητα; εἶδες ἄπειρο πλοῦτο μακροθυμίας; Διότι ἐδῶ «σιγὴν» ὀνομάζει τὴ μακροθυμία. Τόσα, λέγει, ἔκαμες μὲ θράσος καὶ δὲν σὲ κατεδίωξα, ἀλλὰ σὲ ἀνεχόμουν καὶ σὲ ὑπέφερα, γιὰ νὰ σοῦ δώσω εὐκαιρία γιὰ μετάνοια[88]. Σὺ ὅμως ὄχι μόνο δὲν εἶχες καμιὰ ὠφέλεια ἀπ' αὐτὴ τὴν ἀνοχή μου, ἀλλὰ παρεκτράπηκες σὲ μεγαλύτερη κακία. Διότι βέβαια ὄχι μόνο δὲν ἄλλαξες, ὄχι μόνο δὲν ἐντράπηκες, ὄχι μόνο δὲν ἀντιλήφθηκες τὰ ὅσα γίνονταν γιὰ σένα, ἀλλ' ἤδη καὶ μένα, ποὺ ὑπέφερα τόσα πολλά, νόμισες ὅτι δὲν τὰ ὑπομένω ἀπὸ μακροθυμία καὶ φιλανθρωπία, ἀλλ' ἐπειδὴ δὲν ἤθελα νὰ διορθώσω αὐτά, οὔτε ν' ἀγανακτῶ μὲ τὰ ὅσα γίνονταν.

«Σκεφθεῖτε καλὰ ὅλα αὐτά, ὅσοι λησμονεῖτε τὸ Θεό». Ποιά; Αὐτὰ ποὺ ἔχουν λεχθεῖ, λέγει. Τί σημαίνει, «Σύνετε»; Σκεφθεῖτε καλά. Διότι ποιό εἶναι, ἀπ' αὐτὰ ποὺ ἔχουν λεχθεῖ, σκοτεινό; ποιό χρειάζεται μεγάλη ἔρευνα; Μάλιστα καὶ αὐτὸς ὁ τρόπος τῆς διδασκαλίας εἰσάγει διαφορετικὸ τρόπο ζωῆς. Καθόσον, χωρὶς νὰ κάμνει πολὺ λόγο γιὰ τὶς θυσίες, εἰσάγει τὴν εὐαγγελικὴ νομοθεσία, ἄλλωστε δέ, ἐπειδὴ ἦταν θαμμένοι κάτω ἀπὸ τὸ μεγάλο βάρος τῶν ἁμαρτημάτων, θέλοντας νὰ τοὺς ἀποσπάσει ἀπὸ τὴν κακία, ὡσὰν μέσα ἀπὸ κάποιο βοῦρκο, καὶ νὰ καθαρίσει τὴν κυριευμένη ἀπὸ τὴν κακία ὁδὸ τῆς πονηρῆς συνήθειας, ὡσὰν τὴν τσίμπλα ἀπὸ τὰ μάτια, τοὺς προτρέπει νὰ θυμηθοῦν τὰ ὅσα ἔγιναν, γιὰ νὰ μὴ ἀναχωρήσουν χωρὶς κέρδος, παραδίνοντας αὐτὰ στὴ λησμονιά. Διότι ἡ *ἐξοικείωση μὲ τὰ ἁμαρτήματα προξενεῖ μεγάλη ἀναισθησία τῆς ψυχῆς, κάμνει τοὺς ἀνθρώπους ἀνοήτους καὶ τυφλώνει τὸ ὀξυδερκὲς ὄμμα τῆς διανοίας.*

«Μήπως σᾶς ἁρπάξει ὁ Θεὸς στὰ χέρια του καὶ δὲν θὰ ὑπάρχει κανεὶς νὰ σᾶς ἐλευθερώσει». Πὼ πὼ φιλανθρωπία ἀπερίγραπτη. Τὰ λόγια αὐτὰ εἶναι λόγια μητέρας

*ἀπείρως τὴν φιλοστοργίαν ἐκείνην νικώσης ἀγαθότητος. Ὁ γὰρ τοσαύτην ἐμφήνας κατηγορίαν, ὁ τοσαύτην ὀργὴν ἐπιδειξάμενος προασφαλίζεται. Ὁ εἰπών, «Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου», καὶ ἀπόφασιν ἐκβαλὼν καταδικάζουσαν, ἀναλύει τὴν ἀπόφασιν πάλιν, οὐχ ὡς καταδίκους τῇ τιμωρίᾳ παραδιδούς, ἀλλ' ὡς ὀφείλοντας διορθωθῆναι τῇ παραινέσει καὶ τῇ συμβουλῇ ἐγχειρίζων, τῷ φόβῳ σωφρονίζων, καὶ λέγων, «Μήποτε ἁρπάσῃ ὡς λέων, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδός, ἣν δείξω αὐτῷ, τὸ σωτήριον τοῦ Θεοῦ». Δείξας τὸ φιλάνθρωπον, παραινέσας, συμβουλεύσας, ἀπειλήσας, φοβήσας, ἐπιστήσας τὴν τιμωρίαν ἄκρατον, καὶ συμβουλὴν εἰσενεγκών, λέγει καὶ τὸν τρόπον, δι' οὗ δυνατὸν διορθώσασθαι τὰ γεγενημένα, εἰπὼν «Θυσία αἰνέσεως δοξάσει με». Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ μόνον παύσει μου τὴν ὀργήν, οὐδὲ λύσει τὴν καταδίκην, ἀλλὰ καὶ δοξάσει με. Ὅρα τοῦ κατορθώματος τὸ μέγεθος, ὅταν ὁ Θεὸς δι' αὐτὸν δοξάζηται.*

*«Καὶ ἐκεῖ ὁδός, ἣν δείξω αὐτῷ, τὸ σωτήριον τοῦ Θεοῦ». Εἶδες μισθὸν ἄφατον; εἶδες φιλανθρωπίας ὑπερβολήν; Τὴν τοῦ Θεοῦ γὰρ ὁδὸν δείξειν ἐπαγγέλλεται, καὶ τὸ ὄντως σωτήριον τοῦ Θεοῦ τοῖς κατορθοῦσι. Πειθώμεθα τοίνυν τῷ ἐπαγγελλομένῳ καὶ διὰ βίου ὀρθοῦ καὶ θυσίας αἰνέσεως τοῦτον δοξάζωμεν. Αὕτη γὰρ ἡ ὁδὸς ἐπὶ σωτηρίαν φέρει, διὰ τῆς θυσίας ταύτης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

φιλόστοργης, μᾶλλον δὲ εἶναι λόγια ἀγαθότητας ποὺ ὑπερβάλλει ἀμέτρητα ἐκείνη τὴ φιλοστοργία. Διότι ἀσφαλίζεται ἐκ τῶν προτέρων ἐκεῖνος ποὺ παρουσίασε τόση κατηγορία, ποὺ ἔδειξε τόση ὀργή. Ἐκεῖνος ποὺ εἶπε, «Θὰ σὲ ἐλέγξω καὶ θὰ παρουσιάσω μπροστά σου τὶς ἁμαρτίες σου», καὶ διατύπωσε καταδικαστικὴ ἀπόφαση, ἀναλύει πάλι τὴν ἀπόφαση, παραδίνοντας αὐτοὺς στὴν τιμωρία ὄχι σὰν καταδίκους, ἀλλὰ σὰν ἀνθρώπους ποὺ ἀφείλουν νὰ διορθωθοῦν, τοὺς παραδίνει στὴν παραίνεση καὶ στὴ συμβουλή, τοὺς σωφρονίζει μὲ τὸ φόβο καὶ λέγει· «Μήπως κάποτε σᾶς ἁρπάξει ὁ Θεὸς σὰν λιοντάρι καὶ δὲν θὰ ὑπάρχει κανεὶς νὰ σᾶς ἐλευθερώσει. Θυσία δοξολογίας θὰ μὲ δοξάσει, καὶ αὐτὴ εἶναι ἡ ὁδός, στὴν ὁποία θὰ δείξω τὴ σωτηρία μου στὸν καθένα ποὺ βαδίζει αὐτήν». Ἀφοῦ ἔδειξε τὴν φιλανθρωπία του μὲ τὶς παραινέσεις, τὶς συμβουλές, τὶς ἀπειλὲς καὶ τὶς φοβέρες καὶ παρουσίασε τὴν σκληρὴ τιμωρία, καὶ ἀφοῦ ἔδωσε καὶ συμβουλή, λέγει καὶ τὸν τρόπο μὲ τὸν ὁποῖο εἶναι δυνατὸ νὰ διορθωθοῦν τὰ ὅσα συνέβηκαν, λέγοντας· Θυσία δοξολογίας θὰ μὲ δοξάσει». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὄχι μόνο θὰ παύσει τὴν ὀργή μου, ὄχι μόνο θὰ λύσει τὴν καταδίκη, ἀλλὰ καὶ θὰ μὲ δοξάσει. Πρόσεχε τὸ μέγεθος τοῦ κατορθώματος, ὅταν ὁ Θεὸς δοξάζεται ἐξ αἰτίας αὐτοῦ.

«Καὶ αὐτὴ εἶναι ἡ ὁδὸς στὴν ὁποία θὰ δείξω τὴ σωτηρία μου στὸν καθένα ποὺ βαδίζει αὐτήν». Εἶδες μισθὸ ἀπερίγραπτο; εἶδες ὑπερβολικὸ μέγεθος φιλανθρωπίας; Διότι ὑπόσχεται νὰ δείξει τὴν ὁδὸ τοῦ Θεοῦ καὶ τὴν πραγματικὴ σωτηρία σ᾽ ἐκείνους ποὺ θὰ κατορθώσουν νὰ φθάσουν στὸ τέρμα αὐτῆς. Ἂς δείχνουμε λοιπὸν ὑπακοὴ σ᾽ ἐκεῖνον ποὺ δίνει αὐτὴν τὴν ὑπόσχεση, καὶ ἂς τὸν δοξάζομε μὲ ὀρθὸ βίο καὶ θυσία δοξολογίας. Διότι αὐτὴ ἡ ὁδὸς μὲ αὐτὴ τὴ θυσία ὁδηγεῖ στὴ σωτηρία, τὴν ὁποία εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διότι σ᾽ αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΗ΄ ΨΑΛΜΟΝ

*«Ὁ Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι αὐτόν, ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα· σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ».*

*1. Πολλῆς ἐνταῦθα συνέσεως ἡμῖν χρεία. Τὰ γὰρ ῥήματα κατὰ τὴν ψιλὴν προφορὰν καὶ τὴν πρόχειρον ἀκρόασιν, πολλοὺς τῶν μὴ προσεχόντων θορυβεῖ. Καὶ γὰρ ἀρᾶς ἅπας ὁ ψαλμὸς ἐμπέπλησται, καὶ διὰ τοιούτων ἅπας διεξῆλθεν ἡ-*

---

1. Συγγραφέας καὶ αὐτοῦ τοῦ ψαλμοῦ εἶναι ὁ Δαυΐδ, ὅπως ἐπιβεβαιώνεται αὐτὸ καὶ ἀπὸ τὸν ἀπόστολο Πέτρο (Πράξ. 1, 20). Συντάχθηκε ὅταν διώκονταν ἀπὸ τὸν Σαοὺλ ἢ ἀπὸ τὸν Ἀβεσσαλώμ. Ἄνθρωποι ἀχάριστοι ποὺ τοὺς εὐεργέτησε στὸ παρελθὸν τὸν καταδιώκουν ὀδυσώπητα. Γι' αὐτὸ προσφεύγει στὸ Θεὸ καὶ ζητᾶ τὴν προστασία του, διατυπώνοντας σκληρὲς κατάρες ἐναντίον τους. Αὐτὸ δικαιολογεῖται ἂν λάβουμε ὑπ' ὄψη μας τὸ γεγονὸς ὅτι ὁ Δαυΐδ διακατέχεται περισσότερο ἀπὸ τὴ δικαιοσύνη τῆς Π.Δ. παρὰ ἀπὸ τὴν ἀνεξικακία τῆς Κ. Διαθήκης. Ὅμως τὰ ἐλατήριό του δὲν εἶναι ἐγωϊστικὰ καὶ φιλέκδικα, ἀλλὰ στοχεύουν στὴ καταδίκη τοῦ ἀδίκου καὶ στὴν ἐπικράτηση τοῦ δικαίου καὶ στὴ δόξα τοῦ Θεοῦ. Ἐπὶ πλέον οἱ λόγοι αὐτοὶ εἶναι προφητικοὶ καὶ ἐπαληθεύθηκαν στὸ πρόσωπο τοῦ Ἰούδα. Ἑπομένως, ὅπως λέγει καὶ ὁ Αὐγουστῖνος· «Προφητεία ἐστὶ καὶ οὐχὶ

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΡΗ΄ ΨΑΛΜΟ[1]

«Θεέ μου, μὴ ἀποσιωπήσεις τὴν αἴνεσή μου· διότι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἄνοιξε ἐναντίον μου. Μίλησαν ἐναντίον μου μὲ γλώσσα δολία, μὲ περικύκλωσαν μὲ λόγια μίσους καὶ μὲ πολέμησαν χωρὶς αἰτία. Ἀντὶ νὰ μ' ἀγαποῦν, μὲ συκοφαντοῦσαν, ἐνῶ ἐγὼ προσευχόμουν γι' αὐτούς. Καὶ ἀνταπέδωσαν κακὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγάπης μου ποὺ τοὺς ἔδειξα. Τοποθέτησε πλησίον του ἁμαρτωλὸ δικαστὴ καὶ ὁ διάβολος ἂς σταθεῖ στὰ δεξιά του σὰν κατήγορος. Ὅταν θὰ κρίνεται ἂς ἐξέλθει καταδικασμένος καὶ ἡ προσευχή του ἂς τοῦ καταλογισθεῖ σὰν ἁμαρτία. Ἂς γίνουν οἱ υἱοί του ὀρφανοὶ καὶ ἡ γυναίκα του χήρα· ἂς περιπλανιοῦνται οἱ υἱοί του, ἂς γίνουν ἐπαῖτες καὶ ἂς ἐκτοπισθοῦν ἀπό τὶς οἰκίες τους. Ἂς ἐξερευνήσει ὁ δανειστής του ὅλα τὰ ὑπάρχοντά του καὶ ἂς διαρπάσουν οἱ ξένοι αὐτὰ ποὺ ἀπέκτησε μὲ κόπους»[2].

1. Χρειάζεται νὰ δείξουμε ἐδῶ πολλὴ σύνεση. Διότι αὐτὰ τὰ λόγια, μὲ τὴν ἁπλὴ ἀνάγνωση καὶ τὴν πρόχειρη ἀκρόαση, θορυβοῦν πολλοὺς ἀπὸ ἐκείνους ποὺ δὲν προσέχουν. Καθόσον ὅλος ὁ ψαλμὸς εἶναι γεμάτος ἀπὸ κατάρες καὶ μὲ ἄλλες τέτοιες ἐκφράσεις ἔγινε σὲ μᾶς ἡ παρουσίαση αὐτῶν τῶν λόγων. φανερώνει δὲ καὶ κάποιο

---

κατάρα. Διότι ἐνταῦθο δὲν εὔχεται νὰ συμβῇ, ἀλλὰ προλέγει τὸ συμβησόμενον». Ὁ δὲ Μ. Ἀθανάσιος παροτηρεῖ ὅτι ὁ ψαλμὸς προετοιμάζει τὰ πάθη τοῦ Χριστοῦ καὶ τὶς τιμωρίες ποὺ θὰ συνέβαιναν στὸν Ἰούδα καὶ στὸν ἴδιο τὸν Ἰουδαϊκὸ λαό.

2. Οἱ ἀναφερόμενες κατάρες στοὺς στίχους 11—15 ἐπαληθεύθηκαν κατὰ τὸ Θεοδώρητο, τὸν Εὐσέβιο καὶ ἄλλους στοὺς Ἰουδαίους ποὺ ἐξαλείφθηκε τὸ ὄνομά τους μέσα σὲ μιὰ γενεά, ἀφοῦ ἐξολοθρεύθηκαν μετὰ σαράντα χρόνια ἀπὸ τὴ σταύρωση τοῦ Κυρίου.

*μῖν ὁ λόγος, καὶ ἐμφαίνει τινὰ θυμὸν ζέοντα καὶ διακαῆ τοῦ λέγοντος, καὶ οὐ μέχρι τοῦ ἀδικοῦντος ἱστάμενον, ἀλλὰ καὶ ἐπὶ παῖδας, καὶ πατέρα, καὶ μητέρα προάγοντα τὴν τιμωρίαν, καὶ οὐδὲ μιᾷ ἀρκούμενον συμφορᾷ, ἀλλὰ καὶ κακὰ ἐπὶ κακοῖς συνάπτοντα. Ὅρα γὰρ ὅσα κατεύχεται. «Κατάστησον ἐπ᾿ αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ». Τουτέστιν, ὑπὸ κατηγόροις γένοιτο πονηροῖς ἀνθρώποις καὶ ἐπιβούλοις, καὶ μὴ περιγένοιτο αὐτῶν. Τοῦτο γάρ ἐστιν, «Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος». Καὶ οὐκ ἠρκέσθη ταύτῃ τῇ τιμωρίᾳ, ἀλλὰ μετὰ τῆς καταδίκης ταύτης εὔχεταί τινα ἕτερον μετ᾿ ἐκεῖνον τὴν ἐκείνου λαβεῖν τιμήν, λέγων, «Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος». Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὸν μόνον καταλελειμμένον λιμένα προσχώννυσι, μηδὲ ὑπὸ τοῦ Θεοῦ τινος φιλανθρωπίας τυχεῖν ἀξιῶν καὶ λέγων· «Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν». Καὶ μέντοι καὶ θάνατον ἄωρον ὑπομεῖναι ἀξιοῖ. «Γενηθήτωσαν» γάρ, φησίν, «αἱ ἡμέραι αὐτοῦ ὀλίγαι».*

*Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, καίτοι καὶ τὸ ταῦτα μόνα εἰπεῖν ἤρκει, ὁ δὲ καὶ ἐπιτίθησιν, ὅπερ σφόδρα ἐστὶν ἐκκεκαυμένης ψυχῆς, τὸ μὴ μιᾷ μηδὲ δευτέρᾳ ἀρκεσθῆναι τιμωρίᾳ, ἀλλὰ τοσαύτας ἐπαχθῆναι αἰτεῖν. Τὰ δὲ ἐντεῦθεν ἔτι πολλῷ τούτων χαλεπώτερα. Καὶ γὰρ ὀρφανίαν, καὶ χηρείαν, τῶν λειπομένων κατεύχεται. Καίτοι γε ταῦτα ἀπελθόντος ἐξ ἀνάγκης γενέσθαι συμβαίνει· ἀλλ᾿ ὅμως καὶ ταῦτα ἐν τάξει τίθησιν ἀρᾶς, τῷ θυμῷ ζέων. Καὶ οὐδὲ μέχρι τῆς ὀρφανίας ἵσταται, ἀλλὰ καὶ μετὰ τοιαύτας συμφορὰς πρόεισι περαιτέρω, τὸ δεινὸν αὔξων, πλανήτας καὶ μετανάστας ἀξιῶν γενέσθαι*

θυμό πολύ θερμό καὶ κσυτὸ ἐκείνου ποὺ λέγει αὐτὰ τὰ λόγια, καὶ ποὺ δὲν σταματᾶ μόνο στόν ἄδικο, ἀλλὰ προχωρεῖ ἡ τιμωρία καὶ στὰ παιδιὰ καὶ στὸν πατέρα καὶ στὴ μητέρα, καὶ δέν ἀρκεῖται σὲ μιὰ συμφορά, ἀλλὰ καὶ προσθέτει κακὰ ἐπάνω σὲ κακά. Πρόσεχε λοιπὸν πόσες εὐχές κάνει ἐναντίον του. «Τοποθέτησε κοντά του ἁμαρτωλὸ δικαστὴ καὶ ὁ διάβολος ἄς σταθεῖ στὰ δεξιά του σὰν κατήγορος». Δηλαδὴ ἄς βρεθεῖ κάτω ἀπὸ κατηγόρους κακούς καὶ δολίους ἀνθρώπους καὶ ἄς μὴ μπορέσει νὰ νικήσει αὐτούς. Διότι αὐτὸ σημαίνει τό, «Ὅταν θὰ κρίνεται ἄς ἐξέλθει καταδικασμένος». Καὶ δὲν ἀρκέσθηκε σ' αὐτὴν τὴν τιμωρία, ἀλλά μαζὶ μὲ αὐτὴν τὴν καταδίκη εὔχεται κάποιος ἄλλος νὰ λάβει μετὰ ἀπὸ ἐκεῖνον τό ἀξίωμα ἐκείνου, λέγοντας «ἄλλος ἄς λάβει τὸ ἀξίωμά του». Καὶ οὔτε ἐδῶ σταματᾶ, ἀλλὰ καὶ τὸ μόνο λιμάνι πού ἔχει ἀπομείνει τὸ φράσσει τελείως, ἔχοντας τὴν ἀξίωση νὰ μὴ τύχει οὔτε ἐκ μέρους τοῦ Θεοῦ κάποιας φιλανθρωπίας καὶ λέγει· «Καὶ ἡ προσευχή του ἄς τοῦ καταλογισθεῖ σὰν ἁμαρτία». Ἀλλὰ καὶ πρόωρο ἀκόμη θάνατο ἀξιώνει νὰ ὑποστεῖ. Διότι λέγει, «Ἄς γίνουν οἱ ἡμέρες του λίγες».

Καὶ οὔτε ἐδῶ σταματᾶ, ἄν καὶ βέβαια ἦταν ἀρκετὰ καὶ μόνο αὐτὰ νὰ πεῖ, αὐτὸς ὅμως προσθέτει καὶ ἄλλα, πράγμα πού ἀποτελεῖ δεῖγμα ψυχῆς πού καταφλέγεται ὑπερβολικὰ ἀπὸ τὴν ὀργή της, ὥστε νά μὴ ἀρκεῖται σὲ μιὰ ἤ δυό τιμωρίες, ἀλλὰ νὰ ζητεῖ τόσες πολλὲς νὰ προστεθοῦν. Τὰ ὅσα δέ ἀκολουθοῦν εἶναι ἀκόμα πολὺ πιὸ φοβερώτερα ἀπὸ αὐτά. Καθόσον εὔχεται ἐναντίον ἐκείνων ποὺ ἀπέμειναν ὀρφάνια καὶ χηρεία. Μολονότι βέβαια ἄν ἐκεῖνος πεθάνει αὐτὰ συμβαίνει ν' ἀκολουθοῦν κατ' ἀνάγκη, ἀλλ' ὅμως καὶ αὐτὰ τὰ τοποθετεῖ στὴ θέση τῆς κατάρας, καταφλεγόμενος ἀπὸ τὸ θυμό του. Καὶ οὔτε σταματᾶ μέχρι τὴν ὀρφάνια, ἀλλὰ καὶ μετὰ ἀπὸ τέτοιες συμφορὲς προχωρεῖ ἀκόμη πιὸ πέρα, αὐξάνοντας τό κακό καὶ ἀξιώνοντας νὰ γίνουν οἱ ἀπόγονοί του περιπλανώμενοι καὶ μετα-

*τοὺς ἐκείνου. «Σαλευόμενοι γὰρ μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ», φησί, «καὶ ἐπαιτησάτωσαν». Τουτέστι, μὴ στῶσι πλανώμενοι, μηδὲ τῆς ἀναγκαίας εὐπορήσωσι τροφῆς, μηδὲ παύσωνται τόπον ἐκ τόπου συνεχῶς ἀμείβοντες, ἐλαυνόμενοι, διωκόμενοι κατὰ πᾶσαν τὴν γῆν, καὶ μηδαμοῦ χώραν τοῦ στῆναι εὑρίσκοντες. Μετὰ δὲ τούτων καὶ πενίαν αὐτῶν κατεύχεται, καὶ πενίαν ἐσχάτην καὶ ἀφόρητον, ὥστε μηδὲ τῆς παρὰ τῶν συγγενῶν ἐπικουρίας τυχεῖν, ἀλλὰ περιιέναι, παρὰ ξένων καὶ ἀγνώστων προσαιτοῦντας ταύτην.*

*Καὶ ἄκουε πῶς τοῦτο δηλῶν παρατίθησι. Μετὰ γὰρ τὸ εἰπεῖν «Μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν», ἐπάγει «Ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν, καὶ ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ». Τοῦτο ἑτέρας συμφορᾶς εἶδος, τὸ εἰς διαρπαγὴν δοθῆναι τὰ αὐτῶν, καὶ δανειστῶν φέρειν ἐπιβουλάς, καὶ παντὶ τρόπῳ ἐπηρεάζεσθαι, καὶ τὸ δὴ χαλεπώτερον, ἐν τοσούτοις κακοῖς ἔρημον εἶναι προστάτου· καὶ τοῦτο κατεύχεται λέγων· «Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ». Τὰ γὰρ κακὰ αὐτὰ καθ' ἑαυτὰ ἀφόρητα, ὅταν δὲ μηδὲ τὸν προϊστάμενον ἔχῃ, πολλῷ χαλεπώτερα. «Μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ». Βαβαί, πόσον θυμοῦ μέγεθος, ὅταν μηδὲ τὸ ἄωρον τῆς ὀρφανίας ἐλέους τυγχάνῃ, καὶ οὐ μόνον ἐλέους, ἀλλὰ καὶ ἀπωλείᾳ ἐσχάτῃ περιβάλληται. «Γενηθήτω» γάρ, φησί, «τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν. Ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ».*

*Εἶδες λόγον θυμοῦ γέμοντα, καὶ οὐδαμοῦ ἱστάμενον; Καὶ ζῆσαι μετὰ συμφορᾶς αὐτοὺς εὔχεται ποικίλης καὶ παντοδα-*

νάστες. Διότι λέγει «Ἂς περιπλανιοῦνται οἱ υἱοί του ἀπὸ τόπο σὲ τόπο καὶ ἂς γίνουν μετανάστες καὶ ἐπαῖτες». Δηλαδή, ἂς μὴ παύσουν νὰ περιπλανιοῦνται, οὔτε ν' ἀποκτήσουν τὴν ἀναγκαία τροφὴ γιὰ τὴ ζωή τους, οὔτε νὰ παύσουν νὰ περιφέρονται συνεχῶς ἀπὸ τόπο σὲ τόπο, ἀλλὰ νὰ μετακινοῦνται συνέχεια καὶ νὰ καταδιώκονται σ' ὅλη τὴ γῆ καὶ νὰ μὴ βρίσκουν πουθενὰ τόπο νὰ σταθοῦν. Μαζὶ δὲ μὲ αὐτὰ εὔχεται ἐναντίον αὐτῶν καὶ φτώχεια, καὶ μάλιστα φτώχεια τὴν πιὸ φοβερὴ καὶ ἀνυπόφορη, ὥστε νὰ μὴ ἔχουν οὔτε τὴ βοήθεια τῶν συγγενῶν τους, ἀλλὰ νὰ *περιπλανιοῦνται καὶ νὰ* τὴ ζητοῦν ἀπὸ ξένους καὶ ἀγνώστους.

Καὶ ἄκουε τί λέγει γιὰ νὰ δηλώσει αὐτό. Διότι μετὰ τὰ λόγια, «Ἂς γίνουν μετανάστες οἱ υἱοί του καὶ ἐπαῖτες», προσθέτει· «Καὶ ἂς ἐκτοπισθοῦν ἀπὸ τὶς οἰκίες τους καὶ ἂς ἐξερευνήσει ὁ δανειστὴς ὅλα τὰ ὑπάρχοντά του καὶ ἂς ἁρπάξουν οἱ ξένοι τοὺς κόπους του». Αὐτὸ εἶναι ἄλλο εἶδος συμφορᾶς, τὸ νὰ δοθοῦν σὲ ἁρπαγὴ τὰ ὑπάρχοντά του, νὰ ὑποφέρει τὶς ἐπιβουλὲς τῶν δανειστῶν, καὶ μὲ κάθε τρόπο νὰ βλάπτεται, καὶ τὸ φοβερώτερο βέβαια, μέσα σὲ τόσα κακὰ νὰ εἶναι ἔρημος ἀπὸ προστάτη· καὶ αὐτὸ τὸ εὔχεται ἐναντίον του, λέγοντας· «Ἂς μὴ ὑπάρξει γι' αὐτὸν κανένας βοηθός». Διότι τὰ κακὰ αὐτὰ καθ' αὐτὰ εἶναι ἀνυπόφορα, ὅταν ὅμως δὲν ἔχει οὔτε προστάτη, γίνονται πολὺ πιὸ φοβερώτερα. «Καὶ ἂς μὴ ὑπάρξει κανένας ποὺ νὰ δείξει συμπάθεια στὰ ὀρφανά του». Πὼ πώ, πόσο εἶναι τὸ μέγεθος τοῦ θυμοῦ του, τὴ στιγμὴ ποὺ οὔτε ἡ πρόωρη ὀρφάνια τους βρίσκει συμπάθεια, καὶ ὄχι μόνο δὲν βρίσκει συμπάθεια, ἀλλὰ καὶ περιβάλλεται ἀπὸ τὴν πιὸ φοβερὴ καταστροφή. Διότι λέγει, «Ἂς ἐξολοθρευθοῦν τὰ τέκνα του, ὥστε μὲ μιὰ γενεὰ νὰ ἐξαφανισθεῖ τὸ ὄνομά του».

Εἶδες λόγο γεμάτο ἀπὸ θυμὸ καὶ ποὺ πουθενὰ δὲν σταματᾶ; Εὔχεται νὰ ζήσουν μὲ ποικίλες καὶ παντὸς εἴ-

*πῆς, καὶ πανωλεθρίᾳ παραδοθῆναι, καὶ ἀνωνύμως ἀπολέσθαι. Καὶ ὥσπερ οὐκ ἀρκούσης τῆς συμφορᾶς τῶν παίδων, ἐπάγει πάλιν· «Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν». Τοῦτο γὰρ μάλιστα θυμοῦ, τὸ κατακερματίζειν ἃς εἶπε καθόλου συμφοράς, καὶ συνεχῶς τὰ αὐτὰ περιστρέφειν. Εἰπὼν γάρ, «Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ», ἐπήγαγε· «Καὶ μὴ ἐξαλειφθείη». Καίτοι τὸ αὐτό ἐστιν, ἀλλ' ὅμως ὁ θυμὸς καὶ ἀμφότερα παρεσκεύασεν αὐτὸν εἰπεῖν· ὃ δὲ βούλεται εἰπεῖν τοῦτό ἐστιν· 'ἀπόκτεινον αὐτόν, σφάξον, ἄνελε'. Εἶδες ἀρᾶς πλῆθος; Ἀλλ', εἰ βούλει, πάλιν ἄνωθεν αὐτὰ συλλογίσομαι. Περιπέσοι πονηροῖς ἀνθρώποις, φησί, κατηγορηθείη, κρατηθείη παρ' αὐτῶν, καταδικασθείη, ἄωρον ὑποσταίη θάνατον, ἐκβληθείη τῆς τιμῆς, καὶ μηδὲ εἰς ἐκγόνους, ἀλλ' εἰς ἑτέρους τινὰς ταύτην μεταφερομένην ἴδοι· ἡ γυνὴ αὐτοῦ ἀπόλοιτο, καὶ τὰ παιδία πενίαν, ὀρφανίαν, βίον προσαιτῶν ὑπομείναιεν, καταδικασθεῖεν, ἐλαθεῖεν πάντοθεν, μηδένα σχοῖεν βοηθόν, ἐκπέσοιεν καὶ τῆς εὐνοίας τοῦ Θεοῦ, μηδεὶς αὐτοῖς γένοιτο λιμήν, μηδὲ καταφυγή· ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ ἀπὸ τῆς γῆς, ἀνώνυμος ἀπόλοιτο, καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ δίκην δοῖεν, ὧν ἥμαρτον· καὶ μετ' αὐτὸ ἐξώλεις καὶ προώλεις ἀπόλοιντο.*

*2. Ἆρα οὐκ ἐκπλήττει ἀκροατὴν τὰ εἰρημένα; Ἆρα οὐκ ἐπιθυμεῖς ἀκοῦσαι τίς οὗτος ὁ καταδικασθεὶς οὕτως; Εἰ γὰρ ἄνθρωπον ἀκούοντες λοιδορούμενον τοὺς παρεστῶτας ἐρωτῶμεν φράσαι τίς ὁ ταῦτα ἀκούων, πολλῷ μᾶλλον τοῦ προφήτου ταῦτα καταρωμένου ἀκούοντες ἀναγκαῖον μαθεῖν, καὶ μετὰ φόβου μαθεῖν, καὶ συνεσταλμένης τῆς διανοίας, τίς*

δους συμφορές, νὰ παραδοθοῦν σὲ πανωλεθρία καὶ νὰ χαθοῦν σὰν ἄγνωστοι. Καὶ ὅπως ἀκριβῶς, σὰν νὰ μὴ εἶναι ἀρκετὴ ἡ συμφορὰ τῶν παιδιῶν, προσθέτει πάλι· «Εἴθε νὰ μείνουν ἐνώπιον τοῦ Κυρίου οἱ ἀδικίες τῶν προγόνων του καὶ νὰ μὴ ἐξαλειφθεῖ ἡ ἁμαρτία τῆς μητέρας του. Ἂς παραμένουν ἐνώπιον τοῦ Κυρίου αἰώνια καὶ ἂς σβήσει τελείως ἀπὸ τὴ γῆ ἡ ἀνάμνηση αὐτῶν». Αὐτὸ δηλαδὴ εἶναι πρὸ πάντων δεῖγμα θυμοῦ, τὸ νὰ ἀναλύει ὅλες γενικῶς τὶς συμφορὲς πού εἶπε καὶ συνεχῶς νὰ στρέφεται γύρω ἀπὸ τὰ ἴδια. Διότι, ἀφοῦ εἶπε, «Εἴθε νὰ μείνουν οἱ ἀδικίες τῶν προγόνων του», πρόσθεσε· «Καὶ ἂς μὴ ἐξαλειφθεῖ». Ἂν καὶ βέβαια τὸ ἴδιο σημαίνει, ἀλλ' ὅμως ὁ θυμὸς τὸν ἔκαμε νὰ πεῖ καὶ τὰ δυό· αὐτὸ δέ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· 'Φόνεψέ τον, σφάξε τον, ἐξαφάνισέ τον'. Εἶδες μέγεθος κατάρας; Ἀλλ', ἂν θέλεις, ἂς τὰ ἐπαναλάβουμε πάλι ἀπὸ τὴν ἀρχή. Ἂς πέσει, λέγει, σὲ κακοὺς ἀνθρώπους, ἂς κατηγορηθεῖ, ἂς συλληφθεῖ ἀπ' αὐτούς, ἂς καταδικασθεῖ, ἂς ὑποστεῖ πρόωρο θάνατο, ἂς ἀπομακρυνθεῖ ἀπὸ τὸ ἀξίωμά του, καὶ ἂς τὸ δεῖ νὰ μεταβιβάζεται ὄχι στοὺς ἀπογόνους του, ἀλλὰ σὲ κάποιους ἄλλους· ἡ γυναίκα του ἂς χαθεῖ καὶ τὰ παιδιά του ἂς ὑπομείνουν φτώχεια, ὀρφάνια, καὶ ζωὴ ζητιάνων, ἂς καταδικασθοῦν, ἂς καταδιωχθοῦν ἀπὸ παντοῦ, ἂς μὴ ὑπάρξει γι' αὐτοὺς κανένα λιμάνι οὔτε καταφύγιο· ἂς ἐξαλειφθεῖ τὸ ὄνομά του ἀπὸ τὴ γῆ, ἂς χαθεῖ σὰν ἄγνωστος, καὶ ἂς τιμωρηθοῦν ὁ πατέρας καὶ ἡ μητέρα του γιὰ ὅσες ἁμαρτίες ἔκαναν.

2. Ἄραγε δὲν προκαλοῦν τὰ ὅσα λέχθηκαν ἔκπληξη στὸν ἀκροατή; Ἄραγε δὲν ἐπιθυμεῖς ν' ἀκούσεις ποιός εἶναι αὐτὸς ποὺ καταδικάσθηκε μ' αὐτὸ τὸν τρόπο; Διότι ἄν, ἀκούοντας ἄνθρωπο νὰ κατηγορεῖται, ἐρωτοῦμε τοὺς παραβρισκομένους, νὰ μᾶς ποῦν ποιὸς εἶναι αὐτὸς ποὺ δέχεται αὐτὲς τὶς κατηγορίες, πολὺ περισσότερο ἀκούοντας τὸν προφήτη νὰ κάνει αὐτὲς τὶς κατάρες, εἶναι ἀνάγκη νὰ μάθουμε, καὶ μάλιστα νὰ μάθουμε μὲ φόβο καὶ συνε-

*ὁ εἰς ὀργὴν οὕτω χαλεπὴν ἐμπεσών, τίς ὁ λυπήσας τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τοσαῦτα καὶ τηλικαῦτα ἀκοῦσαι παθῶν εἴδη. Οὐκοῦν, εἰ δοκεῖ, τὸν ψαλμὸν ἄνωθεν εἴπωμεν μετὰ πολλῆς τῆς προσοχῆς. Καὶ μηδεὶς θορυβείσθω. Καὶ γὰρ μετὰ ἀκριβείας ἁπάσης ποιήσομαι τὴν ἐξήγησιν, ὡς ἂν οἷός τε ὦ. Οὐδὲ γὰρ μικρόν ἐστι τὸ ζητούμενον· ἀλλ' ἓν μὲν καὶ πρῶτον, τίνος ἕνεκεν αὐτοῦ ἁμαρτόντος, τούτου δὴ τοῦ καταβοωμένου, οἱ παῖδες κολάζονται μετ' αὐτοῦ, καὶ ἡ γυνή, καὶ οἱ γονεῖς. Δεύτερον δέ, τίς ὁ καταρώμενος. Τρίτον δέ, πῶς ὁ τῶν ἀποστόλων κορυφαῖος περὶ τοῦ Ἰούδα τὸν ψαλμὸν εἰρῆσθαι δείκνυσι· μᾶλλον δὲ οὐ τὸν ψαλμὸν ἅπαντα, ἀλλὰ τοῦ ψαλμοῦ τὸ μέρος. «Γέγραπται γάρ», φησίν, «ἐν τῇ βίβλῳ τῶν ψαλμῶν· Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος», καὶ ἐν τοῖς σκηνώμασιν αὐτοῦ μὴ ἔστω ὁ κατοικῶν».*

*Ἀλλὰ πάλιν τοῦτο ἕτερον ἡμῖν ζήτημα παρέχει· οὐ γὰρ ἐν τούτῳ γέγραπται τῷ ψαλμῷ ἀμφότερα· διόπερ οὐκ εἶπε τόνδε τὸν ψαλμόν, ἀλλὰ τὸ βιβλίον ἅπαν». Καὶ γὰρ τὸ «Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος», ἐν ἑτέρῳ, καὶ ἐν τούτῳ· «Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος». Ἀλλ' ὅμως ὁ Πέτρος ἀμφότερα συνήγαγεν εἰς μαρτυρίαν μίαν. Ὃ καὶ ὁ Παῦλος πανταχοῦ ποιεῖ, ὡς ὅταν λέγῃ· «Ἥξει ἐκ Σιὼν ὁ ρυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἐξ Ἰακώβ. Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν». Τί δὲ ἄν τις εἴποι τὸ εἰρημένον, προφητείαν ἢ ἀράν; Προφητείαν ἐν εἴδει ἀρᾶς. Καὶ γὰρ καὶ ἀλλαχοῦ τοιοῦτόν τι εὑρήσομεν· ὅπερ καὶ ὁ Ἰακὼβ ἐποίησεν. Ἐπειδὴ γὰρ τοὺς ἀκούοντας ἐκ τῶν ἑτέροις συμβαινόντων ὠφελεῖ-*

3. Πράξ. 1, 20.
4. Ψαλμ. 68, 28.
5. Ψαλμ. 108, 8.
6. Ἡσ. 59, 20.
7. Ἡσ. 27, 9.
8 Ρωμ. 11, 26 καὶ 27.

σταλμένη διάνοια, ποιὸς εἶναι αὐτὸς ποὺ κυριεύθηκε ἀπὸ τόση ὀργή, ποιὸς εἶναι ἐκεῖνος ποὺ ἐλύπησε τὸ ἅγιο Πνεῦμα, ὥστε ν' ἀκούσει τόσα πολλὰ καὶ τόσα μεγάλα εἴδη παθῶν. Λοιπόν, ἂν κρίνετε σκόπιμο, ἂς ἐξετάσουμε τὸν ψαλμὸ ἀπὸ τὴν ἀρχὴ μὲ πολλὴ προσοχή. Καὶ κανεὶς ἂς μὴ θορυβεῖται. Καθόσον μὲ κάθε προσοχὴ θὰ κάνω τὴν ἐξήγηση, ὅσο μοῦ τὸ ἐπιτρέπουν οἱ δυνάμεις μου. Διότι δὲν εἶναι μικρὸ τὸ ζητούμενο, ἀλλ' ἕνα μὲν καὶ πρῶτο εἶναι, γιὰ ποιὸ λόγο ἀφοῦ αὐτὸς ἁμάρτησε, αὐτός δηλαδὴ πρὸς τὸν ὁποῖο ἔγινε ἡ κατακραυγή, τιμωροῦνται μαζὶ μὲ αὐτὸν τὰ παιδιά του, ἡ γυναίκα του καὶ οἱ γονεῖς του. Δεύτερο εἶναι, ποιὸς εἶναι αὐτὸς ποὺ κάνει τὶς κατάρες. Τρίτο δέ, πῶς ὁ κορυφαῖος τῶν ἀποστόλων λέγει ὅτι ὁ ψαλμὸς γράφηκε γιὰ τὸν Ἰούδα, μᾶλλον δὲ ὄχι ὅλος ὁ ψαλμός, ἀλλ' ἕνα μέρος τοῦ ψαλμοῦ. Διότι, λέγει, «Ἔχει γραφεῖ στὸ βιβλίο τῶν ψαλμῶν· ἂς γίνει τὸ ἀγρόκτημά του ἔρημο καὶ ἂς μὴ ὑπάρξει ἐκεῖνος ποὺ θὰ κατοικεῖ σ' αὐτό»[3].

Ἀλλ' αὐτὸ πάλι μᾶς δημιουργεῖ ἄλλο πρόβλημα· διότι δὲν ἔχουν γραφεῖ σ' αὐτὸν τὸν ψαλμὸ καὶ τὰ δύο· γι' αὐτὸ ἀκριβῶς δὲν ἀνέφερε αὐτὸν τὸν ψαλμό, ἀλλ' ὁλόκληρο τὸ βιβλίο τῶν ψαλμῶν. Καθόσον τό, «Ἂς γίνει ἔρημο τὸ ἀγρόκτημά του»[4], ἀναφέρεται σ' ἄλλο ψαλμό, σ' αὐτὸν δὲ ἀναφέρεται, «Καὶ τὸ ἀξίωμά του ἂς τὸ λάβει ἄλλος»[5]. Ἀλλ' ὁ μὲν Πέτρος καὶ τὰ δυὸ τὰ συνένωσε σὲ μιὰ μαρτυρία, πράγμα ποὺ καὶ ὁ Παῦλος κάμνει παντοῦ, ὅπως ὅταν λέγει· «Θὰ ἔλθει ἀπὸ τὴν Σιὼν ὁ λυτρωτὴς καὶ θ' ἀποδιώξει τὶς ἀσέβειες ἀπὸ τοὺς ἀπογόνους τοῦ Ἰακὼβ[6]. Καὶ αὐτὴ εἶναι ἡ συμφωνία ποὺ θὰ κάνω μὲ αὐτούς, ὅταν θὰ ἐξαλείψω τὶς ἁμαρτίες τους[7]»[8]. Πῶς δὲ θὰ μποροῦσε κανεὶς νὰ ὀνομάσει αὐτὸ ποὺ λέγεται ἐδῶ, προφητεία ἢ κατάρα; Προφητεία ὑπὸ μορφὴ κατάρας. Καθόσον καὶ ἀλλοῦ θὰ βροῦμε κάτι παρόμοιο, ὅπως αὐτὸ ποὺ ἔκαμε καὶ ὁ Ἰακώβ. Ἐπειδὴ δηλαδὴ οἱ ἀκροατὲς πρέπει νὰ ὠφελοῦνται ἀπὸ αὐτὰ ποὺ συμβαίνουν στοὺς ἄλλους, πολλὲς ἀπὸ

σθαι χρή, πολλὰς τῶν προφητειῶν τούτῳ σχηματίζουσι τῷ τρόπῳ, ὥστε καὶ τῷ εἴδει τῆς προφορᾶς τῆς κατὰ τὴν πολιτείαν αὐξηθῆναι τὸν φόβον. Οὐ γάρ ἐστιν ἴσον εἰπεῖν, ὅτι ὁ δεῖνα τὸ καὶ τὸ πείσεται, καὶ ἐν τάξει χολῶντος καὶ ὀργιζομένου τὸ αὐτὸ τοῦτο προσενεγκεῖν. Καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα ἀποφαίνομαι, ἀπὸ τῶν προφητικῶν ὑμῖν ῥημάτων τοῦτο ποιήσω δῆλον. Ὁ γὰρ Ἰακώβ, ὅτε ἔμελλε τελευτᾶν, «Δεῦτε», φησὶ τοῖς υἱοῖς αὐτοῦ, «καὶ ἐρῶ, τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν»· καὶ μέλλων προφητεύειν, ἐκ προοιμίων εὐθέως ὥσπερ τινὶ θυμῷ ζέων ἀπὸ ἀρᾶς ἄρχεται τῆς προφητείας, οὕτω λέγων· «Ρουβὶμ πρωτότοκός μου, σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης, ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς», τὴν μέλλουσαν αὐτοῦ ἀπώλειαν ἐν τάξει ἀρᾶς προφητεύων.

Οὕτω πάλιν ὅταν ἀγαθὰ λέγῃ, ἐν τάξει εὐχῆς διηγεῖται, «Δῴη σοι Κύριος», λέγων, «ἐκ δρόσου τοῦ οὐρανοῦ καὶ ἐκ τῆς πιότητος τῆς γῆς». Καίτοι καὶ τοῦτο προφητεία. Ἀλλ' ὅτι μὲν οὐκ ἔστιν ἀνθρωπίνου πάθους, δῆλον. Καὶ γὰρ καὶ ἐπὶ Χαναὰν ὁ πατὴρ αὐτοῦ τοῦτο αὐτὸ ποιεῖ, λέγων, «Ἔσται Χαναὰν παῖς αὐτοῦ», ἵνα μάθῃς, ὅτι ὁ Θεός, προλαμβάνων τοὺς ἀδικουμένους, ἐπεξέρχεται τοῖς ἀδικοῦσι. Καὶ ὁ Χριστὸς δὲ τοιούτῳ τινὶ κέχρηται τρόπῳ, προφητείας εἴδει μᾶλλον ἀνακαλῶν καὶ θρηνοῦντα μιμούμενος, καὶ λέγων· «Οὐαί σοι, Χωριζίν, οὐαί σοι, Βηθσαϊδά». Καὶ πάλιν, ὡς ὅταν λέγῃ· Ἰερουσαλήμ, Ἰερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας». Περὶ τίνος οὖν ὁ ψαλμὸς εἴρηται; Ἔνια περὶ τοῦ Ἰούδα, τοῦ Πνεύματος προφητεύοντος διὰ τοῦ Δαυίδ, τὰ δὲ λοιπὰ περὶ ἑτέρων. Καὶ γὰρ οὗτος προφητείας πάλιν τρό-

---

9. Γεν. 49, 1.
10. Γεν. 49, 3-4.
11. Γεν. 27, 28.
12. Γεν. 9, 26.
13. Λουκᾶ 10, 13.
14. Λουκᾶ 13, 34.

τὶς προφητεῖες τὶς παρουσιάζουν μὲ αὐτὸν τὸν τρόπο, ὥστε καὶ μὲ τὴ μορφὴ αὐτὴ ποὺ εἶναι σύμφωνη μὲ τὸν τρόπο ζωῆς τους, ν' αὐξηθεῖ ὁ φόβος τους. Διότι δὲν εἶναι τὸ ἴδιο πράγμα τὸ νὰ πεῖ ὅτι ὁ τάδε θὰ πάθει αὐτὸ καὶ αὐτό, καὶ τὸ νὰ παρουσιάσει τὸ ἴδιο πράγμα ὑπὸ μορφὴ θυμωμένου καὶ ὀργιζομένου. Καὶ τὸ ὅτι αὐτὰ δὲν σᾶς τὰ λέγω ἔτσι τυχαῖα, θὰ σᾶς τὸ ἀποδείξω ἀπὸ τὰ προφητικὰ λόγια. Διότι ὁ Ἰακώβ, ὅταν ἐπρόκειτο νὰ πεθάνει, λέγει στοὺς υἱούς του· «Ἐλᾶτε καὶ θὰ σᾶς προείπω τί θὰ σᾶς συμβεῖ κατὰ τὶς τελευταῖες ἡμέρες»[9]· καὶ ὅταν ἐπρόκειτο νὰ προφητεύσει, εὐθὺς ἐξ ἀρχῆς ἀρχίζει τὴν προφητεία μὲ κατάρα, ὡσὰν ἀκριβῶς νὰ βράζει ἀπὸ κάποιο θυμό, καὶ λέγει τὰ ἑξῆς· «Ρουβὶμ ὁ πρωτότοκός μου, συμπεριφέρθηκες σκληρά, σκληρὰ καὶ μὲ αὐθάδεια, μὲ πρόσβαλες ἀφοῦ ὅρμησες σὰν χείμαρρος, γι' αὐτὸ νὰ μὴ προκόψεις»[10], προφητεύοντας ἔτσι ὑπὸ μορφὴ κατάρας τὴν μελλοντική του ἀπώλεια.

Κατὰ τὸν ἴδιο τρόπο πάλι ὅταν προλέγει ἀγαθά, τὰ διηγεῖται ὑπὸ μορφὴ εὐχῆς, λέγοντας· «Ἂς σοῦ δώσει ὁ Κύριος βροχὴ ἀπὸ τὸν οὐρανὸ καὶ εὐφορία τῆς γῆς»[11]. Ἂν καὶ βέβαια καὶ αὐτὸ εἶναι προφητεία. Ἀλλ' εἶναι φανερὸ ὅτι δὲν εἶναι λόγια ἀνθρωπίνου πάθους. Καθόσον καὶ στὴν περίπτωση τοῦ Χαναὰν τὸ ἴδιο κάμνει ὁ πατέρας του, λέγοντας, «Ὁ Χαναὰν θὰ εἶναι δοῦλος αὐτοῦ»[12], γιὰ νὰ μάθεις, ὅτι ὁ Θεὸς προφυλάσσει τοὺς ἀδικουμένους καὶ τιμωρεῖ τοὺς ἀδίκους. Καὶ ὁ Χριστὸς δὲ παρόμοιο περίπου τρόπο χρησιμοποιεῖ, καλώντας αὐτοὺς μᾶλλον ὑπὸ μορφὴ προφητείας καί, μιμούμενος κάποιον ποὺ θρηνεῖ, λέγει· «Ἀλλοίμονό σου, Χωραζίν, ἀλλοίμονό σου, Βηθσαϊδά»[13]. Καὶ πάλι, ὅπως ὅταν λέγει· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, σὺ ποὺ φονεύεις τοὺς προφῆτες»[14]. Γιὰ ποιὸν λοιπὸν ἔχει λεχθεῖ ὁ ψαλμός; Μερικὰ λέγονται γιὰ τὸν Ἰούδα ἀπὸ τὸ Πνεῦμα ποὺ ὁμιλεῖ διὰ μέσου τοῦ Δαυίδ, τὰ δὲ ὑπόλοιπα λέγονται γιὰ ἄλλα πράγματα. Καθόσον πάλι καὶ

*πος ἐστί. Καὶ πολλαχοῦ αὐτὸν εὑρήσομεν οὕτω συγκείμενον, καὶ τὰ μὲν προοίμια εἰς ἕτερον, τὰ δὲ λειπόμενα εἰς ἄλλον λεγόμενα. Ἵνα δὲ καὶ ἑτέρωθεν ἴδῃς τοῦτο αὐτό, ἡνίκα εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσῄεσαν Ἰουδαῖοι, διαιρῶν τὰς δώδεκα φυλὰς εἰς δώδεκα μέρη, τὰς μὲν εὐλογεῖν, τὰς δὲ ἀρᾶσθαι κελεύεται ὑπὸ Θεοῦ ὁ τοῦ Ναυῆ. Καὶ ἡ εὐλογία δὲ καὶ ἡ ἀρὰ προφητεῖαι τῶν γενησομένων ἦσαν. Καὶ γὰρ ἔλεγεν· «Ἐπικατάρατος σὺ ἐν πόλει, ἐπικατάρατος ἐν ἀγρῷ»· καὶ μυρίας τοιαύτας ἀρὰς συντιθεῖσαι αἱ φυλαὶ μακρὸν λόγον ἀπήρτισαν.*

*Τοῦτο δὴ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν, ὅτι ἐν τάξει ἀρᾶς προφητεία συντέθειται, τά τε τῷ Ἰούδα συμβησόμενα ἀπαγγέλλουσα καὶ προαναφωνοῦσα, εἶτα καὶ μετ' ἐκεῖνον ἑτέραν τινὰ ἀνακινοῦσα ὑπόθεσιν, καὶ ἱσταμένη κατά τινων ἱερωσύνῃ ἐπαναστάντων· ἵνα μάθωμεν ἡλίκον κακόν ἐστι τοῖς ἱερεῦσι τοῦ Θεοῦ ἐπανίστασθαι, καὶ δόλῳ καὶ ἀδικίᾳ κατ' αὐτῶν κεχρῆσθαι. Τὰ γὰρ εἰρημένα οὐδὲν ἕτερόν ἐστιν, ἢ διδασκαλία τῶν συμβησομένων τοῖς τοῦ πλησίον ἀδικοῦσι, τοῖς κατεξανισταμένοις μετὰ δόλου καὶ γνώμης διεφθαρμένης τῶν οὐδὲν ἠδικηκότων. Εἰ δὲ τοὺς παῖδας ἀξιοῖ κολάζεσθαι, μὴ θορυβηθῇς, ἀγαπητέ· παῖδας γὰρ ἐνταῦθά φησι τοὺς τῇ πονηρίᾳ τῶν τοιούτων κεκοινωνηκότας. Οἶδε γὰρ ἡ Γραφὴ παῖδας καλεῖν καὶ τοὺς κατὰ συγγένειαν, καὶ τοὺς πονηρίᾳ συνεζηκότας, κἂν μὴ τῇ φύσει παῖδες ὦσιν, ὡς ὅταν λέγῃ· Ὑμεῖς υἱοὶ τοῦ διαβόλου ἐστέ. Καίτοι γε κατὰ φύσιν υἱοὶ τοῦ διαβόλου οἱ Ἰουδαῖοι οὐκ ἦσαν. Πῶς γὰρ τοῦ ἀσωμάτου οἱ σάρ-*

---

15. Δευτ. 28, 16.
16. Ἰω. 8, 44.

αὐτὸς εἶναι τρόπος προφητείας. Καὶ σὲ πολλὲς περιπτώσεις θὰ βροῦμε νὰ ἐφαρμόζεται αὐτὸς ὁ τρόπος προφητείας, καὶ τὰ μὲν ἀναφερόμενα στὴν ἀρχὴ νὰ λέγονται γι᾽ ἄλλον, τὰ δὲ ὑπόλοιπα γιὰ ἄλλον. Γιὰ νὰ διαπιστώσεις δὲ αὐτὸ τὸ ἴδιο καὶ ἀπὸ ἀλλοῦ, ὅταν οἱ Ἰουδαῖοι εἰσῆλθαν στὴ γῆ τῆς ἐπαγγελίας, ἀφοῦ ὁ Ἰησοῦς τοῦ Ναυῆ διαίρεσε τὶς δώδεκα φυλὲς σὲ δώδεκα μέρη, παίρνει ἐντολὴ ἀπὸ τὸ Θεό, ἄλλες ἀπὸ αὐτὲς νὰ εὐλογήσει, ἄλλες δὲ νὰ καταρασθεῖ. Καὶ ἡ εὐλογία δὲ καὶ ἡ κατάρα ἦταν προφητεῖες ἐκείνων ποὺ ἐπρόκειτο νὰ συμβοῦν. Καθόσον ἔλεγε· «Καταραμένος νὰ εἶσαι σὺ στὴν πόλη καὶ σὺ νὰ εἶσαι καταραμένος στὸν ἀγρό»[15]· καί, ἀφοῦ οἱ φυλὲς ἄκουσαν ἀμέτρητες τέτοιες κατάρες, σχημάτισαν μακρὸ λόγο.

Αὐτὸ λοιπὸν μποροῦμε καὶ ἐδῶ νὰ ποῦμε, ὅτι λέγεται ἡ προφητεία ὑπὸ μορφὴ κατάρας, κηρύττοντας καὶ προλέγοντας ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸν Ἰούδα, στὴ συνέχεια δὲ καὶ μετὰ ἀπὸ ἐκεῖνον ἀνακινεῖ καὶ κάποια ἄλλη ὑπόθεση, ἀναχαιτίζει δηλαδὴ μερικοὺς ποὺ καταφέρονται ἐναντίον τῆς ἱερωσύνης, γιὰ νὰ μάθουμε πόσο μεγάλο κακὸ εἶναι νὰ καταφέρεται κανεὶς ἐναντίον τῶν ἱερέων τοῦ Θεοῦ καὶ νὰ χρησιμοποιεῖ ἐναντίον τους δόλο καὶ ἀδικία. Δηλαδὴ τὰ ὅσα λέγονται δὲν εἶναι τίποτε ἄλλο, παρὰ διδασκαλία γιὰ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν σὲ ἐκείνους ποὺ ἀδικοῦν τοὺς συνανθρώπους τους, σὲ ἐκείνους ποὺ καταφέρονται μὲ δόλο καὶ διεφθαρμένη συνείδηση ἐναντίον ἐκείνων ποὺ δὲν τοὺς ἀδίκησαν σὲ τίποτε. Ἂν δὲ ζητεῖ νὰ τιμωρηθοῦν τὰ παιδιά του, μὴ θορυβηθεῖς, ἀγαπητέ· διότι παιδιὰ ἐδῶ ὀνομάζει ἐκείνους ποὺ συμμετέχουν στὴν κακία αὐτῶν. Καθόσον γνωρίζει ἡ Γραφὴ νὰ ὀνομάζει παιδιὰ καὶ τὰ συγγενικὰ πρόσωπα καὶ ἐκείνους ποὺ συνέζησαν μὲ τὴν κακία, καὶ ἂν ἀκόμη δὲν εἶναι φυσικὰ παιδιά, ὅπως ὅταν λέγει· «Σεῖς εἶσθε υἱοὶ τοῦ διαβόλου»[16], μολονότι βέβαια δὲν ἦταν οἱ Ἰουδαῖοι φυσικοὶ υἱοὶ τοῦ διαβόλου. Διότι πῶς θὰ ἦταν υἱοὶ τοῦ ἀσωμάτου δια-

κα περικείμενοι; Ἀλλὰ τῇ κοινωνίᾳ τῆς πονηρίας τὴν συγγένειαν ἐπεσπάσαντο. Οὕτως αὐτοὺς καὶ τοῦ Ἀβραὰμ ἐκβάλλει, λέγων· «Εἰ τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἂν ἐποιεῖτε». Ὅτι γὰρ υἱὸς οὐ κολάζεται διὰ τὸν πατέρα, οὔτε πατὴρ ὑπὲρ τοῦ υἱοῦ, παντί που δῆλον. Καὶ ἐν τῷ νόμῳ τοῦτο δείκνυται εἰρημένον, πλὴν εἰ μὴ κακῶς αὐτὸν ἀναγάγοι· καὶ τότε δὲ οὐχ ὑπὲρ υἱοῦ, ἀλλ' ὑπὲρ τῆς οἰκείας ῥαθυμίας, ὥσπερ ὁ Ἠλεί.

3. Εἰ δὲ δοκεῖ, καὶ τὸν ψαλμὸν ἄνωθεν ἐπέλθωμεν. «Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς». Ἕτερος δὲ ἑρμηνευτής φησιν· «Θεέ, ὑμνήσεώς μου μὴ κωφεύσῃς». Ἄλλος. «Μὴ σιγήσῃς»· τουτέστι, μὴ παραδράμῃς τὴν τιμωρίαν, ἀλλ' ἐπέξελθε τοῖς γεγενημένοις. Σὺ γὰρ εἶ ὁ ἔνδοξος, ὁ μέγας, καὶ δυνατὸς τὰ τοιαῦτα διορθοῦν. «Ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην. Εἶδες πονηρίαν ἐκτεταμένην; εἶδες κοινωνίαν ἐπιβουλῆς; εἶδες μελέτην; Καὶ γὰρ καὶ τοῦτο μάλιστα παροξύνει τὸν Θεόν, ὅταν τὰ φαῦλα ἀπὸ βουλῆς, καὶ σκέψεως, καὶ πολλῆς τῆς γυμνασίας ἐργάζωνται οἱ μετιόντες. Ἕτερον γάρ ἐστι, συναρπαγέντα καὶ ἀπατηθέντα ὑποσκελισθῆναι, ἕτερον ἔργον ποιούμενον τὴν πονηρίαν, καὶ ἕτερον, ἔγκλημα μέγιστον, ὅταν καὶ πονηρεύωνται κατὰ τοῦ μὴ πονηρευομένου. Τὸ Τὸ γὰρ εἰπεῖν, «Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με», οὐδὲν ἕτερον δείκνυσιν, ἢ ὅτι εἰς εὐεργέτην τινὰ καὶ ἄξιον τοῦ

17. Ἰω. 8, 39.
18. Α΄ Βασ. 3, 13.

βόλου ἐκεῖνοι ποὺ περιβάλλονται σάρκα; Ἀλλ' ἔλαβαν τὴ συγγένεια μὲ τὴ συμμετοχή τους στὴν κακία. Ἔτσι τοὺς ἀπομακρύνει καὶ ἀπὸ τὸν Ἀβραάμ, λέγοντας· «Ἂν ἤσασθε τέκνα τοῦ Ἀβραάμ, θὰ ἐκάμνατε τὰ ἔργα τοῦ Ἀβραάμ»[17]. Διότι, τὸ ὅτι ὁ υἱὸς δὲν τιμωρεῖται ἐξ αἰτίας τοῦ πατέρα, οὔτε ὁ πατέρας ἐξαιτίας τοῦ υἱοῦ, εἶναι ὁλοφάνερο στὸν καθένα. Καὶ στὸ νόμο αὐτὸ ἔχει λεχθεῖ, ἐκτὸς βέβαια ἂν παιδαγώγησε κακῶς τὸν υἱό του, καὶ τότε δὲ δὲν τιμωρεῖται ἐξ αἰτίας τοῦ υἱοῦ του, ἀλλ' ἐξ αἰτίας τῆς δικῆς του ραθυμίας, ὅπως ἀκριβῶς ὁ Ἠλεί[18].

3. Ἀλλ' ἂν νομίζετε ἂς ἐξετάσουμε τὸν ψαλμὸ ἀπὸ τὴν ἀρχή. «Θεέ μου, μὴ παρασιωπήσεις τὴν αἴνεσή μου». Ἄλλος δὲ ἑρμηνευτὴς λέγει· «Θεέ μου, μὴ κλείσεις τὰ αὐτιά σου στὴν ἐξύμνησή μου». Ἄλλος λέγει· «Μὴ ἀποσιωπήσεις»· δηλαδὴ μὴ ἀφήνεις νὰ περάσουν ἀτιμώρητα τὰ ὅσα συνέβηκαν, ἀλλὰ τιμώρησέ τα. Διότι σὺ εἶσαι ὁ ἔνδοξος, ὁ μέγας καὶ ἱκανὸς νὰ διορθώνεις αὐτά. «Διότι ἄνοιξαν ἐναντίον μου στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου. Μίλησαν ἐναντίον μου μὲ γλώσσα δολία, μὲ περικύκλωσαν μὲ λόγια μίσους καὶ μὲ πολέμησαν χωρὶς καμιὰ αἰτία. Ἀντὶ νὰ μ' ἀγαποῦν, μὲ συκοφαντοῦσαν, ἐγὼ ὅμως προσευχόμουν». Εἶδες μέγεθος κακίας; εἶδες συμμετοχὴ στὴ συκοφαντία καὶ τὴν κακία; εἶδες μελετημένες ἐνέργειες; Καθόσον αὐτὸ πρὸ πάντων ἐξοργίζει τὸ Θεό, ὅταν αὐτοὶ ποὺ διαπράττουν τὰ κακὰ τὰ διαπράττουν μὲ τὴ θέλησή τους, ἀφοῦ τὰ σκεφθοῦν καὶ τὰ μελετήσουν καλά. Διότι ἄλλο εἶναι ἡ ὑπονόμευση καὶ ἀνατροπὴ ἐκείνου ποὺ ἁρπάζει μὲ τὴ βία καὶ ἐνεργεῖ μὲ ἀπάτη, ἄλλο ἡ ἀνατροπὴ ἐκείνου πράττει τὴν κακία, καὶ ἄλλο, ποὺ εἶναι τὸ πιὸ μεγαλύτερο ἔγκλημα, ὅταν ἐκδηλώνουν τὴν κακία τους ἐναντίον ἐκείνου ποὺ δὲν βλάπτει κανένα. Διότι τὸ νὰ πεῖ, «Ἀντὶ νὰ μὲ ἀγαποῦν, μὲ συκοφαντοῦσαν», τίποτε ἄλλο δὲν δείχνει, παρὰ ὅτι ἔκαμναν τὰ ἀντίθετα σὲ κάποιον

φιλεῖσθαι καὶ χρηστὰς ἀμοιβὰς λαμβάνειν, τὰ ἐναντία ἐπεδείκνυντο.

«Ἐγὼ δὲ προσηυχόμην». Εἶδες φιλοσοφίαν; εἶδες ἐπιείκειαν; εἶδες πραότητα; εἶδες ψυχῆς εὐλάβειαν; Οὐχ ὡπλιζόμην, φησίν, οὐδὲ ἀντιπαρατατιόμην, ἀλλ' ἐπὶ σὲ κατέφευγον· τὴν σὴν ἐκάλουν συμμαχίαν, τὴν ῥοπήν, τὸ μέγιστον ὅπλον, τὴν βοήθειαν τὴν ἀχείρωτον. Εἶτα εἰπὼν τὰ κατὰ τὸν Ἰούδαν, πῶς ἑαυτὸν κατεδίκασε, πῶς τὴν ἐπὶ θανάτου ἐξήνεγκε ψῆφον καθ' ἑαυτοῦ, πῶς ἀπήγξατο, πῶς ἡ ἀποστολὴ αὐτοῦ πρὸς ἕτερον μετέστη, πάλιν ἔχεται τῆς προτέρας ὑποθέσεως. Καὶ γὰρ καὶ τοῦτο προφητείας εἶδος, μεταξὺ διακόπτειν, καὶ ἱστορίαν τινὰ ἐμβάλλειν, καὶ μετὰ τὸ ταύτην διεξελθεῖν πάλιν ἐπὶ τὰ πρότερα ἐπανιέναι. Συνεσκίασται γὰρ διὰ τὴν ἀγνωμοσύνην τῶν Ἰουδαίων ἡ προφητεία. Αἰνίττεται γοῦν τινα, ὅπερ ἔφθη εἰπών, ἱερωσύνῃ ἐπιβουλεύσαντα μετὰ τοὺς χρόνους τοὺς ἐκ τῆς ἐπανόδου τῆς ἐκ Βαβυλῶνος. Καὶ οἱ φιλοπονώτεροι ἴσασι τοῦτο, τὴν ἱστορίαν ἐπελθόντες. Καὶ προφητεύει μεγάλα τῷ τοιούτῳ κακά, ἐρημίαν προστατῶν· καὶ πάντα ἀξιοῖ προσχώννυσθαι αὐτῷ λιμένα, καὶ μηδεμιᾶς τυχεῖν μακροθυμίας, μηδὲ φιλανθρωπίας, μηδὲ συγγνώμης. Ταῦτα δέ, ὅπερ ἔφθην εἰπών, καὶ συνεχῶς λέγων οὐ παύσομαι, δοκεῖ μὲν εἶναι ἀρᾶς, προφητεία δέ ἐστι, δεικνύουσα πῶς παροξύνεται ὁ Θεός, ὅταν ἱερωσύνη ἐπιβουλεύηται.

Εἶτα κατὰ λέξιν τὰς συμφορὰς ἐπεξέρχεται, καί φησιν· «Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεον. Καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχόν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι». Τοῦτο ἐσχάτης ὠμότητος, τοῦτο πολλῆς ἀπανθρωπίας, ὅταν μὴ μόνον τις ἐπιβουλεύῃ, ἀλλὰ καὶ τὸν

πού τούς εὐεργέτησε, πού ἄξιζε νά ἀγαπιέται καί νά ἀμείβεται μέ καλά πράγματα.

«Ἐγώ δέ προσευχόμουν». Εἶδες φιλοσοφική ἀντιμετώπιση τοῦ πράγματος; εἶδες ἐπιείκεια; εἶδες πραότητα; εἶδες εὐλάβεια ψυχῆς; Δέν ὁπλιζόμουν, λέγει, οὔτε ἑτοιμαζόμουν γιά μάχη, ἀλλά κατέφευγα σέ σένα· τή δική σου συμμαχία ζητοῦσα, τή βοήθεια, τό μέγιστο ὅπλο, τή βοήθεια τήν ἀκατανίκητη. Ἔπειτα, ἀφοῦ ἀνέφερε τά σχετικά μέ τόν Ἰούδα, πῶς καταδίκασε τόν ἑαυτό του, πῶς ὁ ἴδιος καταδίκασε σέ θάνατο τόν ἑαυτό του, πῶς ἀπαγχονίσθηκε, πῶς τό ἀξίωμα καί τό ἔργο του ἀνατέθηκε σέ ἄλλον, πάλι ἐπανέρχεται στήν προηγούμενη ὑπόθεση. Καθόσον καί αὐτό εἶναι εἶδος προφητείας, νά διακόπτει δηλαδή ἐνδιάμεσα, νά παρεμβάλλει κάποια ἱστορία, καί μετά τήν ἀνάπτυξη αὐτῆς πάλι νά ἐπανέρχεται στά προηγούμενα. Διότι ἡ προφητεία παρουσιάζεται συσκοτισμένη ἐξ αἰτίας τῆς ἀγνωμοσύνης τῶν Ἰουδαίων. Ὑπαινίσσεται λοιπόν κάποιον, ὅπως προανέφερα, πού ἐπιβουλεύθηκε τήν ἱερωσύνη μετά τά χρόνια τῆς ἐπιστροφῆς ἀπό τή Βαβυλώνα. Καί οἱ πιό φιλόπονοι, πού μελέτησαν τήν ἱστορία, τό γνωρίζουν αὐτό. Καί προφητεύει μεγάλα κακά γι' αὐτόν, καί ἔλλειψη ἀπό προστάτες· ἀπαιτεῖ νά κλείσει γι' αὐτόν κάθε λιμάνι καί νά μή τύχει καμιᾶς μακροθυμίας, οὔτε φιλανθρωπίας, οὔτε συγγνώμης. Αὐτά δέ, ὅπως προανέφερα, καί δέν θά παύσω νά τά λέγω συνέχεια, φαίνονται ὅτι εἶναι κατάρες, ἀλλ' ὅμως εἶναι προφητεία, πού δείχνει πῶς ἐξοργίζεται ὁ Θεός, ὅταν ἐπιβουλεύεται ἡ ἱερωσύνη.

Ἔπειτα ἀναφέρει κατά λέξη τίς συμφορές, καί λέγει· «Διότι δέν θυμήθηκε νά δείξει εὐσπλαχνία, ἀλλά καταδίωξε ἄνθρωπο δυστυχή καί φτωχό καί καταπληγωμένο στήν καρδιά μέ σκοπό νά τόν θανατώσει». Αὐτό εἶναι δεῖγμα τῆς πιό χειρότερης σκληρότητας, αὐτό εἶναι γνώρισμα μεγάλης ἀπανθρωπιᾶς, ὅταν ὄχι μόνο κανείς σκέπτεται κακά ἐναντίον κάποιου, ἀλλά καί ἐπιδιώκει νά ἐξο-

ἱκανὸν ἐπικλάσαι πρὸς ἔλεον καὶ πρὸς συμπάθειαν ἐπικάμψαι. Ὁ γὰρ τοιοῦτος πρὸς τὴν τῶν θηρίων ἀγριότητα ἐξώκειλε, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτερος γέγονε. Τοῖς μὲν γὰρ θηρίοις κατὰ φύσιν τὸ θηριῶδες, οὗτος δὲ λόγῳ τιμηθείς, τῇ πονηρίᾳ τὴν εὐγένειαν προέδωκε. Κἀκεῖνα μὲν πρὸς τὸ ὁμόφυλον καὶ συγγενὲς ἔχει τινὰ φιλίαν καὶ ἡμερότητα, οὗτοι δὲ οὐδὲ τὸ κοινὸν τῆς φύσεως ᾐδέσθησαν, ἀλλ' ὃν ἔδει ἐλεεῖν καὶ ἀνέχειν καὶ ἀνορθοῦν, τοῦτον ὤθουν καὶ ἀνέτρεπον.

«Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ». Ἐπειδὴ πολλὰς κατηύξατο αὐτοῦ συμφοράς, δείκνυσιν οὐ παρ' αὐτοῦ, ἀλλὰ παρ' ἐκείνου τὴν ἀρχὴν τούτων γενομένην καὶ τὴν αἰτίαν, τοῦ διὰ τῶν ἔργων ἀποκρουσαμένου μὲν τὴν παρὰ τοῦ Θεοῦ ῥοπήν, ἐπισπασαμένου δὲ τὴν θεήλατον πληγήν. «Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ». Ἐνταῦθα καὶ τὸ σφοδρὸν τῆς πληγῆς, καὶ τὸ μόνιμον τῆς τιμωρίας ἐνδείκνυται, δηλῶν ὅτι πᾶσιν ἀνθρώποις τὰ κακὰ οἴκοθεν καὶ παρὰ τῆς οἰκείας γνώμης, οἳ διὰ τῶν ἔργων καὶ τῶν πράξεων τὰ μὲν ἀγαθὰ διακρούονται, ταῖς δὲ τιμωρίαις ἑαυτοὺς ἐπεμβάλλουσι.

«Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται». Τοῦτο δέ φησι, δεικνὺς τὴν ἄφατον τοῦ Θεοῦ ὀργήν, τὴν μετελευσομένην τοὺς τοιούτους. Ὃ δὲ λέγει τοῦτό ἐστιν· οὕτως αὐτοὺς τὰ κακὰ καθέξει, ὡς μηδὲ μεταβολήν τινα σχεῖν· ἀλλ' ἐναποστηριχθήσεται

λοθρεύσει ἐκεῖνον πού εἶναι ἄξιος εὐσπλαχνίας καὶ συμπαθείας. Διότι ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους παρεκτράπηκε πρὸς τὴν ἀγριότητα τῶν θηρίων, μᾶλλον δὲ ἔγινε φοβερώτερος καὶ ἀπὸ ἐκεῖνα. Διότι στὰ μὲν θηρία ἡ ἀγριότητα ὑπάρχει ἐκ φύσεως, αὐτὸς ὅμως ποὺ τιμήθηκε μὲ λόγο, πρόδωσε μὲ τὴν κακία του τὴν εὐγενικὴ καταγωγή του. Καὶ τὰ μὲν θηρία συμπεριφέρονται πρὸς τὰ ὁμόφυλα καὶ συγγενικὰ θηρία μὲ κάποια φιλικότητα καὶ ἡμερότητα, ἐνῶ αὐτοὶ δὲν σεβάσθηκαν οὔτε τὸ κοινὸ τῆς φύσεως, ἀλλ' ἐκεῖνον ποὺ ἔπρεπε νὰ τοῦ δείχνουν εὐσπλαχνία, νὰ τὸν βοηθοῦν καὶ νὰ τὸν στηρίζουν, αὐτὸν τὸν καταδίωκαν καὶ τὸν ὁδηγοῦσαν στὴν καταστροφή.

«Καὶ ἀγάπησε τὴν κατάρα καὶ θὰ ἔλθει αὐτὴ ἐναντίον του· καὶ δὲν θέλησε τὴν εὐλογία τοῦ Θεοῦ καὶ θ' ἀπομακρυνθεῖ αὐτὴ ἀπὸ αὐτόν». Ἐπειδὴ εὐχήθηκε ἐναντίον του πολλὲς συμφορές, δείχνει ὅτι ἡ ἀρχὴ καὶ ἡ αἰτία αὐτῶν τῶν συμφορῶν δὲν ἔγινε ἀπὸ αὐτόν, ἀλλ' ἀπὸ ἐκεῖνον τὸν ἴδιο, πού ἀπέκρουσε μὲν μὲ τὶς πράξεις του τὴν βοήθεια τοῦ Θεοῦ, ἐπέσυρε δὲ ἐναντίον του τὴ θεόσταλτη τιμωρία. «Καὶ θὰ φορέσει σὰν ἔνδυμα τὴν κατάρα καὶ θὰ εἰσχωρήσει αὐτὴ σὰν νερὸ μέσα του μέχρι τὰ ἔγκατα καὶ σὰν λάδι μέχρι τὰ κόκκαλά του». Ἐδῶ φανερώνει καὶ τὸ ὑπερβολικὸ μέγεθος τῆς συμφορᾶς καὶ τὸ μόνιμο τῆς τιμωρίας, γιά νὰ δείξει ὅτι σ' ὅλους τοὺς ἀνθρώπους τὰ κακὰ συμβαίνουν ἀπὸ τοὺς ἰδίους καὶ ἀπὸ τὴ δικὴ τους διάθεση, διότι μὲ τὰ ἔργα καὶ τὶς πράξεις τους τὰ μὲν ἀγαθὰ ἀποκρούουν, τὶς δὲ τιμωρίες ἐπισύρουν ἐναντίον τους.

«Ἂς γίνει σ' αὐτὸν ἡ κατάρα σὰν ἔνδυμα ποὺ τὸ φορεῖ καὶ σὰν ζώνη μὲ τὴν ὁποία θὰ εἶναι διαρκῶς ζωσμένος». Αὐτὸ δὲ τὸ λέγει, γιὰ νὰ δείξει τὴν ἀπερίγραπτη ὀργὴ τοῦ Θεοῦ, ποὺ θὰ ξεσπάσει ἐναντίον τῶν ἀνθρώπων αὐτοῦ τοῦ εἴδους. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· μὲ τέτοιο τρόπο δηλαδὴ θὰ συμβοῦν τὰ κακὰ σ' αὐτούς,

ἐν αὐτοῖς, καὶ μενεῖ βέβαια. Εἶτα δεικνύς, ὅτι πονηρίαν κολάζει, καὶ κακίαν διορθοῦται, καὶ ὅτι οὐ κατ᾽ ἐκείνου μόνον, ἀλλὰ κατὰ πάντων τῶν ὑπευθύνων τοῖς λεγομένοις ὄντων ἡ τοιαύτη κείσεται ψῆφος, ἐπήγαγε· «Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίῳ». Τουτέστιν, αὕτη ἡ τιμωρία, αὕτη ἡ δίκη τῶν ἀνθισταμένων μοι, τῶν ἐπιβουλευόντων, τῶν πολεμούντων, «Καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου». Ἄρα καὶ ῥημάτων εἰσὶν εὐθῦναι, καὶ εὐθῦναι πικρόταται.

4. Ἀπαρτίσας τοίνυν τὸν περὶ ἐκείνου λόγον, ἐπὶ τὸν Θεὸν καταφεύγει πάλιν ὑπὲρ τῆς εἰς αὐτὸν ἀντιλήψεως. Οὐδὲ γὰρ μέχρι τῆς τιμωρίας τῶν ἐπιβουλευόντων ἵσταται, ἀλλὰ δεικνὺς ὅτι οἱ κακῶς πάσχοντες καὶ τιμωρὸν ἔχουσιν ὑπὲρ ὧν ἀδικοῦνται, καὶ αὐτοὶ πολλῆς τυγχάνουσι τῆς ἀντιλήψεως, ἐπάγει λέγων· «Καὶ σύ», Κύριε, ποίησον μετ᾽ ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματός σου». Ὅρα εὐγνωμοσύνην, ὅρα ταπεινοφροσύνην. Καίτοι γε ἱκανὴν εἶχεν εἰς συνηγορίαν ἀφορμὴν τὸ κακῶς παθεῖν (καὶ γὰρ καὶ τοῦτο πολλαχοῦ τῶν Γραφῶν ἐστιν ἰδεῖν, ὅτι οἱ κακῶς πάσχοντες ἀδίκως παρὰ ἀνθρώπων πλείονα ἔχουσι παρρησίας ἀφορμὴν πρὸς τὸ τυχεῖν τῆς παρὰ Θεοῦ ῥοπῆς), ἀλλ᾽ οὗτος ἀφεὶς τοῦτο εἰπεῖν, ἐπὶ τὴν φιλανθρωπίαν μόνην τοῦ Θεοῦ καταφεύγει καὶ λέγει· «Ποίησον μετ᾽ ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου»· μονονουχὶ τοῦτο λέγων· οὐκ ἐπειδὴ ἄξιός εἰμι, ἀλλὰ διὰ σεαυτόν, ὅτι φιλάνθρωπος εἶ, καὶ ἐλεήμων. Διὸ καὶ ἐπάγει· «Ὅτι χρηστὸν τὸ ἔλεός σου».

ὥστε νὰ μὴ εἶναι δυνατὴ καμιὰ μεταβολή, ἀλλὰ θὰ στερεωθοῦν καλὰ ἐπάνω τους καὶ θὰ μείνουν μόνιμα. Ἔπειτα γιὰ νὰ δείξει, ὅτι τιμωρεῖ τὴν πονηρία καὶ διορθώνει τὴν κακία, καὶ ὅτι αὐτὴ ἡ τιμωρία ἐπιφυλάσσεται ὄχι μόνο ἐναντίον ἐκείνου, ἀλλὰ καὶ ἐναντίον ὅλων ἐκείνων ποὺ εἶναι ὑπεύθυνοι γι' αὐτὰ ποὺ λέγονται, ἐπρόσθεσε˙ «Αὐτὴ ἂς εἶναι ἡ ἀμοιβὴ ἐκ μέρους τοῦ Κυρίου ὅλων ἐκείνων ποὺ μὲ κατηγοροῦν». Δηλαδή, αὐτὴ ἂς εἶναι ἡ τιμωρία, αὐτὴ ἂς εἶναι ἡ καταδίκη ἐκείνων ποὺ ἀντιστέκονται σὲ μένα, ποὺ μὲ κατηγοροῦν, ποὺ μὲ πολεμοῦν, «Καὶ ἐκείνων ποὺ λέγουν κακὰ ἐναντίον τῆς ψυχῆς μου». Ἐπομένως ὑπάρχουν καὶ εὐθύνες γιὰ τὰ λόγια, καὶ μάλιστα εὐθύνες πολὺ ὀδυνηρές.

4. Ἀφοῦ λοιπὸν ὁλοκλήρωσε τὸ λόγο γιὰ ἐκεῖνον, καταφεύγει καὶ πάλι στὸ Θεὸ γιὰ νὰ τοῦ ζητήσει τὴ βοήθειά του. Διότι δὲν σταματᾶ μέχρι τὴν τιμωρία ἐκείνων ποὺ τὸν ἐπιβουλεύονται, ἀλλὰ γιὰ νὰ δείξει ὅτι αὐτοὶ ποὺ ὑποφέρουν ἄδικα ἔχουν καὶ τιμωρὸ γιὰ ἐκεῖνες τὶς ἀδικίες ποὺ τοὺς γίνονται καὶ ὅτι αὐτοὶ δέχονται μεγάλη βοήθεια, προσθέτει τὰ ἑξῆς λόγια˙ «Καὶ σύ, Κύριε, ἐνήργησε ἔτσι χάριν τοῦ ὀνόματός σου, ὥστε νὰ φανεῖ ὅτι εἶσαι ὑπερασπιστής μου». Πρόσεχε εὐγνωμοσύνη, πρόσεχε ταπεινοφροσύνη. Μολονότι βέβαια εἶχε σπουδαία ἀφορμὴ γιὰ ὑπεράσπισή του τὸ ὅτι ὑπέφερε ἄδικα (καθόσον καὶ αὐτὸ μπορεῖ κανεὶς νὰ τὸ δεῖ σὲ πολλὰ μέρη τῶν Γραφῶν, ὅτι αὐτοί, ποὺ ὑποφέρουν ἄδικα ἀπὸ τοὺς ἀνθρώπους, ἔχουν μεγαλύτερη ἀφορμὴ παρρησίας γιὰ νὰ τύχουν τῆς βοηθείας ἐκ μέρους τοῦ Θεοῦ), ἀλλ' αὐτὸς ἀφοῦ παρέλειψε ν' ἀναφέρει αὐτό, καταφεύγει μόνο στὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ λέγει˙ «Ἐνήργησε ἔτσι χάριν τοῦ ὀνόματός σου, ὥστε νὰ φανεῖ ὅτι εἶσαι ὑπερασπιστής μου»˙ εἶναι σὰν νὰ λέγει αὐτό˙ ὄχι ἐπειδὴ εἶμαι ἄξιος, ἀλλὰ γιὰ σένα τὸν ἴδιο, διότι εἶσαι φιλάνθρωπος καὶ ἐλεήμων. Γι' αὐτὸ καὶ προσθέτει˙ «Διότι τὸ ἔλεός σου εἶναι γεμάτο ἀπὸ

Καὶ καλῶς εἶπεν, «Ὅτι χρηστὸν τὸ ἔλεός σου». Τὸ γὰρ τῶν ἀνθρώπων οὐ τοιοῦτον πολλαχοῦ· ἔστι γὰρ ὅπου καὶ ἐπὶ βλάβῃ τούτῳ κέχρηνται, καὶ ἐπὶ διαφθορᾷ· ἀλλ' ὁ Θεὸς πανταχοῦ πρὸς τὸ συμφέρον.

«Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου». Ὁρᾷς αὐτὸν πάλιν ἀξιοῦντα σωθῆναι, οὐχ ὡς ἄξιον, οὐδὲ ὡς δίκαιον, ἀλλ' ὡς ἀνατραπέντα παντελῶς, ὡς κατειργασμένον, ὡς μυρία παθόντα κακά; «Καὶ ἡ καρδία μου τετάρακται ἐντός μου». Τοιαύτη γὰρ τῶν συμφορῶν ἡ δύναμις· οὐ σῶμα λυμαίνεται μόνον, ἀλλὰ καὶ ψυχὴν θορυβεῖ. «Ὡς σκιά, ἐν τῷ ἐκκλῖναι αὐτήν, ἀντανηρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες». Τὸ σφοδρὸν τῆς ἐπιβουλῆς τῶν ἀδικησάντων λέγει, τὴν κακουχίαν τὴν ἄφατον, καὶ τὴν παρ' ἑαυτοῦ πάλιν γενομένην ἐν τοῖς τοιούτοις σπουδήν. «Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον». Ὁρᾷς οἷα κατασκευάζει ὅπλα πρὸς τὰς ἐπιβουλάς, καὶ τὴν πρὸς αὐτὸν κακουχίαν; «Καὶ ἐγὼ ἐγενήθην αὐτοῖς ὄνειδος· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν». Τοιαῦται τῶν πονηρῶν αἱ γνῶμαι· οὐ μόνον οὐκ ἐνδιδόασιν, ὅταν ἴδωσι τὸν δίκαιον ἐπιτείνοντα τὴν εὐλάβειαν, ἀλλὰ καὶ ὀνειδίζουσι καὶ κωμῳδοῦσι, καὶ ἐπεμβαίνουσι.

Τί οὖν οὗτος; Ἐπὶ τὴν ἄμαχον συμμαχίαν, ἐπὶ τὴν ἀχείρωτον βοήθειαν καταφεύγει, λέγων· «Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη, καὶ σύ, Κύριε, ἐποίησας αὐτήν». Τί ἐστιν, «Ὅτι ἡ χείρ σου αὕτη»; Ὅτι σὴ ἡ συμμαχία. Ὅτι σή,

ἀγαθότητα». Καὶ πολὺ καλὰ εἶπε, «Ὅτι τὸ ἔλεός σου εἶναι γεμάτο ἀπὸ ἀγαθότητα». Διότι τὸ ἔλεος τῶν ἀνθρώπων δὲν εἶναι πάντοτε τέτοιο˙ καθόσον ὑπάρχουν περιπτώσεις ποὺ τὸ χρησιμοποιοῦν γιὰ βλάβη καὶ γιὰ καταστροφή˙ ὅμως ὁ Θεὸς τὸ χρησιμοποιεῖ πάντοτε γιὰ τὸ συμφέρον τῶν ἀνθρώπων.

«Λύτρωσέ με, διότι εἶμαι φτωχὸς καὶ δυστυχὴς καὶ ἡ καρδιά μου εἶναι πολὺ ταραγμένη». Βλέπεις αὐτὸν πάλι ποὺ ζητεῖ νὰ σωθεῖ, ὄχι ἐπειδὴ εἶναι ἄξιος, οὔτε ἐπειδὴ δικαιοῦται τὴ σωτηρία, ἀλλ' ἐπειδὴ καταστράφηκε ἐντελῶς, ἐπειδὴ κακοποιήθηκε, ἐπειδὴ ἔπαθε ἀμέτρητα κακά; «Καὶ ἡ καρδιά μου εἶναι πολὺ ταραγμένη». Διότι τέτοια εἶναι ἡ δύναμη τῶν συμφορῶν˙ δὲν καταστρέφει μόνο τὸ σῶμα, ἀλλὰ καὶ τὴν ψυχὴ ταράσσει. «Σὰν τὴ σκιά, ποὺ κλίνει καὶ χάνεται ὅταν δύει ὁ ἥλιος, ἔτσι κινδυνεύω νὰ ἐξαφανισθῶ, καὶ σὰν τὶς ἀκρίδες μὲ παρέσυρε ἡ δυστυχία μου». Μὲ τὰ λόγια αὐτὰ ἐκφράζει τὴ μεγάλη κακία ἐκείνων ποὺ τὸν ἀδίκησαν, τὴν ἀπερίγραπτη κακομεταχείριση καὶ τὴ μεγάλη ὑπομονή, μὲ τὴν ὁποία αὐτὸς ἀντιμετώπισε ὅλα αὐτά. «Τὰ γόνατά μου ἀδυνάτισαν καὶ τρέμουν ἀπὸ τὴ νηστεία καὶ ἡ σάρκα μου ἀλλοιώθηκε ἀπὸ τὴν ἀφροντισιά». Βλέπεις ποιὰ ὅπλα ἀντιπαρατάσσει στὶς ἐπιβουλὲς καὶ στὴν κακομεταχείριση πρὸς αὐτόν; «Καὶ ἐγὼ κατάντησα νὰ γίνω ὄνειδος σ' αὐτούς˙ ὅταν μὲ εἶδαν κούνησαν μὲ περιφρόνηση τὰ κεφάλια τους». Τέτοιες εἶναι οἱ διαθέσεις τῶν κακῶν˙ ὄχι μόνο δὲν ὑποχωροῦν ὅταν δοῦν τὸν δίκαιο ν' αὐξάνει τὴν εὐλάβειά του, ἀλλὰ καὶ τὸν χλευάζουν καὶ τὸν περιπαίζουν.

Τί κάμνει λοιπὸν αὐτός; Καταφεύγει στὴν ἀκαταμάχητη συμμαχία, στὴν ἀκατανίκητη βοήθεια, λέγοντας˙ «Βοήθησέ με, Κύριε ὁ Θεός μου, καὶ σῶσε με σύμφωνα μὲ τὴν εὐσπλαχνία σου. Καὶ ἂς μάθουν ὅτι αὐτὴ ἡ ἐνέργεια προέρχεται ἀπὸ τὸ χέρι σου, καὶ ὅτι σύ, Κύριε, μοῦ χάρισες αὐτὴ τὴ βοήθεια». Τί σημαίνει «Ὅτι ἡ χείρ σου

φησίν, ἡ βοήθεια. Οὐ γὰρ δὴ σωθῆναι βούλομαι μόνον, ἀλλὰ καὶ ἐκείνους μαθεῖν παρὰ τίνος ἐσώθην, ὥστε διπλοῦν μοι γενέσθαι τὸ τρόπαιον, διπλοῦν τὸν στέφανον, ἐπιτεταμένην τὴν δόξαν. «Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται». Ἐντεῦθεν φιλοσοφίαν τινὰ παιδεύει τὸν ἀκροατήν. Δείκνυσι γὰρ ὅτι κἂν μυρίαις βάλλωσι ταῖς ἀραῖς, εὐλογοῦντος τοῦ Θεοῦ, οὐδὲν ἔσται βλάβος ἀπ' ἐκείνων, ἀλλ' εἰς αὐτοὺς περιτραπήσεται τὰ τῆς αἰσχύνης, τὰ τῶν ὀνειδῶν. «Ὁ δὲ δοῦλος σου εὐφρανθήσεται ἐπὶ σοί». Καλῶς εἶπεν, «Ἐπὶ σοί», δηλῶν ὅτι ἐκεῖθεν ἡ εὐφροσύνη, ὅθεν ἡ χορηγία τῶν ἀγαθῶν. Λοιπὸν οὐδέν με τῶν μοχθηρῶν θορυβῆσαι δυνήσεται, τῆς εὐφροσύνης μοι τῆς παρὰ σοῦ μενούσης ἀκεραίας.

«Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν». Ὅρα πάλιν πῶς ἀξιοῖ μὴ κολάσει παραδοθῆναι αὐτοὺς μόνον, ἀλλ' αἰσχύνῃ, ἀλλ' ἐντροπῇ, ὥστε διδασκαλίαν αὐτοῖς γενέσθαι διορθώσεως, καὶ ὑπόθεσιν τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. «Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου». Ἀντὶ δὴ τούτων πάντων ἀμοιβὰς ἀνατίθησι τῷ Θεῷ τὴν ὑμνολογίαν, τὴν εὐχαριστίαν, τὸν αἶνον, τὸ παρὰ πᾶσιν ἀπαγγέλλειν αὐτοῦ τὰ κατορθώματα, τὸ ἐν μέσῳ θεάτρου κήρυκα γίνεσθαι τῶν αὐτῷ ὑπαρξάντων ἀγαθῶν. Τοῦτο γὰρ θυσία, τοῦτο προσφορά, τὸ τὰς εὐεργεσίας τοῦ Θεοῦ διαπαντὸς ἐπὶ μνήμης φέρειν, καὶ

αὔτη»; Ὅτι δική σου εἶναι ἡ συμμαχία. Ὅτι, λέγει, δική σου εἶναι ἡ βοήθεια. Διότι δὲν θέλω βέβαια μόνο νὰ σωθῶ, ἀλλὰ καὶ ἐκεῖνοι νὰ μάθουν ἀπὸ ποιὸν σώθηκα, ὥστε νὰ ἐπιτύχω διπλὸ τρόπαιο, διπλὸ στέφανο καὶ πολὺ μεγάλη δόξα. «Θὰ μὲ καταρασθοῦν αὐτοί, σὺ ὅμως θὰ μὲ εὐλογήσεις, θὰ καταισχυνθοῦν αὐτοὶ ποὺ ξεσηκώνονται ἐναντίον μου, ὁ δὲ δοῦλος σου θὰ εὐφρανθεῖ». Μὲ αὐτὰ τὰ λόγια διδάσκει στὸν ἀκροατὴ κάποια φιλοσοφία. Δείχνει δηλαδὴ πὼς καὶ ἂν ἀκόμη ἐξαπολύουν ἀμέτρητες κατάρες, ἐφόσον εὐλογεῖ ὁ Θεός, καμιὰ βλάβη δὲν θὰ προέλθει ἀπὸ ἐκείνους, ἀλλὰ σ' αὐτοὺς θὰ ἐπιστρέψουν τὰ ἀποτελέσματα τῶν αἰσχρῶν πράξεων καὶ τῶν κατηγοριῶν τους. «Ὁ δὲ δοῦλος θὰ εὐφρανθεῖ βρισκόμενος κάτω ἀπὸ τὴ σκέπη σου». Καλὰ εἶπε, «Ἐπί σοί», γιὰ νὰ δείξει ὅτι ἀπὸ ἐκεῖ προέρχεται ἡ εὐφροσύνη, ἀπ' ὅπου καὶ ἡ χορηγία τῶν ἀγαθῶν. Καμιὰ λοιπὸν ἐνέργεια τῶν φθονερῶν δὲν θὰ μπορέσει νὰ μὲ τρομάξει, καὶ θὰ παραμένει ἀκεραία ἡ εὐφροσύνη μου ποὺ πηγάζει ἀπὸ σένα.

«Ἂς ἐνδυθοῦν μὲ ἐντροπὴ αὐτοὶ ποὺ μὲ κατηγοροῦν καὶ ἂς περιβληθοῦν σὰν μανδύα τὴν αἰσχύνη τους». Πρόσεχε πάλι πῶς ζητεῖ νὰ μὴ παραδοθοῦν μόνο σὲ τιμωρία, ἀλλὰ σὲ αἰσχύνη καὶ σὲ ἐντροπή, ὥστε νὰ τοὺς γίνει μάθημα διορθώσεως καὶ ἀφορμὴ μεταβολῆς τους πρὸς τὸ καλύτερο. «Θὰ δοξολογήσω τὸν Κύριο μὲ τὸ στόμα μου καὶ ὅλη τὴ δύναμή μου καὶ μέσα σὲ πλῆθος πολὺ θὰ τὸν αἰνέσω. Διότι στάθηκε στὰ δεξιὰ τοῦ φτωχοῦ παραστάτης γιὰ νὰ σώσει τὴν ψυχή μου ἀπὸ ἐκείνους ποὺ μὲ καταδιώκουν». Ἀντὶ λοιπὸν ὅλων αὐτῶν προσφέρει στὸ Θεὸ σὰν ἀμοιβὲς τὴν ὑμνολογία, τὴν εὐχαριστία, τὴ δοξολογία, τὴ διακήρυξη τῶν κατορθωμάτων τοῦ Θεοῦ πρὸς ὅλους, τὸ ὅτι γίνεται κήρυκας μέσα σὲ μεγάλο πλῆθος ὅλων τῶν ἀγαθῶν ποὺ τοῦ συνέβησαν. Διότι αὐτὸ εἶναι θυσία, αὐτὸ εἶναι προσφορά, τὸ νὰ θυμᾶται κανεὶς συνεχῶς τὶς εὐεργεσίες τοῦ Θεοῦ, νὰ τὶς χαράσσει στὴ σκέψη του, νὰ τὶς

ἐγκολάπτειν τῇ διανοίᾳ, καὶ ἐπὶ στόματος ἀνακηρύττειν, καὶ πολλοὺς ποιεῖν ἀκουστὰς τῶν εὐεργεσιῶν αὐτοῦ. Οὕτω γὰρ ὅ τε ἀπολελαυκὼς τῆς εὐεργεσίας, εὐγνωμοσύνης λήψεται ἀμοιβήν, καὶ πλείονα ἐπισπάσεται παρὰ τοῦ Θεοῦ τὴν ῥοπήν, οἵ τε ἀκούοντες ἀπὸ τῶν ἑτέροις γινομένων σπουδαιότεροι κατασταθήσονται, καὶ πρὸς ἀρετῆς ζῆλον μεγίστην λήψονται τὴν ἑτέρων εὐεργεσίαν ὑπόθεσιν.

διακηρύσσει μὲ τὸ στόμα του καὶ νὰ κάμνει πολλοὺς ἀκουστὲς τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. Διότι ἔτσι καὶ ἐκεῖνος ποὺ ἀπήλαυσε τὴν εὐεργεσία θὰ λάβει ἀμοιβὴ τῆς εὐγνωμοσύνης του καὶ θ' ἀποσπάσει ἀπὸ τὸ Θεὸ μεγαλύτερη βοήθεια, καὶ αὐτοὶ ποὺ ἀκοῦν τὰ ὅσα γίνονται σὲ ἄλλους θὰ γίνουν καλύτεροι καὶ θὰ λάβουν μεγίστη ἀφορμὴ τὴν εὐεργεσία τῶν ἄλλων πρὸς μίμηση τῆς ἀρετῆς.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΘ΄ ΨΑΛΜΟΝ

*«Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου».*

*1. Διαναστῶμεν, παρακαλῶ, καὶ συντείνωμεν ἑαυτούς. Καὶ γὰρ περὶ σφόδρα μεγάλων ἡμῖν ὁ ψαλμὸς διαλέγεται θεωρημάτων, οὐ πρὸς ἓν εἶδος αἱρέσεως, ἀλλὰ πρὸς ποικίλα καὶ διάφορα ἑστηκώς. Καὶ γὰρ πρὸς Ἰουδαίους καὶ πρὸς Παῦλον τὸν Σαμοσατέα, καὶ πρὸς τοὺς τὰ Ἀρείου φρονοῦντας, καὶ πρὸς τοὺς τὰ Μαρκίωνος, καὶ πρὸς τοὺς Μανιχαίους, καὶ πρὸς ἅπαντας τοὺς τῇ ἀναστάσει διαπιστοῦντας παρατάττεται. Ἐπεὶ οὖν πρὸς τοσούτους ἡ παράταξις, πολλῶν καὶ ἡμῖν ὀφθαλμῶν δεῖ, ὥστε μετὰ ἀκριβείας θεωρῆσαι τὰ παλαίσματα. Ἐν μὲν γὰρ τοῖς ἔξωθεν ἀγῶσι κἂν παροφθῇ τι τῶν παλαισμάτων τῶν ἐν αὐτοῖς, οὐδὲ ἔβλαψε τὸν θεατήν· οὐ γὰρ διδασκαλίας ἕνεκεν, ἀλλὰ τέρψεως ἐκεῖνο τὸ θέατρον συνείλεκται. Ἐνταῦθα δὲ ἐὰν μὴ μετὰ ἀκριβείας εἰδῇς, πόθεν μὲν ἐκεῖνος παρατάττεται, πόθεν δὲ ἡμεῖς αὐτὸν βάλλομεν, οὐ τὴν τυχοῦσαν ὑποστήσῃ ζημίαν. Ἵν᾽ οὖν μὴ τοῦτο πάθῃς, διανάστησόν σου τὴν διάνοιαν, μετέωρον ποίησον τὴν ἀκοήν. Ἰουδαίους βάλλομεν πρώτους, καὶ πρὸς ἐκείνους παραταττόμεθα, τὸν προφήτην ἀπὸ τῶν ῥημάτων λαβόντες σύμμαχον τούτων. Καὶ γὰρ λεγόντων ἡμῶν, ὅτι σαφῶς περὶ τοῦ Χριστοῦ ταῦτα εἴρηται, ταῦτα μὲν οὐ καταδέχονται, ἕτερα δέ τινα πλάττουσιν. Οὐκοῦν πρῶτον αὐτῶν τὸν λόγον ἀπελέγξωμεν, καὶ τότε τὸν ἡμέτερον ἀποδείξωμεν.*

1. Ψαλμὸς τοῦ Δαυὶδ ποὺ χαρακτηρίσθηκε σὰν ὁ πιὸ ὑπέροχος ἀπ᾽ ὅλους τοὺς ψαλμούς, ἐξ αἰτίας τοῦ μεσσιακοῦ περιεχομένου του, πράγμα ποὺ ἀποδέχονται ὁμόφωνα ὅλοι οἱ Πατέρες ἀλλὰ καὶ οἱ Ραββῖνοι. Καὶ ὁ ἴδιος ὁ Κύριος χρησιμοποιεῖ αὐτὸν καὶ κατὰ τοὺς τρεῖς συνοπτικοὺς (Ματθ. 22, 41· Μάρκ. 12, 35· Λουκᾶ 20, 41). Κάθε προσπάθεια ὀρθολογιστικὴ παλαιὰ καὶ σύγχρονη ν᾽ ἀμφισβητήσει τὸν προφητικὸ καὶ μεσσιακὸ χαρακτῆρα τοῦ ψαλμοῦ ἀποδείχθηκε ἀδάσιμη.

# Ο Μ Ι Λ Ι Α
# ΣΤΟΝ ΡΘ΄ ΨΑΛΜΟ[1]

«Εἶπε ὁ Κύριος στὸν Κύριό μου· κάθησε στὰ δεξιά μου».

1. Ἂς ὑψωθοῦμε, παρακαλῶ, πνευματικὰ καὶ ἂς συγκεντρώσουμε τὴν προσοχή μας. Καθόσον ὁ ψαλμὸς μᾶς ὁμιλεῖ γιὰ πάρα πολὺ σπουδαῖα θέματα καὶ δὲν περιορίσθηκε σ' ἕνα μόνο εἶδος διδασκαλίας, ἀλλὰ συμπεριέλαβε ποικίλα καὶ διάφορα. Πράγματι λοιπὸν ἀντιτάσσεται καὶ πρὸς τοὺς Ἰουδαίους καὶ πρὸς τὸν Παῦλο τὸ Σαμοσατέα καὶ πρὸς ἐκείνους ποὺ ἀποδέχονται τὶς ἰδέες τοῦ Ἀρείου καὶ πρὸς τοὺς Μαρκιωνιστὲς καὶ πρὸς τοὺς Μανιχαίους καὶ πρὸς ὅλους ἐκείνους ποὺ ἀμφισβητοῦν τὴν ἀνάσταση. Ἐπειδὴ λοιπὸν ἡ παράταξη γίνεται πρὸς τόσους πολλούς, χρειαζόμαστε καὶ ἐμεῖς πολλοὺς ὀφθαλμούς, ὥστε μὲ προσοχὴ καὶ ἀκρίβεια νὰ παρακολουθήσουμε τοὺς ἀγῶνες. Διότι στοὺς μὲν μὴ χριστιανικοὺς ἀγῶνες καὶ ἂν ἀκόμη παραβλεφθεῖ κάποιο ἀπὸ τὰ ἀγωνίσματα ποὺ διεξάγονται, σὲ τίποτε δὲν ἔβλαψε τὸ θεατή, καθόσον τὸ πλῆθος ἐκεῖνο συγκεντρώνεται ὄχι γιὰ διδασκαλία, ἀλλὰ γιὰ εὐχαρίστηση, ἐδῶ ὅμως ἂν δὲν μάθεις μὲ ἀκρίβεια πῶς μὲν παρατάσσεται ὁ ἀντίπαλος, πῶς δὲ πολεμοῦμε ἐμεῖς αὐτόν, δὲν θὰ εἶναι μικρὴ ἡ ζημιὰ ποὺ θὰ ὑποστεῖς. Γιὰ νὰ μὴ πάθεις λοιπὸν αὐτό, ὕψωσε τὴ διάνοιά σου καὶ τέντωσε τὰ αὐτιά σου. Καὶ πρῶτα ὁ πόλεμός μας γίνεται πρὸς τοὺς Ἰουδαίους καὶ ἀπέναντι σ' αὐτοὺς ἀντιπαρατασσόμεθα, παίρνοντας σύμμαχο τὸν προφήτη μὲ τὰ λόγια του αὐτά. Καθόσον, ἐνῶ ἐμεῖς λέμε ὅτι αὐτὰ ἔχουν λεχθεῖ χωρὶς ἀμφιβολία περὶ τοῦ Χριστοῦ, αὐτὰ μὲν αὐτοὶ δὲν τὰ παραδέχονται, ἄλλα δὲ πλάθουν. Πρῶτα λοιπὸν θ' ἀποδείξουμε τὸ ἀβάσιμο τοῦ ἰσχυρισμοῦ τους, καὶ στὴ συνέχεια θ' ἀποδείξουμε τὴν ἀλήθεια τῆς δικῆς μας διδασκαλίας.

*Καὶ τέως ἐρώμεθα νῦν αὐτούς, τίς ὁ κύριος τοῦ δικαίου τούτου; «Εἶπε» γάρ, φησίν, «ὁ Κύριος τῷ Κυρίῳ μου». Οὐ γὰρ ἑνὸς προσώπου μέμνηται ἐνταῦθα, ἀλλ' ἑνὸς πρὸς ἕνα ἕτερον διαλεγομένου. Τίνα οὖν φασι τὸν λέγοντα; Τὸν Θεόν. Τὸν δὲ ἀκούοντα; Τὸν Ἀβραάμ. Ἕτεροι δὲ τὸν Ζοροβάβελ καὶ ἄλλοι ἕτερον· καθάπερ οἱ μεθύοντες, καὶ μηδὲν σύμφωνον φθεγγόμενοι, μᾶλλον δὲ καθάπερ οἱ ἐν σκότῳ βαδίζοντες, καὶ προσαράσσοντες ἀλλήλους. Τί οὖν, εἰπέ μοι, Ζοροβάβελ κύριος τοῦ Δαυίδ; Καὶ πῶς ἂν ἔχοι λόγον, ὃς καὶ αὐτὸς ἀντὶ μεγάλης τιμῆς Δαυὶδ κέκληται; Καὶ τὰ ἐπιόντα δὲ δηλοῖ, ὅτι οὐδὲν περὶ τοῦ Ζοροβάβελ ἐνταῦθα εἴρηται. οὐδὲ περὶ τοῦ Δαυίδ· οὐδεὶς γὰρ αὐτῶν ἱερωσύνῃ τετίμηται· ἐνταῦθα δὲ περί τινος εἴρηται ἱερωσύνην ἔχοντος ξένην τινὰ καὶ παράδοξον. «Σὺ» γάρ, φησίν, «ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ». Ἀλλὰ τέως τὸ παρὸν ἀναπτύξωμεν. Καὶ γὰρ καὶ ἕτερά τινα λέγουσι τούτων ἑωλότερα, περὶ τοῦ λαοῦ λέγοντες ταῦτα εἰρῆσθαι· ἀλλ' οὔτε ἱερεὺς ὁ λαὸς γέγονεν, οὔτε τὰ ἕτερα τὰ εἰρημένα δυνηθείη ποτὲ αὐτῷ ἁρμόσαι. Διόπερ καὶ τοῦτο ὡς ἕωλον παραδραμόντες, καὶ οὔτε κατασκευῆς δεόμενον εἰς ἀνατροπήν, ἕτερον ὅπερ λέγουσιν εἰς μέσον ἀγάγωμεν.*

*Τί γάρ φασιν ἄλλοι πάλιν; Ὅτι ὁ παῖς τοῦ Ἀβραὰμ ταῦτα λέγει περὶ τοῦ κυρίου τοῦ ἑαυτοῦ. Καὶ τί τούτου γένοιτο ἂν πάλιν ἑωλότερον; Τί γὰρ ἐνταῦθα βούλεται ὁ παῖς τοῦ Ἀβραάμ; Ποῦ δὲ ἱερεὺς ὁ κύριος αὐτοῦ γέγονεν, ὅς γε καὶ αὐτὸς ἱερεῖ τῷ Μελχισεδὲκ ἐκέχρητο, καὶ τὰς παρ' αὐτοῦ εὐλογίας ἐζήτει; Πῶς δὲ ἂν ἔχοι λόγον περὶ Ἀβραὰμ εἰρῆσθαι τό, «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε»; πῶς δ'*

2. Ψαλμ. 109, 4.
3. Γεν. 14, 18-20.

Καὶ πρῶτα ἂς ρωτήσουμε τώρα αὐτούς, ποιὸς εἶναι ὁ κύριος αὐτοῦ τοῦ δικαίου; Καθόσον λέγει, «Εἶπε ὁ Κύριος στὸν Κύριό μου». Διότι ἐδῶ δὲν ἀναφέρει ἕνα πρόσωπο, ἀλλὰ παρουσιάζει ἕνα πρόσωπο ποὺ συνομιλεῖ μὲ ἕνα ἄλλο. Ποιὸς λοιπὸν λέγουν ὅτι εἶναι αὐτὸς ποὺ ὁμιλεῖ; Ὁ Θεός. Ποιὸς δὲ ἀκούει; Ὁ Ἀβραάμ. Ἄλλοι δὲ λέγουν ὅτι εἶναι ὁ Ζοροβάβελ καὶ ἄλλοι ὅτι εἶναι ἄλλος. Μοιάζουν μὲ μεθυσμένους, χωρὶς νὰ συμφωνεῖ τίποτε ἀπ' αὐτὰ ποὺ λέγουν, μᾶλλον δὲ εἶναι σὰν νὰ βαδίζουν μέσα στὸ σκοτάδι καὶ προσκρούουν ὁ ἕνας στὸν ἄλλο. Τί λοιπόν, πές μου, ὁ Ζοροβάβελ εἶναι κύριος τοῦ Δαυΐδ; Καὶ πῶς θὰ μποροῦσε νὰ δικαιολογηθεῖ αὐτό, τὴ στιγμὴ ποὺ καὶ αὐτὸς ὁ ἴδιος ἀντὶ μεγάλης τιμῆς ὀνομάσθηκε *Δαυΐδ; Καὶ τὰ ὅσα δὲ ἀκολουθοῦν* φανερώνουν, ὅτι τίποτε ἐδῶ δὲν λέχθηκε γιὰ τὸν Ζοροβάβελ, οὔτε γιὰ τὸ Δαυΐδ· διότι κανένας ἀπὸ αὐτοὺς δὲν τιμήθηκε μὲ τὴν ἱερωσύνη· ἐνῶ ἐδῶ γίνεται λόγος γιὰ κάποιον ποὺ εἶναι τιμημένος μὲ κάποια ἱερωσύνη πολὺ διαφορετικὴ καὶ παράδοξη. Διότι λέγει· «Σὺ εἶσαι ἱερέας αἰώνιος κατὰ τὴν τάξη τοῦ Μελχισεδέκ»[2]. Ἀλλὰ πρῶτα ἂς ἀναπτύξουμε αὐτὸ ποὺ ἀρχίσαμε. Καθόσον καὶ ὁρισμένα ἄλλα λέγουν πολὺ πιὸ ἀβάσιμα ἀπὸ αὐτά, λέγοντας ὅτι αὐτὰ λέχθηκαν γιὰ τὸ λαό· ἀλλ' ὁ λαὸς οὔτε ἱερέας ἔγινε, οὔτε τὰ ἄλλα ποὺ ἀναφέρονται θὰ μπορέσουν ποτὲ νὰ προσαρμοσθοῦν στὸ λαό. Γι' αὐτὸ ἀκριβῶς καὶ αὐτὸ ἀφοῦ τὸ προσπεράσουμε σὰν κάτι ποὺ δὲν ἔχει καμιὰ βάση καὶ ποὺ δὲν χρειάζεται οὔτε καὶ ἐπιχειρήματα γιὰ ν' ἀνατραπεῖ, ἂς ἀναφέρουμε κάποιο ἄλλο ποὺ μᾶς προβάλλουν.

Τί λοιπὸν λέγουν πάλι ἄλλοι; Ὅτι αὐτὰ τὰ λέγει ὁ δοῦλος τοῦ Ἀβραὰμ γιὰ τὸν κύριό του. Καὶ τί θὰ μποροῦσε πάλι νὰ ὑπάρχει πιὸ ἀβάσιμο ἀπὸ αὐτό; Διότι τί θέλει ἐδῶ ὁ δοῦλος τοῦ Ἀβραάμ; Ποῦ δὲ ὁ κύριός του ἔγινε ἱερεύς, αὐτὸς ποὺ ὁ ἴδιος χρησιμοποιοῦσε τὸν ἱερέα Μελχισεδὲκ καὶ ζητοῦσε τὶς εὐλογίες αὐτοῦ[3]; Πῶς δὲ θὰ μποροῦσε νὰ δικαιολογηθεῖ ὅτι λέχθηκε γιὰ τὸν Ἀβραὰμ τὸ «Σὲ γέννησα

*ἂν ἢ τῷ Δαυίδ, ἢ τῷ Ζοροβάβελ, ἢ τῷ λαῷ ταῦτα ἁρμόσειεν; Ὑπὲρ γὰρ ἀνθρωπίνην φύσιν τὸ εἰρημένον. Τὸ δέ, «Κάθου ἐκ δεξιῶν μου», ποίαν ἂν σχοίη ἑρμηνείαν, ἐκείνων τῶν προσώπων ὑποκειμένων; Οὐδὲ μίαν. Πῶς δὲ τῷ Ἀβραὰμ εἶπε, «Κάθου ἐκ δεξιῶν μου», ὅς γε καὶ τὸ παρεστάναι τοῖς ἀγγέλοις μεγίστης ἄξιον ἡγεῖται τιμῆς εἶναι; Ἀλλὰ τίς αὐτῶν ὁ σοφὸς λόγος; Καὶ πῶς, φησί, Κύριον εἰσάγεις ἕτερον, ὅταν ἡ Γραφὴ διαῤῥήδην λέγῃ, «Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι Θεός»; Πρὸς τίνα οὖν, εἰπέ μοι, ἐστὶ τὸ λεγόμενον; Μάλιστα μὲν ἐκεῖνα πρὸς τὴν σὴν ἀγνωμοσύνην εἴρηται, ὦ Ἰουδαῖε. Διὰ τί γὰρ τῷ Ἀβραὰμ οὐδὲν ἐλέχθη τοιοῦτον, οὐδὲ τῷ Ἰσαάκ, οὐδὲ τῷ Ἰακώβ, οὐδὲ τῷ Μωϋσεῖ, ἀλλὰ σοὶ μόνῳ, ὅτε ἐξελθὼν ἐξ Αἰγύπτου ἐμοσχοποίεις; τίνος ἕνεκεν, εἰπέ μοι; Εἰ δὲ αὐτὸς ἀπορεῖς παρ' ἐμοῦ τὴν αἰτίαν μάνθανε.*

*Ἐπειδὴ γὰρ ἐξελθὼν ἐμοσχοποίησας, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθης, καὶ πρὸς δῆμον θεῶν ἧς ἐπτοημένος, τὴν ἄνομον ἐκείνην πολυθεΐαν εἰσάγων, ἀναστέλλων σου τὸ νόσημα, πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν τὸ «Εἷς» ἔθηκεν, οὐ πρὸς ἀθέτησιν τοῦ Μονογενοῦς. Ἐπεὶ τίνος ἕνεκεν ἐν προοιμίοις εἴρηται εὐθέως, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν»; Καὶ πάλιν, «Δεῦτε καὶ καταβάντες συγχέωμεν τὰς γλώσσας αὐτῶν». Καὶ πάλιν ὁ Δαυίδ, «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου». Εἰ δὲ ὁ Μωϋσῆς λέγει, «Κύριος ὁ Θεός σου*

---

4. Ψαλμ. 109, 3.
5. Δευτ. 6, 4 - 13 καὶ 4, 35.
6. Ἐξ. κεφ. 32.
7. Ἀριθμ. κεφ. 25.
8. Γεν. 1, 26.
9. Γεν. 11, 7.
10. Ψαλμ. 44, 8

ἀπὸ τοὺς κόλπους μου πρὶν ἀπὸ τὸν ἑωσφόρο»[4]; πῶς θὰ μποροῦσαν αὐτὰ νὰ προσαρμοσθοῦν ἢ στὸν Δαυὶδ ἢ στὸν Ζοροβάβελ ἢ στὸ λαό; Διότι αὐτὸ ποὺ λέχθηκε ὑπερβαίνει τὴν ἀνθρώπινη φύση. Τὸ δέ, «Κάθησε στὰ δεξιά μου», ποιὰ ἑρμηνεία θὰ μποροῦσε νὰ ἔχει, τὴν στιγμὴ ποὺ τὰ πρόσωπα ἐκεῖνα εἶναι κατώτερα; Καμιά. Πῶς δὲ εἶπε στὸν Ἀβραάμ, «Κάθησε στὰ δεξιά μου», αὐτὸς ποὺ θεωρεῖται ὅτι εἶναι ἄξιος μεγίστης τιμῆς καὶ τὸ νὰ στέκεται πλησίον τῶν ἀγγέλων; Ἀλλὰ ποιὸς εἶναι ὁ σοφὸς λόγος αὐτῶν; Καὶ πῶς, λέγει, εἰσάγεις ἄλλο Κύριο, ὅταν ἡ Γραφὴ μὲ μεγάλη σαφήνεια λέγει, «Κύριος ὁ Θεός σου εἶναι ἕνας Κύριος, αὐτὸν μόνο θὰ λατρεύσεις, καὶ ἐκτὸς ἀπὸ αὐτὸν δὲν ὑπάρχει ἄλλος Θεός»[5]; Σὲ ποιὸν λοιπόν, πές μου, ἀναφέρεται τὸ λεγόμενο; Καὶ βέβαια ἐκεῖνα μέν, Ἰουδαῖε, λέχθηκαν ἐξαιτίας τῆς δικῆς σου ἀγνωμοσύνης. Διότι γιατί δὲν λέχθηκε τίποτε τὸ παρόμοιο στὸν Ἀβραάμ, οὔτε στὸν Ἰσαάκ, οὔτε στὸν Ἰακώβ, οὔτε στὸ Μωυσῆ, ἀλλὰ σὲ σένα μόνο, ὅταν ἐξῆλθες ἀπὸ τὴν Αἴγυπτο καὶ λάτρευες τὸ μόσχο ποὺ κατασκεύασες[6]; Πές μου γιὰ ποιὸ λόγο; Ἂν δὲ σὺ δὲν μπορεῖς νὰ μοῦ τὸ πεῖς, μάθε ἀπὸ μένα τὴν αἰτία.

Ἐπειδὴ δηλαδὴ μετὰ τὴν ἔξοδό σου κατασκεύασες μόσχο, ἔλαβες μέρος στὶς τελετὲς τοῦ Βεελφεγώρ[7] καὶ δελεάσθηκες ἀπὸ τὸ πλῆθος τῶν εἰδωλολατρικῶν θεῶν, εἰσάγοντας τὴν παράνομη ἐκείνη πολυθεΐα, ἀνακόπτοντας καὶ θεραπεύοντας τὴν ἀσθένειά σου αὐτή, σὲ ἀντιδιαστολὴ μὲ τοὺς ἀνύπαρκτους θεούς, ἀνέφερε τὸ «Ἕνας», καὶ ὄχι γιὰ ν' ἀθετήσει τὸν Μονογενὴ Υἱό του. Διότι γιὰ ποιὸ λόγο λέχθηκε εὐθὺς ἐξ ἀρχῆς, «Ἂς δημιουργήσουμε ἄνθρωπο κατ' εἰκόνα καὶ ὁμοίωσή μας»[8]; Καὶ πάλι, «Ἐλᾶτε νὰ κατεβοῦμε καὶ νὰ προκαλέσουμε σύγχυση στὶς γλῶσσες τους»[9]. Καὶ πάλι ὁ Δαυὶδ λέγει· «Γι' αὐτὸ σὲ ἔχρισε ὁ Θεός, ὁ Θεός σου, μὲ τὸ χρίσμα ἐκεῖνο ποὺ προξενεῖ ἀγαλλίαση σ' ὅλους ἐκείνους ποὺ μετέχουν σ' αὐτὴ τὴ χρίση»[10]. Ἂν δὲ ὁ Μωυσῆς λέγει, «Κύριος ὁ Θεός σου, ἕνας εἶναι ὁ Κύ-

Κύριος εἷς ἐστιν», ἡ ὑμετέρα ἀσθένεια γέγονεν αἰτία τούτων. Καὶ τί θαυμάζεις εἰ ἐπὶ τῶν δογμάτων τοῦτο γέγονεν, ὅπου γε καὶ ἐπὶ τῶν πραγμάτων ἀπὸ τῶν τελειοτέρων ἐπὶ τὰ ἐλάττονα τὸν λόγον ἦγεν ὁ Θεός, τῇ ἀσθενείᾳ τῇ ἡμετέρᾳ συγκαταβαίνων; Διὸ καὶ γυναῖκα τὴν μὲν ἐκβάλλειν, τὴν δὲ εἰσάγειν ἐπέτρεπεν, ἀπ' ἀρχῆς οὐχ οὕτω νομοθετήσας. Καὶ περὶ βρωμάτων πολλὴν ἐποιήσατο τὴν διάκρισιν, καίτοι γε ἐξ ἀρχῆς τὰ ἐναντία εἰπών, ὅτι «Ὡς λάχανα χόρτου δέδωκα ὑμῖν πάντα». Καὶ περὶ τόπου πολλοὺς τέθεικε νόμους, οὐ συγχωρῶν πανταχοῦ τὰς εὐχὰς ἐπιτελεῖν, καίτοι γε οὐδὲ τοῦτο ἐξ ἀρχῆς ἐνομοθέτησεν. Ἀλλὰ καὶ ἐν τῇ Περσῶν γῇ τῷ Ἀβραὰμ ὤφθη, καὶ ἐν Παλαιστίνῃ, καὶ πανταχοῦ καὶ τῷ Μωϋσεῖ μετὰ ταῦτα ἐπὶ τῆς ἐρήμου.

2. Τί οὖν; ἑαυτῇ, φησί, μάχεται ἡ Γραφή; Ἄπαγε· ἀλλὰ κατὰ καιρὸν πρὸς τὸ συμφέρον ἕκαστα οἰκονομεῖ, τὴν ἀσθένειαν ἑκάστης γενεᾶς διορθούμενος. Διὰ δὴ τοῦτο πρὸς σὲ μὲν εἴρηται, «Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν», ὅτι δὲ καὶ Υἱὸν ἔχει, προαπέθεντο οἱ προφῆται ταῖς βίβλοις, καὶ οὔτε σαφῶς σφόδρα εἰρήκασιν, ὥστε μὴ λυμήνασθαί σου τὴν ἀσθένειαν, οὔτε ἀπέκρυψαν, ὥστε μετὰ ταῦτά σοι δοῦναι ἀναγνῆναι, καὶ ἐκ τῶν οἰκείων βίβλων ἀναλέξασθαι τῆς ἀληθείας τὰ δόγματα. Οὕτω μάλιστα καὶ τοὺς προφήτας δυνησόμεθα δεῖξαι προφήτας ὄντας, ὅταν πρὸς Ἕλληνας διαλεγώμεθα, καὶ ἀξιόπιστον σφόδρα τὴν Παλαιὰν ἀποδείξομεν. Ἐπεὶ ἐὰν τοῦτο ἀνέλῃς, πῶς ἀπορράψεις τοῦ Ἕλληνος τὸ στόμα; Τί γὰρ ἐρεῖς; τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου καὶ τὰ εἰς σὲ προφητευθέντα; Ἀλλ' οὐ σφόδρα καταδέξεται. Ἂν δὲ τὰ περὶ τοῦ Χριστοῦ εἰρημένα ἐν τῇ Παλαιᾷ διηγήσῃ, καὶ

11. Δευτ. 24, 1 ἑ.
12. Γεν. 9, 3.

ριός σου», ἡ δική σας ἀδυναμία ἔγινε αἰτία αὐτῶν τῶν λόγων. Καὶ γιατί ἀπορεῖς ἂν αὐτὸ ἔγινε στὶς ἀλήθειες τῆς πίστεως, τὴ στιγμὴ βέβαια ποὺ καὶ στὰ πράγματα ὁδηγοῦσε τὸ λόγο ἀπὸ τὰ τελειότερα πρὸς τὰ κατώτερα, συγκαταβαίνοντας στὴ δική μας ἀδυναμία; Γι' αὐτὸ καὶ ἐπέτρεπε τὴ μὲν μία γυναίκα ν' ἀπομακρύνει, ἄλλη δὲ νὰ παίρνει, ἐνῶ ἀπὸ τὴν ἀρχὴ δὲν νομοθέτησε τὸ ἴδιο[11]. Καὶ σχετικὰ μὲ τὶς τροφὲς ἔκαμε μεγάλη διάκριση, ἂν καὶ βέβαια ἀπὸ τὴν ἀρχὴ εἶπε τ' ἀντίθετα, ὅτι «Σὰν τὰ λάχανα καὶ τὰ χόρτα σᾶς τὰ ἔδωσα ὅλα αὐτά»[12]. Καὶ γιὰ τὸν τόπο προσευχῆς θέσπισε πολλοὺς νόμους, μὴ ἐπιτρέποντας παντοῦ νὰ κάμνουν τὶς προσευχές τους, ἂν καὶ βέβαια οὔτε αὐτὸ τὸ νομοθέτησε ἀπὸ τὴν ἀρχή. Ἀλλὰ καὶ στὴ χώρα τῶν Περσῶν παρουσιάσθηκε ὁ Θεὸς στὸν Ἀβραὰμ καὶ στὴν Παλαιστίνη καὶ παντοῦ, καθὼς καὶ στὸ Μωυσῆ στὴ συνέχεια στὴν ἔρημο.

2. Τί λοιπόν, ἡ Γραφὴ μάχεται, λέγει, τὸν ἑαυτό της; Μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ἀνάλογα μὲ τὶς περιστάσεις τὰ ρυθμίζει ὅλα πρὸς τὸ συμφέρον τοῦ ἀνθρώπου, διορθώνοντας τὴν ἀδυναμία κάθε γενεᾶς. Γι' αὐτὸ λοιπὸν πρὸς ἐσένα μὲν λέχθηκε, «Κύριος ὁ Θεός σου, ἕνας εἶναι ὁ Κύριος», τὸ ὅτι δὲ ἔχει καὶ Υἱό, τὸ προανέφεραν οἱ προφῆτες στὰ βιβλία, καὶ δὲν τὸ εἶπαν πολὺ καθαρά, γιὰ νὰ μὴ βλάψουν τὴν ἀδυναμία σου, οὔτε τὸ ἀπέκρυψαν, γιὰ νὰ σοῦ δώσουν στὴ συνέχεια τὴν εὐκαιρία νὰ συνέλθεις καὶ ἀπὸ τὰ βιβλία τους νὰ συλλέξεις τὰ δόγματα τῆς ἀλήθειας. Ἔτσι βέβαια θὰ μπορέσουμε καὶ νὰ δείξουμε τοὺς προφῆτες ὅτι εἶναι προφῆτες, ὅταν συζητοῦμε μὲ ἐθνικούς, καὶ ν' ἀποδείξουμε πάρα πολὺ ἀξιόπιστη τὴν Παλαιὰ Διαθήκη. Διότι, ἂν ἀπορρίψεις αὐτό, πῶς θὰ κλείσεις τὸ στόμα τοῦ ἐθνικοῦ; Διότι τί θὰ τοῦ πεῖς; τὴν ἔξοδο ἀπὸ τὴν Αἴγυπτο καὶ τὰ προφητευθέντα σὲ σένα; Ἀλλ' αὐτὴν δὲν θὰ τ' ἀποδεχθεῖ μὲ κανένα τρόπο. Ἂν δὲ τοῦ διηγηθεῖς τὰ ὅσα λέγονται στὴν Π. Διαθήκη γιὰ τὸ Χριστὸ καὶ ἀποδείξεις τὴν ἀλήθεια

*δείξῃς τῶν πραγμάτων τὴν ἀλήθειαν μαρτυροῦσαν τῇ τῆς προφητείας ἐκβάσει, οὐδὲ ἀντιστῆναι δυνήσεται. Εἰ δὲ ἐπιλάβοιο τῶν ἡμετέρων, ὦ Ἰουδαῖε, πῶς ὑπὲρ τῆς Παλαιᾶς ἀπολογήσῃ; Κἂν τις εἴπῃ σοι, πόθεν ἀληθῆ τὰ Μωϋσέως, τί ἐρεῖς; Ὅτι ἐπιστεύσαμεν αὐτοῖς. Οὐκοῦν πολλῷ μᾶλλον καὶ τὰ ἡμέτερα· καὶ γὰρ καὶ ἡμεῖς ἐπιστεύσαμεν· καὶ ὑμεῖς μὲν ἓν ἔθνος ἐστέ, ἡμεῖς δὲ πᾶσα ἡ οἰκουμένη, καὶ ὑμᾶς οὐχ οὕτως ἔπεισε Μωϋσῆς, ὡς ἡμᾶς ὁ Χριστός· καὶ τὰ μὲν ὑμέτερα πέπαυται, τὰ δὲ ἡμέτερα ἕστηκεν.*

*Ἀλλ' ἀπὸ τῶν προρρήσεων; Ἀλλὰ πλείω τὰ παρ' ἡμῖν. Οὐκοῦν τὰ ἡμέτερα ἐὰν ἀνέλῃς, καὶ τὰ σὰ συσκιάζεις. Ἀλλ' ἀπὸ τῶν σημείων; Ἀλλ' ὑμεῖς οὐδὲν ἔχετε δεῖξαι Μωϋσέως σημεῖον· γέγονε γὰρ καὶ παρῆλθεν· ἡμεῖς δὲ τοῦ Χριστοῦ πολλὰ καὶ διάφορα ἔτι καὶ νῦν γινόμενα, καὶ τὰς προρρήσεις ὑπὲρ τὸν ἥλιον λαμπούσας. Ἀλλ' ἀπὸ τῶν νόμων; Ἀλλὰ ταῦτα φιλοσοφώτερα. Ἀλλὰ τί; τῶν Αἰγυπτίων κωλυόντων ἐξήλθετε; Ἀλλ' οὐκ ἔστιν ἴσον τῆς οἰκουμένης πολεμούσης περιγενέσθαι, καὶ Αἰγυπτίων μόνων κρατῆσαι. Καὶ ταῦτα λέγω, οὐ μάχην εἰσάγων τῇ Παλαιᾷ πρὸς τὴν Καινήν· ἄπαγε· ἀλλὰ τὴν Ἰουδαίων ἀγνωμοσύνην ἐπιστομίσαι βουλόμενος. Καὶ γὰρ ἐκεῖνα καὶ ταῦτα ὑπὸ τοῦ Θεοῦ τοῦ αὐτοῦ δέδοται καὶ γεγένηται· ἀλλ' ἐκεῖνο κατασκευάσαι θέλω, ὅτι ὁ Ἰουδαῖος ἀνελὼν τὰς προφητείας τὰς περὶ Χριστοῦ, τὸ πλέον τῶν προφητειῶν λυμαίνεται μέρος, καὶ οὐκ ἂν ἔχοι δεῖξαι σαφῶς τὴν εὐγένειαν τῆς Παλαιᾶς, εἰ μὴ τὴν Καινὴν παραδέξαιτο. Ὅ-*

τῶν πραγμάτων ἐπιβεβαιωμένη ἀπὸ τὴν πραγματοποίηση τῆς προφητείας, δὲν θὰ μπορέσει νὰ προβάλει καμιὰ ἀντίσταση. Ἂν δέ, Ἰουδαῖε, συμβεῖ ν' ἀπορρίψεις τὰ δικά μας πῶς θ' ἀπολογηθεῖς ὑπὲρ τῆς Παλαιᾶς Διαθήκης; Καὶ ἂν κάποιος σὲ ρωτήσει, πῶς εἶναι ἀληθινὰ τὰ ὅσα λέγει ὁ Μωυσῆς, τί θὰ τοῦ πεῖς; Ὅτι πιστέψαμε σ' αὐτά. Πολὺ περισσότερο λοιπὸν καὶ τὰ δικά μας· καθόσον καὶ ἐμεῖς πιστέψαμε· καὶ σεῖς μὲν εἶστε ἕνα ἔθνος, ἐνῶ ἐμεῖς ὅλη ἡ οἰκουμένη· καὶ σᾶς δὲν σᾶς ἔπεισε τόσο ὁ Μωυσῆς, ὅσο ἐμᾶς ὁ Χριστός· καὶ τὰ μὲν δικά σας ἔπαψαν νὰ ἰσχύουν, ἐνῶ τὰ δικά μας μένουν ἀπαρασάλευτα.

Μήπως ὅμως ἀπὸ τὶς προφητεῖες; Ἀλλὰ τὰ δικά μας εἶναι περισσότερα. Ἂν λοιπὸν ἀρνηθεῖς τὰ δικά μας, συσκοτίζεις καὶ τὰ δικά σας. Μήπως ὅμως ἀπὸ τὰ θαύματα; Ἀλλὰ σεῖς δὲν ἔχετε νὰ δείξετε κανένα θαῦμα τοῦ Μωϋσέως· διότι ἔγιναν καὶ πέρασαν· ἐμεῖς ὅμως ἔχομε νὰ δείξουμε τοῦ Χριστοῦ πολλὰ καὶ διάφορα, ποὺ καὶ σήμερα ἀκόμα συμβαίνουν, καὶ τὶς προφητεῖες ποὺ λάμπουν περισσότερο ἀπὸ τὸν ἥλιο. Μήπως ὅμως ἀπὸ τοὺς νόμους; Ἀλλ' τὰ δικά μας εἶναι φιλοσοφώτερα. Ἀλλὰ τί; μήπως τὸ ὅτι ἐξήλθατε ἀπὸ τὴν Αἴγυπτο ἐμποδιζόμενοι ἀπὸ τοὺς Αἰγυπτίους; Ἀλλὰ δὲν εἶναι τὸ ἴδιο νὰ ὑπερισχύσει κανεὶς ἐνῶ πολεμεῖται ἀπὸ τὴν οἰκουμένη, καὶ τὸ νὰ νικήσει μόνο τοὺς Αἰγυπτίους. Καὶ αὐτὰ τὰ λέγω ὄχι γιὰ νὰ δημιουργήσω δισμάχη μεταξὺ τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ἐπειδὴ θέλω ν' ἀποστομώσω τὴν ἀγνωμοσύνη τῶν Ἰουδαίων. Καθόσον καὶ ἐκεῖνα καὶ αὐτὰ δόθηκαν καὶ ἔγιναν ἀπὸ τὸν ἴδιο τὸ Θεό· ἀλλ' ἐκεῖνο θέλω νὰ δείξω, ὅτι δηλαδὴ ὁ Ἰουδαῖος, ἀφοῦ ἀπέρριψε τὶς προφητεῖες περὶ τοῦ Χριστοῦ, καταστρέφει τὸ μεγαλύτερο μέρος τῶν προφητειῶν, καὶ δὲν θὰ μποροῦσε ν' ἀποδείξει καθαρότατα τὴν εὐγένεια τῆς Παλαιᾶς Διαθήκης, ἂν δὲν παραδεχόταν τὴν Καινή. Τὸ ὅτι δὲ τὰ λεχθέντα δὲν λέχθηκαν γιὰ ἄνθρωπο, γίνεται ὁλοφάνερο

*τι δὲ οὐ περὶ ἀνθρώπου τὰ εἰρημένα, καὶ ἐκ τοῦ λέγεσθαι, «Κάθου ἐκ δεξιῶν μου», καὶ ἐκ τοῦ Κύριον ὀνομάζεσθαι ὁμοίως τῷ λέγοντι Κυρίῳ, καὶ ἐκ τοῦ 'ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγενῆσθαι αὐτόν', καὶ ἐκ τοῦ 'ἱερέα αὐτὸν εἶναι κατὰ τὴν τάξιν Μελχισεδέκ', καὶ ἐκ τοῦ λέγεσθαι, «Μετὰ σοῦ ἡ ἀρχή σου», τοῖς νοῦν ἔχουσι κατάδηλόν ἐστι.*

*Εἰ δὲ ἕτερος ἡμῖν Ἰουδαῖος ἀνακύπτει πάλιν πρόσωπον Χριστιανοῦ περιφέρων, Παῦλος ὁ Σαμοσατεύς, λέγω, δυνατὸν μὲν καὶ πρὸς τοῦτον καὶ ἀπὸ τῆς Καινῆς λέγειν. Πλὴν ἀλλ' ἵνα μὴ δόξωμεν τὰ παρόντα ἀφέντες ἐφ' ἕτερον μέρος παρατάξεως ἰέναι, καὶ τοῦτον ἐντεῦθεν βάλλωμεν. Τί οὖν καὶ οὗτος λέγει; Ὅτι ἄνθρωπος ἦν, φησί, ψιλός, καὶ ἐξ οὗ γέγονεν ἐκ Μαρίας, ἐξ ἐκείνου τὴν ὕπαρξιν μόνον ἔχει. Τί οὖν, εἰπέ μοι, πρὸς ἐκείνην τὴν ῥῆσιν ἐρεῖς τὴν λέγουσαν, «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε»; Δεῖ δὲ τὰ ἄλλα, ἅπερ πρὸς Ἰουδαίους εἴρηται, καὶ πρὸς τοὺς ἀπὸ τούτου εἰπεῖν. Καὶ τούτου οὐχ ἡμεῖς αἴτιοι, ἀλλ' αὐτοὶ οὗτοι οἱ πολλὴν τὴν συγγένειαν τῶν δογμάτων πρὸς αὐτοὺς ἔχοντες· ὅθεν καὶ τοῖς αὐτοῖς ὅπλοις κατὰ τούτων χρησόμεθα. Τοὺς γὰρ ὁμοίως πολεμοῦντας τοῖς αὐτοῖς βέλεσι βάλλειν δεῖ.*

*Τί οὖν βούλεται ἡ κοινωνία τοῦ θρόνου; Ἐνταῦθα γὰρ τὸ ὁμότιμον δείκνυται, ὃ καὶ τοὺς τὰ Ἀρείου φρονοῦντας ἐπιστομίσαι ἱκανόν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς πρὸς τοὺς Ἰουδαίους λέγοντας, ὅτι υἱὸς τοῦ Δαυίδ ἐστιν, ἐπήγαγε λέγων· «Πῶς οὖν Δαυὶδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου»; Προϊὼν δὲ καὶ τὸν περὶ τῆς οἰκονομίας κινεῖ λόγον σαφέστερον ἑρμηνεύων ὁ Παῦλος καὶ Μαρκίωνι καὶ Μανιχαίῳ,*

13. Παῦλος Σαμοσατεύς.
14. Ματθ. 22, 43-44.

σ' ἐκείνους πού ἔχουν μυαλό καί ἀπ' αὐτό πού λέγει, «Κάθησε στά δεξιά μου», καί ἀπό τό ὅτι ὀνομάζεται Κύριος ὅμοια μ' ἐκεῖνον πού τόν ὀνομάζει Κύριο, καί ἀπό τό ὅτι γεννήθηκε ἀπό τούς κόλπους του πρίν ἀπό τόν ἑωσφόρο, καί ἀπό τό ὅτι 'αὐτός εἶναι ἱερέας κατά τήν τάξη Μελχισεδέκ' καί ἀπ' αὐτό πού λέγει, «Δική σου εἶναι ἡ ἐξουσία».

Ἄν δέ πάλι παρουσιασθεῖ σ' ἐμᾶς ἄλλος Ἰουδαῖος, φορώντας προσωπεῖο χριστιανοῦ, ἐννοῶ ὁ Παῦλος ὁ Σαμοσατέας[13], μποροῦμε μέν καί πρός αὐτόν ν' ἀπαντήσουμε ἀπό τά λεγόμενα τῆς Καινῆς Διαθήκης. Πλήν ὅμως, γιά νά μή φανοῦμε ὅτι ἀφήνουμε τά παρόντα καί μεταβαίνομε σ' ἄλλο μέρος τῆς παρατάξεως, καί αὐτόν ἀπό ἐδῶ ἄς τόν πολεμήσουμε. Τί λοιπόν λέγει καί αὐτός; Ὅτι, λέγει, ἦταν ἄνθρωπος ἁπλός, καί ὅτι ἔχει τήν ὕπαρξη ἀπό τόν Πατέρα μόνο ὡς πρός τό ὅτι γεννήθηκε ἀπό τή Μαρία. Τί λοιπόν, πές μου, θ' ἀπαντήσεις πρός τή φράση ἐκείνη πού λέγει, «Σέ γέννησα ἀπό τούς κόλπους τῆς κοιλίας μου πρίν ἀπό τή δημιουργία τοῦ ἑωσφόρου»; Πρέπει δέ τά ἄλλα πού λέχθηκαν πρός τούς Ἰουδαίους, αὐτά νά πεῖ κανείς καί πρός τούς ὀπαδούς αὐτοῦ. Καί γι' αὐτό δέν θά εἴμαστε ἐμεῖς αἴτιοι, ἀλλ' αὐτοί οἱ ἴδιοι πού ἔχουν πολλή τή συγγένεια τῶν δογμάτων πρός αὐτούς· ἄρα θά χρησιμοποιήσουμε τά ἴδια ὅπλα καί ἐναντίον αὐτῶν. Διότι πρέπει ἐκείνους πού πολεμοῦν μαζί νά τούς πολεμεῖ κανείς μέ τά ἴδια βέλη.

Ποιό σκοπό λοιπόν ἔχει ἡ συμμετοχή στόν ἴδιο θρόνο; Διότι ἐδῶ δηλώνεται ἡ ἰσοτιμία μέ τόν Πατέρα, πράγμα πού εἶναι ἱκανό ν' ἀποστομώσει καί ἐκείνους πού φρονοῦν τά ἴδια μέ τόν Ἄρειο. Γι' αὐτό καί ὁ Χριστός πρός τούς Ἰουδαίους πού ἔλεγαν, ὅτι εἶναι υἱός τοῦ Δαυίδ, εἶπε τά ἑξῆς· «Πῶς λοιπόν ὁ Δαυίδ ἐμπνεόμενος ἀπό τό Πνεῦμα ὀνομάζει αὐτόν Κύριο, λέγοντας, «Εἶπε ὁ Κύριος στόν Κύριό μου, κάθησε στά δεξιά μου»[14]; προχωρώντας δέ ὁ Παῦλος ἑρμηνεύει σαφέστερα καί τό σχέδιο

*καὶ πᾶσι τοῖς τὰ τοιαῦτα νοσοῦσι καιρίαν δίδωσι πληγήν. λέγων· ἑρμηνεύει γὰρ μετὰ τῆς αὐτῷ προσηκούσης συνέσεως, πῶς γέγονεν ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἡμεῖς δὲ πάλιν ἐπὶ τὸ προκείμενον ἐπανίωμεν.*

*«Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου». Εἶδες τὸ ὁμότιμον; Ὅπου γὰρ θρόνος, βασιλείας σύμβολον· ὅπου θρόνος εἷς, τῆς αὐτῆς βασιλείας ἰσοτιμία. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Πρὸς δὲ τὸν Υἱόν· Ὁ θρόνος σου, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Οὕτω καὶ ὁ Δανιὴλ ὁρᾷ τὴν μὲν κτίσιν ἅπασαν παρεστῶσαν, ἀγγέλους τε καὶ ἀρχαγγέλους, τὸν δὲ Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν, καὶ φθάνοντα ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν. Εἰ δὲ τὸ οὕτως εἰπεῖν σκανδαλίζει τινάς, ἀκουέτωσαν ὅτι ἐκ δεξιῶν κάθηται, καὶ ἀπαλλαττέσθωσαν τοῦ σκανδάλου. Ὥσπερ γὰρ καὶ ἡμεῖς μείζονα αὐτὸν τοῦ Πατρὸς οὐ λέγομεν, ἐπειδὴ τὴν ἐκ δεξιῶν ἔχει καθέδραν τὴν ἐντιμοτάτην, οὕτω μηδὲ σὺ ἐλάττω λέγε καὶ καταδεέστερον, ἀλλ' ὁμότιμον καὶ ἴσον. Τοῦτο γὰρ ἡ κοινωνία τῆς καθέδρας δηλοῖ.*

*3. «Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου». Καὶ τίνες οἱ ἐχθροί; Ἄκουσον Παύλου λέγοντος· «Ἀπαρχὴ ὁ Χριστός· ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος. Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ». Εἶδες προφητικῶν καὶ ἀποστολικῶν ῥημάτων συμφωνίαν; Καὶ γὰρ ἐκεῖ μέν φησιν, «Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον*

15. Ἑβρ. κεφ. 7.
16. Ἑβρ. 1, 7-8.
17. Δαν. 7, 9.
18. Α' Κορ. 15, 23-25.

τῆς θείας οἰκονομίας καὶ δίνει μὲ τὰ λόγια του θανάσιμο πλῆγμα στὸ Μαρκίωνα, τό Μανιχαῖο καὶ σ' ὅλους ποὺ πάσχουν ἀπὸ τὸ ἴδιο νόσημα· διότι ἑρμηνεύει μὲ τὴ σύνεση ποὺ ταιριάζει σ' αὐτόν, πῶς ἔγινε ἱερέας κατὰ τὴν τάξη Μελχισεδέκ[15]. Ἐμεῖς ὅμως ἄς ἐπιστρέψουμε πάλι στὸ ἐξεταζόμενο θέμα μας.

«Εἶπε ὁ Κύριός μου, κάθησε στὰ δεξιά μου». Εἶδες τὴν ὁμοτιμία; Διότι ὅπου ὑπάρχει θρόνος, εἶναι σύμβολο βασιλείας· ὅπου ὑπάρχει ἕνας θρόνος, ἐκεῖ ὑπάρχει ἰσοτιμία τῆς αὐτῆς βασιλείας. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Αὐτὸς ποὺ κάμνει τοὺς ἀγγέλους του λειτουργικὰ πνεύματα καὶ τοὺς ὑπηρέτες του λαμπρούς σὰν τὴ φλόγα τῆς φωτιᾶς. Πρὸς δὲ τὸν Υἱό· ὁ θρόνος, Θεέ μου, μένει αἰώνια»[16]. Ἔτσι καὶ ὁ Δανιὴλ βλέπει τὴ μὲν κτίση νὰ παραβρίσκεται ὅλη, καὶ τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους, τὸν δὲ Υἱὸ τοῦ ἀνθρώπου νὰ ἔρχεται ἐπάνω στὶς νεφέλες καὶ νὰ φθάνει μέχρι τὸν παλαιὸ τῶν ἡμερῶν[17]. Ἂν ὅμως τὰ λόγια αὐτὰ σκανδαλίζουν μερικούς, ἄς ἀκούσουν ὅτι κάθεται στὰ δεξιὰ τοῦ Πατρός καὶ ἄς ἀπαλλαγοῦν ἀπὸ τὸ σκανδαλισμό. Διότι, ὅπως ἀκριβῶς ἐμεῖς δὲν λέμε ὅτι αὐτὸς εἶναι ἀνώτερος ἀπὸ τὸν Πατέρα, ἐπειδὴ κατέχει τὴν ἐντιμότατη καθέδρα στὰ δεξιὰ τοῦ Πατρός, ἔτσι οὔτε σὺ νὰ λέγεις ὅτι εἶναι μικρότερος καὶ κατώτερος, ἀλλ' ὅτι εἶναι ὁμότιμος καὶ ἴσος. Καθόσον αὐτὸ φανερώνει ἡ κοινωνία τῆς καθέδρας.

3. «Μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο γιὰ τὰ πόδια σου». Καὶ ποιοὶ εἶναι οἱ ἐχθροί; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Ἀπαρχὴ τῶν νεκρῶν εἶναι ὁ Χριστός, ἔπειτα ἐκεῖνοι ποὺ πίστεψαν στὸ Χριστὸ θ' ἀναστηθοῦν κατὰ τὴν δευτέρα παρουσία του, καὶ μετὰ ἀκολουθεῖ τὸ τέλος. Διότι πρέπει αὐτὸς νὰ βασιλεύει, μέχρι ποὺ νὰ θέσει ὅλους τοὺς ἐχθρούς του κάτω ἀπὸ τὰ πόδια του»[18]. Εἶδες συμφωνία προφητικῶν καὶ ἀποστολικῶν λόγων; Καθόσον ἐκεῖ μὲν λέγει, «Μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου

*τῶν ποδῶν σου», ἐνταῦθα δέ, «Ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ». Ἀλλ' οὔτε ἐκεῖ τὸ «Ἕως», οὔτε ἐνταῦθα τὸ «Μέχρις», χρόνων ὅροι εἰσίν. Ἐπεὶ πῶς ἕστηκε τὸ προφητικὸν ἐκεῖνο, τὸ λέγον, «Ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ, βασιλεία ἥτις οὐ διαφθαρήσεται», «Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος» εἴ γε μέχρι τούτων μέλλει βασιλεύειν; Ὁρᾷς, ὅτι οὐ ταῖς λέξεσι δεῖ προσέχειν ἁπλῶς, ἀλλὰ πρὸς τὰ νοήματα ἀνιέναι; Σὺ δὲ ἀκούων τοῦ προφήτου λέγοντος, ὅτι ὁ Πατὴρ τίθησιν ὑπὸ τοὺς πόδας, μηδὲν ἐνταῦθα θορυβηθῇς. Οὐδὲ γὰρ ὡς ἀτονοῦντος τοῦ Παιδὸς ταῦτα εἴρηται. Ὁ γὰρ Παῦλος αὐτὸν τιθέναι τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ λέγει· «Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ». Καὶ πάλιν τὸ πᾶν αὐτῷ ἀνατίθησι λέγων· «Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἐξουσίαν καὶ δύναμιν». Τουτέστιν, ὅταν κατορθώσῃ τὴν βασιλείαν, παύσει πᾶσαν ἐξουσίαν. Τοῦτο γάρ ἐστι τὸ «Καταργήσει». Τὸ πᾶν δὲ αὐτοῦ λέγων εἶναι, οὐκ ἀποχωρίζει αὐτοῦ τὸν Πατέρα, ὥσπερ οὐδὲ τοῦ Πατρὸς διαιρεῖ τὸν Υἱόν. Καὶ γὰρ τὰ ἐκείνου, τούτου· καὶ τὰ τούτου, ἐκείνου. Διὸ καί φησι· «Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά». Ὅταν τοίνυν ἀκούσῃς, ὅτι ὁ Πατὴρ ὑπέταξε, μὴ ἔξωθεν εἶναι νομίσῃς τὸν Υἱὸν τοῦ κατορθώματος· ἄν τε μανθάνῃς, ὅτι ὁ Υἱὸς ὑπέταξε, μὴ ἀλλότριον εἶναι λέγε τὸν Πατέρα τούτων. Κοινὰ γὰρ τὰ κατορθώματα, ὥσπερ καὶ πάντα τὰ ἔργα κοινά.*

*«Ράβδον δυνάμεώς σου ἐξαποστελεῖ Κύριος ἐκ Σιών». Ράβδον δυνάμεως τὴν δύναμιν αὐτήν φησι. Τῆς δὲ Σιὼν*

19. Δαν. 7, 14.
20. Λουκᾶ 1, 33.
21. Α' Κορ. 15, 25.
22. Α' Κορ. 15, 24.
23. Ἰω. 17, 10.

ὑποπόδιο γιὰ τὰ πόδια σου», ἐνῶ ἐδῶ, «Μέχρι ποὺ νὰ θέσει ὅλους τοὺς ἐχθρούς του». Ἀλλ' οὔτε ἐκεῖ τὸ «ἕως, οὔτε ἐδῶ τὸ «Μέχρις», δηλώνουν χρονικὰ ὅρια. Διότι πῶς θὰ στεκόταν ὁ προφητικὸς ἐκεῖνος λόγος, ποὺ λέγει, «Ἡ ἐξουσία του εἶναι ἐξουσία αἰώνια, καὶ ἡ βασιλεία του εἶναι βασιλεία ποὺ δὲν θὰ φθαρεῖ καὶ δὲν θὰ καταστραφεῖ»[19], «Καὶ δὲν θὰ ἔχει τέλος ἡ βασιλεία του»[20], ἂν πρόκειται νὰ βασιλεύει μέχρι τότε; Βλέπεις, ὅτι δὲν πρέπει νὰ προσέχουμε ἁπλῶς τὶς λέξεις, ἀλλὰ νὰ προχωροῦμε καὶ στὴ βαθύτερη σημασία αὐτῶν; Σὺ ὅμως ἀκούοντας τόν προφήτη νὰ λέγει, ὅτι ὁ Πατέρας θέτει τοὺς ἐχθροὺς κάτω ἀπὸ τὰ πόδια του, μὴ ἀνησυχήσεις καθόλου ἀπ' αὐτό. Καθόσον αὐτὰ δὲν ἔχουν λεχθεῖ γιὰ νὰ δείξουν ὅτι ὁ Υἱὸς δὲν ἔχει τὴ δύναμη νὰ τὸ κάνει. Διότι ὁ Παῦλος λέγει ὅτι αὐτὸς θὰ θέσει τοὺς ἐχθροὺς κάτω ἀπὸ τὰ πόδια του. «Διότι πρέπει νὰ βασιλεύει μέχρι ποὺ νὰ θέσει τοὺς ἐχθρούς του κάτω ἀπὸ τὰ πόδια του»[21]. Καὶ πάλι ἀναθέτει τὸ πᾶν σ' αὐτόν, λέγοντας· «Ὅταν θὰ παραδώσει τὴ βασιλεία στὸ Θεὸ καὶ Πατέρα, ὅταν θὰ καταργήσει κάθε ἐξουσία καὶ δύναμη»[22]. Δηλαδή, ὅταν θὰ φέρει σὲ αἴσιο τέλος τὴ βασιλεία, θὰ παύσει κάθε ἐξουσία. Διότι αὐτὸ σημαίνει τὸ «Καταργήσει». Λέγοντας δὲ ὅτι τὰ πάντα ἀνήκουν σ' αὐτόν, δὲν ἀποχωρίζει αὐτὸν ἀπὸ τὸν Πατέρα, ὅπως ἀκριβῶς πάλι οὔτε τὸν Πατέρα χωρίζει ἀπὸ τόν Υἱό. Καθόσον ὅλα τὰ πράγματα τοῦ Πατέρα εἶναι καὶ τοῦ Υἱοῦ, καὶ ὅλα τὰ τοῦ Υἱοῦ εἶναι καὶ τοῦ Πατέρα. Γι' αὐτὸ λέγει· «Ὅλα τὰ δικά μου εἶναι καὶ δικά σου καὶ τὰ δικά σου εἶναι καὶ δικά μου»[23]. Ὅταν λοιπὸν ἀκούσεις, ὅτι ὁ Πατέρας ὑπέταξε, μὴ θεωρήσεις τὸν Υἱὸ ἔξω ἀπὸ τὸ κατόρθωμα· καὶ ἂν πάλι ἀκούσεις, ὅτι ὁ Υἱὸς ὑπέταξε, νὰ μὴ λέγεις ὅτι ὁ Πατέρας εἶναι ξένος αὐτῶν τῶν κατορθωμάτων. Διότι κοινὰ εἶναι τὰ κατορθώματα, ὅπως ἀκριβῶς κοινὰ εἶναι καὶ ὅλα τὰ ἔργα.

«Ράβδο δυνάμεως θὰ σοῦ ἀποστείλει ὁ Κύριος ἀπὸ τὴ Σιών». Ράβδο δυνάμεως ὀνομάζει τὴ δύναμη γενικά. Ἀ-

*μέμνηται, ἐπειδὴ ἐκεῖθεν ἀρχὴν ἔλαβε τὰ κατορθώματα. Ἐκεῖ γὰρ καὶ τὸν νόμον ἔδωκεν, ἐκεῖ τὰ θαύματα εἰργάσατο· ἐκεῖθεν ἀρξάμενον τὸ κήρυγμα πανταχοῦ τῆς οἰκουμένης ἐξετάθη. Εἰ δὲ βούλει κατὰ ἀναγωγὴν τὸ εἰρημένον ἐκλαβεῖν, ἄκουσον Παύλου λέγοντος· «Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ Ἐκκλησίᾳ πρωτοτόκων. «Ράβδον δυνάμεώς σου ἐξαποστελεῖ Κύριος ἐκ Σιών». Ἡ ράβδος ποτὲ μὲν κολαστική ἐστι καὶ εὐεργετική, ποτὲ δὲ παρακλητική, καὶ βασιλείας σύμβολον. Καὶ ὅτι ἑκάτερα ἐστίν, ἄκουσον τοῦ προφήτου λέγοντος· «Ἡ ράβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν». Καὶ πάλιν· «Ποιμανεῖς αὐτοὺς ἐν ράβδῳ σιδηρᾷ· ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς». Καὶ ὁ Παῦλος· «Τί θέλετε; ἐν ράβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος;».*

*Εἶδες πῶς ἐστι παιδεύσεως· βλέπε πῶς καὶ βασιλείας. Λέγει γὰρ Ἡσαΐας· «Ἐξελεύσεται ράβδος ἐκ τῆς ρίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ρίζης αὐτῆς ἀναβήσεται». Καὶ ὁ Δαυΐδ· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ράβδος εὐθύτητος, ἡ ράβδος τῆς βασιλείας σου». Τὴν μὲν δύναμιν ἐνταῦθα ράβδον ἐκάλεσε, μεθ' ἧς οἱ μαθηταὶ τὴν οἰκουμένην περιέτρεχον ἤδη διορθοῦντες, καὶ ἐξ ἀλόγου τινὸς κακίας ἐπὶ λογικὴν ἄγοντες τὴν τῶν ἀνθρώπων φύσιν. «Πορευθέντες» γάρ, φησί, «μαθητεύσατε πάντα τὰ ἔθνη». Εἶχε καὶ Μωϋσῆς ράβδον, ἀλλ' ἐνέργειαν Θεοῦ δεξάμενος, δι' ἧς ἐνήργει ἐν ἅπασι. Κἀκείνη μὲν ποταμοὺς διεῖλεν, αὕτη δὲ τῆς οἰκουμένης τὴν ἀσέβειαν ἔρρηξεν. Οὐκ ἄν τις δὲ ἁμάρτοι καὶ τὸν σταυρὸν ράβδον δυνάμεως εἰπών. Αὕτη γὰρ ἡ ράβδος γῆν καὶ θάλατταν ἐπέστρεψε, καὶ δυνάμεως πολλῆς ἐνέπλησε. Μετὰ ταύτης ἐξῆλθον τῆς ράβδου πανταχοῦ τῆς οἰκουμένης οἱ ἀπόστολοι, καὶ πάντα ἐκεῖνα εἰργάσαντο.*

---

24. Ἑβρ. 12, 22 - 23.
25. Ψαλμ. 22, 23.
26. Ψαλμ. 2, 9.
27. Α' Κορ. 4, 21.
28. Ἡσ. 11, 1.
29. Ψαλμ. 44, 7.
30. Ματθ. 28, 19.

ναφέρει δὲ τὴ Σιών, ἐπειδὴ ἀπὸ ἐκεῖ ἄρχισαν τὰ κατορθώματα. Διότι ἐκεῖ ἔδωσε τὸ νόμο, ἐκεῖ ἔκαμε τὰ θαύματα, ἀπὸ ἐκεῖ ἄρχισε τό κήρυγμα ποὺ ἐπεξετάθηκε σ' ὅλη τὴν οἰκουμένη. Ἂν δὲ θέλεις νὰ ἑρμηνεύσεις αὐτὰ τὰ λόγια ἀλληγορικά, ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «Ἀλλὰ προσήλθατε στὸ ὄρος τῆς Σιὼν καὶ στὴν πόλη τοῦ Ζωντανοῦ Θεοῦ, στὴν ἐπουράνιο Ἱερουσαλήμ, στὴν ἐκκλησία τῶν πρωτοτόκων»[24]. «Ράβδο δυνάμεως θὰ σοῦ ἀποστείλει ὁ Κύριος ἀπὸ τὴ Σιών». Ἡ ράβδος ἄλλοτε μὲν εἶναι τιμωρητικὴ καὶ εὐεργετική, ἄλλοτε δὲ παρηγορητικὴ καὶ σύμβολο βασιλείας. Καὶ τὸ ὅτι συμβολίζει καὶ τὰ δυό, ἄκουσε τὸν *προφήτη ποὺ λέγει· «Ἡ ράβδος σου καὶ ἡ βακτηρία, αὐτὲς μὲ παρηγόρησαν»*[25]. Καὶ πάλι· «Θὰ τοὺς ποιμάνεις μὲ σιδηρένια ράβδο· σὰν τὰ σκεύη τοῦ κεραμέα θὰ τοὺς συντρίψεις»[26]. Καὶ ὁ Παῦλος· «Τί θέλετε; νὰ ἔλθω πρὸς ἐσᾶς μὲ ράβδο ἢ μὲ ἀγάπη καὶ πνεῦμα ἐπιείκειας;»[27].

Εἶδες πῶς ἡ ράβδος εἶναι σύμβολο διαπιαδαγωγήσεως; πρόσεχε πῶς εἶναι καὶ βασιλείας. Διότι λέγει ὁ Ἠσαΐας· «Θὰ προέλθει ράβδος ἀπὸ τὴ ρίζα τοῦ Ἰεσσαί, καὶ θ' ἀναβλαστήσει ἄνθος ἀπὸ τὴν ἴδια τὴ ρίζα»[28]. Καὶ ὁ Δαυῒδ λέγει· «Ὁ θρόνος σου, Θεέ μου, μένει στὸν αἰώνα· τὸ σκῆπτρο τῆς βασιλείας σου εἶναι σκῆπτρο εὐθύτητας καὶ δικαιοσύνης»[29]. Τὴ μὲν δύναμη ἐδῶ ὀνόμασε ράβδο, μὲ τὴν ὁποία οἱ μαθητὲς διέτρεχαν τὴν οἰκουμένη διορθώνοντας τὰ ἤθη καὶ ὁδηγώντας τὴν ἀνθρώπινη φύση ἀπὸ τὴν ἄλογη κακία στὴ λογική. Διότι λέγει, «Πηγαίνετε καὶ κάμετε μαθητές μου ὅλα τὰ ἔθνη»[30]. Εἶχε καὶ ὁ Μωϋσῆς ράβδο, ἀλλ' ἀφοῦ ἔλαβε δύναμη ἀπὸ τὸ Θεό, μὲ τὴν ὁποία ἔκαμνε ὅλα. Καὶ ἐκείνη μὲν χώρισε στὰ δύο ποταμούς, ἐνῶ αὐτὴ διέλυσε τὴν ἀσέβεια. Δὲν θὰ ἔσφαλε δὲ κάποιος ἂν ὀνόμαζε ράβδο δυνάμεως καὶ τὸ σταυρό. Διότι αὐτὴ ἡ ράβδος κατέβαλε τὴ γῆ καὶ τὴ θάλασσα καὶ τὴ γέμισε μὲ πολλὴ δύναμη. Μὲ αὐτὴ τὴ ράβδο περιῆλθαν ὅλα τὰ μέρη τῆς οἰκουμένης οἱ ἀπόστολοι καὶ ἔκαμαν ὅλα ἐκεῖνα τὰ θαυμά-

*Ταύτην ἐπιφερόμενοι πάντα ἤνυον, λαβόντες τὴν ἀρχὴν ἀπὸ Ἱερουσαλήμ.*

*«Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου». Ὅρα προφητείαν ὑπὲρ τὸν ἥλιον διαλάμπουσαν. Τί δέ ἐστι τό, «Κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου»; Ἀντὶ τοῦ ἐν μέσοις Ἕλλησιν, ἐν μέσοις Ἰουδαίοις. Οὕτω γὰρ αἱ Ἐκκλησίαι κατεφυτεύθησαν ἐν μέσαις ταῖς πόλεσιν· οὕτως ἐκράτησαν καὶ περιεγένοντο. Τοῦτο τεκμήριον τῆς λαμπρᾶς νίκης, τὸ ἐν μέσοις τοῖς πολεμίοις ἀναστῆσαι τὰ θυσιαστήρια, τὸ καθάπερ πρόβατα ἐν μέσῳ θηρίων, καὶ ἄρνας μεταξὺ λύκων εἶναι. Τοῦτο γὰρ καὶ πέμπων αὐτοὺς ἔλεγεν· «Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων»· ὅπερ οὐκ ἔλαττον τοῦ προτέρου θαύματος. Τοῦ γὰρ ἐν μέσοις ἀπειλημμένους κρατῆσαι οὐκ ἔλαττον τὸ ἐν τάξει προβάτων ὄντας λύκων περιγενέσθαι· ἀλλὰ καὶ πολλῷ μεῖζον, καὶ δώδεκα τὸν ἀριθμὸν ὄντας τὴν οἰκουμένην ἐπισπάσασθαι. «Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου». Οὐκ εἶπε, 'νίκα ἐν μέσῳ τῶν ἐχθρῶν σου' ἀλλά, «Κυρίευε», ἵνα δείξῃ οὐκ ἐκ παρατάξεως τὸ τρόπαιον γινόμενον, ἀλλ' ἐξ ἐπιταγῆς τὴν δεσποτείαν. Οὕτω γὰρ ἐκράτουν οἱ ἀπόστολοι, τὸν Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς, ὥσπερ ἐξ ἐπιτάγματος πάντα ποιοῦντες. Ὅθεν καὶ πᾶσα αὐτοῖς οἰκία ἀνέῳκτο, καὶ δούλου παντὸς εὐπειθέστερον οἱ πιστεύοντες ὑπήκουον, τά τε ὄντα ἀποδιδόμενοι, καὶ τὰς τιμὰς παρὰ τοὺς πόδας τιθέντες τῶν ἀποστόλων, οὐδὲ εἰς τὴν χρείαν τολμῶντές τι λαβεῖν· οὕτω τε αὐτοὺς ἐμεγάλυνον, ὅτι οὔτε ἐτόλμων κολλᾶσθαι αὐτοῖς.*

---

31. Ματθ. 10, 16.
32. Πράξ. 2, 45.

σια. Αὐτὴ τὴ ράβδο φέροντας μαζί τους κατόρθωναν τὰ πάντα, κάμνοντας τὴν ἀρχὴ ἀπὸ τὴν Ἱερουσαλήμ.

«Καὶ μὲ αὐτὴ ἐξουσίαζε καὶ θριάμβευε ἀνάμεσα στοὺς ἐχθρούς σου». Πρόσεχε προφητεία ποὺ ἀκτινοβολεῖ περισσότερο ἀπὸ τὸν ἥλιο. Τί σημαίνει δὲ τό, «Κατακυρίευε ἐν μέσω τῶν ἐχθρῶν σου»; Λέχθηκε ἀντὶ τοῦ, μεταξὺ τῶν ἐθνικῶν, μεταξὺ τῶν Ἰουδαίων. Διότι ἔτσι φυτεύθηκαν οἱ ἐκκλησίες μέσα στὶς πόλεις, ἔτσι ἐπεκράτησαν καὶ ὑπερίσχυσαν. Αὐτὸ εἶναι ἀπόδειξη τῆς λαμπρῆς νίκης, τὸ ὅτι ἔστησαν τὰ θυσιαστήριά τους ἀνάμεσα στοὺς ἐχθρούς τους, τὸ ὅτι ἦταν σὰν πρόβατα ἀνάμεσα στὰ θηρία, καὶ ἀρνιὰ ἀνάμεσα στοὺς λύκους. Καὶ αὐτὸ πράγματι τοὺς ἔλεγε ἀποστέλλοντάς τους στὸν κόσμο· «Νά, σᾶς ἀποστέλλω σὰν πρόβατα ἀνάμεσα στοὺς λύκους»[31], πράγμα ποὺ δὲν ἦταν κατώτερο ἀπὸ τὸ προηγούμενο θαῦμα. Διότι, τὸ ὅτι ἐπεκράτησαν ἂν καὶ ἦταν ἀποκλεισμένοι ἀπὸ τοὺς ἐχθρούς τους, δὲν ἦταν κατώτερο τὸ ὅτι ὑπερίσχυσαν τῶν λύκων ἂν καὶ βρίσκονταν στὴ θέση τῶν προβάτων, ἀλλ' ἦταν καὶ πολὺ πιὸ ἀνώτερο τὸ ὅτι κατόρθωσαν νὰ προσελκύσουν τὴν οἰκουμένη, ἂν καὶ ἦταν δώδεκα τὸν ἀριθμό. «Καὶ ἐξουσίαζε καὶ θριάμβευε ἀνάμεσα στοὺς ἐχθρούς σου». Δὲν εἶπε, 'νίκα ἀγωνιζόμενος ἀνάμεσα στοὺς ἐχθρούς σου', ἀλλὰ «Κυρίευε», γιὰ νὰ δείξει ὅτι τὸ τρόπαιο δὲν προερχόταν ἀπὸ πολεμικὴ παράταξη, ἀλλ' ἡ κυριαρχία ἦταν ἀποτέλεσμα θείας διαταγῆς. Διότι ἔτσι κυριαρχοῦσαν οἱ ἀπόστολοι, ἔχοντας μέσα τους τὸ Χριστό, καὶ κάμνοντας τὰ πάντα σὰν ἐκτελεστὲς θείας προσταγῆς. Γι' αὐτὸ καὶ κάθε οἰκία ἄνοιγε σ' αὐτοὺς καὶ ἐκεῖνοι ποὺ πίστευαν ὑπάκουαν μὲ προθυμία πολὺ πιὸ μεγαλύτερη ἀπὸ τὴν ὑπακοὴ κάθε δούλου, δηλώντας τὰ ὑπάρχοντά τους καὶ ἀποθέτοντας τὴν ἀξία τους στὰ πόδια τῶν ἀποστόλων, μὴ τολμώντας νὰ πάρουν τὸ ἐλάχιστο γιὰ τὶς ἀνάγκες τους[32]· καὶ ἔτσι μεγάλυναν αὐτούς, μὴ τολμώντας νὰ τοὺς ἐνοχλήσουν.

4. Οὐ μόνον δὲ ἐπὶ τῶν πιστῶν τοσαύτην εἶχον ἰσχύν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπίστων. Τί γάρ, εἰπέ μοι, δούλου τεκμήριον; ἆρ' οὐ τὸ ποιεῖν ὅπερ ὁ δεσπότης αὐτοῦ ἐπιτάττει; Τί δεσπότου δὲ σημεῖον; ἆρ' οὐ τὸ ταῦτα ἀνύειν ἐν τοῖς δούλοις, ἅπερ αὐτὸς βούλεται; Τίνες οὖν οἱ ἀνύσαντες ἅπερ ἤθελον ἐπὶ τῶν τότε βασιλέων καὶ τῶν ἀρχόντων; ἆρ' οὐχ οἱ ἀπόστολοι; Εὔδηλον ὅτι. Οἱ μὲν γὰρ βασιλεῖς καὶ οἱ ἄρχοντες ἐβούλοντο κατέχειν ἐν ἀσεβείᾳ τὴν οἰκουμένην, καὶ δαίμοσι λατρεύειν ἐπέταττον· οἱ δὲ ἀπόστολοι τοὐναντίον, καὶ τὸ θέλημα τούτων ἐγίνετο. Εἰ δὲ λέγεις μοι τὸ δεσμωτήριον, καὶ τὰς μάστιγας, καὶ τὰς βασάνους, μείζονάς μοι λέγεις τὰς δεσποτείας. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι καὶ τούτων γινομένων τὸ θέλημα τὸ τούτων ἐγίνετο. Οὐ γὰρ νόμῳ τῷ τῶν πολλῶν δεσποτῶν, ἀλλ' ἀρετῇ ταύτην ἀνεδήσαντο τὴν δεσποτείαν, τὴν οὐδενὸς τῶν ἔξωθεν δεομένην, ἀλλ' ἐν τῷ παρὰ πάντων ἐπιβουλεύεσθαι λάμπουσαν. Ἐκείνους μὲν γὰρ τοὺς δεσπότας ἐπιβουλεύσαντες δοῦλοι πολλάκις ἠφάνισαν, ἐπειδὴ ἀτελὴς ἦν τις καὶ ἀσθενεστάτη, ταύτην δὲ σβέσαι οὐκ ἴσχυσαν, ἀλλ' ἐπιβουλεύοντες μειζόνως ἔδειξαν διαλάμπουσαν. Τίς οὖν λαμπρότερος ἂν εἴη δεσπότης, ὁ μυρίων δεόμενος βοηθημάτων, ἵνα κρατῇ τῶν οἰκετῶν, ἢ ὁ πάντων ἀπηλλαγμένος ἐκείνων, καὶ μετ' ἐξουσίας ἄγων καὶ φέρων τοὺς ὑποκειμένους; Εὔδηλον ὅτι οὗτος. Οἱ μὲν γὰρ δεσπόται τὴν δεσποτείαν ταύτην τὴν τῶν πολλῶν, ἂν μὴ τοὺς νόμους ἔχωσι βοηθοῦντας, καὶ τὸ ἐν πόλεσιν οἰκεῖν, πολλάκις μετὰ τῆς δεσποτείας καὶ τὴν ζωὴν ἀπώλεσαν, Παῦλος δὲ καὶ ἐν ἐρημίαις καὶ πανταχοῦ

4. Καὶ εἶχαν δὲ τόση δύναμη ὄχι μόνο ἐπὶ τῶν πιστῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπίστων. Διότι πές μου, ποιὸ εἶναι τὸ γνώρισμα τοῦ δούλου; δὲν εἶναι τὸ ὅτι κάμνει ἐκεῖνο ποὺ τοῦ διατάσσει ὁ κύριός του; Ποιὸ δὲ εἶναι τὸ γνώρισμα τοῦ κυρίου; δὲν εἶναι τὸ ὅτι κατορθώνει νὰ διατάσσει τοὺς δούλους του νὰ κάμνουν αὐτὰ ποὺ θέλει αὐτός; Ποιοὶ λοιπὸν ἔκαμαν στὴν ἐποχὴ τῶν τότε βασιλέων καὶ ἀρχόντων ἐκεῖνα ποὺ ἤθελαν; δὲν ἦταν οἱ ἀπόστολοι; Ὁλοφάνερο εἶναι ὅτι αὐτοὶ ἦταν. Διότι οἱ μὲν βασιλεῖς καὶ οἱ ἄρχοντες ἤθελαν νὰ κρατοῦν τὴν οἰκουμένη στὴν ἀσέβεια καὶ διέτασσαν τοὺς ἀνθρώπους νὰ λατρεύουν τοὺς δαίμονες, ἐνῶ οἱ ἀπόστολοι ἤθελαν τὸ ἀντίθετο καὶ γίνονταν τὸ θέλημά τους. Ἂν δὲ μοῦ ἀναφέρεις τὸ δεσμωτήριο, τὶς μαστιγώσεις καὶ τοὺς βασανισμούς, μοῦ παρουσιάζεις μεγαλύτερες τὶς ἐξουσίες τους. Πῶς καὶ μὲ ποιὸ τρόπο; Μὲ τὸ ὅτι, ἂν καὶ γίνονταν αὐτά, ὅμως γινόταν τὸ θέλημά τους. Διότι αὐτὴν τὴν ἐξουσία τὴν ἀπέκτησαν ὄχι μὲ τὸ νόμο τῶν πολλῶν δεσποτῶν, ἀλλὰ μὲ τὴν ἀρετή, ποὺ δὲν ἔχει ἀνάγκη ἀπὸ καμιὰ ἐξωτερικὴ βοήθεια, ἀλλὰ λάμπει καὶ ὅταν ἀκόμη πολεμεῖται ἀπὸ ὅλους. Διότι ἐκείνους μὲν τοὺς δεσπότες πολλὲς φορὲς οἱ δοῦλοι μὲ τὶς ἐπιβουλές τους τοὺς ἐξαφάνισαν, ἐπειδὴ ἡ ἐξουσία τους ἦταν ἀτελὴς καὶ πολὺ ἀνίσχυρη, ἐνῶ αὐτὴ τὴν ἐξουσία δὲν κατόρθωσαν νὰ τὴν σβήσουν, ἀλλὰ μὲ τὶς ἐπιβουλές τους τὴν κατέστησαν περισσότερο λαμπρή. Ποιὸς λοιπὸν θὰ μποροῦσε νὰ εἶναι λαμπρότερος δεσπότης, ἐκεῖνος ποὺ ἔχει ἀνάγκη ἀπὸ ἀμέτρητους βοηθούς, γιὰ νὰ ἐξουσιάζει τοὺς δούλους του, ἢ ἐκεῖνος ποὺ εἶναι ἀπαλλαγμένος ἀπὸ ὅλους ἐκείνους καὶ μὲ ἐξουσία κυβερνᾶ τοὺς ὑποτελεῖς του; Ὁλοφάνερο εἶναι ὅτι αὐτός. Διότι οἱ μὲν δεσπότες τὴν ἐξουσία τους αὐτὴ πρὸς τοὺς πολλούς, πολλὲς φορὲς τὴν χάνουν μαζὶ μὲ τὴ ζωή τους, ἂν δὲν ἔχουν βοηθοὺς τοὺς νόμους καὶ δὲν κατοικοῦν στὶς πόλεις, ἐνῶ ὁ Παῦλος παρουσίαζε τὴν ἐξουσία του καὶ στὶς ἐρημίες καὶ

*τὴν κυριότητα ἐπεδείκνυτο. Βούλει καὶ βασιλέων ἰδεῖν αὐτὸν λαμπρότερον; Εἰσήγαγε νόμους πανταχοῦ τῆς οἰκουμένης, καὶ τοὺς τῶν βασιλέων ἀφέντες νόμους οἱ ἄνθρωποι τοῖς ἐκείνου γράμμασιν ἐπείθοντο. Ἄλλως δὲ καὶ οἱ μὲν σωμάτων, οἱ δὲ ψυχῶν ἐκράτουν.*

*Τίς οὖν οὕτω δοῦλος δεσπότῃ, ἀρχόμενος βασιλεῖ μετ' εὐνοίας ὑπήκουσεν, ὡς οἱ πιστοὶ τῷ Παύλῳ ἐπιστέλλοντι μόνον; Τί ἄν τις εἴποι τὸν πόθον, τὸν ζῆλον τὸν ὑπὲρ αὐτοῦ, ὅπου γε καὶ τοὺς ὀφθαλμοὺς ἐξορύξαι ἕτοιμοι ἦσαν; τίς τοιούτους ἐκτήσατο δούλους ποτέ; Ἅπερ ταῦτα πάντα ἐννοῶν ὁ προφήτης, πῶς μὲν τοὺς πιστοὺς ὑπέταξαν, πῶς δὲ τοῖς ἀπίστοις ἦσαν φοβεροί, κατὰ κράτος αὐτοὺς ἐλαύνοντες καὶ πῶς δι' αὐτῶν ὁ Χριστὸς ἐπεκράτει, οὐκ εἶπεν ἁπλῶς, 'κυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου', ἀλλὰ «Κατακυρίευε», τὴν ἐπιτεταμένην δεσποτείαν δηλῶν. Καὶ ταῦτα ὁρῶντες οἱ πολέμιοι οὐδὲν ἴσχυον ποιεῖν, καίτοι τοὺς νόμους μεθ' ἑαυτῶν ἔχοντες, καὶ δημίους, καὶ ἐξουσίαν ἅπασαν. Ἀλλ' ἦσαν οὗτοι δυνατώτεροι διὰ τὸν ἐνοικοῦντα ἐν αὐτοῖς. Οὗτος κατεκυρίευσε δι' αὐτῶν· οὐχ ἁπλῶς ἐκυρίευσεν, ἀλλὰ κατεκυρίευσε· καὶ γὰρ σφόδρα ἐκράτει. Διὰ γοῦν τὸν ἐν αὐτοῖς, καὶ πυρὸς κατετόλμων καὶ σιδήρου καὶ θηρίων καὶ τῶν ἄλλων ἁπάντων. Καὶ γὰρ εἰς πάντα ἦν μετ' αὐτῶν ὁ Χριστός, οἳ καθάπερ ἐν ἀλλοτρίοις ἀγωνιζόμενοι σώμασι, καὶ πάντων ἀπαλλαγέντες τῶν ἐν τῷ βίῳ λυπηρῶν, οὕτως ἔχαιρον, καὶ οὕτως ἐσκίρτων, ὑπὸ τῆς τοῦ Χριστοῦ δεσποτείας κατεχόμενοι, μὴ χρημάτων φειδόμενοι, μὴ σωμάτων, μὴ τῆς παρούσης ζωῆς. Καὶ ταῦτα μὲν ἐποίουν οἵ ποτε ἐχθροὶ καὶ πολέμιοι, ἀλλ' ἡ ἄμαχος τοῦ Χρι-*

παντοῦ. Θέλεις νὰ δεῖς ὅτι αὐτὸς εἶναι λαμπρότερος καὶ ἀπὸ τοὺς βασιλεῖς; Θέσπισε νόμους γιὰ ὅλα τὰ μέρη τῆς οἰκουμένης καὶ οἱ ἄνθρωποι, ἀφοῦ ἀρνοῦνταν νὰ ὑπακούσουν στοὺς νόμους τῶν βασιλέων, ὑπάκουαν στοὺς νόμους ἐκείνου. Ἐξ ἄλλου δὲ οἱ μὲν βασιλεῖς ἐξουσίαζαν τὰ σώματά τους, ἐνῶ οἱ ἀπόστολοι τὶς ψυχές τους.

Πράγματι λοιπὸν ποιὸς δοῦλος ὑπάκουσε μὲ τόση ἀφοσίωση στὸν ἐξουσιαστή του βασιλιά, ὅπως οἱ πιστοὶ στὸν Παῦλο ποὺ τοὺς ἔστελνε μόνο ἐπιστολές; Τί θὰ μποροῦσε νὰ πεῖ κανεὶς γιὰ τὸν πόθο καὶ τὸ ζῆλο πρὸς αὐτόν, τὴ στιγμὴ ποὺ ἦταν ἕτοιμοι καὶ τὰ μάτια τους νὰ βγάλουν πρὸς χάρη του; ποιὸς ποτὲ ἀπέκτησε τέτοιους δούλους; Ὅλα αὐτὰ ἀναλογιζόμενος ὁ προφήτης, πῶς δηλαδὴ ὑπέταξαν τοὺς πιστοὺς καὶ πῶς ἦταν φοβεροὶ στοὺς ἀπίστους, ὥστε νὰ τοὺς ὑποτάσσουν ὁλοκληρωτικά, καὶ πῶς μὲ τὴ βοήθεια αὐτῶν ἐπικρατοῦσε ὁ Χριστός, δὲν εἶπε ἁπλῶς, 'κυρίευε ἀνάμεσα στοὺς ἐχθρούς σου', ἀλλά, «κατακυρίευε», γιὰ νὰ δείξει τὴν παρατεταμένη ἐξουσία. Καὶ βλέποντας αὐτὰ οἱ ἐχθροὶ δὲν μποροῦσαν νὰ κάνουν τίποτε, ἂν καὶ εἶχαν μὲ τὸ μέρος τους τοὺς νόμους, τοὺς δημίους καὶ ὅλη τὴν ἐξουσία. Ἀλλ' αὐτοὶ ἦταν ἰσχυρότεροι ἐπειδὴ κατοικοῦσε μέσα τους ὁ Χριστός. Αὐτὸς μέσω αὐτῶν κατακυρίευσε τοὺς ἐχθρούς˙ ὄχι ἁπλῶς κυρίευσε, ἀλλὰ κατακυρίευσε˙ διότι πράγματι ἡ κυριαρχία του ἦταν συντριπτική. Πρὸς χάρη δηλαδὴ ἐκείνου ποὺ βρισκόταν μέσα τους ἀντιμετώπιζαν μὲ ὑπερβολικὴ τόλμη καὶ τὴ φωτιὰ καὶ τὸ σίδηρο καὶ τὰ θηρία καὶ ὅλα τὰ ἄλλα. Καθόσον παντοῦ ἦταν μαζί τους ὁ Χριστός, ἐκεῖνοι δέ, σὰν νὰ ἀγωνίζονταν σὲ ξένα σώματα καὶ ἦταν ἀπαλλαγμένοι ἀπὸ ὅλα τὰ δυσάρεστα τῆς ζωῆς, ἔτσι χαίρονταν καὶ ἔτσι σκιρτοῦσαν ἀπὸ ἀγαλλίαση, καί, ἐπειδὴ βρίσκονταν κάτω ἀπὸ τὴν ἐξουσία τοῦ Χριστοῦ, ἀδιαφοροῦσαν καὶ γιὰ τὰ χρήματα, καὶ γιὰ τὰ σώματα, καὶ γιὰ τὴν παροῦσα ζωή τους. Καὶ αὐτὰ μὲν τὰ ἔκαμναν οἱ ἄλλοτε ἐχθροὶ καὶ πολέμιοι, ἀλλ' ἡ ἀκατα-

*στοῦ δύναμις οὐ μόνον τῆς ἔχθρας αὐτοὺς ἀπήλλαξεν, ἀλλὰ καὶ εἰς δουλείαν καὶ εἰς τοσαύτην οἰκείωσιν ἤγαγεν. Ὥστε κἂν λέγηται ὁ Πατὴρ τοὺς ἐχθροὺς τιθέναι ὑπὸ τοὺς πόδας αὐτοῦ, οὐχ οὕτω λέγεται, καθάπερ εἶπον, ὡς μηδὲν ἐνεργοῦντος τοῦ Παιδός· (τοῦ γὰρ Μονογενοῦς τὸ κατόρθωμα γέγονεν ἅπαν), ἀλλ' ἵνα, ὅπερ ἔφθην εἰπών, τὸν Πατέρα καὶ τὸν Υἱὸν Θεὸν ἕνα νοῇς, φιλαττομένης ἑκάστῳ τῆς ἰδιότητος, καὶ ἵνα μὴ δύο νοήσῃς ἀγεννήτους.*

*Ὅτι γὰρ αὐτοῦ πᾶν ἐστι τὸ κατόρθωμα, ἀπὸ τῶν ἤδη κατωρθωμένων ἐννόει· καὶ μὴ ἁπλῶς ἀνθρωπίνως ἐκλάμβανε τὰ εἰρημένα· πολὺ γὰρ τὸ ἄτοπον ἕψεται. Ἵνα δὲ καὶ σὺ μάθῃς, ἄκουε ὃ μέλλω λέγειν. Οἱ μὲν ἐγένοντο φίλοι, ἐχθροὶ πρότερον ὄντες, οἱ δὲ μένουσιν ἔτι ἐχθροί. Ἀλλ' ὅτι μὲν τοὺς ἐχθροὺς φίλους αὐτὸς ἐποίησε, καὶ Παῦλος δηλοῖ τῷ εἰπεῖν, «Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί», δηλοῖ δὲ καὶ ὁ Σωτήρ, πρὸς αὐτὸν τὸν Πατέρα λέγων· «Ἐγώ σε ἐδόξασα ἐν τῷ κόσμῳ, τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω». Τὸ δὲ τοὺς ἐχθροὺς ὑποτάξαι, τοῦ Πατρὸς γέγονε. Καίτοι γε τοῦτο ἐκείνου μεῖζον. Οὐ γὰρ ἴσον κολάσαι ἐχθροὺς μένοντας, καὶ ποιῆσαι φίλους, ἐχθροὺς ὄντας. Ἀλλ' οὔτε ὁ Υἱὸς διὰ τοῦτο ἐλάττων τοῦ Πατρός, οὔτε ὁ Πατὴρ ἐλάττων διὰ τοῦτο τοῦ Υἱοῦ.*

*Ἵνα δὲ μάθῃς, ὅτι καὶ ἐκεῖνα τοῦ Υἱοῦ, ὥσπερ καὶ ταῦτα τοῦ Πατρός, ἄκουσον· «Ἀπέλθετε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Καὶ ὁ τοὺς ἀγγέλους πέμπων, ὥστε συλ-*

---

33. Α΄ Κορ. 15, 24.
34. Ἰω. 17, 4.
35. Ματθ. 25, 41.

μάχητη δύναμη τοῦ Χριστοῦ ὄχι μόνο τούς ἀπάλλαξε ἀπό τήν ἔχθρα, ἀλλά τούς ὁδήγησε καί σέ ὑπακοή καί σέ τόση ἐξοικείωση. Ὥστε καί ἄν ἀκόμα λέγεται ὅτι ὁ Πατέρας θέτει τούς ἐχθρούς κάτω ἀπό τά πόδια του, δέν λέγεται, ὅπως προανέφερα, μέ τή σημασία ὅτι ὁ Υἱός δέν παίρνει καθόλου μέρος σ' αὐτή τήν ἐνέργεια (καθόσον ὅλο τό κατόρθωμα αὐτό ὑπῆρξε τοῦ Μονογενῆ Υἱοῦ), ἀλλά γιά νά θεωρεῖς, ὅπως προανέφερα, ἕνα Θεό τόν Πατέρα καί τόν Υἱό, διατηρώντας τήν ἰδιότητα τοῦ καθένα, καί γιά νά μή σκεφθεῖς ὅτι εἶναι δύο οἱ ἀγέννητοι.

Τό ὅτι βέβαια ὅλο τό κατόρθωμα εἶναι δικό του μπορεῖς νά τό σκεφθεῖς ἀπό τά ὅσα ἤδη κατορθώθηκαν· ἀλλ' ὅμως μή ἐκλαμβάνεις τά λεχθέντα ἁπλῶς μέ ἀνθρώπινη ἔννοια, διότι θά ὁδηγηθοῦμε ἔτσι σέ μεγάλο παραλογισμό. Ἀλλά γιά νά μάθεις καί σύ, ἄκουε αὐτό πού πρόκειται νά πῶ. Οἱ μέν, ἀπό ἐχθροί πού ἦταν, ἔγιναν φίλοι, οἱ δέ ἄλλοι παραμένουν ἀκόμα ἐχθροί. Τό ὅτι ὅμως αὐτός ἔκαμε τούς ἐχθρούς φίλους, τό φανερώνει καί ὁ Παῦλος μέ τά λόγια, «Ὅταν θά παραδώσει τή βασιλεία στό Θεό καί Πατέρα»[33], τό φανερώνει δέ καί ὁ Σωτήρ, λέγοντας πρός τόν ἴδιο τόν Πατέρα· «Ἐγώ σέ δόξασα στόν κόσμο, τό ἔργο, πού μοῦ ἔδωσες νά κάνω, τό τελείωσα»[34]. Ἀλλ' ὅμως ἡ ὑποταγή τῶν ἐχθρῶν ὑπῆρξε ἔργο τοῦ Πατέρα. Ἄν καί βέβαια αὐτό εἶναι μεγαλύτερο ἀπό ἐκεῖνο. Διότι δέν εἶναι τό ἴδιο πράγμα τό νά τιμωρήσει ἐκείνους πού παραμένουν ἐχθροί καί τό νά κάνει φίλους ἐκείνους πού ἦταν ἐχθροί. Ἀλλ' ὅμως οὔτε γι' αὐτό ὁ Υἱός εἶναι κατώτερος ἀπό τόν Πατέρα, οὔτε ὁ Πατέρας ἐξ αἰτίας αὐτοῦ εἶναι κατώτερος ἀπό τόν Υἱό.

Ὅμως γιά νά μάθεις, ὅτι καί ἐκεῖνα εἶναι ἔργα τοῦ Υἱοῦ, ὅπως ἀκριβῶς καί αὐτά εἶναι ἔργα τοῦ Πατέρα, ἄκουσε· «Φύγετε ἀπό κοντά μου, σεῖς οἱ καταραμένοι, καί πηγαίνετε στό πῦρ τό αἰώνιο, πού ἑτοιμάσθηκε γιά τό διάβολο καί τούς ἀγγέλους αὐτοῦ»[35]. Καί ἐκεῖνος πού στέλλει

*λέξαι τὰ ζιζάνια, ὁ Μονογενής ἐστι, καὶ πανταχοῦ ὁρῶμεν αὐτὸν κολάζοντα τὸν διάβολον. Καὶ τοῦτο οἱ δαίμονες αὐτοὶ ὁμολογοῦσι λέγοντες· «Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;». Ὥστε αὐτός ἐστιν ὁ μέλλων αὐτοὺς βασανίζειν. Ὁρᾷς ὅτι κἂν ὑπὸ τοῦ Πατρὸς λέγηται γίνεσθαι τὰ γινόμενα, τοῦ Παιδός ἐστι κατορθώματα; Ὅτι δὲ καὶ τὰ τοῦ Παιδός, τοῦ Πατρός, ἄκουσον πάλιν αὐτοῦ λέγοντος· «Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν». Καὶ πάλιν· «Οὐδεὶς δύναται ἐλθεῖν πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ». Οὐ τοίνυν ἀνθρωπίνως ἐκλαμβάνειν τὰ τοιαῦτα δεῖ. Ἐπεὶ καὶ τοὺς ἐχθρούς σου οὕτως ἐκδεκτέον, οὐχ ὡς αὐτοῦ μόνου ἐχθρούς. «Ὁ γὰρ μὴ τιμῶν τὸν Υἱόν», φησίν, «οὐ τιμᾷ τὸν Πατέρα».*

*5. Ὥστε Ἰουδαῖοι οὐκ αὐτοῦ μόνον ἐχθροί, ἀλλὰ καὶ τοῦ Πατρός. Διὸ καὶ τὴν πανωλεθρίαν αὐτοῖς ἐπήγαγε, καὶ τὴν πόλιν αὐτῶν ῥίψας χαμαί, ἐρείπιον ἐποίησεν, εἰ καὶ μὴ εὐθέως μετὰ τὸν σταυρόν, καὶ χρόνον αὐτοῖς πολὺν εἰς μετάνοιαν ἔδωκεν, εἴ γε ἐβούλοντο, καὶ τοὺς ἀποστόλους ἀφῆκεν, ἵνα δι' αὐτῶν μαθόντες αὐτοῦ τὴν ἰσχύν, ὀψὲ γοῦν ποτε ἐπιστρέψωσιν. Ἐπειδὴ δὲ ἀνίατα ἐνόσουν, τὸν κολοφῶνα ἐπήγαγε τῶν κακῶν, καὶ ταύτῃ πάλιν καλῶν αὐτοὺς εἰς μετάνοιαν, ἵνα τῆς πολιτείας ἐκπεσόντες τῆς παλαιᾶς ὑπ' αὐτῆς γοῦν τῶν πραγμάτων τῆς ἀνάγκης πρὸς τὴν ἀλήθειαν χειραγωγηθῶσι, τόν τε ὑβρισμένον ὁρῶντες πανταχοῦ προσκυνούμενον, καὶ τὰ αὐτῶν λελυμένα ἅπαντα. Ὅταν δὲ μηδὲ οὕτω γένωνται βελτίους, τότε λοιπόν, ἅτε πάσης ἀπηλλαγμένοι συγγνώμης, εἰς τὴν ἀθάνατον ἐμπεσοῦνται κόλασιν.*

*«Ὑποπόδιον» δὲ ἀκούων, μηδὲν αἰσθητὸν νόμιζε λέγειν,*

---

36. Ματθ. 13, 30.
37. Ματθ. 8, 29.
38. Ἰω. 6, 44.
39. Ἰω. 14, 6.
40. Ἰω. 5, 23.

τοὺς ἀγγέλους, γιὰ νὰ μαζέψουν τὰ ζιζάνια[36], εἶναι ὁ Μονογενής, καὶ παντοῦ βλέπουμε αὐτὸν νὰ τιμωρεῖ τὸ διάβολο. Καὶ αὐτὸ τὸ ὁμολογοῦν οἱ ἴδιοι οἱ δαίμονες, λέγοντας˙ «Ἦλθες ἐδῶ νὰ μᾶς βασανίσεις πρὶν νὰ ἔλθει ἡ ὥρα τῆς τιμωρίας μας;»[37]. Ὥστε αὐτὸς εἶναι ἐκεῖνος ποὺ πρόκειται νὰ τοὺς τιμωρήσει. Βλέπεις ὅτι, καὶ ἂν ἀκόμα λέγεται ὅτι τὰ ἔργα γίνονται ἀπὸ τὸν Πατέρα, εἶναι κατορθώματα τοῦ Υἱοῦ; Τὸ ὅτι δὲ καὶ τὰ ἔργα τοῦ Υἱοῦ εἶναι καὶ ἔργα τοῦ Πατέρα, ἄκουσε πάλι αὐτὸν ποὺ λέγει˙ «Κανένας δὲν ἔρχεται πρὸς ἐμένα, ἂν δὲν τὸν προσελκύσει ὁ Πατέρας μου»[38]. Καὶ πάλι˙ «Κανένας δὲν μπορεῖ νὰ ἔλθει μόνος πρὸς τὸν Πατέρα, παρὰ μέσω ἐμοῦ»[39]. Δὲν πρέπει λοιπὸν νὰ λαμβάνουμε τὰ λόγια αὐτὰ μὲ ἀνθρώπινη σημασία. Διότι καὶ τοὺς ἐχθρούς σου ἔτσι πρέπει νὰ τοὺς θεωρεῖς, ὄχι δηλαδὴ μόνο ἐχθροὺς αὐτοῦ. Διότι, λέγει, «ἐκεῖνος ποὺ δὲν τιμᾶ τὸν Υἱό, δὲν τιμᾶ τὸν Πατέρα»[40].

5. Ὥστε οἱ Ἰουδαῖοι δὲν εἶναι μόνο ἐχθροὶ τοῦ Υἱοῦ, ἀλλὰ καὶ τοῦ Πατέρα. Γι᾽ αὐτὸ καὶ προξένησε σ᾽ αὐτοὺς τὴν πανωλεθρία καὶ τὴν πόλη τους καταγκρέμισε καὶ τὴν μετέβαλε ἐρείπια, ἂν καὶ ὄχι ἀμέσως μετὰ τὴ σταύρωση, καὶ τοὺς ἔδωσε πολὺ χρόνο γιὰ νὰ μετανοήσουν, ἂν ἤθελαν, καὶ τοὺς ἀποστόλους τοὺς ἄφησε, ὥστε, ἀφοῦ μάθουν ἀπ᾽ τοὺς τὴ δύναμή του, νὰ ἐπιστρέψουν λοιπὸν ἔστω καὶ κάπως ἀργά. Ἐπειδὴ ὅμως ἡ ἀσθένειά τους ἦταν ἀθεράπευτη, προξένησε σ᾽ αὐτοὺς τὸ ἀποκορύφωμα τῶν κακῶν, καλώντας αὐτοὺς καὶ μὲ τὸν τρόπο αὐτὸ σὲ μετάνοια, ὥστε, ἀφοῦ ἀπομακρυνθοῦν ἀπὸ τὸν παλιὸ τρόπο ζωῆς, νὰ ὁδηγηθοῦν πρὸς τὴν ἀλήθεια, ἐξαναγκαζόμενοι ἀπὸ τὰ ἴδια τὰ πράγματα, βλέποντας καὶ νὰ προσκυνεῖται παντοῦ ἐκεῖνος ποὺ τὸν περιφρόνησαν, καὶ τὰ δικά τους ὅλα καταστραμμένα. Ὅταν δὲ οὔτε καὶ ἔτσι γίνονται καλύτεροι, τότε πλέον, ἐπειδὴ εἶναι ἀπαλλαγμένοι ἀπὸ κάθε συγγνώμη, θὰ ὑποστοῦν τὴν ἀθάνατη τιμωρία.

Ἀλλ᾽ ἀκούοντας «ὑποπόδιο», νὰ μὴ νομίζεις τίποτε

ἀλλὰ τὴν ὑποταγήν. Ὅτι δὲ αὐτῷ ὑποτάσσει, δῆλον ἐκ τῆς ἐπαγωγῆς· ἐπεὶ γὰρ ὁ θρόνος εἷς, καὶ τὸ ὑποπόδιον ἕν, «Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου». Ἐπειδὴ εἶπεν ἄνω, «Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου», ἵνα μὴ νομίσῃ τις ἀσθενῆ τὸν Υἱὸν εἶναι, καὶ ἐνεργείας δεῖσθαι, καθάπερ τινὰ τῶν ἀποστόλων, ἄκουσον πῶς καὶ τῆς ὑπονοίας αὐτῆς ἐπάγει τὴν διόρθωσιν λέγων· «Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου». Τί ἐστι, «Μετὰ σοῦ ἡ ἀρχή»; Ἐν σοί, φησίν, ἡ ἀρχή, οὐχ ὕστερον ἐπιγενομένη, ἀλλ' ἐν σοὶ οὖσα διαπαντός· ὅπερ καὶ ὁ Ἠσαΐας δηλῶν ὁμοίως ἔλεγεν· «Οὗ ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ, τουτέστιν, ἐν αὐτῷ, ἐν τῇ οὐσίᾳ αὐτοῦ, ἐν τῇ φύσει αὐτοῦ, ὅπερ ἐπὶ τῶν βασιλέων οὐκ ἔνι. Ἡ γὰρ ἀρχὴ αὐτῶν ἐν τῷ πλήθει τῶν στρατοπέδων· ὅπερ ἐπὶ τῶν ἀποστόλων οὐκ ἦν. Καὶ γὰρ καὶ αὐτῶν ἡ ἀρχὴ ἐνεργείας ἔξωθεν εἰσαγομένης αὐτοῖς ἐγίνετο, αὐτὸς δὲ ἐν τῇ φύσει τὴν ἀρχὴν εἶχεν, ἐν τῇ οὐσίᾳ, οὐ μετὰ τὸ γεννηθῆναι προσλαβὼν ὕστερον, οὐδὲ ἐπείσακτον κτησάμενος, ἀλλ' οὕτω γεννηθείς. Διὸ καὶ περὶ βασιλείας ἐρωτώμενος ἔλεγεν· «Ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα».

«Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου». Οὐ ταῦτα δὲ μόνον τὰ εἰρημένα δηλοῖ τό, «Μετὰ σοῦ ἡ ἀρχή», ἀλλὰ καὶ ἕτερα, οἷον τὸ μὴ ἐν ἄλλῳ αὐτοῦ εἶναι τὴν ἀρχήν, ἀλλὰ καὶ διηνεκῆ καὶ ἀθάνατον. Ἀνθρώπους μὲν γὰρ καὶ ζῶντας ἐπιλιμπάνει πολλάκις· εἰ δὲ μὴ ζῶντας, ἀλλ' ἀποθανόντας πάντως· μᾶλλον δὲ ἡνίκα ζῶσιν, οὐδὲ μετ' αὐτῶν ἐστιν,

---

41. Ἡσ. 9, 6.
42. Ἰω. 16, 37.

τὸ αἰσθητὸ, ἀλλὰ τὴν ὑποταγή. Τὸ ὅτι δὲ τούς ὑποτάσσει σ' αὐτόν, γίνεται φανερὸ ἀπὸ τὰ ὅσα προσθέτει στὴ συνέχεια· διότι, ἐπειδὴ ἕνας εἶναι ὁ θρόνος, ἕνα εἶναι καὶ τὸ ὑποπόδιο. «Μαζί σου θὰ εἶναι ἡ ἐξουσία κατὰ τὴν ἡμέρα τῆς παρουσίας σου ποὺ θὰ δείξεις τὴ δύναμή σου». Ἐπειδὴ προηγουμένως εἶπε, «Μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου στήριγμα γιὰ τὰ πόδια σου», γιὰ νὰ μὴ νομίσει κανεὶς ὅτι ὁ Υἱὸς εἶναι ἀνίσχυρος καὶ ὅτι ἔχει ἀνάγκη ἀπὸ δύναμη, σὰν κάποιος ἀπὸ τοὺς ἀποστόλους, ἄκουσε πῶς διορθώνει καὶ αὐτὴ τὴν ὑποψία, λέγοντας «Μαζί σου θὰ εἶναι ἡ ἐξουσία κατὰ τὴν ἡμέρα τῆς παρουσίας σου». Τί σημαίνει δέ, «Μετὰ σοῦ ἡ ἀρχή»; Μαζί σου, λέγει εἶναι ἡ ἐξουσία, δὲν προστίθεται ἀργότερα, ἀλλ' ὑπάρχει μαζί σου γιὰ πάντα, πράγμα ποὺ γιὰ νὰ δείξει καὶ ὁ Ἠσαΐας ἔλεγε· «Ἐπάνω στοὺς ὤμους τοῦ ὁποίου ὑπάρχει ἡ ἐξουσία»[41], δηλαδὴ ὑπάρχει σ' αὐτόν, μέσο στὴν οὐσία του, μέσα στὴ φύση του, πράγμα ποὺ δὲν εἶναι δυνατὸ νὰ συμβαίνει στοὺς βασιλεῖς. Διότι ἡ ἐξουσία αὐτῶν βρίσκεται στὸ πλῆθος τοῦ στρατοῦ, πράγμα ποὺ δὲν συνέβαινε μὲ τοὺς ἀποστόλους. Καθόσον καὶ ἡ ἐξουσία αὐτῶν προερχόταν ἀπὸ ἐξωτερικὴ ἐνέργεια, ἐνῶ αὐτὸς εἶχε τὴν ἐξουσία μέσα στὴ φύση του, μέσα στὴν οὐσία του, καὶ δὲν τὴν ἔλαβε ἀργότερα, μετὰ ἀπὸ τὴ γέννησή του, οὔτε τὴν απόκτησε σὰν κάτι ποὺ ἦλθε ἀπὸ ἔξω, ἀλλ' ἔτσι γεννήθηκε. Γι' αὐτὸ καὶ ὅταν ρωτήθηκε γιὰ τὴ βασιλεία του ἔλεγε· «Ἐγὼ γι' αὐτὸ γεννήθηκα καὶ γι' αὐτὸ ἦλθα στὸν κόσμο»[42].

«Μαζί σου βρίσκεται ἡ ἐξουσία ποὺ θ' ἀσκήσεις κατὰ τὴν ἡμέρα τῆς παρουσίας σου». Δὲν φανερώνει δὲ τό, «Μετὰ σοῦ ἡ ἀρχή», μόνο αὐτὰ ποὺ ἀναφέρθηκαν, ἀλλὰ καὶ ἄλλα, ὅπως τὸ ὅτι ἡ ἐξουσία του δὲν βρίσκεται σὲ ἄλλον, ἀλλ' αἰώνια καὶ ἀθάνατη. Διότι τοὺς ἀνθρώπους πολλὲς φορὲς τοὺς ἐγκαταλείπει καὶ ὅσο ἀκόμα ζοῦν, ἂν ὅμως ὄχι ὅσο ζοῦν, ὁπωσδήποτε ὅμως ὅταν πεθάνουν· μᾶλλον δὲ καὶ ὅταν ζοῦν δὲν βρίσκεται μαζί τους, ἀλλ' ὅ-

ἀλλ' ὅπερ ἔφθην εἰπών, ἐν στρατοπέδοις καὶ σωματοφύλαξι, καὶ χρημάτων περιουσίᾳ, καὶ τειχῶν περιβολαῖς, καὶ τοῖς ἄλλοις ἅπασιν, ἐπὶ δὲ τοῦ Θεοῦ οὐ μόνον τοῦτο οὐκ ἔστιν, ἀλλ' ἐν αὐτῷ ἐστι καὶ διηνεκῶς· καὶ ὥσπερ τὴν οὐσίαν αὐτοῦ ἀδύνατον μὴ εἶναι, οὕτω καὶ τὴν βασιλείαν.

«Ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου». Ἡμέραν δυνάμεως εἴποι τις ἂν τήν τε ἤδη γενομένην, τήν τε ἐσομένην ἡμέραν. Ἢ οὐ δοκεῖ σοι δυνάμεως μέγιστον εἶναι τεκμήριον, ὅταν διὰ θανάτου θάνατος καταργῆται, ὅταν χαλκαὶ πύλαι συντρίβωνται, ὅταν ἁμαρτία ἀφανίζηται, ὅταν κατάρα λύηται, ὅταν τὰ παλαιὰ πάντα ἀνατρέπηται κακά, καὶ ἕτερα ἐπεισάγηται νέα καλά; Τί γὰρ τῆς δυνάμεως ταύτης ἴσον, ἄν τε τὰ θαύματα ἐξετάσῃς, ἄν τε τὰ κατορθώματα; Νεκροὶ ἠγείροντο, λεπροὶ ἐκαθαίροντο, δαίμονες ἠλαύνοντο, θάλαττα ἐχαλινοῦτο, ἁμαρτήματα ἐλύετο, παραλυτικοὶ ἐσφίγγοντο, παράδεισος ἠνοίγετο, πέτραι ἐρρήγνυντο, καταπέτασμα ἐσχίζετο, ἀκτῖνες ἡλίου ἀπεστρέφοντο, καὶ σκότος τὴν οἰκουμένην κατελάμβανε, σώματα τῶν κεκοιμημένων ἁγίων ἠγείρετο, λῃστὴς εἰς τὴν ἀρχαίαν ἐπανήει πατρίδα, οὐρανοῦ ἁψῖδες ἀνεπετάννυντο, ἡ φύσις ἡ καταπεπατημένη ὑπὲρ τὸν οὐρανὸν τοῦ οὐρανοῦ πρὸς τὰ ὑψώματα ἀνήγετο, καὶ τὸ τούτου μεῖζον, ἐπὶ θρόνου ἐκαθέζετο βασιλικοῦ, παρεστώτων ἀγγέλων αὐτῇ καὶ τῶν δυνάμεων· κακία πᾶσα ἠλαύνετο, ἀρετὴ ἐπανήγετο, Πνεύματος χάρις ἐδίδοτο, ἁλιεῖς καὶ τελῶναι καὶ σκηνοποιοὶ φιλοσόφων ἀπέρραπτον στόματα, ῥητόρων ἀπέστρεφον γλῶτταν, δαιμόνων κατέλυον τυραννίδα· βωμοί, καὶ ναοί, καὶ ἑορταί, καὶ πανηγύρεις Ἑλληνικαὶ διελύοντο· κνῖσα καὶ καπνὸς καὶ τὰ ἐναγῆ θύματα πάντα κατὰ κράτος ἠλαύνετο, μάν-

πως προανέφερα, βρίσκεται στὸ στρατὸ καὶ τοὺς σωματοφύλακες, στὴν ἀφθονία τῶν χρημάτων, στὰ τείχη ποὺ τοὺς περιβάλλουν καὶ σ' ὅλα τ' ἄλλα, στὴν περίπτωση ὅμως τοῦ Θεοῦ ὄχι μόνο αὐτὸ δὲν συμβαίνει, ἀλλ' ὑπάρχει μέσα σ' αὐτὸν καὶ αἰώνια· καὶ ὅπως ἀκριβῶς εἶναι ἀδύνατο νὰ μὴ ὑπάρχει σ' αὐτὸν ἡ οὐσία του, ἔτσι καὶ ἡ βασιλεία του.

«Ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου». Ἡμέρα δυνάμεως θὰ μποροῦσε κανεὶς νὰ ὀνομάσει καὶ αὐτὴν ποὺ ἤδη ἦλθε, καὶ αὐτὴν ποὺ πρόκειται νὰ ἔλθει. Διότι ἡ κάθε μιὰ εἶναι ἀπόδειξη μεγίστης δυνάμεως. Ἢ δὲν θεωρεῖς μεγίστη ἀπόδειξη δυνάμεως, ὅταν ὁ θάνατος καταργεῖται μὲ τὸ θάνατο, ὅταν συντρίβονται οἱ χάλκινες πύλες, ὅταν ἡ ἁμαρτία ἐξαφανίζεται, ὅταν ἡ κατάρα λύεται, ὅταν ὅλα τὰ παλιὰ κακὰ ἀνατρέπονται, καὶ εἰσάγονται ἄλλα νέα ἀγαθά; Διότι τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴ δύναμη, ἂν ἐξετάσεις τὰ θαύματα, ἂν ἐξετάσεις τὰ κατορθώματα; Νεκροὶ ἀναστένονταν, λεπροὶ καθαρίζονταν, δαίμονες διώχνονταν, θάλασσα χαλιναγωγοῦνταν, ἁμαρτήματα συγχωροῦνταν, παραλυτικοὶ θεραπεύονταν, ὁ παράδεισος ἄνοιγε, οἱ πέτρες διαρρήγνονταν, τὸ καταπέτασμα ἔσχιζε, οἱ ἀκτῖνες τοῦ ἡλίου χάνονταν καὶ σκοτάδι σκέπαζε τὴν οἰκουμένη, σώματα νεκρῶν ἁγίων ἀνασταίνονταν, ὁ ληστὴς ἐπέστρεφε στὴν ἀρχαία πατρίδα, οἱ ἀψῖδες τοῦ οὐρανοῦ ἁπλώνονταν, ἡ φύση ποὺ εἶχε κυριευθεῖ μὲ τὴ βία ὑψωνόταν πιὸ πάνω ἀπὸ τὸν οὐρανὸ τοῦ οὐρανοῦ, καὶ τὸ σπουδαιότερο βέβαια ἀπ' αὐτό, τοποθετοῦνταν γιὰ νὰ καθίσει ἐπάνω σὲ βασιλικὸ θρόνο, καὶ περιβαλλόταν ἀπὸ ἀγγέλους καὶ οὐράνιες δυνάμεις· κάθε κακία ἐξαφανιζόταν, ἡ ἀρετὴ ἐπέστρεφε, ἡ χάρη τοῦ ἁγίου Πνεύματος δινόταν, ἁλιεῖς καὶ τελῶνες καὶ σκηνοποιοὶ ἀποστόμωναν τοὺς φιλοσόφους, ἀπέκρουαν τὴ γλώσσα τῶν ρητόρων καὶ καταργοῦσαν τὴν τυραννικὴ ἐξουσία τῶν δαιμόνων· οἱ βωμοί, οἱ ναοί, οἱ ἑορτὲς καὶ οἱ ἑλληνικὲς πανηγύρεις διαλύονταν, ἡ κνῖσα, ὁ καπνὸς καὶ ὅλα τὰ μολυσμένα θύματα ἀπομα-

*τεις καὶ μητραγύρται, καὶ οἰωνοσκόποι, καὶ ἅπαν τοῦ διαβόλου τὸ ἐργαστήριον ἐδραπέτευον, Ἐκκλησίαι πανταχοῦ τῆς οἰκουμένης ἐβλάστανον, παρθένων χοροὶ συνίσταντο, μοναζόντων τάγματα, μετὰ τῶν πόλεων καὶ ἡ ἔρημος εὐσεβείας ἐπληροῦτο, καὶ χοροὶ δικαίων καὶ ἁγίων ἀνδρῶν ἱστάμενοι ταῖς ἄνω δυνάμεσι τῶν ἀγγέλων ἀντήχουν ἐν τῇ μελῳδίᾳ, καὶ μαρτύρων δῆμοι καὶ ὁμολογητῶν πλήθη παταχοῦ τῆς οἰκουμένης ἐφυτεύετο, ἀρετῆς μετὰ πολλῆς κατωρθοῦτο τῆς εὐκολίας, βαρβάρων ἔθνη φιλοσοφεῖν ἐπαιδεύετο, καὶ οἱ θηρίων ἀγριώτεροι πρὸς τὴν τῶν ἀγγέλων πολιτείαν τὴν ἅμιλλαν ἐπεδείκνυντο, καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ὁ λόγος ἐπέτρεχε μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν. Ἅπερ ἅπαντα ἐννοῶν ὁ προφήτης ἔλεγε· «Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου».*

*6. Εἰ δὲ βούλει καὶ τὴν μέλλουσαν ἡμέραν ἰδεῖν, καὶ μαθεῖν πῶς καὶ ἐκείνη ἡμέρα δυνάμεως αὐτοῦ ἐστιν, ἐννόησον ἡλίκον ἐστὶν ἰδεῖν τὸν οὐρανὸν συστελλόμενον, καὶ ἅπασαν τὴν φύσιν τὴν καταφθαρεῖσαν ἀνισταμένην, καὶ τῷ νεύματι παριστταμένους ἅπαντας, διάβολον καταισχυνόμενον, δαίμονας κάτω κύπτοντας, δικαίους στεφανουμένους, ἕκαστον εὐθύνας διδόντα τῶν πεπλημμελημένων, τὰ βραβεῖα λαμβάνοντα τῶν κατορθωμάτων, ἑτέρας ζωῆς κατάστασιν γινομένην. Οὐκέτι γὰρ θάνατος καὶ νόσος καὶ γῆρας, οὐκέτι πενία καὶ ἐπήρειαι καὶ ἐπιβουλαί, οὐκέτι οἰκήματα καὶ πόλεις καὶ τέχναι καὶ ναυτιλίαι, οὐκέτι ἱματίων περιβολὴ καὶ σῖτα καὶ ποτὰ καὶ ὄροφοι καὶ κλῖναι καὶ τράπεζαι καὶ λυχνίαι, οὐκέτι ἐπιβουλαὶ καὶ μάχαι καὶ δικαστήρια, οὐκέτι γάμοι, καὶ ὠδῖνες, καὶ τόκοι, ἀλλὰ ταῦτα πάντα ὥσπερ κόνις ἀποσοβουμένη κατα-*

κρύνονταν γιὰ πάντα, οἱ μάντεις, οἱ ἐπαῖτες, οἱ οἰωνοσκόποι καὶ ὅλο τὸ συνεργεῖο τοῦ διαβόλου δραπέτευαν, ἐκκλησίες σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης φύτρωναν, χοροὶ παρθένων σχηματίζονταν, τάγματα μοναχῶν, μαζὶ μὲ τὶς πόλεις καὶ ἡ ἔρημος γέμιζε ἀπὸ εὐσέβεια, χοροὶ δικαίων καὶ ἁγίων ἀνδρῶν μαζὶ μὲ τὶς οὐράνιες δυνάμεις τῶν ἀγγέλων ἔψαλλαν ὕμνους μελωδικούς, πλήθη μαρτύρων καὶ ὁμολογητῶν πρόβαλλαν σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, ἡ ἀρετὴ κατορθωνόταν μὲ πολλὴ εὐκολία, βάρβαροι λαοὶ διδάσκονταν τὴ χριστιανικὴ εὐσέβεια καί, ἐνῶ ἦταν ἀγριώτεροι ἀπὸ τὰ θηρία, συναγωνίζονταν τὸν ἀγγελικὸ τρόπο ζωῆς, καὶ ὅση γῆ φωτίζει ὁ ἥλιος, τόση διέτρεχε ὁ θεῖος λόγος μετά τὸ σταυρὸ καὶ τὴν ἀνάσταση. Ὅλα αὐτὰ σκεπτόμενος ὁ προφήτης, ἔλεγε· «Μαζί σου θὰ εἶναι ἡ ἐξουσία σου κατὰ τὴν ἡμέρα τῆς παρουσίας κατὰ τὴν ὁποία θὰ δείξεις τὴ δύναμή σου».

6. Ἂν ὅμως θέλεις νά δεῖς καὶ τὴ μέλλουσα ἡμέρα καὶ νὰ μάθεις πῶς καὶ ἐκείνη εἶναι ἡμέρα δυνάμεως αὐτοῦ, σκέψου πόσο σπουδαῖο πράγμα εἶναι νὰ δεῖς τὸν οὐρανὸ νὰ περιορίζεται καὶ ὅλη ἡ φύση ποὺ εἶχε καταφθαρεῖ ν' ἀνορθώνεται, καὶ ὅλοι νὰ παρουσιάζονται μὲ ἕνα μόνο νεῦμα, τὸ διάβολο καταντροπιαζόμενο, τοὺς δαίμονες νὰ ὑποτάσσονται τελείως, τοὺς δικαίους νὰ στεφανώνονται, τὸν καθένα νὰ λογοδοτεῖ γιὰ τὰ πλημμελήματά του καὶ νὰ παίρνει τὰ βραβεῖα τῶν κατορθωμάτων του, καὶ νά δημιουργεῖται μιὰ νέα κατάσταση ζωῆς. Διότι δὲν ὑπάρχει πλέον θάνατος, νόσος, γηρατειά, δὲν ὑπάρχει φτώχεια, πειρασμοὶ καὶ ἐπιβουλές, δέν ἔχουν θέση τὰ οἰκήματα, οἱ πόλεις, οἱ τέχνες καὶ οἱ ναυτιλίες, δέν δίνεται σημασία στὴν ἐνδυμασία, τὰ τρόφιμα, τὰ ποτά, τοὺς ὀρόφους, τὶς κλίνες, τὰ τραπέζια καὶ τὶς λυχνίες, δὲν ὑπάρχουν πλέον ἐπιβουλές, διαμάχες καὶ δικαστήρια, δὲν ἰσχύουν οἱ γάμοι, οἱ ὠδῖνες καὶ οἱ τοκετοί, ἀλλ' ὅλα αὐτά διαλύονται σὰν σκόνη ποὺ φεύγει καὶ χάνεται, καὶ δίνεται μιά κάποια

λύεται, καὶ ἑτέρα τις ἀμείνων ζωῆς κατάστασις δίδοται, ἀφθαρσίας, ἀθανασίας, δυνάμεως πολλῆς τῷ σώματι χαριζομένης. Ὅπερ καὶ ὁ Παῦλος δηλῶν, ἔλεγε· «Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

Εἰ δὲ ἀπιστεῖς τοῖς εἰρημένοις, ἐπειδὴ μὴ ὁρᾷς αὐτὰ παρόντα, ἀπὸ τῶν παρόντων εἰς τὰ περὶ τῶν μελλόντων λάμβανε τὴν ἀπόδειξιν. Ἔπελθε τῷ λόγῳ τὴν οἰκουμένην ἅπασαν, τὴν γῆν, τὴν θάλασσαν, τὴν Ἑλλάδα, τὴν βάρβαρον, τὴν οἰκουμένην, τὴν ἀοίκητον, τὰς ἐν τῇ γῇ πόλεις, τὰς ἐν τῇ θαλάσσῃ νήσους, τὰ ὄρη καὶ τὰς νάπας, καὶ ἰδὼν πανταχοῦ τὴν δύναμιν τοῦ Χριστοῦ διαλάμπουσαν, καὶ πάντας τὸ τίμιον ὄνομα ἀνακηρύττοντας, ἀναλογίζου πρὸς ἑαυτό, ὅτι ὁ τοσαῦτα δυνηθείς, οὗτος καὶ τὰ μέλλοντα ἐπηγγείλατο. Εἰ δὲ καὶ ἀπὸ μέρους ἐθέλοις λαμβάνειν ἀπόδειξιν, ἐννόησον τίνος ἕνεκεν ἡ οἰκουμένη συντρέχει ἅπασα τάφον ἰδεῖν σῶμα οὐκ ἔχοντα· ποία δύναμις ἕλκει τοὺς ἀπὸ τῶν περάτων τῆς γῆς, ὥστε ἰδεῖν ποῦ μὲν ἐτέχθη, ποῦ δὲ ἐτάφη, ποῦ δὲ ἐσταυρώθη· ἐννόησον αὐτὸν τὸν σταυρόν, ὅσης δυνάμεώς ἐστι σημεῖον. Ὁ γὰρ σταυρὸς οὗτος πρὸ τούτου θάνατος ἦν ἐπάρατος, θάνατος ἐπονείδιστος, θάνατος ὁ πάντων ἔσχιστος. Ἀλλ' ἰδοὺ νῦν τῆς ζωῆς αὐτῆς τιμιώτερος γέγονε, καὶ διαδημάτων λαμπρότερος, καὶ πάντες ἐπὶ μετώπου αὐτὸν περιφέρομεν, οὐ μόνον οὐκ αἰσχυνόμενοι, ἀλλὰ καὶ ἐγκαλλωπιζόμενοι τούτῳ. Οὐ μὲν ἰδιῶται μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ τὰ διαδήματα περικείμενοι ἐπὶ τοῦ μετώπου ὑπὲρ τὰ διαδήματα αὐτὸν βαστάζουσι, καὶ μάλα εἰκότως· μυρίων γὰρ διαδημάτων ἀμείνων. Τὸ μὲν γὰρ διάδημα καλλωπίζει κεφαλήν, ὁ δὲ σταυρὸς ἀσφαλίζεται διάνοιαν. Τοῦτο δαιμόνων ἀμυντήριον, τοῦτο τὸ διάδημα νοσημάτων ψυχῆς ἀναιρετικόν·

43. Α΄ Κορ. 7, 31.

ἄλλη καλύτερη κατάσταση ζωῆς, ἀφθαρσίας, ἀθανασίας, πού χαρίζει μεγάλη δύναμη στό σῶμα. Αὐτά ἀκριβῶς γιά νά δηλώσει καί ὁ Παῦλος, ἔλεγε· «Διότι φεύγει καί χάνεται ἡ ἐξωτερική μορφή τοῦ κόσμου αὐτοῦ»[48].

Ἄν ὅμως δέν πιστεύεις αὐτά πού λέχθηκαν, ἐπειδή δέν τά βλέπεις παρόντα, ἀπό τά παρόντα παίρνε τήν ἀπόδειξη καί γιά τά μελλοντικά. Ἐξέτασε μέ τή σκέψη σου ὅλη τήν οἰκουμένη, τή γῆ, τή θάλασσα, τήν Ἑλλάδα, τή χώρα τῶν βαρβάρων, τήν κατοικημένη γῆ, τήν ἀκατοίκητη, τίς πόλεις τῆς γῆς καί τά νησιά τῆς θάλασσας, τά βουνά καί τά δασώδη μέρη, καί ἀφοῦ δεῖς παντοῦ νά διαλάμπει ἡ δύναμη τοῦ Χριστοῦ καί ὅλους νά διακηρύσσουν τό τίμιο ὄνομά του, νά σκέπτεσαι, ὅτι ἐκεῖνος πού μπόρεσε καί ἔκαμε αὐτά τά τόσα πολλά καί τόσα σπουδαῖα, αὐτός ὑποσχέθηκε καί τά μελλοντικά. Ἄν ὅμως καί ἀπό μέρος θέλεις νά λάβεις ἀπόδειξη, σκέψου γιά ποιό λόγο ὅλη ἡ οἰκουμένη τρέχει νά δεῖ τάφο χωρίς νά ἔχει σῶμα· ποιά δύναμη προσελκύει τούς ἀνθρώπους ἀπό τά πέρατα τῆς γῆς, ὥστε νά δοῦν ποῦ γεννήθηκε, ποῦ τάφηκε καί ποῦ σταυρώθηκε· σκέψου τόν ἴδιο τό σταυρό, πόσης δυνάμεως σημεῖο εἶναι. Διότι αὐτός ὁ σταυρός πρίν ἀπ᾽ αὐτό τό γεγονός ἦταν θάνατος καταραμένος, θάνατος ἀτιμωτικός, θάνατος ὁ πιό χειρότερος ἀπό ὅλους. Ἀλλά νά τώρα ἔχει γίνει τιμιώτερος καί ἀπό τήν ἴδια τή ζωή, λαμπρότερος καί ἀπό τά βασιλικά στέμματα, καί ὅλοι περιφέρομε αὐτόν στό μέτωπο, καί ὄχι μόνο δέν ντρεπόμαστε, ἀλλά καί νοιώθουμε ὑπερηφάνειά γι᾽ αὐτό. Ὄχι μόνο οἱ ἰδιῶτες, ἀλλά καί αὐτοί πού φοροῦν στό μέτωπό τους τά στέμματα, φέρουν ἐπάνω ἀπό τά στέμματα αὐτόν, καί πολύ εὔλογα, διότι εἶναι σπουδαιότερος ἀπό ἀμέτρητα στέμματα. Καθόσον τό μέν στέμμα στολίζει τήν κεφαλή, ἐνῶ ὁ σταυρός διασφαλίζει τή διάνοια. Αὐτό εἶναι ἀμυντήριο ἐναντίον τῶν δαιμόνων, αὐτό τό στέμμα ἀπαλλάσσει ἀπό τά ψυχικά νοσήματα, αὐτό εἶναι ὅπλο ἀκατανίκητο, αὐτό εἶναι τεῖχος ἀκα-

*τοῦτο ὅπλον ἀχείρωτον, τοῦτο τεῖχος ἄμαχον· τοῦτο ἀσφάλεια ἀκαταγώνιστος· οὐ βαρβάρων ἐφόδους, οὐ πολεμίων μόνον καταδρομάς, ἀλλὰ καὶ αὐτῶν τῶν ἀγρίων δαιμόνων διαλύον τὰς φάλαγγας.*

*«Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων». Ἕτερος, «Ἐν ἁγίου εὐπρεπείᾳ». Ἄλλος, «Ἐν δόξῃ ἁγίων». Ἔτι περὶ τῆς ἡμέρας διαλέγεται τῆς τε παρούσης τῆς τε μελλούσης. Λαμπρότητα δὲ ἐνταῦθα τὸ κάλλος φησὶ τῶν ἁγίων. Τί μὲν λαμπρότερον Παύλου; τί δὲ περιφανέστερον Πέτρου; οἳ τὴν οἰκουμένην περιέτρεχον, ὑπὲρ τὸν ἥλιον λάμποντες, τὰ σπέρματα τῆς εὐσεβείας καταβάλλοντες; Ὡς γὰρ ἐξ οὐρανῶν ἄγγελοι καταβάντες, οὕτως ἦσαν πᾶσιν ἀπρόσιτοι. Τοῦτο δεικνὺς ὁ τὸ βιβλίον τῶν Πράξεων συνθείς, ἔλεγεν, ὅτι «Οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς». Καὶ γὰρ τὰ ἱμάτια αὐτῶν πολλῆς ἔγεμε χάριτος, καὶ αἱ σκιαὶ τῶν σωμάτων πολλὴν ἐπεδείκνυντο δύναμιν. Εἰ δὲ ἐνταῦθα τοιοῦτοι, ἐννόησόν μοι κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἄφθαρτα σώματα λάβωσιν, ὅταν ἀθάνατα, ὅταν ὑπὲρ πᾶσαν ὁρωμένην λαμπρότητα ἀποστίλβοντα, τίνες ἔσονται οὗτοί σε καὶ οἱ τούτοις ἐοικότες προφῆται καὶ ἀπόστολοι, καὶ δίκαιοι καὶ μάρτυρες, καὶ ὁμολογηταί, καὶ πάντες οἱ κατὰ τὴν ἀρίστην πολιτείαν διαπρέξαντες ἐν τῇ πίστει τῇ εἰς τὸν Χριστόν. Ἐννόησόν μοι τοὺς δήμους ἐκείνους, τὰς λαμπάδας, τὰς ἀκτῖνας, τὴν δόξαν, τὴν εὐπρέπειαν, τὴν φαιδρότητα, τὴν πανήγυριν. Τίς ταῦτα παραστήσει; Λόγος μὲν οὐδείς, ἡ δὲ πεῖρα μόνη σαφῶς διδάξει τοὺς ἀξίους ταύτης γενέσθαι τῆς θεωρίας, τὴν λαμπρότητα ἐκείνην. Ταὐτὸν γὰρ οἶμαι συμβαίνειν, οἷον εἰ πολλοὶ ἥλιοι ὑπὲρ τὸν οὐρανὸν ἔλαμψαν, ἢ εἰ συνεχεῖς ἀστραπαί· μᾶλλον δὲ ὅπερ ἂν εἴπω,*

---

44. Πράξ. 5, 13.
45. Πράξ. 5, 15 καὶ 19, 12.

ταμάχητο, αὐτὸ ἀσφάλεια ἀσυναγώνιστη, καὶ διαλύει ὄχι μόνο τὶς ἐφόδους τῶν βαρβάρων, ὄχι μόνο τὶς ἐπιδρομὲς τῶν ἐχθρῶν, ἀλλὰ καὶ αὐτὲς ἀκόμα τὶς φάλαγγες τῶν δαιμόνων.

«Ἀνάμεσα στὴ λαμπρότητα τῶν ἁγίων» Ἄλλος λέγει, «Ἀνάμεσα ἀπὸ τὴν εὐπρέπεια τοῦ ἁγίου». Ἄλλος, «Ἀνάμεσα ἀπὸ τὴ δόξα τῶν ἁγίων». Ἀκόμα ὁμιλεῖ καὶ γιὰ τὴν παροῦσα ἡμέρα καὶ γιὰ τὴ μέλλουσα. Λαμπρότητα δὲ ἐδῶ ὀνομάζει τὸ κάλλος τῶν ἁγίων». Τί ὑπάρχει λαμπρότερο ἀπὸ τὸν Παῦλο; τί δὲ ἐνδοξότερο ἀπὸ τὸν Πέτρο; αὐτοὶ ποὺ διέτρεχαν τὴν οἰκουμένη, λάμποντας περισσότερο ἀπὸ τὸν ἥλιο, καὶ φυτεύοντας τὰ σπέρματα τῆς εὐσέβειας; Διότι σὰν νὰ ἦταν ἄγγελοι ποὺ κατέβηκαν ἀπὸ τοὺς οὐρανοὺς ἔτσι ἦταν ἀπρόσιτοι σ' ὅλους. Αὐτὸ γιὰ νὰ δείξει αὐτὸς ποὺ ἔγραψε τὸ βιβλίο τῶν Πράξεων, ἔλεγε, ὅτι «Κανένας δὲν τολμοῦσε νὰ ἐνοχλήσει αὐτούς»[44]. Καθόσον τὰ ἐνδύματά τους ἦταν γεμάτα ἀπὸ χάρη καὶ οἱ σκιὲς τῶν σωμάτων τους φανέρωναν πολλὴ δύναμη[45]. Ἂν δὲ ἐδῶ ἦταν τέτοιοι, σκέψου, σὲ παρακαλῶ, κατὰ τὴν ἡμέρα ἐκείνη, ὅταν θὰ λάβουν ἄφθαρτα σώματα, ἀθάνατα, καὶ ποὺ θ' ἀκτινοβολοῦν περισσότερο ἀπὸ κάθε ὁρατὴ λαμπρότητα, ποιοὶ θὰ εἶναι καὶ αὐτοὶ καὶ οἱ ὅμοιοι μὲ αὐτοὺς καὶ οἱ προφῆτες καὶ οἱ ἀπόστολοι καὶ οἱ δίκαιοι καὶ οἱ μάρτυρες καὶ οἱ ὁμολογητὲς καὶ ὅλοι ἐκεῖνοι ποὺ διέπρεψαν μὲ τὸν ἄριστο τρόπο ζωῆς τους στὴν πίστη τους πρὸς τὸ Χριστό. Σκέψου, σὲ παρακαλῶ, τὰ πλήθη ἐκεῖνα, τὶς λαμπάδες, τὶς ἀκτίνες, τὴ δόξα, τὴν εὐπρέπεια, τὴ φαιδρότητα, τὴν πανήγυρη. Ποιὸς θὰ μπορέσει νὰ τὰ περιγράψει αὐτά; Λόγος μὲν κανένας, μόνη δὲ ἡ προσωπικὴ ἐμπειρία θὰ διδάξει μὲ σαφήνεια τὴ λαμπρότητα ἐκείνη σ' ἐκείνους ποὺ θ' ἀξιωθοῦν νὰ γίνουν μέτοχοι αὐτῆς τῆς θεωρίας. Διότι νομίζω ὅτι θὰ συμβαίνει τὸ ἴδιο, ὅπως γιὰ παράδειγμα, ἂν συνέβαινε νὰ λάμψουν ἐπάνω στὸν οὐρανὸ πολλοὶ μαζὶ ἥλιοι, ἢ συνεχεῖς ἀστραπές· μᾶλλον ὅμως ὅ,τι καὶ ἂν πῶ,

*φιλονεικῶν παραστῆσαι τὸ κάλλος ἐκεῖνο, οὐ δυνήσομαι κατ' ἀξίαν εἰπεῖν. Τὰ γὰρ παραδείγματα ἅπαντα ταῦτα σωματικά, λαμπρότης καὶ ἡ δόξα, ἡ τότε μέλλουσα ἐκλάμπειν ἐκεῖ, ὑπὲρ ἅπαν τοιοῦτον κάλλος διαλάμψει. Οὐ γὰρ ἄφθαρτα ἔσται τὰ σώματα μόνον, οὐδὲ ἀθάνατα, ἀλλὰ καὶ δόξαν ἄρρητον ἐνδύσεται τότε.*

*«Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων». Ἵνα μὴ φοβερὸν ὄντα δείξῃ μόνον, δείκνυσιν αὐτοῦ καὶ τὸ ἥμερον καὶ τὸ εὐεργετικὸν λέγων, «Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων». Καὶ τοῦτο τῆς ἐκείνου δυνάμεώς ἐστι, τὸ λαμπροὺς οὕτως ἐκείνους ποιῆσαι, ὅπερ καὶ Παῦλος δηλῶν ἔλεγεν· «Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι συμμόρφους τῷ σώματι τῆς δόξης αὐτοῦ. Εἶτα ἐπειδὴ μέγα εἶπε καὶ ἄφατον, ἐπήγαγε· «Κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν ὑποτάξαι αὐτῷ τὰ πάντα». Μὴ ζήτει πῶς, φησί, καὶ τίνι τρόπῳ. Δυνατὰ γὰρ αὐτῷ πάντα, ὅσα βούλεται. Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, 'ἐν τῇ λαμπρότητι τῶν ἁγίων', ἀλλ', «Ἐν ταῖς λαμπρότησιν»; Ὅτι πολλὰ καὶ διάφορα τὰ βραβεῖα. «Ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. Ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ· οὕτως ἔσται», φησί, «καὶ ἡ ἀνάστασις τῶν νεκρῶν». Καὶ ὁ Χριστός· «Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσι». Διὰ τοῦτο ἡ λαμπρότης ἐκείνη τέλος οὐκ ἔχει. Οὐδὲ γὰρ εἴκει νυκτί, οὐδὲ παραχωρεῖ σκότῳ, ἀλλ' ἄφατος οὖσα καὶ μεγάλη, καὶ πολὺ ταύτην τὴν ὁρωμένην ὑπερβαίνουσα, ἔτι καὶ τοῦτο ἔχει μέγιστον, τὸ πέρας μὴ δέχεσθαι, ὅπερ ἀφάτου δυνάμεώς ἐστι*

---

46. Φιλιπ. 3, 21.
47. Φιλιπ. 3, 21.
48. Α' Κορ. 15, 41 - 42.
49. Ἰω. 14, 2.

προσπαθώντας νὰ παρουσιάσω τὸ κάλλος ἐκεῖνο, δὲν θὰ μπορέσω νὰ τὸ περιγράψω ἐπάξια. Διότι ὅλα αὐτὰ τὰ παραδείγματα εἶναι σωματικά, ἐνῶ ἡ λαμπρότητα ἐκείνη καὶ ἡ δόξα, ποὺ πρόκειται τότε νὰ λάμπει ἐκεῖ, θὰ διαλάμψει περισσότερο ἀπὸ ὁποιοδήποτε τέτοιο κάλλος. Καθόσον δὲν θὰ εἶναι μόνο ἄφθαρτα τὰ σώματα, οὔτε ἀθάνατα, ἀλλὰ θὰ ντυθοῦν τότε καὶ μὲ δόξα ἀπερίγραπτη.

«Ἀνάμεσα στὴ λαμπρότητα τῶν ἁγίων». Γιὰ νὰ μὴ τὸν δείξει μόνο φοβερό, δείχνει καὶ τὴν ἡμερότητά του καὶ τὴν εὐεργετικὴ πλευρά του, λέγοντας, «Ἀνάμεσα στὴ λαμπρότητα τῶν ἁγίων». Καὶ αὐτὸ εἶναι ἀποτέλεσμα τῆς δυνάμεως ἐκείνου, τὸ νὰ κάνει αὐτοὺς τόσο λαμπρούς, πράγμα ποὺ γιὰ νὰ δείξει ὁ Παῦλος ἔλεγε· «Ὁ ὁποῖος θὰ μεταμορφώσει τὸ σῶμα τῆς ταπεινώσεώς μας, ὥστε νὰ ἔχαυμε τὴν ἴδια μορφὴ μὲ τὸ σῶμα τῆς δόξας αὐτοῦ»[46]. Ἔπειτα, ἐπειδὴ εἶπε κάτι τὸ πολὺ μεγάλο καὶ ἀπερίγραπτο, πρόσθεσε· «Μὲ τὴν ἐνέργειά του, μὲ τὴν ὁποία μπορεῖ νὰ ὑποτάξει τὰ πάντα σ' αὐτόν»[47]. Μὴ ζητᾶς, λέγει, πῶς καὶ μὲ ποιὸ τρόπο. Διότι εἶναι δυνατὰ σ' αὐτὸν ὅλα, ὅσα θέλει. Γιὰ ποιὸ λόγο δὲ δὲν εἶπε, 'ἀνάμεσα στὴ λαμπρότητα τῶν ἁγίων', ἀλλ' εἶπε, «Ἀνάμεσα στὶς λαμπρότητες αὐτῶν»; Διότι εἶναι πολλὰ καὶ διάφορα τὰ βραβεῖα. Καθόσον «Ἄλλη εἶναι ἡ λαμπρότητα τοῦ ἡλίου, ἄλλη ἡ λαμπρότητα τῆς σελήνης καὶ ἄλλη ἡ λαμπρότητα τῶν ἀστέρων. Διότι ἕνας ἀστέρας διαφέρει ἀπὸ τὸν ἄλλο ἀστέρα ὡς πρὸς τὴ λαμπρότητα· ἔτσι, λέγει, θὰ συμβεῖ καὶ ἡ ἀνάσταση τῶν νεκρῶν»[48]. Καὶ ὁ Χριστὸς λέγει· «Στὴν οἰκία τοῦ Πατέρα μου ὑπάρχουν πολλὲς διαμονές»[49]. Γι' αὐτὸ ἡ λαμπρότητα ἐκείνη δὲν ἔχει τέλος. Διότι δὲν ὑποχωρεῖ στὴ νύχτα, οὔτε παραχωρεῖ τὴ θέση της στὸ σκοτάδι, ἀλλὰ εἶναι ἀπερίγραπτη καὶ μεγάλη, καὶ ξεπερνᾶ κατὰ πολὺ αὐτὴν ποὺ βλέπουμε, καὶ ἀκόμα ἔχει καὶ αὐτὸ μέγιστο, τὸ ὅτι δὲν δέχεται τέλος, πράγμα ποὺ εἶναι δεῖγμα τῆς ἀπερίγραπτης δυνάμεως τοῦ βασιλέως, τὸ νὰ προσδίνει

*τοῦ βασιλέως, τὸ τὰ σώματα τὰ φθαρτὰ καὶ ἐπίκηρα εἰς τοσαύτην ἄγειν ἰσχὺν καὶ δύναμιν.*

*7. Εἶτα ἐπειδὴ μεγάλα τινὰ εἶπε, καὶ ταῖς ἐλπίσιν ἐπτέρωσε τὸν ἀκροατήν, δείκνυσιν ὅτι εἰκότως ταῦτα γίνεται, ἐπειδὴ τηλικοῦτος ὁ κατορθῶν. Τίς δὲ ὁ κατορθῶν; Ὁ ὁμοούσιος τῷ Πατρί. Τοῦτο γὰρ δηλῶν ἐπήγαγεν· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε». Ἀλλ' οἱ πρὸς τὴν ἑαυτῶν γνώμην διαστρέφοντες τὰ εἰρημένα, περὶ τῆς κατὰ σάρκα ταῦτα γεννήσεως εἰρῆσθαί φασι. Πῶς οὖν, «Πρὸ ἑωσφόρου;» εἰπέ μοι. Τὴν νύκτα οὕτως εἶπε, καθ' ἣν ἐτίκτετο, ὅτι πρὸ τοῦ ὄρθρου ἐτέχθη. Ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον εἰπεῖν, οὐδὲ ἱστορίας χάριν ἔλεγεν· ἄλλως δὲ οὐδὲ ἔχουσι δεῖξαι, ὅτι ὅπερ οἱ εὐαγγελισταὶ ἐδίδαξαν, τοῦτο εἶπον ἂν οἱ προφῆται αἱ συνεσκιασμένως τὰ πλείω φθεγγόμενοι. Ἐνταῦθα τοίνυν τό, «Πρὸ ἑωσφόρου», οὐ πρὸ τῆς ἀνατολῆς λέγει τοῦ ἑωσφόρου, ἀλλὰ πρὸ τῆς φύσεως, πρὸ τοῦ γενέσθαι ἑωσφόρον. Οἶδε γὰρ ταῦτα ἡ Γραφὴ διαιρεῖν, ὅταν πρὸ φύσεως λέγῃ, καὶ ὅταν πρὸ ἐνεργείας· οἷον ὅταν λέγῃ· «Δεῖ φθάνειν τὸν ὄρθρον ἐπ' εὐχαριστίαν σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι». Ἐνταῦθα γὰρ τὸν ὄρθρον λέγει. Οὐ γὰρ εἶπε, 'πρὸ ἡλίου', ἀλλά, «Πρὸ ἀνατολῆς»· οὐ, πρὸ τῆς φύσεως, οὐδὲν γὰρ πρὸ τῆς φύσεως τοῦ ἡλίου γέγονεν, ἀλλὰ πρὸ ἀνατολῆς τοῦ ἡλίου, ἵνα τὸν ὄρθρον ἐμφήνῃ.*

*Ἀλλαχοῦ δὲ ὅτε πρὸ τῆς φύσεως αὐτοῦ λέγει, οὐ λέγει, πρὸ ἀνατολῆς, ἀλλά, πρὸ τοῦ ἡλίου, ὡς ὅταν λέγῃ· «Πρὸ τοῦ*

50. Ἑωσφόρος = ὁ αὐγερινός, ὁ πλανήτης Ἀφροδίτη.
51. Σοφ. Σολ. 16, 28.

τόσο μεγάλη ἰσχὺ καὶ δύναμη στὰ φθαρτὰ καὶ πρόσκαιρα σώματα.

7. Ἔπειτα, ἐπειδὴ εἶπε ὁρισμένα πολὺ σπουδαῖα καὶ ἀναπτέρωσε τὶς ἐλπίδες τοῦ ἀκροατῆ, δείχνει ὅτι αὐτὰ συμβαίνουν, κατὰ πολὺ φυσικὸ λόγο, ἐπειδὴ εἶναι τόσο μεγάλος ἐκεῖνος ποὺ κατορθώνει αὐτά. Ποιὸς δὲ εἶναι αὐτὸς ποὺ τὰ κατορθώνει; Αὐτὸς ποὺ εἶναι ὁμοούσιος μὲ τὸν Πατέρα. Αὐτὸ λοιπὸν γιὰ νὰ δηλώσει, πρόσθεσε· «Ἀπὸ τοὺς κόλπους μου σὲ γέννησα πρὶν ἀπὸ τὴ δημιουργία τοῦ ἑωσφόρου». Ἀλλ' ἐκεῖνοι ποὺ διαστρέφουν αὐτὰ τὰ λόγια, ὅπως αὐτοὶ τὰ ἀντιλαμβάνονται, λένε ὅτι αὐτὰ ἔχουν λεχθεῖ γιὰ τὴν κατὰ σάρκα γέννηση αὐτοῦ. Ἀλλὰ πές μου, σὲ παρακαλῶ, πῶς «Πρὶν ἀπὸ τὸν ἑωσφόρο»; Ἔτσι ὀνόμασε τὴ νύχτα κατὰ τὴν ὁποία γεννιώταν, διότι γεννήθηκε πρὶν ἀπὸ τὴ χαραυγή. Ἀλλὰ δὲν τὰ εἶπε αὐτὰ μὲ αὐτὸ τὸ σκοπό, οὔτε γιὰ νὰ ἐξιστορήσει τὸ γεγονός· ἄλλωστε δὲ δὲν μποροῦν ν' ἀποδείξουν, ὅτι ἐκεῖνο ποὺ δίδαξαν οἱ εὐαγγελιστές, αὐτὸ θὰ μποροῦσαν νὰ ποῦν καὶ οἱ προφῆτες ποὺ λέγουν τὰ περισσότερα συσκιασμένα. Ἐδῶ λοιπὸν τὸ «Πρὸ ἑωσφόρου» δὲν σημαίνει πρὶν ἀπὸ τὴν ἀνατολὴ τοῦ ἑωσφόρου, ἀλλὰ πρὶν ἀπὸ τὴ δημιουργία, πρὶν ἀπὸ τὴ γένεση τοῦ ἑωσφόρου. Διότι γνωρίζει ἡ Γραφὴ νὰ χωρίζει αὐτά, ὅταν ὁμιλεῖ γιὰ τὸν πρὸ τῆς φύσεως καὶ πρὸ τῆς ἐνεργείας χρόνο, ὅπως ὅταν λέγει· «Πρέπει νὰ προφθάνουν τὸν ὄρθρο γιὰ νὰ σὲ εὐχαριστοῦν, καὶ πρὶν ἀπὸ τὴν ἀνατολὴ τοῦ φωτὸς νὰ ἐπικοινωνοῦν μαζί σου»[31]. Ἐδῶ λοιπὸν ἐννοεῖ τὸν ὄρθρο. Διότι δὲν εἶπε 'πρὶν ἀπὸ τὸν ἥλιο', ἀλλὰ «Πρὶν ἀπὸ τὴν ἀνατολή»· ὄχι, πρὶν ἀπὸ τὴ γένεσή του, διότι τίποτε δὲν ἔγινε πρὶν ἀπὸ τὴ δημιουργία τοῦ ἡλίου, ἀλλὰ πρὶν ἀπὸ τὴν ἀνατολὴ τοῦ ἡλίου, γιὰ νὰ δηλώσει τὸν ὄρθρο.

Σ' ἄλλη ὅμως περίπτωση, ὅταν ὁμιλεῖ γιὰ τὸ χρόνο πρὶν ἀπὸ τὴ δημιουργία τοῦ ἡλίου, δὲν λέγει, πρὶν ἀπὸ τὴν ἀνατολή, ἀλλὰ πρὶν ἀπὸ τὸν ἥλιο, ὅπως ὅταν λέγει· «Πρὶν

ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ». Καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν». Ὥσπερ οὖν ἕτερον τό, «Πρὸ ἡλίου», καὶ ἕτερον τό, «Πρὸ ἀνατολῆς ἡλίου»· τὸ μὲν γὰρ τὴν ἐνέργειαν τοῦ ἡλίου, καὶ τὸν ὄρθρον δηλοῖ, τὸ δὲ τὴν φύσιν, οὕτω δὴ καὶ ἐνταῦθα, εἰ ἐβούλετο τὴν νύκτα δηλῶσαι, οὐκ ἂν εἶπε, «Πρὸ ἑωσφόρου», ἀλλά, 'πρὸ ἀνατολῆς ἑωσφόρου'. Ἄλλως δὲ καὶ ὁ Χριστὸς τὸν ψαλμὸν τοῦτον οὐκ εἰς τὴν κατὰ σάρκα οἰκονομίαν, ἀλλ' εἰς τὴν κατὰ Πνεῦμα γέννησιν ἔλαβεν. Εἰπὼν γὰρ τοῖς Ἰουδαίοις, «Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν;», ἐπειδὴ εἶπον, «τοῦ Δαυίδ», ἐπήγαγε τὸν ψαλμόν, λέγων· Πῶς οὖν Δαυίδ φησιν, «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; Εἰ οὖν Κύριος αὐτοῦ ἐστι, πῶς ὑμεῖς λέγετε, ὅτι υἱὸς αὐτοῦ ἐστι;». Τί οὖν ἐστι τὸ λεγόμενον; Τὸ γνήσιον τῆς γεννήσεως παρέστησεν ἐνταῦθα. Τί οὖν; πρὸ τοῦ ἑωσφόρου μόνον ἐστίν; Οὐδαμῶς. Ἐπεὶ καὶ ἀλλαχοῦ φησι· «Πρὸ τῆς σελήνης ὁ θρόνος αὐτοῦ». Καὶ οὐ πρὸ τῆς σελήνης μόνον, ἐπεὶ καὶ περὶ τοῦ Πατρὸς λέγει· «Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ». Οὐκ ἀπὸ τοῦ αἰῶνος μόνον, ἀλλὰ καὶ πρὸ τοῦ αἰῶνος· οὐδὲ γὰρ ἕως τοῦ αἰῶνος, ἀλλ' ἀπείρως ἐστί. Μὴ δὴ πρόσπταιε ταῖς λέξεσιν, ἀλλὰ θεοπρεπῶς δέχου τὴν ἔννοιαν.

Καὶ ὅρα προφήτου σοφίαν. Ἀρχόμενος τοῦ ψαλμοῦ, οὐκ ἐντεῦθεν ἤρξατο, «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε», ἀλλὰ πρότερον δείξας αὐτοῦ τὰ κατορθώματα, καὶ διὰ τῶν ἔργων ἀνακηρύξας αὐτόν, ὕστερον ἀπὸ κυρίου δείκνυσιν αὐ-

---

52. Ψαλμ. 71, 17.
53. Ψαλμ. 71, 5.
54. Ματθ. 22, 42.
55. Ψαλμ. 109, 1.
56. Ματθ. 22, 43 - 45.
57. Ψαλμ. 89, 2.

ἀπό τὴ δημιουργία τοῦ ἡλίου διαμένει τὸ ὄνομά του»[52]. «Καὶ πρὶν ἀπὸ τὴ σελήνη ἐπὶ γενεὲς γενεῶν»[53]. Ὅπως ἀκριβῶς λοιπὸν ἄλλο σημαίνει τὸ «Πρὶν ἀπὸ τὸν ἥλιο», καὶ ἄλλο τό, «Πρὶν ἀπὸ τὴν ἀνατολὴ τοῦ ἡλίου», διότι τὸ μὲν ἕνα δηλώνει τὴν ἐνέργεια τοῦ ἡλίου καὶ τὸν ὄρθρο, τὸ δὲ ἄλλο τὴ γένεσή του, ἔτσι λοιπὸν καὶ ἐδῶ, ἂν ἤθελε νὰ δηλώσει τὴ νύχτα, δὲν θὰ ἔλεγε, «Πρὶν ἀπὸ τὸν ἑωσφόρο», ἀλλά, 'πρὶν ἀπὸ τὴν ἀνατολὴ τοῦ ἡλίου'. Ἄλλωστε δὲ καὶ ὁ Χριστὸς αὐτὸν τὸν ψαλμὸ δὲν τὸν θεώρησε σὰν ἀναφερόμενο στὴν κατὰ σάρκα οἰκονομία, ἀλλὰ στὴν κατὰ Πνεῦμα γέννησή του. Διότι, ἀφοῦ εἶπε στοὺς Ἰουδαίους, «Ποιὰ εἶναι ἡ γνώμη σας γιὰ τὸ Χριστό; τίνος υἱὸς εἶναι;»[54], ἐπειδὴ εἶπαν, «Τοῦ Δαυίδ», πρόσθεσε τὰ λόγια τοῦ ψαλμοῦ, λέγοντας· «Πῶς λοιπὸν ὁ Δαυὶδ λέγει, εἶπε ὁ Κύριος στὸν Κύριό μου, κάθησε στὰ δεξιά μου[55]; Ἂν λοιπὸν εἶναι Κύριος αὐτοῦ, πῶς σεῖς λέτε, ὅτι εἶναι υἱός του;»[56]. Τί σημαίνει λοιπὸν τὸ λεγόμενο; Ἐδῶ ἀναφέρεται στὸ γνήσιο τῆς γεννήσεως. Τί λοιπόν; ὑπάρχει μόνο πρὶν ἀπὸ τὴ δημιουργία τοῦ ἑωσφόρου; Καθόλου. Διότι καὶ ἀλλοῦ λέγει· «Ὁ θρόνος αὐτοῦ ὑπάρχει πρὶν ἀπὸ τὴ δημιουργία τῆς σελήνης». Καὶ ὄχι μόνο πρὶν ἀπὸ τὴ δημιουργία τῆς σελήνης, καθόσον καὶ γιὰ τὸν Πατέρα λέγει· «Σὺ ὑπάρχεις πρὶν ἀπὸ τὴ δημιουργία τῶν ὀρέων καὶ τὴ διαμόρφωση τῆς γῆς καὶ τῆς οἰκουμένης, καὶ ἀπὸ τὴν ἀρχὴ τοῦ αἰώνα καὶ μέχρι τέλους τοῦ αἰώνα». Δὲν ὑπάρχει ἀπὸ τὴν ἀρχὴ τοῦ αἰώνα μόνο, ἀλλὰ καὶ πρὶν ἀπὸ τὸν αἰώνα· οὔτε βέβαια θὰ ὑπάρχει μέχρι τὸ τέλος τοῦ αἰώνα ἀλλ' ἐπ' ἄπειρο. Μὴ λοιπὸν σκοντάφτεις στὶς λέξεις, ἀλλὰ νὰ δέχεσαι τὴν ἔννοιά τους ὅπως ὁρμόζει στὸ Θεό.

Καὶ πρόσεχε σοφία προφήτη. Ἀρχίζοντας τὸν ψαλμό, δὲν ἄρχισε ἀπὸ ἐδῶ, «Σὲ γέννησα ἀπὸ τοὺς κόλπους μου πρὶν ἀπὸ τὴ δημιουργία τοῦ ἑωσφόρου», ἀλλ', ἀφοῦ πρῶτα ἔδειξε τὰ κατορθώματά του καὶ ἀνακήρυξε αὐτὸν ἀπὸ τὰ ἔργα του, ὕστερα ἀπαδεικνύει τὴν ἀξία του καὶ ἀπὸ

τοῦ τὴν ἀξίαν. Οὕτω καὶ αὐτὸς ἔλεγεν· «Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι. Εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε», ἵνα μαθών, ὅτι ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, ὁ Κύριος καλούμενος ὡς ὁ Πατήρ, ὁ μεθ' ἑαυτοῦ τὴν ἀρχὴν ἔχων, ὁ λαμπρότητα τοιαύτην ἐργαζόμενος, ὁ μεταξὺ τῶν ἐθνῶν κατακυριεύων, μὴ θορυβηθῇς, ἐὰν ἀκούσῃς, ὅτι οὗτος Υἱός ἐστι καὶ πρὸ τῆς κτίσεως ἁπάσης. Θαυμάζειν δὲ ἄξιον τὸν προφήτην, πῶς τὰ μὲν ἐκ προσώπου τοῦ Θεοῦ, τὰ δὲ ἐκ προσώπου αὐτοῦ φθέγγεται. Τὸ μὲν γάρ, «Κάθου ἐκ δεξιῶν μου», καὶ τό, «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε», ἅπερ ἐστὶν ὑψηλότερα αὐτοῦ, αὐτὸν εἰσάγει τὸν Θεὸν λέγοντα, τὰ δὲ ἄλλα αὐτὸς διηγεῖται. Σκόπει δὲ καὶ πόσῃ κέχρηται οἰκειότητι τῆς λέξεως. Ἤρκει μὲν γὰρ καὶ τὸ εἰπεῖν, «Ἐγέννησά σε», ἀλλὰ διὰ τοὺς χαμαὶ βαδίζοντας, ἵνα τὸ γνήσιον παραστήσῃ, καὶ ταύτης ἐμνημόνευσε τῆς ῥήσεως. Καὶ καθάπερ λέγων χεῖρα, οὐχ ἵνα ὑποπτεύσωμεν χεῖρα λέγει, ἀλλὰ τὴν δημιουργικὴν δύναμιν, οὕτω καὶ «γαστρὸς» ἐμνημόνευσεν, ἵνα τὸ γνήσιον τῆς γεννήσεως παραστήσῃ.

8. Εἶτα βουλόμενος τὴν προφητείαν ἐν σχήματι δικαστοῦ συνθεῖναι, πρὸς αὐτὸν τὴν λαλιὰν ποιεῖται, ὅπερ σφοδροτάτης ἀγάπης ἦν καὶ χαρᾶς ὑπερβαλλούσης, καὶ ψυχῆς σφόδρα κατόχου θείῳ Πνεύματι γινομένης. «Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ». Ὁρᾷς πῶς πάλιν ἐπὶ τὸ ταπεινότερον τὸν λόγον ἄγει, ποτὲ μὲν περὶ τῆς θεότητος, ποτὲ δὲ περὶ τῆς ἀνθρωπότητος διαλεγόμενος; ὅπερ καὶ οἱ εὐαγγελισταὶ ποιοῦ-

---

58. Ἰω. 10, 37.

τὴν πλευρὰ τοῦ Κυρίου. Ἔτσι καὶ αὐτὸς ἔλεγε· «Ἂν δὲν κάμνω τὰ ἔργα τοῦ Πατέρα μου, μὴ μὲ πιστεύετε. Ἂν ὅμως τὰ κάμνω, καὶ ἂν ἀκόμα δὲν πιστεύετε σ' ἐμένα, πιστέψτε στὴ μαρτυρία ποὺ δίνουν τὰ ἔργα μου»[58], ὥστε μαθαίνοντας, ὅτι αὐτὸς ποὺ κάθεται στὰ δεξιὰ τοῦ Πατέρα, ποὺ ὀνομάζεται Κύριος, ὅπως καὶ ὁ Πατέρας, ποὺ ἔχει τὴν ἀρχὴ στὸν ἑαυτό του, ποὺ ἐνεργεῖ τόσα λαμπρὰ ἔργα καὶ ποὺ ἀποδεικνύεται ἐξουσιαστὴς μεταξὺ τῶν ἐθνῶν, νὰ μὴ θορυβηθεῖς, ἂν ἀκούσεις, ὅτι αὐτὸς εἶναι Υἱὸς τοῦ Θεοῦ καὶ πρὶν ἀπὸ τὴ δημιουργία ὅλης τῆς κτίσεως. Εἶναι δὲ ἄξιος θαυμασμοῦ ὁ προφήτης, πῶς ἄλλα μὲν τὰ λέγει σὰν νὰ τὰ λέγει ὁ ἴδιος ὁ Θεός, ἄλλα δὲ τὰ λέγει αὐτὸς ὁ ἴδιος. Διότι τὸ μέν, «Κάθησε στὰ δεξιά μου», καὶ τὸ «Ἀπὸ τοὺς κόλπους μου σὲ γέννησα πρὶν ἀπὸ τὴ δημιουργία τοῦ ἑωσφόρου», ποὺ περικλύουν ὑψηλότερες ἔννοιες, παρουσιάζει τὸ Θεὸ νὰ τὰ λέγει, ἐνῶ τὰ ἄλλα τὰ διηγεῖται ὁ ἴδιος. Πρόσεχε δὲ καὶ μὲ πόση οἰκειότητα χρησιμοποιεῖ τὴ λέξη. Διότι ἀρκοῦσε καὶ μόνο τὸ νὰ πεῖ, «Σὲ γέννησα», ἀλλ' ἐξ αἰτίας ἐκείνων ποὺ βρίσκονται πνευματικὰ χαμηλά, γιὰ νὰ παρουσιάσει τὸ γνήσιο τῆς γεννήσεώς του, ἀνέφερε αὐτὴ τὴ λέξη. Καὶ ὅπως ἀκριβῶς, λέγοντας χέρι, τὸ λέγει ὄχι γιὰ νὰ σκεφθοῦμε χέρι, ἀλλὰ γιὰ νὰ δείξει τὴ δημιουργικὴ δύναμή του, ἔτσι καὶ ἀνέφερε τὴ λέξη «γαστρός», γιὰ νὰ παραστήσει τὴ γνησιότητα τῆς γεννήσεώς του.

8. Ἔπειτα θέλοντας νὰ παρουσιάσει τὴν προφητεία ὑπὸ μορφὴ δικαστοῦ, ἀπευθύνει τὸ λόγο πρὸς αὐτόν, πράγμα ποὺ ἦταν δεῖγμα σφοδροτάτης ἀγάπης καὶ ὑπερβολικῆς χαρᾶς καὶ ψυχῆς ποὺ εἶχε κυριευθεῖ ἐξ ὁλοκλήρου ἀπὸ τὸ θεῖο Πνεῦμα. «Ὁρκίσθηκε ὁ Κύριος καὶ δὲν θ' ἀλλάξει ἀπόφαση. Σὺ εἶσαι ἱερεὺς αἰώνιος κατὰ τὴν τάξη τοῦ Μελχισεδέκ». Βλέπεις πῶς πάλι ὁδηγεῖ τὸ λόγο κατὰ τρόπο ταπεινότερο, μιλώντας ἄλλοτε γιὰ τὴ θεότητα αὐτοῦ καὶ ἄλλοτε γιὰ τὴν ἀνθρώπινη φύση του; πράγμα ποὺ

σιν, ἵνα ἑκατέρωθεν ἡ ἀκρίβεια τῶν δογμάτων διατηρῆται. Καὶ διὰ τί εἶπε, «Κατὰ τὴν τάξιν Μελχισεδέκ»; Καὶ διὰ τὰ μυστήρια, ὅτι κἀκεῖνος ἄρτον καὶ οἶνον προσήνεγκε τῷ Ἀβραάμ, καὶ διὰ τὸ ἐλευθέραν εἶναι τοῦ νόμου ταύτην τὴν ἱερωσύνην, καὶ διὰ τὸ ἀτελεύτητον, καθάπερ καὶ Παῦλός φησι, καὶ ἄναρχον. Ὅπερ γὰρ ἐκεῖνος εἶχεν ἐν ταῖς σκιαῖς, τοῦτο ἐν τῇ ἀληθείᾳ γέγονεν ἐπὶ τοῦ Ἰησοῦ· καὶ καθάπερ τὰ ὀνόματα προέτρεχεν, ὡς Ἰησοῦς, ὡς Χριστός, οὕτω καὶ τοῦτο. Οὔτε ἀρχὴν οὖν ἡμερῶν φαίνεται ἔχων, οὔτε ζωῆς τέλος ὁ Μελχισεδέκ, οὐ τῷ μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γενεαλογηθῆναι. Ὁ δὲ Ἰησοῦς οὐδὲ ἀρχὴν ἡμερῶν ἔσχεν, οὔτε ζωῆς τέλος, οὐ κατὰ τοῦτον τὸν τρόπον, ἀλλὰ τῷ καθ' ὅλου μὴ εἶναι ἐπ' αὐτοῦ ἀρχὴν χρονικήν, μηδὲ τέλος. Τὸ μὲν γὰρ ἦν σκιά, τὸ δὲ ἀλήθεια. Ὥσπερ οὖν Ἰησοῦς ἀκούων, οὐ τὸν ἀληθῶς Ἰησοῦν ὑποπτεύεις, ἀλλὰ τοῦ ὀνόματος τὸν τύπον δέχῃ μόνον, καὶ οὐδὲν πλέον ἐπιζητεῖς, οὕτω καὶ ἀκούων τὸν Μελχισεδὲκ ἄναρχον καὶ ἀτελεύτητον, μὴ ἐν τῇ τῶν πραγμάτων ἀληθείᾳ αὐτὸν ζήτει, ἀλλ' ἀρκοῦ τῇ προσηγορίᾳ μόνῃ, τὴν δὲ ἀλήθειαν ἐπὶ τοῦ Χριστοῦ καταμάνθανε. Ὅρκον δὲ ὅταν ἀκούσῃς, μὴ ὅρκον νόμιζε. Ὥσπερ γὰρ θυμός, οὐ θυμὸς ἐπὶ Θεοῦ, ἀλλὰ τὸ τιμωρητικόν, καὶ οὐ πάθος ἐστίν, οὕτως οὐδὲ ὅρκος. Οὐ γὰρ ὄμνυσι Θεός, ἀλλὰ τὸ πάντως ἐσόμενον λέγει.

Εἰπὼν τοίνυν τὴν λαμπρότητα τῶν ἁγίων, τὸ τεθῆναι τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, τὴν ἡμέραν τῆς δυνάμεως, λέγει καὶ τὰ παρόντα λοιπόν. Καὶ ὅρα οἵαν ποιεῖται τάξιν τῷ λόγῳ, τὸν σκληρὸν ἀκροατὴν καταμαλάσσων. Πρότερον γὰρ φοβήσας τῷ λόγῳ τῆς κρίσεως, καὶ τὸ δυσένδοτον αὐτοῦ μα-

---

59. Ἑβρ. 7, 3 ἑ.

κάμνουν καὶ οἱ εὐαγγελιστές, ὥστε καὶ ἀπὸ τὰ δύο μέρη νὰ διατηρεῖται ἡ ἀκρίβεια τῶν δογμάτων. Καὶ γιατί εἶπε, «Κατὰ τὴν τάξη Μελχισεδέκ»; Καὶ ἐξ αἰτίας τῶν μυστηρίων, διότι καὶ ἐκεῖνος πρόσφερε ἄρτο καὶ οἶνο στὸν Ἀβραάμ, καὶ ἐπειδὴ αὐτὴ ἡ ἱερωσύνη εἶναι ἀνεξάρτητη ἀπὸ τὸ νόμο, καὶ ἐπειδὴ εἶναι ἀτελείωτη, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει[59], καὶ χωρὶς ἀρχή. Διότι αὐτὸ ποὺ ἐκεῖνος εἶχε κατὰ τρόπο συσκιασμένο, αὐτὸ ἔγινε μὲ τὸν Ἰησοῦ πραγματικότητα· καὶ ὅπως ἀκριβῶς προέτρεχε τὰ ὀνόματα Ἰησοῦς καὶ Χριστός, ἔτσι καὶ αὐτό. Οὔτε ἀρχὴ λοιπὸν ἡμερῶν φαίνεται νὰ ἔχει ὁ Μελχισεδέκ, οὔτε τέλος ζωῆς, ὄχι ἐπειδὴ δὲν εἶχε, ἀλλ' ἐπειδὴ ἦταν ἀγενεαλόγητος. Ὁ Ἰησοῦς ὅμως οὔτε ἀρχὴ ἡμερῶν εἶχε, οὔτε τέλος ζωῆς ἔχει, ὄχι κατὰ τὸν ἴδιο τρόπο, ἀλλ' ὅτι δὲν ἔχει αὐτὸς χρονικὴ ἀρχὴ οὔτε τέλος. Διότι τὸ μὲν ἕνα ἦταν σκιά, ἐνῶ τὸ δεύτερο πραγματικότητα. Ὅπως ἀκριβῶς λοιπὸν ἀκούοντας Ἰησοῦς, δὲν σκέπτεσαι τὸν ἀληθινὰ Ἰησοῦν, ἀλλὰ δέχεσαι μόνο τὸν τύπο τοῦ ὀνόματος καὶ δὲν ἐπιζητεῖς τίποτε περισσότερο, ἔτσι καὶ ἀκούοντας ὅτι ὁ Μελχισεδὲκ εἶναι ἄναρχος καὶ χωρὶς τέλος, μὴ προσπαθεῖς νὰ τὸν βρεῖς τέτοιο στὴν πραγματικότητα, ἀλλὰ ν' ἀρκεῖσαι μόνο στὴν ὀνομασία, τὴν δὲ ἀλήθεια ψάξε νὰ τὴν βρεῖς στὸ Χριστό. Ὅταν δὲ ἀκούσεις ὅρκο, μὴ νομίζεις ὅτι πρόκειται γιὰ πραγματικὸ ὅρκο. Διότι, ὅπως ἀκριβῶς ὁ θυμός, δὲν εἶναι γιὰ τὸ Θεὸ θυμός, ἀλλὰ φανερώνει τὴν τιμωρία αὐτοῦ, καὶ δὲν εἶναι πάθος, ἔτσι οὔτε καὶ ὁ ὅρκος. Καθόσον ὁ Θεὸς δὲν ὁρκίζεται, ἀλλ' ἐννοεῖ αὐτὸ ποὺ ὁπωσδήποτε θὰ συμβεῖ.

Ἀφοῦ λοιπὸν μίλησε γιὰ τὴ λαμπρότητα τῶν ἁγίων, γιὰ τὸ ὅτι θὰ θέσει τοὺς ἐχθρούς του κάτω ἀπὸ τὰ πόδια του καὶ γιὰ τὴν ἡμέρα ποὺ θὰ δείξει τὴ δύναμή του ὁμιλεῖ πλέον καὶ γιὰ τὰ παρόντα. Καὶ πρόσεχε δὲ ποιὰ σειρὰ ἀκολουθεῖ στὸ λόγο, καταπραΰνοντας τὸ σκληρὸ ἀκροατή. Διότι, ἀφοῦ πρῶτα τὸν φόβισε μὲ τὸ λόγο γιὰ τὴν μέλ-

*λάξας, οὕτω καὶ τὸν περὶ τῶν παρόντων εἰσάγει λόγον. Διὰ τοῦτο καὶ τοιαύτην ποιεῖται τὴν μίξιν. Σκόπει δέ, «Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»· τοῦτο τῶν μελλόντων. Εἶτα τὰ παρόντα· «Ῥάβδον δυνάμεώς σου ἐξαποστελεῖ Κύριος ἐκ Σιών· καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου». Εἶτα τὰ μέλλοντα· «Μετὰ σοῦ ἡ ἀρχή, ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων». Εἶτα πάλιν τὰ παρόντα οὐκέτι τιμωρίαν ἔχοντα, ἀλλ' εὐεργεσίαν· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ». Τοῦτο γὰρ ἁμαρτίας ἀναίρεσις καὶ καταλλαγὴ πρὸς Θεόν. Εἶτα ἐπιμείνας αὐτοῖς ὅσον ἠβούλετο, πάλιν τῆς οἰκονομίας ἅπτεται, ἐπὶ τὸ ταπεινότερον τὸν λόγον μετασχηματίζων, καὶ λέγων· «Κύριος ἐκ δεξιῶν σου». Καίτοι ἄνω ἔλεγεν, ὅτι αὐτὸς κάθηται ἐν δεξιᾷ τοῦ Πατρός. Ὁρᾷς πῶς οὐχ ἁπλῶς χρὴ ταῖς λέξεσι παρακαθῆσαι; Τί ἐστι, «Κύριος ἐκ δεξιῶν σου»; Ἐπειδὴ τῆς οἰκονομίας ἥψατο, ἐπὶ τὴν σάρκα τὸν λόγον τρέπει τὴν βοήθειαν δεχομένην. Ὁρᾶται γὰρ ἀγωνιῶν, καὶ ἱδρῶν, καὶ οὕτως ἱδρῶν, ὡς καὶ θρόμβους καταρρεῖν καὶ ἐνισχυόμενος. Τοιαύτη γὰρ τῆς σαρκὸς ἡ φύσις.*

*«Συνθλάσει ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς». Οὐκ ἄν τις ἁμάρτοι τοῦτο καὶ περὶ τῶν παρόντων λέγων τῶν ἐπανισταμένων τῇ Ἐκκλησίᾳ, καὶ περὶ τῶν μελλόντων δώσειν εὐθύνας, ὑπὲρ ὧν ἥμαρτον καὶ ἠσέβησαν. «Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα». Τί ἐστι, «Κρινεῖ ἐν τοῖς ἔθνεσι»; Δικάσει, φησί, κατακρινεῖ τοὺς δαίμονας. Καὶ ὅτι ἔκρινεν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν*

60. Λουκᾶ 22, 44.

λουσα κρίση, καὶ μαλάκωσε τὴ σκληρότητά του, ἔτσι ὁδηγεῖ καὶ τὸ λόγο γιὰ τὰ παρόντα. Γι' αὐτό καὶ ἀναμειγνύει αὐτὸν κατ' αὐτόν τὸν τρόπο. Πρόσεχε δέ. «Μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθροὺς ὑποπόδιο γιὰ τὰ πόδια σου»˙ αὐτό λέγεται γιὰ τὰ μελλοντικά. Ἔπειτα ὁμιλεῖ γιὰ τὰ παρόντα˙ «Ράβδο δυνάμεως θὰ σοῦ ἀποστείλει ὁ Κύριος ἀπό τὴ Σιὼν καὶ μ' αὐτὴ θὰ κυριαρχήσεις ἀνάμεσα στοὺς ἐχθρούς σου». Ἔπειτα ἀναφέρει τὰ μελλοντικά˙ «Μαζί σου βρίσκεται ἐκ φύσεως ἡ ἐξουσία καὶ θὰ ἐκδηλωθεῖ κατὰ τὴν ἡμέρα τῆς δυνάμεώς σου ἀνάμεσα στὶς λαμπρότητες τῶν ἁγίων σου». Ἔπειτα ἀναφέρει πάλι τὰ παρόντα, ποὺ δὲν ἔχουν ἀκόμη τιμωρία, ἀλλ' εὐεργεσία. «Σὺ εἶσαι ἱερεὺς αἰώνιος κατὰ τὴν τάξη Μελχισεδέκ». Διότι αὐτό δείχνει κατάργηση τῆς ἁμαρτίας καὶ συμφιλίωση μὲ τό Θεό. Ἔπειτα, ἀφοῦ ἐπέμεινε σ' αὐτὰ ὅσο ἤθελε, πάλι ὁμιλεῖ γιὰ τὴν οἰκονομία, μετατρέποντας τό λόγο πρός τὸ ταπεινότερο, καὶ λέγει˙ «Ὁ Κύριος πού βρίσκεται στὰ δεξιά σου». Μολονότι βέβαια προηγουμένως ἔλεγε, ὅτι αὐτός κάθεται στὰ δεξιὰ τοῦ Πατέρα. Βλέπεις ὅτι δὲν πρέπει ν' ἀρκούμαστε ἁπλῶς στὶς λέξεις; Τί σημαίνει δέ, «Κύριος ἐκ δεξιῶν σου»; Ἐπειδὴ μίλησε γιὰ τὴ θεία οἰκονομία, μεταφέρει τὸ λόγο πρὸς τὴ *σάρκα* πού δέχεται τὴ βοήθεια. Διότι βλέπεται ν' ἀγωνιᾶ καὶ νὰ ἱδρώνει, καὶ ἔτσι νὰ ἱδρώνει, ὥστε καὶ νὰ τρέχουν σταγόνες[60] καὶ νὰ ἐνισχύεται. Διότι τέτοια εἶναι ἡ φύση τῆς σάρκας.

«Θὰ συντρίψει βασιλεῖς κατὰ τὴν ἡμέρα τῆς ὀργῆς του». Δέν θὰ ἁμάρτανε κανεὶς ἂν αὐτό τὸ ἔλεγε καὶ γιὰ τούς σημερινοὺς πού πολεμοῦν τὴν Ἐκκλησία, καὶ γιὰ ἐκείνους πού πρόκειται νὰ τιμωρηθοῦν γιὰ ὅσα ἁμαρτήματα καὶ ἀσεβήματα διέπραξαν. «Θὰ κρίνει τὰ ἔθνη καὶ θὰ γεμίσει τόν κόσμο ἀπὸ πτώματα». Τί σημαίνει «Κρινεῖ ἐν τοῖς ἔθνεσι»; Θὰ δικάσει, λέγει, καὶ θὰ καταδικάσει τοὺς δαίμονες. Καὶ τὸ ὅτι ἔκαμε τὴν κρίση, ἄκουσε τὸ Χριστὸ ποὺ λέγει˙ «Τώρα κρίνεται ὁ κόσμος αὐτός, τώρα ὁ ἄρ-

*ὁ ἄρχων τοῦ κόσμου ἐκβληθήσεται ἔξω»*. Καὶ ἀλλαχοῦ· «*Κἀγὼ ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν*». Εἰ δὲ αἰσθητικωτέρᾳ τῇ λέξει κέχρηται, μὴ προσπταίσῃς. Ἔθος γὰρ τῇ Γραφῇ τοῦτο. «*Συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν*». Εἰ μὲν κατὰ ἀναγωγὴν βούλοιο τοῦτο δέχεσθαι, τὴν ἀπόνοιαν εἴποι τις ἂν ὅτι καθελεῖ, εἰ δὲ καί αἰσθητῶς, τὴν συμφορὰν τὴν Ἰουδαϊκήν, οὓς ἀπώλεσεν ἄρδην μετὰ πολλῆς τῆς σφοδρότητος. «*Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται*». Ἐνταῦθα δείκνυσι τὸ ταπεινὸν τῆς διαίτης, τὸ εὐτελὲς τῆς διαγωγῆς, ὅτι δὴ οὐ σοβῶν, οὐδὲ δορυφόρους ἔχων, οὐδὲ φαντασίαν τινὰ περικείμενος αἰσθητὴν ταῦτα ἔπραττεν, ἀλλὰ λιτὸν βίον μετιών, καὶ τοιοῦτον, ὡς ἐκ χειμάρρου πίνειν. Οἵα γὰρ ἦν αὐτῷ ἡ τράπεζα, τοιοῦτον καὶ τὸ ποτόν. Ἡ τράπεζα ἄρτοι κρίθινοι, τὸ ποτὸν ὕδωρ ἀπὸ τοῦ χειμάρρου. Τὴν γὰρ φιλόσοφον ταύτην δίαιταν ἦλθε διδάξων, γαστρὸς κρατεῖν, φαντασίαν πατεῖν, τῦφον ἀποστρέφεσθαι.

9. Εἶτα δεικνὺς τῆς ζωῆς τὸ κέρδος, τοῦτο ἐπήγαγε· «*Διὰ τοῦτο ὑψώσει κεφαλήν*». Τῆς γὰρ ταπεινοφροσύνης καὶ τοῦ σκληροῦ βίου οὗτος ὁ καρπός. Ταῦτα δὲ οὐ περὶ τῆς θεότητος εἴρηται, ἀλλὰ περὶ τῆς σαρκὸς τῆς πινούσης ἐκ χειμάρρου, τῆς ὑψωθείσης. Οὐ μόνον γὰρ οὐδὲν αὐτὴν παρέβλαψεν αὕτη ἡ εὐτέλεια, ἀλλὰ καὶ πρὸς ὕψος ἀνήγαγεν ἄφατον. Καὶ σὺ τοίνυν, ὦ ἀγαπητέ, ἔχων τὰ ὑποδείγματα, τὸν μὲν φλεγμαίνοντα καὶ φαντασίας γέμοντα βίον ἀτίμαζε, τὸν δὲ εὐτελῆ καὶ ἐσχεδιασμένον δίωκε, εἴ γε βούλει λαμπρός τις εἶναι καὶ μέγας. Καὶ γὰρ ὁ Δεσπότης σου διὰ τοῦτο ἦλθεν, ἵνα ταύτην σε διδάξῃ τὴν ὁδόν. Διά τοι τοῦτο καὶ ὁ προφήτης εἰπὼν τὰ

---

61. Ἰω. 12, 31.
62. Ἰω. 12, 32.

χοντας τοῦ κόσμου θὰ ἐκδιωχθεῖ ἔξω»[61]. Καὶ ἀλλοῦ· «Καὶ ἐγὼ ἂν ὑψωθῶ ἀπὸ τὴ γῆ σταυρούμενος, ὅλους θὰ τοὺς προσελκύσω πρὸς ἐμένα»[62]. Ἂν δὲ χρησιμοποιεῖ λέξεις μὲ περισσότερο ὑλικὴ σημασία, μὴ σκοντάψεις σ' αὐτό. Διότι συνηθίζει νὰ τὸ κάμνει αὐτὸ ἡ Γραφή. «Θὰ συντρίψει τὰ κεφάλια πολλῶν ἐπάνω στὴ γῆ». Ἂν μὲν ἤθελε ἐκλάβει κανεὶς αὐτὸ κατὰ τρόπο ἀλληγορικό, θὰ μποροῦσε νὰ πεῖ ὅτι θὰ ἐξαφανίσει τὴν παραφροσύνη, ἂν ὅμως τὸ ἐκλάβει κατὰ λέξη, σημαίνει τὴν ἰουδαϊκὴ συμφορά, τοὺς ὁποίους κατέστρεψε ἀπὸ τὰ θεμέλια μὲ μεγάλη σφοδρότητα. «Θὰ πιεῖ νερὸ ἀπὸ χείμαρρο ποὺ θὰ συναντήσει στὸ δρόμο του». Ἐδῶ δείχνει τὴν ταπεινὴ διατροφή του, τὸν ἁπλοϊκὸ τρόπο ζωῆς του, ὅτι δηλαδὴ τὰ ἔκαμνε αὐτὰ ὄχι μὲ ἐπιδεικτικὸ τρόπο, οὔτε ἔχοντας στρατιωτικοὺς φρουροὺς ἢ περιβαλλόμενος ἀπὸ κάποια ἐξωτερικὴ ἐπιδεικτικὴ ἐμφάνιση, ἀλλὰ κάμνοντας ζωὴ λιτή, καὶ τέτοια ζωή, ὥστε νὰ πίνει νερὸ ἀπὸ χείμαρρο. Διότι ὅ,τι λογῆς ἦταν ἡ τροφή του, τέτοιο ἦταν καὶ τὸ ποτό του. Ἡ τροφή του ἦταν ἄρτοι κρίθινοι, ἐνῶ τὸ ποτό του νερὸ ἀπὸ τὸ χείμαρρο. Διότι ἦλθε γιὰ νὰ διδάξει τὴν ἀδιαφορία αὐτὴ γιὰ τὴν τροφή, τὴν ἐγκράτεια τῆς κοιλίας, τὴν καταπάτηση τῆς ἐπιδείξεως, τὴν ἀποφυγὴ τῆς ἀλαζονείας.

9. Ἔπειτα, γιὰ νὰ δείξει τὸ κέρδος τῆς ζωῆς, πρόσθεσε αὐτό· «Γι' αὐτὸ ἀκριβῶς θὰ ὑψώσει τὴν κεφαλή του». Διότι αὐτὸ ἦταν καρπὸς τῆς ταπεινοφροσύνης καὶ τοῦ σκληροῦ βίου του. Αὐτὰ ὅμως δὲν λέχθηκαν γιὰ τὴ θεότητα, ἀλλὰ γιὰ τὴ σάρκα ποὺ ἔπινε ἀπὸ χείμαρρο καὶ δοξάσθηκε. Διότι ὄχι μόνο αὐτὴ ἡ ταπεινότητα δὲν τὴν ἔβλαψε σὲ τίποτε, ἀλλὰ καὶ τὴν ὁδήγησε σὲ ὕψος ἀπερίγραπτο. Καὶ σὺ λοιπόν, ἀγαπητέ, ἔχοντας τὰ παραδείγματα, περιφρόνα μὲν τὸ σκληρὸ καὶ ἐπιδεικτικὸ βίο, ἐπιδίωκε δὲ τὸν ταπεινὸ καὶ ἁπλὸ βίο, ἂν βέβαια θέλεις νὰ εἶσαι κάποιος λαμπρὸς καὶ σπουδαῖος. Καθόσον ὁ Κύριός σου γι' αὐτὸ ἦλθε, γιὰ νὰ σοῦ διδάξει αὐτὴ τὴν ὁδό. Γι' αὐτὸ λοι-

κατορθώματα, ἐπήγαγε τοῦτο αὐτό, μονονουχὶ λέγων· ἀκούσας νίκην καὶ τρόπαια, μὴ ἔλπιζε ὅπλα καὶ στρατιώτας, καὶ ἅρματα, καὶ ἵππους, καὶ ἱππέας, καὶ ὁπλίτας, καὶ θορύβους, καὶ ταραχὰς ἰδεῖν. Οὕτω ταπεινός ἐστιν ὁ ταῦτα κατορθῶν, οὕτω συνεσταλμένος, ὡς ἐκ χειμάρρου πίνειν ὕδωρ· ἀλλ' ὅμως οὗτος ὁ τοιοῦτος ταῦτα ἅπαντα ἀνύσει.

Ἀκουέτωσαν οἱ τὰς Συβαριτικὰς ἔχοντες τραπέζας, καὶ τὰ ἐδέσματα, καὶ πᾶν εἶδος καρυκείας ἐπινοοῦντες, καὶ ποικίλα μαγείρων γένη πανταχόθεν συλλέγοντες, καὶ ναύτας καὶ κυβερνήτας καὶ κωπηλάτας καταλέγοντες, ἵνα ξένα τινὰ γένη καὶ οἴνου καὶ μύρων καὶ τῆς ἄλλης βλακείας κομίσωσι, καὶ πρὸς αὐτὸ ἑαυτοὺς καταποντίσωσι τὸ βάραθρον, καὶ πάντων γένωνται ταπεινότεροι. Οὔτε γὰρ ὑψηλὸν εἴωθε ποιεῖν τὸ πλειόνων δεῖσθαι, οὔτε ταπεινὸν τὸ ὀλίγων εἶναι ἐν χρείᾳ. Καὶ εἰ βούλεσθε, ἑκατέρων τὴν εἰκόνα ἀναπλάσσωμεν, καὶ ἔστω τις πολλοὺς ἔχων τοὺς πανταχόθεν χορηγοῦντας, καὶ ναύτας καὶ κυβερνήτας, καὶ χειροτέχνας καὶ οἰκέτας, καὶ ὑφάντας καὶ ποικιλτάς, καὶ βουκόλους καὶ ποιμένας, καὶ ἱπποκόμους καὶ ἱπποφορβούς, καὶ πολλὴν ἐν ἅπασιν ἐχέτω τὴν θεραπείαν· ἕτερος δὲ μηδενὸς τούτων ἀπολαυέτω, ἀλλ' ἄρτου μόνου καὶ ὕδατος καὶ ἱματίου ψιλοῦ· τίς ἐν τούτοις ὁ ὑψηλός; τίς δὲ ὁ ταπεινός; Οὐκ εὔδηλον, ὅτι ὁ τὸ ἱμάτιον μόνον ἔχων; Οὗτος μὲν γὰρ καὶ αὐτοῦ τοῦ βασιλεύοντος καταφρονῆσαι δυνήσεται, ἐκεῖνος δὲ πάντων τῶν ταῦτα παρεχόντων δοῦλός ἐστιν, ὑποκύπτων, κολακεύων, θεραπεύων ἅπαντας, δεδοικὼς μή τις αὐτὸν καταλιπὼν εἰς τὰ καίρια βλάψῃ· οὐδὲν γὰρ οὕτω ποιεῖ δοῦλον, ὡς τὸ πολλῶν δεῖσθαι· ὥσπερ οὖν ἐλεύθερον, ὡς τὸ τῆς χρείας εἶναι μόνης.

63. Σύβαρις· Ἀρχαία ἑλληνικὴ πόλη τῆς Κάτω Ἰταλίας, ποὺ ἐξ αἰτίας τοῦ μεγάλου πλούτου της οἱ κάτοικοί της ζοῦσαν πολυτελέστατα, ἔγιναν μαλθακοὶ καὶ ἀγαποῦσαν τὶς ἡδονὲς καὶ τὴν τρυφηλὴ ζωή. Ἀπὸ τότε ὀναμάζεται ἡ μεγάλη αὐτὴ τρυφηλότητα συβαριτισμός, καταστράφηκε τὸ 510 π.Χ. ἀπὸ τοὺς κατοίκους τοῦ Κρότωνα.

πὸν καὶ ὁ προφήτης, ἀφοῦ εἶπε τὰ κατορθώματα, πρόσθεσε αὐτό, καὶ ἦταν σὰν νὰ ἔλεγε· 'ἐπειδὴ ἄκουσες νίκη καὶ τρόπαια, μὴ περιμένεις νὰ δεῖς ὅπλα, στρατιῶτες, ἅρματα, ἵππους, ἱππεῖς, ὁπλίτες, θορύβους καὶ ταραχές. Τόσο πολὺ ταπεινὸς εἶναι αὐτὸς ποὺ κατορθώνει αὐτά, τόσο ἁπλοϊκός, ὥστε νὰ πίνει νερὸ ἀπὸ χείμαρρο· ἀλλ' ὅμως αὐτὸς ποὺ εἶναι τέτοιος, θὰ κατορθώσει ὅλα αὐτά.

Ἂς τὰ ἀκούσουν αὐτὰ αὐτοὶ ποὺ διατηροῦν τὶς Συβαριτικὲς τράπεζες καὶ ἐπινοοῦν τὰ διάφορα φαγητὰ καὶ κάθε εἶδος καρυκεύματος, καὶ ποὺ συγκεντρώνουν ἀπὸ παντοῦ διαφόρων φυλῶν μαγείρους, καὶ παραγγέλουν αὐτοὺς καὶ κυβερνῆτες καὶ κωπηλάτες, γιὰ νὰ τοὺς φέρουν τίποτε ξένα εἴδη κρασιοῦ καὶ μύρων καὶ τὰ ἄλλα εἴδη τῆς βλακείας, καὶ νὰ καταποντίσουν τοὺς ἑαυτούς τους στὸ βάραθρο καὶ νὰ γίνουν ταπεινότεροι ἀπὸ ὅλους. Διότι συνήθως οὔτε κάμνει κάποιον ὑψηλὸν τό ὅτι ἔχει ἀνάγκη ἀπὸ πολλά, οὔτε ταπεινὸ τὸ νὰ ἔχει ἀνάγκη ἀπὸ λίγα. Καὶ ἂν θέλετε, ἂς περιγράψουμε τὴν εἰκόνα καὶ τῶν δύο, καὶ ἂς ὑποθέσουμε ὅτι ὑπάρχει κάποιος ποὺ ἔχει πολλοὺς προμηθευτές ἀπὸ ὅλα τὰ μέρη, καὶ ναῦτες, καὶ κυβερνῆτες, καὶ χειροτέχνες, καὶ δούλους καὶ ὑφαντές, καὶ κεντητές, καὶ βοσκούς βοδιῶν καὶ προβάτων, καὶ ἱπποκόμους, καὶ ἱπποτρόφους, καὶ ὅτι ἔχει σ' ὅλα πολλὴ ἐξυπηρέτηση· ἄλλος δὲ δὲν ἀπολαμβάνει τίποτε ἀπ' αὐτά, ἀλλὰ μόνο ἄρτο, νερὸ καὶ φτωχικὰ ἐνδύματα· ποιὸς ἀπ' αὐτοὺς εἶναι ὁ ὑψηλός; ποιὸς δὲ ὁ ταπεινός; Δὲν εἶναι ὁλοφάνερο, ὅτι εἶναι ἐκεῖνος ποὺ ἔχει μόνο τὸ ἔνδυμα; Διότι αὐτὸς μὲν θὰ μπορέσει νὰ περιφρονήσει καὶ τὸν ἴδιο τὸν βασιλιά, ἐνῶ ἐκεῖνος εἶναι δοῦλος ὅλων ἐκείνων ποὺ τοῦ προμηθεύουν αὐτά, ὑποκύπτοντας, κολακεύοντας, ἐκδουλεύοντας ὅλους, φοβούμενος μήπως κανεὶς τὸν ἐγκαταλείψει καὶ τὸν βλάψει θανάσιμα· διότι τίποτε δὲν κάμνει κάποιον τόσο πολὺ δοῦλο, ὅσο τὸ νὰ ἔχει ἀνάγκη ἀπὸ πολλά· ὅπως ἀκριβῶς πάλι τίποτε δὲν τὸν κάμνει ἐλεύθερο, ὅσο τὸ νὰ ἔχει μιὰ μόνο ἀνάγκη.

*Τοῦτο καὶ ἐπ' ἀλόγων ἴδοι τις ἄν. Τί γὰρ ὄφελος ὄνῳ βαλλομένῳ μεγέθει φορτίων, κἂν μυριάκις αὐτῶν ἀπολαύῃ; τί δὲ βλάβος ἑτέρῳ τούτων ἀπηλλαγμένῳ πάντων ἂν τῆς ἀναγκαίας ἀπολαύῃ τροφῆς; Διὰ τοῦτο καὶ ὁ Χριστὸς ὑψηλοὺς τοὺς ἑαυτοῦ κατασκευάζων μαθητάς, ἅτε μέλλοντας τῇ οἰκουμένῃ διαλέξεσθαι πάσῃ, πασῶν αὐτοὺς ἀπήλλαξε φροντίδων πτερωτοὺς ἐργαζόμενος, καὶ ἀδάμαντος εὐτονωτέρους. Οὐδὲν γὰρ οὕτως ἰσχὺν ἐντίθησι ψυχῇ, ὡς τὸ τούτων ἀπηλλάχθαι, οὐδὲν οὕτως ἀσθενῆ ποιεῖ, ὡς τὸ τούτοις ἐνέχεσθαι. Ὥσπερ γὰρ οὐκ ἔστι λύπην εὑρεῖν ἐνταῦθα ταχέως, οὕτως ἐκεῖ ἡδονήν. Ὁ μὲν γὰρ πολλοὺς ἔχει δεσπότας καὶ δεσποίνας ἀνημέρους τινὰς καὶ ἀπανθρώπους, ὁ δὲ δουλεύει μὲν οὐδενί, κρατεῖ δὲ ἁπάντων, μετὰ πολλῆς τῆς ἀδείας καὶ τῆς ἀκτῖνος ἀπολαύων, καὶ τῷ ἀέρι ἐντρυφῶν, καὶ τὸν διενοχλοῦντα οὐκ ἔχων. Οὐ θυμὸς σπαράσσει τοῦτον, οὐ φθόνος, οὐ βασκανία οὐ φροντίδες τήκουσιν, οὐ ζηλοτυπίαι, οὐ κενοδοξία, οὐ τῦφος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ὥσπερ τις λιμὴν εὐδιεινὸς κυμάτων ἀπηλλαγμένος, οὕτως αὐτῷ τὰ τῆς ψυχῆς διάκειται, καὶ πρὸς τὸν οὐρανὸν εὐκόλως ὁδεύει, οὐδενὶ τῶν παρόντων κατεχόμενος.*

*Ἵν' οὖν καὶ ἡμεῖς ταύτης ἀπολαύωμεν τῆς ἀδείας, καὶ τῆς κατὰ τὸν παρόντα βίον εὐθυμίας, καὶ τῆς εὐκολίας τῆς κατὰ τὴν ἀποδημίαν, τοῦτον διώκωμεν τὸν βίον, ὥστε καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι, τῶν ὑπερβαλλόντων ἅπαντα λόγον, καὶ νοῦν, καὶ διάνοιαν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Αὐτὸ θὰ μποροῦσε νὰ τὸ δεῖ κανεὶς καὶ στὰ ἄλογα ζῶα. Διότι ποιὸ τὸ ὄφελος γιὰ τὸν ὄνο ποὺ φορτώνεται μὲ μεγάλα φορτία, καὶ ἂν ἀκόμα ἀπολαμβάνει αὐτὰ σ' ἀμέτρητο βαθμό; ποιὰ δὲ ἡ βλάβη γιὰ ἄλλο ὄνο ποὺ εἶναι ἀπαλλαγμένος ἀπὸ ὅλα αὐτά, ἂν ἀπολαμβάνει τὴν ἀναγκαία τροφή; Γι' αὐτὸ καὶ ὁ Χριστὸς προετοιμάζοντας τοὺς μαθητές του νὰ γίνουν ἀνώτεροι, ἐπειδὴ ἐπρόκειτο νὰ κηρύξουν σ' ὅλη τὴν οἰκουμένη, τοὺς ἀπάλλαξε ἀπὸ ὅλες τὶς φροντίδες, ἀναπτερώνοντας αὐτοὺς καὶ κάμνοντάς τους πιὸ ἰσχυροὺς καὶ ἀπὸ τὸ διαμάντι. Διότι τίποτε δὲν θέτει στὴν ψυχὴ τόσο μεγάλη δύναμη, ὅσο τὸ ν' ἀπαλλαγεῖ ἀπ' αὐτά, καὶ τίποτε δὲν τὴν ἐξασθενεῖ τόσο πολὺ ὅσο τὸ νὰ εἶναι δεσμευμένη ἀπ' αὐτά. Ὅπως ἀκριβῶς δηλαδὴ δὲν εἶναι δυνατὸ νὰ συναντήσει ἀμέσως λύπη στὴν περίπτωση αὐτή, ἔτσι οὔτε καὶ ἡδονὴ στὴν περίπτωση τὴν ἄλλη. Διότι ὁ μὲν ἕνας ἔχει πολλοὺς κυρίους καὶ κυρίες ποὺ εἶναι σκληροὶ καὶ ἀπάνθρωποι, ἐνῶ ὁ ἄλλος δὲν εἶναι μὲν δοῦλος σὲ κανένα, ἐξουσιάζει δὲ ὅλους, ἀπολαμβάνοντας πολλὴ ἐλευθερία καὶ ἀκτινοβολία, χαίρεται τὸν ἀέρα καὶ δὲν ἐνοχλεῖται ἀπὸ κανένα. Δὲν τὸν απαράσσει αὐτὸν ὁ θυμός, οὔτε ὁ φθόνος, οὔτε ἡ ζήλεια, οὔτε τὸν λειώνουν οἱ φροντίδες, οὔτε οἱ ζηλοτυπίες, οὔτε κενοδοξία, οὔτε ἡ ἀλαζονεία, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλὰ σὰν ἀκριβῶς κάποιο λιμάνι ἀπάνεμο ποὺ εἶναι ἀπαλλαγμένο ἀπὸ κύματα, σὲ τέτοια κατάσταση βρίσκεται ὁ ψυχικός του κόσμος, καὶ βαδίζει μὲ εὐκολία πρὸς τὸν οὐρανό, χωρὶς νὰ τὸν δεσμεύει κανένα ἀπὸ τὰ παρόντα πράγματα.

Γιὰ ν' ἀπολαμβάνουμε λοιπὸν καὶ ἐμεῖς αὐτὴ τὴν ἐλευθερία καὶ τὴν εὐθυμία ἐδῶ στὴν παρούσα ζωή, καθὼς καὶ τὴν εὐκολία κατὰ τὴν ἀναχώρησή μας ἀπ' αὐτὴ τὴ ζωή, ἂς ἐπιδιώκουμε αὐτὴ τὴ ζωὴ ὥστε καὶ τὰ αἰώνια ἀγαθὰ ν' ἀπολαύσουμε, ποὺ ὑπερβαίνουν κάθε λόγο, νοῦ καὶ διάνοια, στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΙ΄ ΨΑΛΜΟΝ

*«Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου».*

*1. Τί ἐστιν, «Ἐν ὅλῃ»; Μετὰ προθυμίας ἁπάσης, συντεταμένως, ἀπαλλαγεὶς τῶν βιωτικῶν φροντίδων, καὶ μετάρσιος γενόμενος, καὶ τὴν ψυχὴν ἀπολύσας τῶν δεσμῶν τοῦ σώματος. «Ἐν καρδίᾳ». Οὐχ ἁπλῶς ἐν ῥήμασιν, οὐδὲ ἐν γλώττῃ καὶ στόματι μόνον, ἀλλὰ καὶ μετὰ τῆς διανοίας. Οὕτω καὶ Μωϋσῆς νομοθετῶν ἔλεγεν· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου». Ἐνταῦθα γάρ μοι τὴν ἐξομολόγησιν τὴν εὐχαριστίαν δοκεῖ λέγειν. Ὑμνήσω, φησίν, εὐχαριστήσω. Καὶ γὰρ ἅπαντα τὸν βίον εἰς τοῦτο ἀνήλισκεν, καὶ ἐντεῦθεν προοιμιάζεται, καὶ εἰς τοῦτο καταλήγει· καὶ τοῦτο ἦν ἔργον αὐτοῦ διαπαντός, τὸ καὶ ὑπὲρ τῶν εἰς αὐτὸν γενομένων, καὶ ὑπὲρ τῶν εἰς ἄλλους εὐεργεσιῶν τὴν εὐχαριστίαν ἀναφέρειν. Οὐδὲν γὰρ οὕτως ὁ Θεὸς ὡς τοῦτο ἐπιζητεῖ· τοῦτο θυσία, τοῦτο προσφορά, τοῦτο ψυχῆς εὐγνώμονος σημεῖον, τοῦτο πληγὴ κατὰ τοῦ διαβόλου· ἐντεῦθεν ὁ μακάριος Ἰὼβ ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο, ὅτι μυρίων πειρασμῶν ἐπενεχθέντων αὐτῷ, καὶ τῆς γυναικὸς ὑποσκελιζούσης, οὐ περιετράπη, ἀλλ' ἔμενεν εὐχαριστῶν τῷ Δεσπότῃ περὶ πάντων, οὐχ ἡνίκα ἐπλούτει, ἀλλὰ καὶ ἡνίκα πένης ἐγένετο· οὐχ ἡνίκα ὑγίαινεν, ἀλλὰ καὶ ἡνίκα ἐπλήγη τὴν σάρκα· οὐχ ὅτε κατὰ ῥοῦν αὐτῷ τὰ πράγματα ἐφέρετο, ἀλλὰ καὶ ὅτε χαλεπὸς ἐκεῖνος ὁ χειμὼν κατέσκηψεν εἰς πᾶσαν αὐτοῦ τὴν οἰκίαν, καὶ εἰς αὐτὴν τοῦ σώματος τὴν φύσιν. Τοῦτο γὰρ μάλιστα εὐχαρίστου γνώμης ἐν ταῖς θλίψεσι καὶ ταῖς δυσημερίαις πολλὴν εἰδέναι τῷ Θεῷ τὴν χάριν, καὶ*

---

1. Ὁ ψαλμὸς αὐτὸς περιέχει σύντομη ἱστορία τοῦ Ἰσραήλ, στὴν ὁποία ἐξαίρονται ἄλως ἰδιαίτερα αἱ μεγάλες εὐεργεσίες τοῦ Θεοῦ πρὸς τὸ λαό του. Εἶναι γραμμένος μὲ πολλὴ φροντίδα, περιέχει σειρὰ ἀποφθεγμάτων, ποὺ διακρίνονται γιὰ τὴ χάρη τους, καὶ τὴν ἁπλότητά τους. Εἶναι ψαλμὸς χαρμόσυνος.

2. Δευτ. 6, 5.

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΡΙ΄ ΨΑΛΜΟ[1]

«Θὰ σὲ δοξολογήσω, Κύριε, μὲ ὅλη τὴν καρδιά μου».

1. Τί σημαίνει, «ἐν ὅλῃ»; Μὲ ὅλη τὴν προθυμία, μὲ ὅλη τὴν προσοχή, ἀπαλλαγμένος ἀπὸ τὶς κοσμικὲς φροντίδες, ἔχοντας τὸ νοῦ ὑψωμένο πρὸς τὸν οὐρανό καὶ τὴν ψυχὴ ἐλεύθερη ἀπὸ τὰ δεσμὰ τοῦ σώματος. «Μὲ τὴν καρδιά». Ὄχι ἁπλῶς μὲ λόγια, οὔτε μόνο μὲ τὴ γλώσσα καὶ τό στόμα, ἀλλὰ καὶ μὲ τὴ διάνοια. Ἔτσι καὶ ὁ Μωϋσῆς νομοθετώντας ἔλεγε· «Θ᾽ ἀγαπήσεις Κύριο τό Θεό σου μέ ὅλη τὴν καρδιά σου καὶ ὅλη τὴ διάνοιά σου»[2]. Ἐδῶ νομίζω σὰν ἐξομολόγηση ἐννοεῖ τὴν εὐχαριστία. Θὰ σὲ ὑμνήσω, λέγει, θὰ σὲ εὐχαριστήσω. Καθόσον ὅλη τὴ ζωή του μ᾽ αὐτὸ τὴν περνοῦσε καὶ ἀπ᾽ αὐτό ἀρχίζει τὸν ψαλμὸ καὶ σ᾽ αὐτὸ καταλήγει· καὶ αὐτὸ ἦταν τὸ ἔργο του σ᾽ ὅλη τὴ ζωή του, τὸ ν᾽ ἀναπέμπει εὐχαριστίες στό Θεὸ καὶ γιὰ τὶς εὐεργεσίες ποὺ γίνονταν σ᾽ αὐτὸν καὶ γιὰ τὶς εὐεργεσίες ποὺ γίνονταν στοὺς ἄλλους. Διότι τίποτε ἄλλο ὁ Θεὸς δὲν θέλει τόσο, ὅσο αὐτό· αὐτὸ εἶναι θυσία, αὐτὸ προσφορά, αὐτὸ ἀπόδειξη ψυχῆς εὐγνώμονος, αὐτὸ πλῆγμα κατὰ τοῦ διαβόλου· ἀπ᾽ αὐτό ὁ μακάριος Ἰὼβ στεφανωνόταν καὶ ἀνακηρυσσόταν, διότι, ἂν καὶ ἔπεσαν ἐπάνω του ἀμέτρητες δοκιμασίες καὶ ἡ γυναίκα του προσπαθοῦσε νὰ τὸν ἀπομακρύνει ἀπ᾽ τὸ Θεό, αὐτὸς δὲν ἐτράπηκε, ἀλλὰ συνέχιζε νὰ εὐχαριστεῖ τόν Κύριο γιὰ ὅλα, ὄχι μόνον ὅταν πλούτιζε, ἀλλὰ καὶ ὅταν ἀσθένησε τό σῶμα του· ὄχι μόνο ὅταν τὰ πράγματα ἔρχονταν γι᾽ αὐτόν εὐνοϊκά, ἀλλὰ καὶ ὅταν ἔπεσε μὲ ὁρμὴ ἡ φοβερὴ ἐκείνη συμφορά σ᾽ ὅλη τὴν οἰκία του καὶ στὸ ἴδιο τό σῶμα του. Διότι αὐτὸ πρὸ πάντων ἀποτελεῖ ἀπόδειξη διαθέσεως γεμάτης ἀπό εὐγνωμοσύνη, τὸ νὰ ἐκφράζει πολλὴ εὐγνωμοσύνη πρός τὸ Θεὸ

*διαπαντὸς μένειν εὐχαριστοῦντα· ὅπερ οὖν καὶ αὐτὸς αἰνιττόμενος διὰ τῶν ἑξῆς ἐδήλωσεν.*

*Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἐν εὐθυμίᾳ μὲν ὄντες εὐχαριστοῦσι, τὰ ἐναντία δὲ πάσχοντες δυσχεραίνουσιν, εἰσὶ δὲ οἳ καὶ τῶν γινομένων ἐπιλαμβάνονται, δεικνὺς ὅτι οὐ παρὰ τὴν φύσιν τῶν συμβαινόντων, ἀλλὰ παρὰ τὴν διεστραμμένην γνώμην τοῦτο γίνεται, ἐπήγαγε λέγων· «Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ μεγάλα τὰ ἔργα Κυρίου». Τοῦτο εἶπε δεικνύς, ὅτι δικαστοῦ χρεία ἀδεκάστου, καὶ συλλόγου μὴ διεφθαρμένου, καὶ δῆλα ἔσται τὰ ἔργα τοῦ Θεοῦ, ὅτι μεγάλα, ὅτι πολλοῦ θαύματος ἀνάμεστα. Ἔστι μὲν γὰρ καὶ καθ' ἑαυτὰ μεγάλα, οὐ δείκνυται δὲ μεγάλα, ἐὰν μὴ κριτὴν ὀρθὸν ἔχῃ. Ἐπεὶ καὶ ὁ ἥλιος καθ' ἑαυτὸν φαιδρὸς καὶ διαυγής, καὶ τὴν οἰκουμένην διαλάμπει πᾶσαν, ἀλλὰ τοῖς τὰς ὄψεις νοσοῦσιν οὐκ ἔστι τοιοῦτος. Ἀλλ' οὐ τοῦ ἡλίου τὸ ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀσθενείας τὸ ἐλάττωμα.*

*Ὅταν τοίνυν ἴδῃς τινὰ κατηγοροῦντα τῶν ἔργων Θεοῦ, μὴ τὰ ἔργα διάβαλλε διὰ τὴν ἐκείνου κακίαν, ἀλλὰ τῆς ἐκείνου ἀνοίας λάμβανε μέγιστον δεῖγμα ἀπὸ τῆς τοῦ Θεοῦ προνοίας. Ὥσπερ γὰρ ὁ τὸν ἥλιον λέγων σκοτεινόν, οὐ τὸ ἄστρον διέβαλεν, ἀλλὰ τῆς αὐτοῦ πηρώσεως ἐξήνεγκεν ἔλεγχον ἀκριβῆ, καὶ ὁ τὸ μέλι πικρὸν ὀνομάζων, οὐ τὴν γλυκύτητα τὴν ἐκείνου συνεσκίασεν, ἀλλὰ τῆς νόσου τῆς ἑαυτοῦ κατηγορίας συνεστήσατο τὴν ψῆφον, οὕτω δὴ καὶ ὁ τῶν ἔργων τοῦ Θεοῦ ἐπιλαμβανόμενος. Καὶ ὥσπερ οὗτος ἐκεῖνα μὲν οὐ λυμαίνεται, οὐδὲ τὴν περὶ αὐτῶν ὑπόληψιν, τῆς δὲ ἀνοίας τῆς ἑαυτοῦ μεγίστην ἐκφέρει κατηγορίαν, οὕτω δὴ καὶ περὶ τῶν ἔργων τοῦ Θεοῦ*

στὶς ὧρες τῶν θλίψεων καὶ τῶν δυσκολιῶν καὶ νὰ τὸν εὐχαριστεῖ συνέχεια, πράγμα λοιπὸν ποὺ καὶ ὁ ἴδιος δήλωσε ὑπαινισσόμενος μὲ τὰ ὅσα ἀναφέρει στὴ συνέχεια.

Ἐπειδὴ λοιπὸν πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους ὅταν μὲν εὐτυχοῦν εὐχαριστοῦν τὸ Θεό, ὅταν δὲ πάσχουν τὰ ἀντίθετα δυσαναχετοῦν, ὑπάρχουν δὲ καὶ ἐκεῖνοι ποὺ ἐπικρίνουν τὰ ὅσα συμβαίνουν, γιὰ νὰ δείξει ὅτι αὐτὸ δὲν γίνεται ἀπὸ τὴ φύση τῶν γεγονότων, ἀλλ᾽ ἀπὸ τὴ διεστραμμένη γνώμη τους, πρόσθεσε τὰ ἑξῆς· «Ἀνάμεσα στοὺς ἐκλεκτούς σου καὶ στὴ σύναξη τῶν πιστῶν μεγάλα καὶ θαυμαστὰ εἶναι τὰ ἔργα τοῦ Κυρίου». Αὐτὸ τὸ εἶπε γιὰ νὰ δείξει, ὅτι χρειάζεται δικαστὴς ἀμερόληπτος, καὶ σύναξη λαοῦ ὄχι διεφθαρμένη, καὶ θὰ γίνουν φανερὰ τὰ ἔργα τοῦ Θεοῦ, διότι εἶναι μεγάλα καὶ γεμάτα ἀπὸ πολὺ θαυμασμό. Εἶναι βέβαια καὶ αὐτὰ καθ᾽ ἑαυτὰ μεγάλα, δὲν παρουσιάζονται ὅμως μεγάλα, ἂν δὲν ἔχουν κριτὴ ἀμερόληπτο. Διότι καὶ ὁ ἥλιος εἶναι καθ᾽ ἑαυτὸν φαιδρὸς καὶ φωτεινὸς καὶ φωτίζει ὅλη τὴν οἰκουμένη, ἀλλὰ δὲν εἶναι τέτοιος γιὰ ἐκείνους ποὺ ἔχουν ἀσθενεῖς ὀφθαλμούς. Ὅμως δὲν εἶναι ἄξιος κατηγορίας ὁ ἥλιος, ἀλλὰ τὸ ἐλάττωμα τῆς ἀσθενείας ἐκείνων.

Ὅταν λοιπὸν δεῖς κάποιον νὰ κατηγορεῖ τὰ ἔργα τοῦ Θεοῦ, μὴ διαβάλλεις τὰ ἔργα ἐξ αἰτίας τῆς κακίας του, ἀλλὰ λάμβανε μεγίστη ἀπόδειξη γιὰ τὴν πρόνοια τοῦ Θεοῦ ἀπὸ τὴν ἀφροσύνη ἐκείνου. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ λέγει σκοτεινὸ τὸν ἥλιο, δὲν κατηγόρησε τὸ ἄστρο, ἀλλὰ κατηγόρησε μὲ ἀκρίβεια τὴν τύφλωσή του, καὶ ἐκεῖνος ποὺ ὀνομάζει τὸ μέλι πικρό, δὲν συσκότισε τὴ γλυκύτητα ἐκείνου, ἀλλὰ κατηγόρησε τὴ δική του ἀσθένεια, ἔτσι λοιπὸν καὶ ἐκεῖνος ποὺ κατηγορεῖ τὰ ἔργα τοῦ Θεοῦ. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ἐκεῖνα μὲν δὲν τὰ βλάπτει, οὔτε τὴν ἐκτίμηση γι᾽ αὐτά, ἀντίθετα διατυπώνει μεγίστη κατηγορία ἐναντίον τῆς ἰδικῆς του ἀνοησίας, ἔτσι λοιπὸν καὶ ἐκεῖνοι ποὺ δὲν κρίνουν ὀρθὰ τὰ ἔργα τοῦ Θεοῦ, δὲν ἀντιλαμβά-

*οἱ μὴ κρίσιν ὀρθὴν ἔχοντες, οὐκ ἴσασιν οὐδὲ τὰ θαύματα τὰ γενόμενα· ὡς εἴ τις ἀδέκαστον ἔχοι ψυχὴν καὶ μὴ διεστραμμένην, ἕκαστον καὶ τῶν δοκούντων εἶναι δυσχερῶν ἐκπλαγήσεται.*

*Καὶ εἰ βούλει, παραδραμόντες τὰ ἄλλα πάντα, ἔλθωμεν ἐπὶ τὰ δοκοῦντα εἶναι τοῖς πολλοῖς ἐπαχθῆ καὶ φορτικά, τὸν θάνατον, τὴν νόσον, τὴν πενίαν, καὶ ὅσα τοιαῦτα. Εἰ γάρ τις εὐθεῖαν ἔχοι καρδίαν, καὶ ταῦτα σφόδρα ἀποδέξεται καὶ θαυμάσεται. Εἰ γὰρ καὶ ἐξ ἁμαρτίας εἰσῆλθε ὁ θάνατος, ἀλλ' ὅμως τοσαύτη τοῦ Θεοῦ ἡ περιουσία, καὶ ἡ φιλανθρωπία, καὶ τῆς κηδεμονίας ἡ ὑπερβολή, ὡς καὶ τούτῳ εἰς δέον χρήσασθαι τῷ γένει τῷ ἡμετέρῳ. Τί γάρ, εἰπέ μοι, βαρὺ ὁ θάνατος ἔχει; Οὐκ ἀπαλλαγὴ πόνων ἐστίν; οὐ λύσις φροντίδων; Οὐκ ἀκούεις τοῦ Ἰὼβ αὐτὸν ἐγκωμιάζοντος, καὶ λέγοντος, «Θάνατος ἀνδρὶ ἀνάπαυσις, οὗ ἡ ὁδὸς ἀπεκρύβη»; Οὐκ ἐκκοπὴ κακίας; Ἄν τε γὰρ πονηρὸς ᾖ τις, διεκόπη τὰ τῆς κακίας αὐτοῦ τελευτήσαντος· «Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας», τουτέστιν, οὐκέτι προστίθησιν ἁμαρτίαν· ἄν τε ἀγαθὸς ὢν ἀπέλθῃ, ἐν ἀσφαλεῖ κείσεται τὰ τῆς ἀρετῆς αὐτῷ πάντα, καὶ ἐν ἀσύλῳ θησαυρῷ. Τοὺς δὲ ζῶντας εἰπέ μοι, οὐ ποιεῖ σωφρονεστέρους καὶ ἐπιεικεστέρους; Οὐχ ὁρᾷς ὅτι πολλάκις ἐν ἐκφορᾷ περιγενόμενοι οἱ πλουτοῦντες καὶ τετυφωμένοι καὶ τὰς ὀφρῦς ἀνασπῶντες, ὅταν ἴδωσι τὸ σῶμα κείμενον κωφὸν καὶ ἀκίνητον, καὶ παιδία ἐν ὀρφανίᾳ, καὶ γυναῖκα ἐν χηρείᾳ, καὶ φίλους ἐν κατηφείᾳ, καὶ οἰκέτας μελανειμονοῦντας, καὶ ἅπαν τῆς οἰκίας σκυθρωπὸν τὸ σχῆμα, πῶς συστέλλονται; πῶς ταπεινοῦνται; πῶς συντρίβονται; Καὶ*

---

3. Ρωμ. 5, 12.
4. Ἰὼβ 3, 23.
5. Ρωμ. 6, 7.

νονται οὔτε τὰ θαύματα ποὺ ἔγιναν καὶ γίνονται· διότι, ἐὰν κάποιος ἔχει ψυχὴ ἀμερόληπτη καὶ ὄχι διεστραμμένη, θὰ ἐκπλαγεῖ καὶ ἀπὸ τὸ καθένα ἀπὸ αὐτὰ ποὺ θεωροῦνται δυσάρεστα. Διότι πές μου, τί δὲν εἶναι ἀξιοθαύμαστο ἀπὸ αὐτὰ ποὺ γίνονται;

Καὶ ἂν θέλεις, ἀφοῦ παραλείψουμε ὅλα τὰ ἄλλα, ἂς ἔλθομε σ' ἐκεῖνα ποὺ θεωροῦνται ἀπὸ τοὺς πολλοὺς ὅτι εἶναι πράγματα βαρετὰ καὶ ἐνοχλητικά, τὸ θάνατο δηλαδή, τὴν ἀσθένεια, τὴ φτώχεια καὶ ὅλα τὰ παρόμοια. Διότι, ἂν κανεὶς ἔχει εἰλικρινὴ καρδιά, καὶ αὐτὰ θὰ τὰ ἀποδεχθεῖ μὲ πολλὴ προθυμία, καὶ θὰ τὰ θαυμάσει πάρα πολύ. Ἂν καὶ βέβαια ἐξ αἰτίας τῆς ἁμαρτίας εἰσῆλθε ὁ θάνατος στὸν κόσμο[3], ἀλλ' ὅμως εἶναι τόση ἡ ἀφθονία τῆς ἀγαθότητας τοῦ Θεοῦ, ἡ φιλανθρωπία καὶ ἡ ὑπερβολικὴ κηδεμονία του, ὥστε καὶ αὐτὸν νὰ τὸν χρησιμοποιήσει γιὰ τὸ καλὸ τοῦ γένους μας. Διότι πές μου, τί τὸ βαρὺ ἔχει ὁ θάνατος; Δὲν εἶναι ἀπαλλαγὴ ἀπὸ τοὺς κόπους; δὲν εἶναι τερματισμὸς τῶν φροντίδων; Δὲν ἀκούεις τὸν Ἰὼβ ποὺ ἐγκωμιάζει αὐτὸν καὶ λέγει, «Ὁ θάνατος εἶναι ἀνάπαυση γιὰ τὸν ἄνθρωπο»[4], τοῦ ὁποίου ἡ ὁδὸς ἔχει κρυβεῖ; Δὲν εἶναι ξερρίζωμα τῆς κακίας; Διότι, ἂν κανεὶς εἶναι κακός, διακόπηκαν τὰ τῆς κακίας του μὲ τὸ θάνατό του· «Διότι, ἐκεῖνος ποὺ πέθανε, ἐλευθερώθηκε ἀπὸ τὴν ἁμαρτία»[5], δηλαδὴ δὲν διαπράττει πλέον ἁμαρτία· καὶ ἂν φύγει ἀπὸ τὴ ζωὴ ἀγαθός, θὰ τοποθετηθοῦν σὲ ἀσφαλὲς μέρος ὅλα τὰ ἔργα τῆς ἀρετῆς καὶ σὲ ἀσύλητο θησαυροφυλάκιο. Τοὺς δὲ εὑρισκομένους στὴ ζωή, πές μου, δὲν τοὺς κάνει πιὸ σώφρονες καὶ πιὸ ἐπιεικεῖς; Δὲν βλέπεις ὅτι πολλὲς φορὲς οἱ πλούσιοι προσερχόμενοι σὲ κηδεία μὲ ὑπεροψία καὶ τὰ φρύδια σηκωμένα, ὅταν δοῦν τὸ σῶμα νεκρό, κωφὸ καὶ ἀκίνητο, τὰ παιδιὰ ὀρφανά, τὴ γυναίκα χήρα, τοὺς φίλους σκυθρωπούς, τοὺς δούλους νὰ φοροῦν μαῦρα ἐνδύματα καὶ ὅλη τὴν ἐμφάνιση τῆς οἰκίας σκυθρωπή, πῶς συστέλλονται; πῶς ταπεινώνονται; πῶς συντρίβονται; Καθόσον,

γὰρ μυρίας ἀπολαύσαντες διδασκαλίας, καὶ μηδὲν κερδάναντες, ἀπὸ τῆς ὄψεως ἐκείνης ἀθρόον φιλοσοφοῦσι, τό τε εὐτελὲς καὶ ἐπίκηρον τῆς ἀνθρωπίνης καταμανθάνοντες φύσεως, καὶ τὸ σαθρὸν καὶ ἄστατον τῆς αὐτῶν δυναστείας, καὶ ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τὰς ἑαυτῶν προορῶντες μεταβολάς.

2. Εἰ γὰρ θανάτου ὄντος, τοσαῦται ἁρπαγαί, τοσαῦται πλεονεξίαι, καὶ καθάπερ οἱ ἰχθύες καταπίνουσι τοὺς καταδεεστέρους οἱ δυνατώτεροι, εἰ μὴ θάνατος ἦν, πότε ἂν ἔστησαν πλεονεξίας; Εἰ γὰρ εἰδότες, ὅτι οὐκ ἀπολαύσονται ὧν ἁρπάσωσιν, ἀλλὰ ἑκόντες καὶ ἄκοντες ἐκστήσονται ἑτέροις, οὕτω μαίνονται καὶ λυττῶσιν, εἰς τοῦτο εἶχον ἐν ἀσφαλείᾳ, πότε ἂν αὐτοῖς ἐσβέσθη τὰ τῆς ἐπιθυμίας τῆς πονηρᾶς; Τί δέ; τοῦ μαρτυρίου οἱ στέφανοι οὐ διὰ θανάτου πλέκονται; Τί δὲ ὁ Παῦλος; οὐ μυρία ἔστησε τρόπαια, λέγων, «Καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν»; Οὐ γὰρ ὁ θάνατος κακός, ἀλλ' ὁ πονηρὸς θάνατος κακός. Διὰ τοῦτό φησι· «Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ». Ἀλλαχοῦ δέ φησι· «Θάνατος ἁμαρτωλῶν πονηρός»· τοῦτο λέγων πονηρόν, τὸ μετὰ τοῦ πονηροῦ συνειδότος ἀπελθεῖν, καὶ πολλαῖς πλημμελημάτων φροντίσι βεβαρημένον καὶ πιεζόμενον. Ὡς ὅ γε καθαρὸν ἔχων συνειδός, ἐπὶ τὰ βραβεῖα τρέχει, πρὸς τὸν στέφανον ἀναχωρεῖ. Καὶ ἵνα μάθῃς ὅτι οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ τῶν ἀνθρώπων γνώμη, αὕτη τὸν θόρυβόν ἐστιν ἡ ποιοῦσα, ἄκουσον ὁ Παῦλος πῶς ἐπιζητεῖ τοῦτο, νῦν μὲν λέγων, «Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν, τὴν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν», νῦν δὲ τὸ αὐτὸ δηλῶν ἀλλαχοῦ· «Ἀλλ' εἰ

---

6. Α´ Κορ. 15, 31.
7. Ψαλμ. 115, 15.
8. Ψαλμ. 33, 22.
9. Β´ Κορ. 5, 4 καὶ Ρωμ. 8, 23.

ἂν καὶ ἀπόλαυσαν πολὺ σπουδαία διδασκαλία, χωρὶς ὅμως νὰ ὠφεληθοῦν καθόλου, ἀμέσως, μὲ ἀφορμὴ τὸ θέαμα ἐκεῖνο, ἀρχίζουν νὰ φιλοσοφοῦν, παρατηρώντας τὴν εὐτέλεια καὶ τὴ φθορὰ τῆς ἀνθρώπινης φύσεως, τὸ σαθρὸ καὶ ἄστατο τῆς ἐξουσίας τους, καὶ μέσα στὶς ξένες συμφορὲς προβλέπουν τὶς δικές τους μεταβολές.

2. Πράγματι, ἄν, μολονότι ὑπάρχει θάνατος, συμβαίνουν τόσες ἁρπαγές, τόσες πλεονεξίες, καὶ ὡσὰν ἀκριβῶς τὰ ψάρια, καταπίνουν οἱ δυνατώτεροι τοὺς ἀδυνάτους, ἂν δὲν ὑπῆρχε θάνατος, πότε θὰ σταματοῦσαν τὶς πλεονεξίες; Διότι ἄν, γνωρίζοντας ὅτι δὲν θ' ἀπολαύσουν ἐκεῖνα ποὺ ἁρπάζουν, ἀλλ' εἴτε τὸ θέλουν εἴτε δὲν τὸ θέλουν θὰ τὰ ἐγκαταλείψουν σὲ ἄλλους, δείχνουν τόση μανία καὶ λύσσα, ἂν αὐτὸ τὸ εἶχαν ἀσφαλισμένο, πότε θὰ μποροῦσε νὰ σβήσει ἡ κακή τους ἐπιθυμία; Τί δέ, τὰ στεφάνια τοῦ μαρτυρίου δὲν πλέκονται μὲ τὸ θάνατο; Τί δὲ ἔκανε ὁ Παῦλος; δὲν ἔστησε ἀμέτρητα τρόπαια, λέγοντας, «Καθημερινὰ πεθαίνω, μὲ τὴν καύχηση ποὺ ἔχω γιὰ σᾶς»[6]; Διότι δὲν εἶναι ὁ θάνατος κακός, ἀλλ' ὁ κακὸς θάνατος εἶναι κακός. Γι' αὐτὸ λέγει· «Εἶναι τίμιος ἐνώπιον τοῦ Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ»[7]. Ἀλλοῦ δὲ λέγει· «Ὁ θάνατος τῶν ἁμαρτωλῶν εἶναι κακός»[8]· καὶ αὐτὸ ὀνομάζει κακό, τὸ νὰ φύγει ἀπὸ τὴ ζωὴ μὲ κακὴ συνείδηση καὶ βεβαρυμένη καὶ πιεζόμενη ἀπὸ πολλὲς ἁμαρτωλὲς φροντίδες. Διότι ἐκεῖνος ποὺ ἔχει καθαρὴ συνείδηση, τρέχει πρὸς τὰ βραβεῖα καὶ ἀναχωρεῖ πρὸς τὸ στέφανο. Καὶ γιὰ νὰ μάθεις ὅτι τὴν ἀνησυχία τὴν προκαλεῖ ὄχι ἡ φύση τῶν πραγμάτων, ἀλλ' ἡ διάθεση τῶν ἀνθρώπων, ἄκουσε πῶς ἐπιζητεῖ τὸ θάνατο ὁ Παῦλος, ἄλλοτε μὲν λέγοντας, «Καὶ πράγματι ἐμεῖς ποὺ εἴμαστε μέσα στὸ ἀνθρώπινο αὐτὸ σῶμα στενάζομε, περιμένοντας τὴ διαβεβαίωση τῆς χάριτος τῆς υἱοθεσίας μας μαζὶ μὲ τὴν ἀπολύτρωση τοῦ σώματός μας ἀπὸ τὴ φθορά»[9], ἄλλοτε δὲ δηλώνοντας τὸ ἴδιο ἀλλοῦ· «Ἀλλ', ἂν καὶ χύνω σὰν σπονδὴ τὸ

*καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. Τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι». Εἰ δὲ θάνατος οὐ φορτικόν, ἀλλὰ καὶ ποθεινὸν τοῖς ὀρθῶς βιοῦσι, πολλῷ μᾶλλον πενία καὶ τὰ ἄλλα ἅπαντα.*

*«Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ». Ἄλλος, «Ἐξηκριβωμένα». Ἐνταῦθά μοι περὶ τῶν κτισμάτων δοκεῖ διαλέγεσθαι, ἀνακηρύττων τοῦ Θεοῦ τὴν σοφίαν· ἀνωτέρω δὲ ἔργα ἔλεγεν (εἰ καὶ ἡμεῖς διὰ τοὺς μικροψύχους καὶ ἑτέρας διανοίας εἰς ταῦτα ἡψάμεθα), τὰ τεράστια, τὰ θαύματα, ἃ πολλάκις ἐπετέλεσε τὸ τῶν ἀνθρώπων οἰκονομῶν γένος. Τί δέ ἐστιν, «Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ»; Ἠκριβωμένα, φησί, καθάπερ καὶ ἕτερος ἑρμηνευτὴς εἶπε, παρεσκευασμένα, ἀπηρτισμένα, γεγενημένα, πεπληρωμένα, ἀρκοῦντα τὰ θελήματα αὐτοῦ ποιεῖν, ἱκανὰ μαρτυρεῖν τὴν δύναμιν αὐτοῦ, οὐ χωλεύοντα, οὐδὲ ἐνδεῶς ἔχοντα εἰς τὸ ἀνύσαι αὐτοῦ τὰ ἐπιτάγματα, ὅπερ καὶ ἀλλαχοῦ φησι· «Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεύματα καταιγίδος τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ», τουτέστι, τὰ προστάγματα αὐτοῦ. Οὕτω καὶ ὁ προφήτης ἔλεγεν· «Ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ».*

*Οὐ μόνον δὲ πρὸς ἅπερ ἐστὶ κατεσκευασμένα ταῦτα ἀνύει, ἀλλὰ κἂν τἀναντία ἐπιτάξῃ, καὶ ἐνταῦθα πολλὴ ἡ ὑπακοή. Τῇ γοῦν θαλάττῃ ἐπέταξε, καὶ οὐ μόνον οὐ κατεπόντισεν, ὅπερ αὐτῆς ἔργον ἦν, ἀλλὰ στορέσασα αὐτῆς τὰ κύματα, πέτρας ἀσφαλέστερον τὸν Ἰουδαίων δῆμον διεβίβασεν. Ἡ κάμινος οὐ μόνον οὐκ ἔκαιεν, ἀλλὰ καὶ δρόσον παρεῖχε διασυ-*

10. Φιλιπ. 2, 17 - 18.
11. Ψαλμ. 148, 8.
12. Ψαλμ. 103, 19 - 20.
13. Ἐξ. 14, 22.

αἷμα μου ἐπάνω στὴ θυσία καὶ τὴ λειτουργία τῆς πίστεώς σας, χαίρομαι καὶ συγχαίρομαι μαζὶ μὲ ὅλους σας. Κατὰ τὸν ἴδιο δὲ τρόπο νὰ χαίρεσθε καὶ νά συγχαίρεσθε μαζί μου»[10]. Ἂν δὲ ὁ θάνατος δέν εἶναι βαρετός, ἀλλ' εἶναι καὶ ἐπιθυμητὸς ἀπὸ ἐκείνους ποὺ ζοῦν ὀρθά, πολὺ περισσότερο εἶναι ἡ φτώχεια καὶ ὅλα τὰ ἄλλα.

«Κατασκευασμένα καὶ ἀνταποκρινόμενα πρὸς ὅλα τὰ θελήματα καὶ τοὺς σκοποὺς αὐτοῦ». Ἄλλος λέγει «ἐξακριβωμένα». Ἐδῶ μοῦ φαίνεται ὅτι ὁμιλεῖ γιὰ τὰ δημιουργήματα, διακηρύσσοντας τὴ σοφία τοῦ Θεοῦ· ἀνωτέρω δὲ ἔργα ὀνόμαζε (ἂν καὶ ἐμεῖς ἐξ αἰτίας τῶν μικροψύχων καὶ ἐκείνων ποὺ σκέπτονται διαφορετικὰ ἀναφερθήκαμε σ' αὐτὰ) τὰ τεράστια καὶ ἀξιοθαύμαστα ἔργα ποὺ ἔκαμε φροντίζοντας γιὰ τὸ ἀνθρώπινο γένος. Τί σημαίνει δὲ «ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ»; Ἐξακριβωμένα, λέγει, ὅπως ἀκριβῶς εἶπε καὶ ἄλλος ἑρμηνευτής, παρασκευασμένα, ὡλοκληρωμένα, κατασκευασμένα, συμπληρωμένα, ποὺ ἐπαρκοῦν νὰ κάμνουν τὰ θελήματα αὐτοῦ, ποὺ εἶναι ἱκανὰ νὰ μαρτυροῦν τὴ δύναμή του, ὄχι ἀτελή, οὔτε ἔχοντα ἀνάγκη γιὰ νὰ ἐκτελέσουν τὰ προστάγματά του, πράγμα ποὺ λέγει ἀλλοῦ· «Τὸ πῦρ τῶν ἀστραπῶν, ἡ χάλαζα, τὸ χιόνι, οἱ κρύσταλλοι τῶν πάγων, ὁ σφοδρὸς ἄνεμος ποὺ προκαλεῖ τὴν καταιγίδα, ὅλα ποὺ ἐκτελοῦν τὸ λόγο του»[11], δηλαδὴ τὰ προστάγματά του. Ἔτσι καὶ ὁ προφήτης ἔλεγε· «Ἔκαμε τὴ σελήνη γιὰ τὸν προσδιορισμὸ τῶν ἐποχῶν, ὁ δὲ ἥλιος γνωρίζει τὸ σημεῖο τῆς δύσεώς του· καθόρισες τὸ σκοτάδι καὶ γίνεται ἡ νύχτα»[12].

Καὶ δὲν κάμνουν μόνο αὐτὰ γιὰ τὰ ὁποῖα εἶναι κατασκευασμένα, ἀλλὰ καὶ ἂν τὰ διατάξει τὰ ἀντίθετα, καὶ τότε εἶναι μεγάλη ἡ ὑπακοή τους, πράγματι ἔδωσε ἐντολὴ στὴ θάλασσα καὶ ὄχι μόνο δὲν κατεπόντισε τὸ λαὸ τῶν Ἰουδαίων, πράγμα ποὺ ἦταν ἔργο της, ἀλλά, ἰσοπεδώνοντας τὰ κύματά της, τὸν πέρασε ἀπέναντι ἀσφαλέστερα καὶ ἀπὸ πέτρα[13]. Τὸ καμίνι ὄχι μόνο δὲν ἔκαιε, ἀλλὰ καὶ φυ-

ρίζουσαν. Τὰ θηρία οὐ μόνον οὐ κατήσθιεν, ἀλλὰ καὶ σωματοφυλάκων ἐπεῖχε χώραν ἐπὶ τοῦ Δανιήλ. Τὸ κῆτος οὐ μόνον οὐ κατέπινεν, ἀλλὰ καὶ σώαν τὴν παρακαταθήκην διετήρει. Ἡ γῆ οὐ μόνον οὐκ ἐβάστασεν, ἀλλὰ καὶ θαλάττης χαλεπώτερον κατεπόντισεν, ὅτε ἠνοίχθη καὶ κατέπιε Δαθάν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. Καὶ πολλὴν ἑτέραν ἴδοι τις ἂν τερατουργίαν ἐν τοῖς οὖσι γενομένην· ἵνα μάθωσιν οἱ σφόδρα ἀνοηταίνοντες καὶ φύσιν θεοποιοῦντες, ὅτι οὐ τυραννίδι φύσεως τὰ πράγματα ἄγεται, ἀλλὰ βουλῇ Θεοῦ πάντα εἴκει καὶ παραχωρεῖ. Αὕτη γάρ ἐστιν ἡ τῆς φύσεως δημιουργός, καὶ πρὸς τὸ αὐτῇ δοκοῦν πάντα τὰ ὄντα μεταρρυθμίζουσα, καὶ νῦν μὲν ἀκινήτους αὐτῶν διατηροῦσα τοὺς ὅρους, νῦν δέ, ἐπειδὰν βουληθῇ, ῥαδίως αὐτοὺς ἀνασπῶσα, καὶ πρὸς τὸ ἐναντίον μεταβάλλουσα.

«Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ». Εἰς τὰ προστάγματα αὐτοῦ, φησίν, εἰς τὰ ἐπιτάγματα αὐτοῦ· οὐ μόνον δὲ εἰς τὰ ἐπιτάγματα αὐτοῦ, ἀλλὰ καὶ εἰς τὸ γινώσκεσθαι αὐτὸν παρὰ τῶν ἀνθρώπων, ὅπερ καὶ προηγούμενον αὐτοῦ θέλημα, καὶ διὸ μάλιστα ταῦτα ἐποίησεν. Ὁ τοίνυν ὁ προφήτης λέγει, τοιοῦτόν ἐστιν· ὅτι οὕτως ἐστὶν ἀπηρτισμένα, ὡς τοῖς προσέχουσι καὶ νοῦν ἔχουσιν ἀκριβεστάτην καὶ σαφῆ καὶ τρανοτάτην τὴν περὶ αὐτοῦ γνῶσιν ἐντιθέναι τῇ διανοίᾳ τῶν ἀνθρώπων. Καὶ γὰρ καὶ πρὸς τοῦτο μάλιστα τὸ θέλημα αὐτοῦ ἐξ ἀρχῆς αὐτὰ κατεσκεύασε, τῷ μεγέθει, τῷ κάλλει, τῇ θέσει, τῇ ἐνεργείᾳ, τῇ διακονίᾳ, τοῖς ἄλλοις ἅπασιν ἀνακινῶν τὴν ψυχὴν τοῦ θεατοῦ, καὶ τὴν διάνοιαν διεγείρων εἰς τὸ ζητῆσαι τὸν δημιουργὸν καὶ ἀριστοτέχνην Θεόν, καὶ προσκυνῆσαι τὸν ποιήσαντα αὐτά, καὶ ἀντὶ βιβλίων καὶ γραμμάτων γενέσθαι ἅπαν τὸ σῶμα τῆς κτίσεως.

---

14. Δαν. 3, 23.
15. Δαν. 6, 22.
16. Ἰωνᾶ κεφ. 2.
17. Ἀριθμ. 16, 32 ἑ.

σώντας παρεῖχε δροσιά[14]. Τὰ θηρία ὄχι μόνο δὲν ἔτρωγαν τὸν Δανιήλ, ἀλλὰ καὶ ἐπεῖχαν γι' αὐτὸν θέση σωματοφυλάκων[15]. Τὸ θαλάσσιο κῆτος ὄχι μόνο δὲν ἐξαφάνιζε, ἀλλὰ καὶ διατηροῦσε μέσα του σῶο αὐτὸν ποὺ τοῦ δόθηκε γιὰ φύλαξη[16]. Ἡ γῆ ὄχι μόνο δὲν βάσταξε, ἀλλὰ καὶ καταβρόχθισε φοβερώτερα καὶ ἀπὸ τὴ θάλασσα ὅταν ἄνοιξε καὶ κατάπιε τὸν Δάθαν καὶ ἐξαφάνισε τὴ συγκέντρωση τοῦ Ἀβειρῶν[17]. Καὶ πολλὰ ἄλλα ἀξιοθαύμαστα θὰ μποροῦσε κανεὶς νὰ δεῖ ποὺ συνέβηκαν στὰ δημιουργήματα τοῦ Θεοῦ, γιὰ νὰ μάθουν οἱ πάρα πολὺ ἀνόητοι καὶ ποὺ θεοποιοῦν τὴ φύση, ὅτι τὰ πράγματα δὲν κατευθύνονται ἀναγκαστικὰ ἀπὸ τὴ φύση, ἀλλ' ὅλα ὑποχωροῦν καὶ ὑποτάσσονται στὴ θέληση τοῦ Θεοῦ. Διότι αὐτὴ εἶναι ἡ δημιουργὸς τῆς φύσεως καὶ ρυθμίζει ὅλα τὰ ὄντα ὅπως αὐτὴ θέλει, καὶ ἄλλοτε μὲν διατηρεῖ ἀμετακίνητα τὰ ὅριά τους, ἄλλοτε δέ, ὅταν θελήσει, μὲ πολλὴ εὐκολίο μετατρέπει αὐτὰ καὶ τὰ μεταβάλλει πρὸς ἀντίθετο σκοπό.

«Κατασκευασμένα καὶ ἀνταποκρινόμενα σ' ὅλα τὰ θελήματά του». Στὰ προστάγματά του, λέγει, στὶς ἐντολές του· ὄχι δὲ μόνο στὶς ἐντολές του, ἀλλὰ καὶ γιὰ νὰ γνωρίζεται ὁ Θεὸς ἀπὸ τοὺς ἀνθρώπους, πράγμα ποὺ εἶναι τὸ πρωταρχικὸ θέλημά του καὶ ποὺ γι' αὐτὸ πρὸ πάντων τὸ σκοπὸ τὰ δημιούργησε. Αὐτὸ δηλαδὴ ποὺ λέγει ὁ προφήτης σημαίνει τὸ ἑξῆς· ὅτι δηλαδὴ ἔτσι εἶναι κατασκευασμένα, ὥστε νὰ τοποθετοῦν μέσα στὴ διάνοια τῶν ἀνθρώπων ἐκείνων, ποὺ τὰ προσέχουν καὶ ἔχουν ὀρθὸ νοῦ, ἀκριβή, σαφὴ καὶ καθαρὴ γνώση περὶ αὐτοῦ. Καθόσον τὸ θέλημά του ἀπὸ τὴν ἀρχὴ γι' αὐτὸ τὸ σκοπὸ τὰ κατασκεύασε, γιὰ νὰ κινοῦν μὲ τὸ μέγεθός τους, τὸ κάλλος τους, τὴ θέση τους, τὴν ἐνέργειά τους, τὴν ὑπηρεσία τους, καὶ ὅλα τὰ ἄλλα τὴν ψυχὴ τοῦ θεατῆ καὶ νὰ διεγείρουν τὴ σκέψη του, ὥστε ν' ἀναζητήσει τὸ δημιουργὸ καὶ ἀριστοτέχνη Θεὸ καὶ νὰ προσκυνήσει αὐτὸν ποὺ ἔκαμε αὐτὰ καὶ νὰ γίνει ὁλόκληρη ἡ δημιουργία σὰν βιβλίο καὶ γράμματα,

3. *Οὐκ εἰς θεογνωσίαν δὲ μόνον ἀλλὰ καὶ εἰς πολιτείαν ἡμῖν μεγίστην εἰσάγει διδασκαλίαν τὰ κτίσματα. Ὅ τε γὰρ πλεονέκτης ἐπειδὰν ἴδῃ τὴν ἡμέραν τῇ νυκτὶ παραχωροῦσαν, καὶ τὸν ἥλιον τῇ σελήνῃ, αἰδεσθήσεται τῶν στοιχείων τὴν εὐταξίαν, κἂν δυνατώτερος ᾖ, τῶν καταδεεστέρων οὐκ ἐπιθυμήσει πραγμάτων· ὅ τε μοιχὸς καὶ ἀκόλαστος, ἐπειδὰν ἴδῃ τὴν θάλατταν μαινομένην, εἶτα χαλινουμένην ὑπὸ τὸν αἰγιαλόν, πάλιν τῶν ἀτάκτων ὑδάτων αἰδούμενος τὴν εὐταξίαν, ταχέως καταστεῖλαι δυνήσεται τὴν ἑαυτοῦ κορυφουμένην ἐπιθυμίαν, καὶ τῷ φόβῳ τοῦ Χριστοῦ χαλινῶσαι τὴν εἰς τὸ πρόσω φοράν, καὶ διαλῦσαι τὸν ἀφρὸν ἅπαντα τῆς ἀκολάστου ταύτης ὁρμῆς, καὶ εἰς σωφροσύνην ἐπαναγαγεῖν. Καὶ περὶ ἀναστάσεως δὲ εἰς τὴν χέρσον ἀπιδὼν εὐκόλως δυνήσεται φιλοσοφεῖν, καὶ τὸν περὶ αὐτῆς δέξασθαι λόγον. Ὅταν γὰρ ἴδῃ τὴν γῆν δεχομένην κόκκον σίτου στερεόν, εἶτα πρότερον διαλύουσαν καὶ σήπουσαν, καὶ πολλῷ βελτίονα τίκτουσαν· ὅταν ἴδῃ τὴν ἄμπελον ἐν χειμῶνι γυμνὴν φύλλων καὶ ἑλίκων καὶ βοτρύων, καὶ αὐτὸ ξηρὸν ξύλον, ὡς τὰ ὀστᾶ τὰ ξηρά, εἶτα ἔαρος ἐπιστάντος τὴν εὐμορφίαν ἅπασαν ἀπολαμβάνουσαν, ἐν τοῖς σώμασι τῶν φυτῶν καὶ τῶν σπερμάτων τῶν μετὰ τὸ διαφθαρῆναι ἀνισταμένων, δυνήσεται καὶ περὶ τῆς ἑαυτοῦ σαρκὸς φιλοσοφεῖν.*

*Τὸ φιλόπονον δὲ πάλιν ἀπὸ τοῦ μύρμηκος εἴσεται, καὶ τὸ φιλόκαλον ἀπὸ τῆς μελίττης, καὶ τὸ κοινωνικόν, καθάπερ ἡ Παροιμία φησίν· «Ἴθι πρὸς τὸ μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος. Ἐκεῖνος γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τρο-*

3. Δὲν μᾶς ὁδηγοῦν δὲ τὰ κτίσματα μόνο στὴ θεογνωσία, ἀλλὰ μᾶς παρέχουν καὶ πάρα πολὺ σπουδαία διδασκαλία γιὰ τὸν τρόπο ζωῆς μας. Διότι καὶ ὁ πλεονέκτης, ὅταν δεῖ τὴν ἡμέρα ποὺ παραχωρεῖ τὴ θέση της στὴ νύχτα, καὶ τὸν ἥλιο στὴ σελήνη, θὰ νοιώσει ντροπὴ ἀπὸ τὴν εὐταξία αὐτὴ τῶν στοιχείων, καὶ ἂν εἶναι δυνατώτερος δὲν θὰ ἐπιθυμήσει τὰ πράγματα τῶν ἀδυνάτων· καὶ ὁ μοιχὸς καὶ ἀκόλαστος, ὅταν δεῖ τὴ θάλασσα μανιασμένη, ἔπειτα ὅμως ν' ἀναχαιτίζεται ἀπὸ τὸ γιαλό, πάλι νοιώθοντας ντροπὴ ἀπὸ τὴν εὐταξία αὐτὴ τῶν ἀτάκτων ὑδάτων, θὰ μπορέσει ἀμέσως νὰ καθησυχάσει τὴν συνεχῶς αὐξανόμενη ἐπιθυμία του καὶ μὲ τὸ φόβο τοῦ Χριστοῦ θὰ χαλιναγωγήσει τὴ φορά του πρὸς τὰ μπρός, θὰ διαλύσει ὅλο τὸν ἀφρὸ αὐτῆς τῆς ἀκόλαστης ὁρμῆς του, καὶ θὰ ἐπιστρέψει στὴ σωφροσύνη. Καὶ ρίχνοντας τὸ βλέμμα του στὴν ξηρὰ εὔκολα θὰ μπορέσει νὰ φιλοσοφεῖ περὶ τῆς ἀναστάσεως καὶ νὰ δεχθεῖ τὴ διδασκαλία περὶ αὐτῆς. Διότι, ὅταν δεῖ τὴ γῆ νὰ δέχεται τὸ στερεὸ κόκκο τοῦ σίτου καὶ στὴ συνέχεια, ἀφοῦ πρῶτα διαλυθεῖ καὶ σαπίσει, νὰ παράγει πολὺ πιὸ καλύτερο καὶ περισσότερο, ὅταν δεῖ τὴν ἄμπελο τὸ χειμώνα νὰ εἶναι γυμνὴ ἀπὸ φύλλα καὶ ἕλικες καὶ σταφύλια, καὶ τὸ ἴδιο αὐτὸ ξηρὸ ξύλο, ὅπως τὰ ξηρὰ ὀστᾶ, στὴ συνέχεια ὅταν ἔλθει ἡ ἄνοιξη ν' ἀποκτᾶ ὅλη τὴν ὀμορφιά της, θὰ μπορέσει νὰ φιλοσοφεῖ καὶ γιὰ τὸ δικό του σῶμα, παρατηρώντας τὰ σώματα τῶν φυτῶν καὶ τὰ σπέρματα ποὺ ἀνασταίνονται μετὰ τὴ φθορά τους.

Τὴν ἀγάπη γιὰ τὴν ἐργασία πάλι θὰ τὴ γνωρίσει ἀπὸ τὸ μυρμήγκι καὶ τὴν ἀγάπη γιὰ τὸ ὡραῖο καὶ τὴν κοινωνικὴ ζωὴ ἀπὸ τὴ μέλισσα, ὅπως ἀκριβῶς λέγει ἡ παροιμία· «Πήγαινε πρὸς τὸ μυρμήγκι, ὀκνηρέ, καὶ μιμήσου τὸν τρόπο ἐργασίας του καὶ γίνε σοφώτερος ἀπὸ ἐκεῖνο. Διότι ἐκεῖνο, ἂν καὶ δὲν ἔχει χωράφι, οὔτε κάποιον ποὺ νὰ τὸ ἐξαναγκάζει, οὔτε βρίσκεται κάτω ἀπὸ κύριο, ἐν τούτοις ἑτοιμάζει κατὰ τὸ θέρος τὴν τροφὴ ὅλου τοῦ ἔτους, ἀπο-

*φήν, πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστίν· ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγίειαν προσφέρονται. Καίτοι οὖσα τῇ ῥώμῃ ἀσθενής, τὴν σοφίαν τιμήσασα προήχθη». Καὶ γὰρ αὐτή σοι πάλιν ἡ μέλιττα διαλέξεται, ὥστε μὴ θαυμάζειν ἁπλῶς τὰ κάλλη τῶν σωμάτων, ὅταν ψυχῆς ἀρετὴ μὴ ᾖ, μηδὲ ἐξευτελίζειν τὴν ἀμορφίαν, ὅταν ἡ ψυχὴ κεκαλλωπισμένη τύχῃ. Ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ὁ παροιμιαστὴς ἔλεγε· «Μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς». Ἐννόησόν μοι τοὺς ὄρνιθας, καὶ δέξῃ ἐκεῖθεν φιλοσοφίαν. Διά τοι τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά». Εἰ γὰρ τὰ ἄλογα οὐ μεριμνῶσι περὶ τροφῆς, ποίαν ἕξεις ἀπολογίαν μηδὲ τοσαύτην ἐπιδεικνύμενος ὑπεροψίαν τῶν παρόντων, ὅσην οἱ ὄρνιθες; Εἰ δὲ καὶ καλλωπισμοῦ βούλει καταφρονῆσαι, παιδεύσει σε τὰ ἄνθη τοῦ ἀγροῦ, μὴ εἶναί σε φιλόκοσμον. Ὅπερ καὶ αὐτὸ δηλῶν ὁ Χριστὸς ἔλεγεν· «Ἐμβλέψατε εἰς τὰ κρίνα τοῦ ἀγροῦ, ὅτι οὐ νήθουσιν οὐδὲ κοπιῶσιν. Ἀμὴν λέγω ὑμῖν, οὐδὲ Σολομὼν περιεβάλετο ὡς ἓν τούτων». Ὅταν τοίνυν ἐθέλῃς σπουδάζειν περὶ τὰ κάλλη ἱματίων, ἐννόησον ὅτι ὅσα ἂν φιλονεικήσῃς, παρὰ τῷ χόρτῳ τὰ νικητήρια καὶ οὐ δυνήσῃ πρὸς ἐκεῖνον ἁμιλληθῆναι· καὶ κατάλυσον τὴν ἄλογον ταύτην μανίαν. Καὶ ἕτερα πολλά, καὶ ἀπὸ τῶν ἀλόγων, καὶ ἀπὸ τῶν ἀνθῶν καὶ ἀπὸ τῶν σπερμάτων ἐστὶ φιλοσοφεῖν.*

*«Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ». Του-*

18. Παροιμ. 6, 6 - 8.
19. Σοφ. Σειρ. 11, 3.
20. Ματθ. 6, 26.
21. Ματθ. 6, 28 - 29.

θηκεύοντας κατὰ τὸ χρόνο τοῦ θερισμοῦ πολλὴ τροφή. Ἢ πήγαινε πρὸς τὴ μέλισσα καὶ μάθε πόσο ἐργατικὴ εἶναι· αὐτῆς τοὺς κόπους, δηλαδὴ τὸ μέλι, τὸ τρώγουν βασιλεῖς καὶ ἰδιῶτες γιὰ τὴν ὑγεία τους. Ἂν καὶ εἶναι ὡς πρὸς τὴ δύναμη ἀσθενής, ὅμως τιμήθηκε καὶ δοξάσθηκε γιατὶ προτίμησε μὲ τὴν ἐργασία της τὴ σοφία»[18]. Καὶ αὐτὴ πάλι ἡ μέλισσα θὰ σὲ διδάξει, ὥστε νὰ μὴ θαυμάζεις ἁπλῶς τὰ σωματικὰ κάλλη, ὅταν δὲν ὑπάρχει ἡ ψυχικὴ ἀρετή, οὔτε νὰ ξευτελίζεις τὴν ἀσχήμια, ὅταν συμβαίνει ἡ ψυχὴ νὰ εἶναι στολισμένη μὲ τὴν ἀρετή. Καὶ αὐτὸ ἀκριβῶς λοιπὸν θέλοντας νὰ δείξει ὁ παροιμιαστής, ἔλεγε· «Μικρὴ εἶναι ἡ μέλισσα ἀνάμεσα στὰ πτερωτά, ἀλλ᾽ τὸ προϊὸν τῶν κόπων της ἀποτελεῖ τὴ βάση τῶν γλυκυσμάτων»[19]. Σκέψου, σὲ παρακαλῶ, τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ θὰ λάβεις ἀπὸ αὐτὰ δίδαγμα γεμάτο ἀπὸ φιλοσοφία. Γι᾽ αὐτὸ βέβαια καὶ ὁ Χριστὸς ἔλεγε· «Παρατηρῆστε τὰ πετεινὰ τοῦ οὐρανοῦ, δὲν σπείρουν αὐτὰ οὔτε θερίζουν καὶ ὁ Πατέρας σας ὁ οὐράνιος τρέφει αὐτά»[20]. Ἂν λοιπὸν τὰ ἄλογα ζῶα δὲν φροντίζουν γιὰ τὴν τροφή τους, ποιὰ ἀπολογία θὰ ἔχεις σὺ ποὺ δὲν δείχνεις οὔτε τόση περιφρόνηση γιὰ τὰ παρόντα πράγματα, ὅση τὰ πετεινά; Ἂν δὲ θέλεις νὰ περιφρονήσεις καὶ τὸν καλλωπισμό, θὰ σὲ διδάξουν τὰ ἄνθη τοῦ ἀγροῦ νὰ μὴ ἀγαπᾶς τὰ στολίδια. Καὶ αὐτὸ ἀκριβῶς θέλοντας νὰ δείξει ὁ Χριστός, ἔλεγε· «Ρίψατε τὸ βλέμμα σας στὰ κρίνα τοῦ ἀγροῦ, διότι δὲν γνέθουν οὔτε κοπιάζουν. Ἀλήθεια σᾶς λέγω, οὔτε ὁ Σολομὼν ντύνονταν σὰν ἕνα ἀπ᾽ αὐτά»[21]. Ὅταν λοιπὸν θέλεις νὰ φροντίζεις γιὰ τὸ στολισμὸ τῶν ἐνδυμάτων, σκέψου, ὅτι ὅσο καὶ ἂν φιλονεικήσεις, τὰ νικητήρια ἀνήκουν στὸ χόρτο, καὶ δὲν θὰ μπορέσεις νὰ τὸ συναγωνισθεῖς, καὶ μὲ τὴ σκέψη αὐτὴ σταμάτησε αὐτὴν τὴν παράλογη μανία. Καὶ πολλὰ ἄλλα μπορεῖς νὰ φιλοσοφεῖς καὶ ἀπὸ τὰ ἄλογα ζῶα καὶ ἀπὸ τὰ ἄνθη καὶ ἀπὸ τὰ σπέρματα.

«Τὸ κάθε ἔργο του εἶναι ἄξιο δοξολογίας καὶ γεμάτο

τέστιν, ἕκαστον τῶν ἔργων αὐτοῦ· οὐ γὰρ δὴ περὶ ἑνὸς ἔργου ταῦτά φησιν. Ἕτερος δὲ ἑρμηνευτὴς εἶπεν· «Ἔπαινος καὶ ἀξίωμα ἡ ἐργασία αὐτοῦ»· οὗτος δέ, «Ἐξομολόγησις», τουτέστιν, εὐχαριστία καὶ δόξα. Ἕκαστον γὰρ τῶν ὁρωμένων ἱκανὸν εἰς εὐχαριστίαν τὸν θεατὴν παραπέμψαι, εἰς ὕμνον, εἰς εὐφημίαν, εἰς δοξολογίαν. Οὐκ ἔστιν εἰπεῖν, διὰ τί τοῦτο; εἰ τί τοῦτο; ἀλλὰ καὶ τὸ σκότος καὶ ἡ ἡμέρα, καὶ ὁ λιμὸς καὶ ἡ εὐθηνία, καὶ ἡ ἔρημος καὶ ἡ ἀοίκητος, καὶ ἡ λιπαρὰ καὶ ἡ βαθύγειος, καὶ ζωὴ καὶ θάνατος, καὶ πάντα τὰ ὁρώμενα τοῖς μετὰ ἀκριβείας αὐτὰ καταμανθάνουσιν ἱκανὰ καὶ δυνατὰ πρὸς εὐχαριστίαν διεγεῖραι. Τοῦτο γοῦν δηλῶν διά τινος προφήτου ὁ Θεὸς ἔλεγεν, ἀντ' εὐεργεσίας τὰς τιμωρίας τιθείς· «Κατέστρεψα αὐτούς, ὡς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα· ἐπάταξα αὐτοὺς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ». Καὶ πάλιν δι' ἄλλου· «Ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην αὐτούς», εἰς εὐεργεσίας τὰς τιμωρίας μεταλαμβάνων.

Οὕτω καὶ ταῦτα· καὶ γὰρ καὶ ταῦτα εὐεργετοῦντα, διορθοῦντα, παιδεύοντα, παιδαγωγοῦντα, ἐκκόπτοντα τὴν κακίαν ἐστίν. Ἄνθρωποι μὲν γὰρ τὰ μὲν εὐεργετοῦντες ποιοῦσι, τὰ δὲ μισοῦντες καὶ ἀποστρεφόμενοι· ὁ δὲ Θεὸς φιλῶν ποιεῖ πάντα, οἷον εὐεργετῶν ἔθετο ἐν τῷ παραδείσῳ, καὶ εὐεργετῶν πάλιν ἐξέβαλε τοῦ παραδείσου· εὐεργετῶν τὸν κατακλυσμὸν εἰργάσατο, καὶ εὐεργετῶν τὸ πῦρ ἐκεῖνο τὸ τῶν Σοδόμων κατήνεγκε. Καὶ ὅπερ ἂν εἴποι τις τῶν γινομένων, ἕκαστον εἰς εὐεργεσίαν ποιεῖ. Εὐεργετῶν καὶ τὴν γέενναν ἠπείλησε· καὶ καθάπερ οἱ πατέρες οὐ θεραπεύοντες μόνον τὰ παιδία,

22. Ἀμὼς 4, 11· 9.
23. Μιχ. 6, 4.

ἀπὸ μεγαλοπρέπεια». Δηλαδὴ καθένα ἀπὸ τὰ ἔργα του˙ διότι βέβαια αὐτὰ δὲν τὰ λέγει γιὰ ἕνα ἔργο. Ἄλλος δὲ ἑρμηνευτὴς ἑρμήνευσε˙ «Εἶναι ἄξια ἐπαίνου καὶ τιμῆς ἡ ἐργασία αὐτοῦ»˙ αὐτὸς δὲ τὸ ὀνόμασε αὐτὸ «Ἐξομολόγηση», δηλαδή, εὐχαριστία καὶ δόξα. Διότι τὸ καθένα ἀπὸ τὰ ὁρατὰ δημιουργήματα εἶναι ἱκανὸ νὰ ὁδηγήσει τὸ θεατὴ σὲ εὐχαριστία, σὲ ἐξύμνηση, σὲ ἔπαινο, σὲ δοξολογία. Δὲν εἶναι δυνατὸ νὰ πεῖ κανείς, γιατί ἔγινε αὐτό; σὲ τί ὠφελεῖ αὐτό; ἀλλὰ καὶ τὸ σκότος καὶ ἡ ἡμέρα, καὶ ἡ πείνα καὶ ἡ ἀφθονία, καὶ ἡ ἔρημος καὶ ἡ ἀκατοίκητη γῆ, καὶ ἡ πλούσια καὶ ἡ εὔφορη γῆ, καὶ ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὅλα τὰ ὁρατὰ εἶναι ἱκανὰ καὶ δυνατὰ νὰ ὁδηγήσουν σὲ εὐχαριστία ἐκείνους ποὺ τὰ ἐξετάζουν μὲ πολλὴ προσοχή. Αὐτὸ λοιπὸν θέλοντας νὰ δείξει ὁ Θεός, ἔλεγε μὲ τὸ στόμα κάποιου προφήτη, ἀναφέροντας τὶς τιμωρίες ἀντὶ εὐεργεσίας˙ «Κατέστρεψα αὐτοὺς ὅπως κατέστρεψε ὁ Θεὸς τὰ Σόδομα καὶ Γόμορρα˙ τοὺς κτύπησα μὲ καυστικὸ ἄνεμο καὶ μὲ κιτρίνισμα τῶν σιτηρῶν τους»[22]. Καὶ πάλι μὲ ἄλλο προφήτη λέγει˙ «Τοὺς ὁδήγησα ἀπὸ τὴ γῆ τῆς Αἰγύπτου καὶ τοὺς λύτρωσα ἀπὸ τὴ χώρα τῆς δουλείας»[23], ἀνταλλάσσοντας τὶς τιμωρίες μὲ εὐεργεσίες.

Ἔτσι καὶ αὐτὰ τὰ ἔργα˙ καθόσον καὶ αὐτὰ εὐεργετοῦν, διορθώνουν, διδάσκουν, παιδαγωγοῦν, ξερριζώνουν τὴν κακία. Διότι οἱ μὲν ἄνθρωποι ἄλλα μὲν τὰ πράττουν γιὰ νὰ εὐεργετήσουν, ἄλλα δὲ ἀπὸ μίσος καὶ ἀποστροφή, ὁ Θεὸς ὅμως ὅλα τὰ κάμνει ἀπὸ ἀγάπη, ἐπὶ παραδείγματι χάριν εὐεργεσίας τοποθέτησε τὸν ἄνθρωπο στὸν παράδεισο, καὶ χάριν εὐεργεσίας πάλι τὸν ἀπομάκρυνε ἀπὸ τὸν παράδεισο˙ χάριν εὐεργεσίας ἔκαμε τὸν κατακλυσμό, καὶ εὐεργετώντας τον ἔστειλε ἐκεῖνο τὸ πῦρ τῶν Σοδόμων. Καὶ ὁ,τιδήποτε ἀναφέρει κανεὶς ἀπὸ τὰ ὅσα συνέβηκαν, τὸ καθένα τὸ ἔκανε χάριν εὐεργεσίας. Χάριν εὐεργεσίας ἔθεσε τὴν ἀπειλὴ τῆς γέεννας, καὶ ὅπως ἀκριβῶς οἱ πατέρες, δὲν εἶναι πατέρες ὅταν μόνο φροντίζουν γιὰ τὰ

*ἀλλὰ καὶ τύπτοντες πατέρες εἰσί, καὶ οὐκ ἔλαττον τύπτοντες, ἢ θεραπεύοντες· οὕτω δὴ καὶ ὁ Θεός. Διὸ καὶ ὁ Παῦλος ἔλεγε· «Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ;». Καὶ ὁ Σολομών· «Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται».*

*4. «Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Τοῦτο δοκεῖ μοι ἐνταῦθα εἰπεῖν διὰ τοὺς σκανδαλιζομένους πρὸς τὰ συμπίπτοντα δυσχερῆ τισι παρ' ἐλπίδας, μονονουχὶ παραινῶν αὐτοῖς καὶ λέγων· μὴ θορυβοῦ συκοφαντουμένους ἀνθρώπους ὁρῶν, ἐπηρεαζομένους, παρὰ τὴν ἀξίαν κακῶς πάσχοντας· μένει γὰρ δικαστήριον ἀδέκαστον, μένει ψῆφος καθαρά, τὸ κατ' ἀξίαν ἑκάστῳ παρέχουσα. Εἰ δὲ νῦν αὐτὴν ἐπιζητοίης, ὅρα μὴ κατὰ σαυτοῦ πρώτου τὴν ψῆφον ἐξενέγκῃς. Εἰ γὰρ ἔμελλε καθ' ἕκαστον τῶν ἁμαρτημάτων ὁ Θεὸς ἐπάγειν τιμωρίαν, καὶ ἐφ' ἑκάστου τῶν πλημμελούντων τὴν δικαίαν ἐπιφέρειν ψῆφον, πάλαι ἂν προανηρπάσθη τὸ τῶν ἀνθρώπων γένος. Καὶ τί λέγω τὸν δεῖνα καὶ τὸν δεῖνα; Τὸν γὰρ κορυφαῖον τῶν ἐν ἀνθρώποις ἁπάντων εἰς μέσον ἀγαγών, τοῦτο δεῖξαι πειράσομαι, Παῦλον ἐκεῖνον τὸν κήρυκα τῆς οἰκουμένης, τὸν εἰς τρίτον ἁρπαγέντα οὐρανόν, τὸν εἰς παράδεισον ἀπενεχθέντα, τὸν τῶν φρικτῶν κοινωνήσαντα μυστηρίων, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ, τὸν ἀγγελικὴν ἐπιδειξάμενον πολιτείαν, τὸν τοσαύτην ἀρετὴν ἐπελθόντα. Εἰ γὰρ μὴ ἐβουλήθη μακροθυμῆσαι αὐτῷ, μηδὲ ἀνασχέσθαι αὐτοῦ, ἀλλ' ἡνίκα ἡμάρτανε καὶ ἐβλασφήμει καὶ ἐδίωκε, κατὰ πόδας ἐπαγαγεῖν αὐτῷ τὴν δικαίαν ψῆφον, πάλαι ἂν αὐτὸν τῆς μετανοίας προεξήρπασε. Διὸ καὶ αὐτὸς ταῦτα εἰδώς, ἔλεγε· «Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χρι-*

---

24. Ἑβρ. 12, 7.
25. Παροιμ. 3, 12.

παιδιά τους, ἀλλὰ καὶ ὅταν τὰ τιμωροῦν, καὶ ὄχι λιγώτερο ὅταν τὰ τιμωροῦν ἀπ' ὅ,τι ὅταν φροντίζουν γι' αὐτά, ἔτσι λοιπόν καὶ ὁ Θεός. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ποιὸς υἱὸς εἶναι ἐκεῖνος ποὺ δὲν τὸν παιδαγωγεῖ ὁ πατέρας του;»[24]. Καὶ ὁ Σολομὼν λέγει· «Ὅποιον ἀγαπᾶ ὁ Κύριος τὸν παιδεύει, μαστιγώνει δὲ κάθε παιδί του ποὺ τὸ ἀναγνωρίζει γιὰ δικό του»[25].

4. «Ἡ δικαιοσύνη του μένει αἰώνια». Αὐτὸ μοῦ φαίνεται τὸ εἶπε ἐδῶ γιὰ ἐκείνους ποὺ σκανδαλίζονται ἀπὸ τὰ δυσάρεστα ποὺ συμβαίνουν σὲ μερικοὺς ποὺ ἔχουν στηριγμένες τὶς ἐλπίδες τους στὸ Θεό, ὡσὰν κατὰ κάποιο τρόπο νὰ τοὺς συμβουλεύει καὶ νὰ τοὺς λέγει· μὴ ἀνησυχεῖς βλέποντας ἀνθρώπους νὰ συκοφαντοῦνται, νὰ δοκιμάζονται, νὰ ὑποφέρουν χωρὶς λόγο· διότι ὑπάρχει ἀμερόληπτο δικαστήριο, ὑπάρχει ἀπόφαση καθαρή, ποὺ ἀποδίδει στὸν καθένα αὐτὰ ποὺ τοῦ ἀξίζουν. Ἂν ὅμως ζητεῖς νὰ βρεῖς αὐτὴν τώρα, πρόσεχε μήπως ὁδηγήσεις πρῶτα ἐναντίον σου τὴν καταδικαστικὴ ἀπόφαση. Διότι ἂν ἐπρόκειτο νὰ τιμωρεῖ ὁ Θεὸς ξεχωριστὰ τὸ καθένα ἀπὸ τὰ ἁμαρτήματα καὶ ν' ἀποδίδει τὴ δίκαια ἀπόφασή του στὸν καθένα ποὺ ἁμαρτάνει, θὰ εἶχε ἐξαφανισθεῖ πρὸ πολλοῦ τὸ γένος τῶν ἀνθρώπων. Καὶ γιατί λέγω τὸν τάδε καὶ τὸν τάδε; Θὰ προσπαθήσω λοιπὸν ν' ἀποδείξω αὐτὸ παρουσιάζοντας τὸν κορυφαῖο ἀπὸ ὅλους τοὺς ἀνθρώπους, τὸν Παῦλο, τὸν κήρυκα ἐκεῖνο τῆς οἰκουμένης, ποὺ ἁρπάχθηκε μέχρι τὸν τρίτο οὐρανό, ποὺ ὁδηγήθηκε στὸν παράδεισο, ποὺ ἔλαβε μέρος στὰ φρικτὰ μυστήρια, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸ τοῦ Χριστοῦ, ποὺ ἐπέδειξε ἀγγελικὸ τρόπο ζωῆς καὶ κατόρθωσε τόση ἀρετή. Διότι ἂν δὲν ἤθελε νὰ δείξει μακροθυμία πρὸς αὐτόν, οὔτε νὰ τὸν ἀνεχθεῖ, ἀλλὰ κάθε φορὰ ποὺ ἁμάρτανε καὶ βλασφημοῦσε καὶ προχωροῦσε σὲ διώξεις, νὰ ἐπιφέρει ἐναντίον του τὴ δίκαια καταδικαστική του ἀπόφαση, πρὸ πολλοῦ θὰ τοῦ εἶχε στερήσει τὴ μετάνοια. Γι' αὐτὸ καὶ αὐτός, γνωρίζοντας αὐτά, ἔλεγε·

*στῷ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην, καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων αὐτῷ πιστεύειν εἰς ζωὴν αἰώνιον».*

*Τί δὲ τὴν πόρνην εἰ ἐκόλασε, πότε ἂν μετεβλήθη; Τί δὲ τὸν τελώνην Ματθαῖον εἰ ἐν τῷ καιρῷ τῆς τελωνείας πρὸ τῆς μεταβολῆς δίκην ἀπήτησε, οὐκ ἂν προεξήρπασεν αὐτὸν τῆς μετανοίας; Οὕτω καὶ τὸν λῃστήν, οὕτω καὶ τοὺς μάγους, οὕτω καὶ ἕκαστον τῶν ἁμαρτανόντων. Διά τοι τοῦτο ἀνέχει τὴν ὀργήν, καὶ τὴν κατ' ἀξίαν ἀντίδοσιν, καλῶν τοὺς ἀνθρώπους εἰς μετάνοιαν. Εἰ δὲ μένοιεν ἀδιόρθωτοι, πάντως ὑποστήσονται τὴν δικαίαν ψῆφον. Διόπερ ὁ προφήτης τούς τε ἀδικουμένους παραμυθούμενος, τούς τε ἀδικοῦντας σωφρονίζων, ἐπήγαγε τό, «Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα». Ὃ δὲ βούλεται διὰ τούτου εἰπεῖν, τοιοῦτόν ἐστι· μήτε σύ, ὁ ἀδικούμενος, ἐὰν καταλύσῃς τὸν βίον ὡς οὐ τῶν δικαίων τευξόμενος, ἀπελπίσῃς· μετὰ γὰρ τὴν ἐντεῦθεν ἀποδημίαν πάντως ἀπολήψῃ τῶν πόνων τὰς ἀμοιβάς· μήτε σὺ πάλιν, ὁ πάντα ἁρπάζων καὶ πλεονεκτῶν καὶ συγχέων, ἂν ἐν εἰρήνῃ καταλύσῃς τὸν βίον, θαρρήσῃς· πάντων γὰρ δώσεις λόγον μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, τῆς πονηρίας ἀποτίσεις τὰς ἀμοιβάς. Θεὸς γάρ ἐστιν ἀεὶ μένων, καὶ δικαιοσύνην μένουσαν ἔχων ἀεί, οὐδὲν ἀπὸ τοῦ θανάτου διακοπτομένην, οὐδὲ πρὸς τὴν ἀμοιβὴν τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς, οὐδὲ πρὸς τὴν ἀντίδοσιν τῶν κολάσεων τῶν διὰ τὴν πονηρίαν.*

---

26. Α΄ Τιμ. 1, 12-13· 16.
27. Λουκᾶ 7, 37.
28. Ματθ. 9, 9.
29. Λουκᾶ 23, 40.
30. Ματθ. 2, 1.

«Εὐχαριστῶ τόν Χριστὸ πού μοῦ ἔδωσε τὴ δύναμη, διότι μέ ἔκρινε ἄξιο τῆς ἐμπιστοσύνης του καὶ τοποθέτησε στὴν ὑπηρεσία του ἐμένα πού προηγουμένως ἤμουν βλάσφημος, διώκτης καὶ ὑβριστής· ἀλλ' ἔτυχα τοῦ ἐλέους του, γιὰ νὰ κάνει πρῶτα σέ μένα φανερή ὅλη τὴ μακροθυμία του, πρὸς παραδειγματισμὸ ἐκείνων πού ἐπρόκειτο νὰ πιστεύουν σ' αὐτὸν γιὰ νὰ κληρονομήσουν τὴν αἰώνια ζωή»[26].

Τί θὰ συνέβαινε δὲ μὲ τὴν πόρνη ἂν τὴν τιμωροῦσε; πότε θὰ μετανοοῦσε[27]; Τί δὲ μὲ τὸν τελώνη Ματθαῖο, ἂν κατὰ τὸ χρόνο πού ἀσκοῦσε τὸ ἐπάγγελμα τοῦ τελώνη καὶ πρὶν ἀπὸ τὴ μεταβολή του τὸν τιμωροῦσε, δὲν θὰ τοῦ ἀφαιροῦσε τὴν εὐκαιρία τῆς μετανοίας[28]; Τὸ ἴδιο θὰ συνέβαινε καὶ μὲ τὸ ληστή[29], τὸ ἴδιο καὶ μὲ τούς μάγους[30], τὸ ἴδιο καὶ μὲ τὸν καθένα ἀπὸ τοὺς ἁμαρτωλούς. Γι' αὐτό λοιπόν συγκρατεῖ τὴν ὀργή του καὶ τὴν ἀνταπόδοση ἀνάλογα μὲ τὴν ἀξία τοῦ καθενός, καλώντας τοὺς ἀνθρώπους σὲ μετάνοια. Ἂν ὅμως μένουν ἀδιόρθωτοι, ὁπωσδήποτε θὰ ὑποστοῦν τὴν δίκαια καταδικαστικὴ ἀπόφασή του. Γι' αὐτό ἀκριβῶς ὁ προφήτης, παρηγορώντας τοὺς ἀδικουμένους καὶ σωφρονίζοντας ἐκείνους πού ἀδικοῦν, πρόσθεσε τὸ «Ἡ δικαιοσύνη του μένει στὸν αἰώνα». Αὐτὸ δὲ πού θέλει νὰ πεῖ μ' αὐτὸ εἶναι τὸ ἑξῆς· οὔτε σὺ ὁ ἀδικούμενος ν' ἀπελισθεῖς, ἂν τελειώσεις τὴ ζωή σου χωρὶς νὰ ἐπιτύχεις τὰ δίκαιά σου· διότι μετὰ τὴν ἀποδημία σου ἀπὸ αὐτὴ τὴ ζωὴ ὁπωσδήποτε θὰ λάβεις τὶς ἀμοιβὲς τῶν κόπων σου· οὔτε σὺ πάλι, ὁ πλεονέκτης, πού ὅλα τ' ἁρπάζεις καὶ τὰ καταστρέφεις, νὰ αἰσιοδοξεῖς, ἂν τελειώσεις τὴ ζωή σου μὲ εἰρήνη· διότι ὁπωσδήποτε θὰ λογοδοτήσεις μετὰ τὴν ἀποδημία σου ἀπὸ ἐδῶ, θὰ λάβεις τὶς ἀμοιβὲς τῆς κακίας σου. Καθόσον ὑπάρχει Θεὸς πού μένει στὸν αἰώνα καὶ ἡ δικαιοσύνη του εἶναι αἰώνια, πού δὲν διακόπτεται ὡς πρὸς τίποτε ἀπὸ τὸ θάνατο, οὔτε ὡς πρὸς τὴν ἀμοιβὴ τῶν κόπων ὑπὲρ τῆς ἀρετῆς, οὔτε ὡς πρὸς τὴν ἀνταπόδοση τῶν τιμωριῶν γιὰ τὴν κακία.

«Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ». Τί ἐστι, «Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ»; Οὐ διέλιπε θαυματουργῶν, φησί, διηνεκῶς. Τοῦτο γάρ ἐστι τὸ «Μνείαν ἐποιήσατο»· οὐκ ἐπαύσατο, οὐκ ἀπέστη διὰ πάσης γενεᾶς θαύματα ἐργαζόμενος, καὶ τοὺς παχυτέρους διεγείρων διὰ τῶν τεραστίων. Ὁ μὲν γὰρ ὑψηλὸς καὶ φιλόσοφος οὐδὲν δεήσεται τῶν σημείων· «Μακάριοι γὰρ οἱ μὴ εἰδότες, καὶ πιστεύσαντες». Ἐπειδὴ δὲ αὐτὸς οὐ τούτων κήδεται μόνων, ἀλλὰ καὶ τῶν παχυτέρων καθ' ἑκάστην σχεδὸν γενεὰν θαυματουργῶν οὐ παύεται. Ἱκανὴ μὲν γὰρ θαυματουργία πᾶσα τῶν ὁρωμένων ἡ κτίσις, ἀλλ' ὅμως διεγείρων τῶν πολλῶν τὴν ῥαθυμίαν ἐν μέσῳ τῷ θεάτρῳ τούτῳ πολλὰ ἐπεδείκνυτο τεράστια, καὶ ἰδίᾳ καὶ κοινῇ, οἷον τὸ ἐπὶ τοῦ κατακλυσμοῦ, τὸ ἐπὶ τῆς συγχύσεως τῶν γλωσσῶν, τὰ ἐπὶ τῶν Σοδόμων, τὰ ἐπὶ τοῦ Ἀβραάμ, τὰ ἐπὶ τοῦ Ἰσαάκ, τὰ ἐπὶ τοῦ Ἰακώβ, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐξόδῳ τῶν Ἰουδαίων, τὰ ἐν ἐρήμῳ, τὰ ἐν τῇ γῇ τῆς Παλαιστίνης, τὰ ἐν Βαβυλῶνι, τὰ μετὰ τὴν ἐπάνοδον, τὰ ἐπὶ τῶν Μακκαβαίων, τὰ μετὰ τὴν Χριστοῦ παρουσίαν, τὰ ἐν αὐτῇ τῇ παρουσίᾳ, τὰ μέχρι σήμερον γινόμενα, ἡ κατάπτωσις τῶν Ἱεροσολύμων, ἡ οἰκοδομὴ τῆς Ἐκκλησίας, ὁ λόγος ὁ πανταχοῦ τρέχων, ὁ διὰ κυμάτων ἀρθείς, ὁ διὰ πολέμων αὐξηθείς, οἱ τῶν μαρτύρων δῆμοι, τὰ ἄλλα ἅπαντα.

Πολλὰ δὲ ἄν τις καὶ ἰδικὰ ἴδοι καὶ ἐν οἰκίᾳ γενόμενα θαύματα, καὶ ἐν πόλεσιν. Ἀλλὰ τέως τὰ καθολικά, καὶ ἅπασι δῆλα καὶ γνώριμα, ἃ καθ' ἑκάστην γίνεται γενεάν, ἴδωμεν. Πόσα ἐπὶ Ἰουλιανοῦ τοὺς πάντας ἀσεβείᾳ νικήσαντος γέγονε, τῆς Ἐκκλησίας πολεμουμένης; πόσα ἐπὶ Μαξιμίνου; πόσα

31. Ἰω. 20, 29.

«Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ». Τί σημαίνει «Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ»; Δὲν σταμάτησε, λέγει, νὰ θαυματουργεῖ συνέχεια. Διότι αὐτὸ σημαίνει τὸ «Μνείαν ἐποιήσατο»· δὲν ἔπαυσε, δὲν σταμάτησε διὰ μέσου κάθε γενεᾶς νὰ κάμνει θαύματα καὶ νὰ διεγείρει μὲ τὰ ὑπερφυσικά του τοὺς πνευματικὰ παχυτέρους. Διότι ὁ μὲν πνευματικὰ ἀνώτερος καὶ φιλόσοφος δὲν ἔχει καθόλου ἀνάγκη ἀπὸ τὰ θαύματα· διότι «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ δὲν εἶδαν καὶ πίστευσαν»[31]. Ἐπειδὴ δὲ αὐτὸς δὲν φροντίζει μόνο γι' αὐτούς, ἀλλὰ καὶ γιὰ τοὺς πνευματικὰ παχυτέρους, δὲν σταματᾶ νὰ θαυματουργεῖ σχεδὸν σ' ὅλες τὶς γενεές. Βέβαια ἱκανὴ θαυματουργία εἶναι ὅλη ἡ ὁρατὴ δημιουργία, ἀλλ' ὅμως, διεγείροντας τὴ ραθυμία τῶν πολλῶν, πραγματοποιοῦσε ἀνάμεσα σ' αὐτὸ τὸ καταπληκτικὸ θέαμα πολλὰ παράδοξα καὶ κατ' ἰδία καὶ παρουσία ὅλων, ὅπως δηλαδὴ τὸ καταπληκτικὸ γεγονὸς τοῦ κατακλυσμοῦ, τῆς συγχύσεως τῶν γλωσσῶν, τὰ σχετικὰ μὲ τὰ Σόδομα, μὲ τὸν Ἀβραάμ, μὲ τὸν Ἰσαάκ, μὲ τὸν Ἰακώβ, τὰ θαυμαστὰ ἔργα στὴν Αἴγυπτο, τὰ τῆς ἐξόδου τῶν Ἰουδαίων, τὰ τῆς ἐρήμου, τὰ συμβάντα στὴ γῆ τῆς Παλαιστίνης, στὴ Βαβυλώνα, τὰ μετὰ τὴν ἐπιστροφή, τὰ ἐπὶ τῶν ἡμερῶν τῶν Μακκαβαίων, τὰ μετὰ τὴν παρουσία τοῦ Χριστοῦ, τὰ κατὰ τὴ διάρκεια τῆς παρουσίας του, τὰ ὅσα γίνονται μέχρι σήμερα, ἡ πτώση τῶν Ἱεροσολύμων, ἡ δημιουργία τῆς ἐκκλησίας, ὁ λόγος τοῦ Θεοῦ ποὺ ἁπλώνεται παντοῦ, ποὺ ὑψώθηκε μὲ τὰ κύματα καὶ αὐξήθηκε μὲ τοὺς διωγμούς, τὰ πλήθη τῶν μαρτύρων καὶ γενικὰ ὅλα τὰ ἄλλα.

Πολλὰ δὲ θὰ μποροῦσε κανεὶς νὰ δεῖ ἰδικὰ θαύματα νὰ συμβαίνουν καὶ στὴν οἰκία καὶ στὶς πόλεις. Ἀλλὰ κατ' ἀρχὴ ἂς ἐξετάσουμε τὰ γενικὰ καὶ ποὺ εἶναι φανερὰ καὶ γνωστὰ σ' ὅλους, καὶ ποὺ συμβαίνουν σὲ κάθε μιὰ γενεά. Πόσα συνέβησαν κατὰ τὴν ἐποχὴ τοῦ Ἰουλιανοῦ, ποὺ ξεπέρασε ὅλους ὡς πρὸς τὴν ἀσέβεια, μὲ τοὺς διωγμοὺς ποὺ ἐξαπολύθηκαν ἐναντίον τῆς ἐκκλησίας; πόσα ἐπὶ τῶν

*πρὸ τῶν ἐκείνων βασιλέων; Εἰ δὲ βούλεσθε καὶ τὰ ἐπὶ τῆς γενεᾶς συμβάντα τῆς ἡμετέρας, οἷον οἱ σταυροὶ οἱ κατὰ τῶν ἱματίων χαραγέντες ἀθρόον, τοῦ Ἀπόλλωνος τὸ ἱερὸν τὸ σκηπτῷ κατενεχθέν, τοῦ ἁγίου μάρτυρος Βαβύλα τοῦ ἐν Δάφνῃ ἡ μετάθεσις, καὶ ἡ φανερὰ νίκη ἡ κατὰ τοῦ δαίμονος, τοῦ ταμίου τῶν βασιλικῶν χρημάτων ὁ παράδοξος θάνατος, αὐτὴ ἡ τοῦ βασιλέως ἀναίρεσις, αὐτοῦ τοῦ Ἰουλιανοῦ τοῦ πάντας ἀσεβείᾳ νικήσαντος, καὶ ἡ τοῦ θείου τοῦ ἐκείνου ἀπώλεια, τῶν σκωλήκων αἱ πηγαί, ἕτερα μυρία, ὁ λιμός, ὁ αὐχμός, ἡ τῶν ὑδάτων σπάνις ἡ μετ᾽ αὐτοῦ ταῖς πόλεσιν ἐμπεσοῦσα, καὶ ἕτερα μυρία πανταχοῦ. Καὶ ἐν Παλαιστίνῃ τὰ τότε συμβάντα ἔγνωτε. Καὶ γὰρ ἡνίκα τὸν ναὸν ἐκεῖνον τὸν τῇ ψήφῳ τοῦ Θεοῦ καθαιρεθέντα ἀνοικοδομεῖν ἐβούλοντο Ἰουδαῖοι, πῦρ ἐκ τῶν θεμελίων ἐκπηδῆσαν ἅπαντας ἤλασε, καὶ μαρτυρεῖ τὸ ἔργον ἀτέλεστον μεῖναν.*

*5. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν». Ἀπαγγείλας αὐτοῦ τὰς εὐεργεσίας, τὰς διὰ τῶν θαυμάτων, τὰς διὰ τῶν ἔργων, τὴν κηδεμονίαν τὴν ὑπὲρ ἡμῶν γεγενημένην, καὶ τούτῳ πάλιν αὔξει τὸν λόγον, δεικνὺς ὅτι τοσαῦτα καὶ τηλικαῦτα ποιήσας ὑπὲρ τῆς σωτηρίας τῆς τῶν ἀνθρώπων, καὶ παντὶ τρόπῳ παιδεύσας αὐτούς, καὶ παιδεύων εἰς τὴν θεογνωσίαν καὶ τὴν ἄκραν φιλοσοφίαν, καὶ διακρατῶν αὐτῶν τὴν ζωήν, οὐ κατὰ ὀφειλὴν τοῦτο ἐργάζεται (ὅπερ μεγίστη χάρις ἐστίν), ἀλλὰ δι᾽ ἔλεον καὶ φιλανθρωπίαν, οὐχ ὡς αὐτὸς δεόμενος αὐτῶν, ἀλλὰ δι᾽ ἀγαθότητα μόνην. «Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν». Τίνος ἕνεκεν τοὺς φοβουμένους ἐνταῦθα τέθεικεν; Οὐ γὰρ δὴ*

ἡμερῶν τοῦ Μαξιμίνου; πόσα πρὶν ἀπὸ ἐκείνους τοὺς βασιλεῖς; Ἂν δὲ θέλετε ἄς ἀναφέρομε καὶ τὰ ὅσα συνέβηκαν ἐπὶ τῶν ἡμερῶν τῆς δικῆς μας γενεᾶς, ὅπως ἐπὶ παραδείγματι οἱ σταυροὶ ποὺ χαράχθηκαν σὲ μιὰ στιγμὴ ἐπάνω στὰ ἐνδύματα, ἡ καταστροφὴ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνα μὲ κεραυνό, ἡ μετάθεση τοῦ ἁγίου μάρτυρα Βαβύλα στὴ Δάφνη καὶ ἡ φανερὴ νίκη του ἐναντίον τοῦ δαίμονα, ὁ παράδοξος θάνατος τοῦ ταμία τῶν βασιλικῶν χρημάτων, ὁ θάνατος τοῦ βασιλέως Ἰουλιανοῦ ποὺ ὅλους τοὺς νίκησε ὡς πρὸς τὴν ἀσέβεια, καὶ ἡ ἀπώλεια τοῦ θείου του, οἱ πηγὲς τῶν σκωληκιῶν, πολλὰ ἄλλα ἀμέτρητα, ἡ πείνα, ἡ ξηρασία, ἡ ἔλλειψη τοῦ νεροῦ μετὰ ἀπὸ αὐτὴ ποὺ ἔπεσε στὶς πόλεις, καὶ πολλὰ ἄλλα ἀμέτρητα παντοῦ. Καὶ τὰ ὅσα συνέβησαν τότε στὴν Παλαιστίνη τὰ γνωρίσατε. Καθόσον ὅταν οἱ Ἰουδαῖοι ἤθελαν νὰ ἀνοικοδομήσουν τὸ ναὸ ἐκεῖνο ποὺ καταστράφηκε μὲ τὴν ἀπόφαση τοῦ Θεοῦ, φωτιὰ ποὺ ξεπήδησε ἀπὸ τὰ θεμέλια ἐκείνου τοὺς ἀπομάκρυνε ὅλους καὶ τὸ ἐπιβεβαιώνει αὐτό τὸ ἔργο ποὺ ἔμεινε ἀτελείωτο.

5. «Ὁ Κύριος εἶναι οἰκτίρμων καὶ ἐλεήμων καὶ ἔδωσε τροφὴ σ' αὐτοὺς ποὺ τὸν φοβοῦνται καὶ τὸν σέβονται». Ἀφοῦ ἀνέφερε τὶς εὐεργεσίες του ποὺ ἔγιναν καὶ μὲ τὰ θαύματα καὶ μὲ τὰ ἔργα του, τὴ φροντίδα ποὺ ἔδειξε γιὰ μᾶς, καὶ μὲ αὐτὸ ποὺ λέγει πάλι ἐπικτείνει τὸ λόγο, γιὰ νὰ δείξει ὅτι ἂν καὶ ἔκαμε τόσα πολλὰ καὶ τόσα σπουδαῖα γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων καὶ παίδευσε αὐτοὺς μὲ κάθε τρόπο καὶ ἐξακολουθεῖ νὰ τοὺς καθοδηγεῖ στὴ θεογνωσία καὶ στὴν τέλεια φιλοσοφία καὶ νὰ διατηρεῖ αὐτοὺς στὴ ζωή, δὲν τὸ κάμνει αὐτὸ σὰν κάτι ποὺ τὸ ὀφείλει (πράγμα ποὺ ἀποτελεῖ πάρα πολὺ μεγάλη χάρη), ἀλλὰ ἀπὸ εὐσπλαχνία καὶ φιλανθρωπία, ὄχι σὰν νὰ ἔχει αὐτοὺς ἀνάγκη, ἀλλὰ μόνο ἀπὸ ἀγαθότητα. «Ἔδωσε τροφὴ σ' ἐκείνους ποὺ τὸν φοβοῦνται καὶ τὸν σέβονται». Γιὰ ποιὸ λόγο ἀνέφερε ἐδῶ ἐκείνους ποὺ τὸν φοβοῦνται; Διότι

*μόνους αὐτοὺς τρέφει. Καὶ γὰρ ἐν τῷ εὐαγγελίῳ φησίν, «Ὅτι ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Πῶς οὖν εἶπε, «Τοῖς φοβουμένοις αὐτόν»; Τροφὴν ἐνταῦθα δοκεῖ μοι λέγειν οὐ τὴν σωματικήν, ἀλλὰ τὴν τῆς ψυχῆς. Διὰ τοῦτο καὶ περὶ τῶν φοβουμένων διαλέγεται μόνον· αὕτη γὰρ τούτοις ἐστὶν ἀφωρισμένη. Ὥσπερ γὰρ τρέφεται σῶμα, οὕτω τρέφεται καὶ ψυχή. Καὶ ὅτι τρέφεται ἄκουε. «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ». Ταύτην οὖν λέγει τὴν τροφήν, ἣν ἐξαιρέτως ἔδωκε τοῖς φοβουμένοις αὐτόν, τὴν διὰ τοῦ λόγου διδασκαλίαν, τὴν παίδευσιν, τὴν φιλοσοφίαν ἅπασαν.*

*Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ». Πάλιν καταστέλλων τῶν Ἰουδαίων τὴν ἀπόνοιαν, καὶ τὸν τῦφον αὐτῶν ὑποτεμνόμενος, μᾶλλον δὲ δεικνύς, ὅτι τῶν ἀγαθῶν, ὧν ἀπήλαυσαν, οὐ διὰ τὴν ἀξίαν ἀπήλαυσαν τὴν οἰκείαν, ἀλλὰ διὰ τὴν φιλίαν αὐτοῦ τὴν πρὸς τοὺς πατέρας, καὶ τὰς συνθήκας τὰς πρὸς ἐκείνους γεγενημένας, φησί, «Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ», ὅπερ καὶ Μωϋσῆς παρήγγειλεν αὐτοῖς εἰσιοῦσιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας λέγειν καὶ ἐννοεῖν. Ἐὰν γὰρ οἰκοδομήσῃς, φησί, πόλεις λαμπράς, καὶ περιβάλῃ πλοῦτον χρημάτων, μὴ εἴπῃς, ὅτι διὰ τὴν δικαιοσύνην μου ταῦτα γέγονεν, ἀλλὰ διὰ τὰς συνθήκας τὰς πρὸς τοὺς πατέρας σου. Οὐδὲν γὰρ ἀπονοίας χεῖρον· διὰ τοῦτο παντὶ τρόπῳ καὶ διαπαντὸς ὁ Θεὸς ἐκκόπτει αὐτὴν συνεχῶς.*

*«Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ, τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν». Ἀπὸ τῶν καθολικῶν ἐπὶ τὰ μερικὰ μετάγει τὸν λόγον· ἀπὸ τῶν κατὰ τὴν οἰκουμένην γενομένων, ἐπὶ τὰ Ἰουδαίοις συμβάντα. Μάλιστα δέ, εἴ τις*

32. Ματθ. 5, 45.
33. Ματθ. 4, 4.
34. Πρβλ. Δευτ. 9, 4 - 5.

βέβαια δὲν τρέφει μόνο αὐτούς. Καθόσον στὸ εὐαγγέλιο λέγει· «Διότι ἀνατέλλει τὸν ἥλιο καὶ στοὺς κακοὺς καὶ στοὺς ἀγαθοὺς καὶ βρέχει καὶ γιὰ τοὺς δικαίους καὶ γιὰ τοὺς ἀδίκους»[32]. Πῶς λοιπὸν εἶπε, «Σ' αὐτοὺς ποὺ τὸν φοβοῦνται»; Τροφὴ ἐδῶ μοῦ φαίνεται ὅτι ὀνομάζει ὄχι τὴ σωματική, ἀλλὰ τὴν τροφὴ τῆς ψυχῆς. Γι' αὐτὸ καὶ ὁμιλεῖ μόνο γιὰ ἐκείνους ποὺ τὸν φοβοῦνται· διότι αὐτὴ εἶναι ξεχωρισμένη γι' αὐτούς. Διότι ὅπως ἀκριβῶς τρέφεται τὸ σῶμα, ἔτσι τρέφεται καὶ ἡ ψυχή. Καὶ τὸ ὅτι τρέφεται ἄκουε· «Δὲν θὰ ζήσει ὁ ἄνθρωπος μόνο μὲ τὸν ἄρτο, ἀλλὰ μὲ κάθε λόγο ποὺ βγαίνει ἀπὸ τὸ στόμα τοῦ Θεοῦ»[33]. Αὐτὴν λοιπὸν τὴν τροφὴ ἐννοεῖ, ποὺ ἔδωσε κατ' ἐξαίρεση σ' αὐτοὺς ποὺ τὸν φοβοῦνται, τὴ *διδασκαλία* μὲ τὸ λόγο, τὴν *παίδευση* καὶ γενικὰ τὴ χριστιανικὴ φιλοσοφία.

«Θὰ θυμᾶται πάντοτε τὴ συμφωνία του μὲ τὸ λαό του». Πάλι συγκρατώντας τὴν ἀνοησία τῶν Ἰουδαίων καὶ ξερριζώνοντας τὴν ἀλαζονεία τους, μᾶλλον δὲ γιὰ νὰ δείξει, ὅτι τὰ ἀγαθὰ ποὺ ἀπόλαυσαν, δὲν τὰ ἀπόλαυσαν ἐξ αἰτίας τῆς ἀξίας τους, ἀλλ' ἐξ αἰτίας τῆς ἀγάπης του πρὸς τοὺς πατέρες τους καὶ τὶς συμφωνίες ποὺ εἶχε κάμει μὲ ἐκείνους, λέγει, «Θὰ θυμᾶται πάντοτε τὴ συμφωνία του μὲ τὸ λαό του», *πράγμα ποὺ* καὶ ὁ Μωϋσῆς *παράγγειλε* σ' αὐτοὺς ποὺ θὰ εἰσέρχονταν στὴ γῆ τῆς ἐπαγγελίας νὰ λέγουν καὶ νὰ ἔχουν στὴ σκέψη τους. Διότι, λέγει, ἂν οἰκοδομήσεις λαμπρὲς πόλεις καὶ ἀποκτήσεις μεγάλο ἀριθμὸ χρημάτων, μὴ πεῖς, ὅτι αὐτὰ μοῦ συνέβησαν ἐξ αἰτίας τῆς δικαιοσύνης μου, ἀλλ' ἐξ αἰτίας τῶν συμφωνιῶν ποὺ ἔκαμα μὲ τοὺς πατέρες σου[34]. Διότι τίποτε δὲν ὑπάρχει χειρότερο ἀπὸ τὴ μωρία· γι' αὐτὸ συνέχεια καὶ μὲ κάθε τρόπο καὶ μὲ κάθε μέσο ξερριζώνει ὁ Θεὸς αὐτήν.

«Τὴ δύναμη τῶν ἔργων του ἀνήγγειλε στὸ λαό του, μὲ τὸ νὰ τοὺς δώσει σὰν κληρονομία τὰ ἔθνη». Ἀπὸ τὰ γενικὰ μεταφέρει τὸ λόγο στὰ ἐπὶ μέρους· ἀπὸ ἐκεῖνα ποὺ ἔγιναν στὴν οἰκουμένη, σ' ἐκεῖνα ποὺ συνέβηκαν στοὺς Ἰουδαίους,

*ἀκριβῶς ἐξετάσειε, καὶ ταῦτα καθολικῶν ἐπέχει τάξιν. Τὰ γὰρ εἰς αὐτοὺς γινόμενα, τοῖς ἄλλοις διδασκαλίαι ἐγίνοντο, καὶ οἱ πόλεμοι καὶ τὰ τρόπαια καὶ αἱ νῖκαι ἀντὶ κηρύγματος ἤρκουν τοῖς προσέχουσιν. Οὐ γὰρ ἀκολουθίᾳ ἀνθρωπίνῃ, ἀλλὰ ὑπὲρ λόγον ταῦτα συνέβαινε. Ποία γὰρ ἀκολουθία ἐκείνη, σαλπιζόντων αὐτῶν τὰ τείχη καταβάλλεσθαι, καὶ γυναῖκα στρατηγοῦσαν νικᾶν καὶ περιγίνεσθαι, καὶ παιδίον μικρὸν βαρβαρικοὺς πολέμους καταλύειν ἀπὸ λίθου βολῆς μιᾶς; Καὶ ἕτερα δὲ ἄλλα παράδοξα τοιαῦτα συνέβαινεν. Οὕτω τῶν πολεμίων ἐκράτησαν, οὕτω τῆς Παλαιστίνης ἐξέβαλον. Ὅταν οὖν λέγῃ, «Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ», οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἐπέδειξεν αὐτοῦ τὴν δύναμιν, οὐχ ἁπλῶς ἐκβάλλων τὰ ἔθνη, ἀλλὰ τρόπῳ τοιούτῳ, δι' οὗ μάλιστα ἠδύνατο εἰδέναι σαφῶς, ὡς εἰ καὶ τὰ πρότερα ἤρκει, ὅτε θεήλατος ἦν ἡ πληγὴ κατ' ἐκείνων γινομένη, καὶ αὐτοῦ στρατηγοῦντος τὰ τῶν πολεμίων ἐκρίνετο πράγματα. Οὐ γὰρ δὴ διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτοὺς ἐπαίδευε, δι' ὑποδημάτων, διὰ ἱματίων, διὰ τροφῆς, διὰ φωτὸς νυκτερινοῦ καὶ ἡμερινοῦ, διὰ νεφέλης, διὰ πολέμων, διὰ εἰρήνης, διὰ τροπαίων, διὰ γεωργίας, διὰ ὑετῶν, καὶ πάντα φωνὴν ἠφίει τὸν Δεσπότην ἀνακηρύττοντα, καὶ τὴν πεπωρωμένην αὐτῶν διάνοιαν κατανύττοντα, καὶ οὐδεὶς χρόνος ἐνέλιπεν, ἐν ᾧ μὴ συνεχῆ σημεῖα αὐτοῦ ἐπεδείκνυτο.*

*«Ἔργα χειρῶν αὐτοῦ, ἀλήθεια καὶ κρίσις». Ἐπειδὴ περὶ τῆς δυνάμεως αὐτοῦ διελέχθη, διαλέγεται καὶ περὶ τῆς δικαιοκρισίας, ὅτι οὐ μόνον δύναμιν ἐν οἷς ἐποίει τότε ἐπεδείκνυτο, ἀλλὰ καὶ πολλὴν τὴν δικαιοσύνην. Οὐδὲ γὰρ ἁπλῶς ἐξέβαλε τὰ ἔθνη, ἐπειδὴ Ἰουδαίους εἰσαγαγεῖν*

---

35. Δηλαδὴ τῆς πόλεως Ἱεριχοῦς. Ἰησ. Ναυῆ 6, 20.
36. Πρόκειται περὶ τῆς Ἰουδίθ.
37. Πρόκειται περὶ τοῦ Δαυὶδ ποὺ μὲ τὴ σφενδόνη του νίκησε τὸ Γολιάθ. Α΄ Βασ. 17, 49.

Μάλιστα δέ, ἂν κανεὶς τὰ ἐξετάσει μὲ προσοχή, καὶ αὐτὰ ἐπέχουν θέση μεταξὺ τῶν γενικῶν. Διότι αὐτὰ ποὺ γίνονταν σ' αὐτούς, γίνονταν διδάγματα στοὺς ἄλλους, καὶ οἱ πόλεμοι καὶ τὰ τρόπαια καὶ οἱ νίκες γίνονταν ἕνα εἶδος κηρύγματος, σ' ἐκείνους ποὺ τὰ ἐξέταζαν μὲ προσοχή. Καθόσον αὐτὰ συνέβαιναν ὄχι μὲ ἀνθρώπινο τρόπο, ἀλλὰ κατὰ τρόπο ὑπερφυσικό. Διότι ποιὰ φυσικὴ συνέπεια ἦταν ἐκείνη, τὸ νὰ γκρεμίζονται τὰ τείχη μὲ τὸ σάλπισμα αὐτῶν[35], καὶ γυναίκα στρατηγὸς νὰ νικᾶ καὶ νὰ ὑπερισχύει[36]· καὶ μικρὸ παιδὶ μὲ μιὰ βολὴ λίθου νὰ διαλύει πολέμους βαρβαρικούς[37]; Καὶ πολλὰ δὲ ἄλλα παρόμοια παράδοξα συνέβαιναν. Ἔτσι νίκησαν τοὺς ἐχθρούς τους, ἔτσι τοὺς ἔδιωξαν ἀπὸ τὴν Παλαιστίνη. Ὅταν λοιπὸν λέγει, «Τὴ δύναμη τῶν ἔργων του ἀνήγγειλε στὸ λαό του», τίποτε ἄλλο δὲν λέγει, παρὰ αὐτό, ὅτι φανέρωσε τὴ δύναμή του, ὄχι ἁπλῶς διώχνοντας τὰ ἔθνη, ἀλλὰ μὲ τέτοιο τρόπο, μὲ τὸν ὁποῖο μποροῦσε αὐτὸς νὰ γνωρίσει πολὺ καθαρά, ἂν καὶ τὰ προηγούμενα ἦταν ἀρκετά, ὅτι τὸ χτύπημα ποὺ καταφέρθηκε ἐναντίον αὐτῶν ἦταν θεόσταλτο, καὶ ὅτι κάτω ἀπὸ τὴ στρατηγία τοῦ Θεοῦ νικῶνταν οἱ ἐχθροί. Διότι πράγματι δὲν τοὺς δίδασκε μόνο μὲ λόγια, ἀλλὰ καὶ μὲ πράγματα, μὲ ὑποδήματα, μὲ ἐνδύματα, μὲ τὴν τροφή, μὲ τὸ νυχτερινὸ καὶ ἡμερήσιο φῶς, μὲ τὴ νεφέλη, μὲ τοὺς πολέμους, μὲ τὴν εἰρήνη, μὲ τὰ τρόπαια, μὲ τὴ γεωργία, μὲ τὶς βροχές, καὶ γενικὰ ὅλα ἄφηναν φωνὴ νὰ βγεῖ ποὺ διακήρυττε τὸν Κύριο καὶ κεντοῦσε τὴν πωρωμένη καὶ σκληρὴ καρδιά τους, καὶ καμιὰ χρονικὴ περίοδος δὲν ὑπῆρξε ποὺ νὰ μὴ φανερώνει τὰ συνεχὴ θαύματά του.

«Τὰ ἔργα τῶν χεριῶν του εἶναι ἀλήθεια καὶ κρίση». Ἐπειδὴ ὁμίλησε γιὰ τὴ δύναμή του, ὁμιλεῖ καὶ γιὰ τὴ δικαιοκρισία του, ὅτι δηλαδὴ δὲν φανέρωνε μόνο τὴ δύναμή του μὲ ἐκεῖνα ποὺ ἔκαμνε τότε, ἀλλὰ καὶ τὴ μεγάλη δικαιοσύνη του. Διότι δὲν ἐξεδίωξε ἁπλῶς τὰ ἔθνη, ἐπειδὴ ἤθελε νὰ ἐγκαταστήσει τοὺς Ἰουδαίους, ἀλλὰ τὸ ἔκαμε

*ἐβούλετο, ἀλλὰ μετὰ τοῦ δικαίου. Διὰ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν ὁ Μωϋσῆς· «Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων». Ταῦτα δὲ οὐκ ἐπὶ Ἰουδαίων ἐστὶν εἰπεῖν μόνον, καὶ τῶν ἐκείνοις συμβαινόντων, ἀλλὰ πάλιν καθολικὸς ὁ λόγος ἐστί. Πάντα γὰρ τὰ ὑπ' αὐτοῦ γενόμενα «ἀλήθεια καὶ κρίσις»· κρίσις, τουτέστι δικαιοσύνη. Οἶδεν δὲ ἀλήθειαν πολλάκις ἡ Γραφὴ καὶ τὴν φιλανθρωπίαν λέγειν. Ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν, ὅτι μετὰ τῆς δικαιοσύνης καὶ φιλανθρωπίας τὰ πάντα ἀνέμιξεν. Εἰ γὰρ δὴ μόνον τῷ τοῦ δικαίου ἐκέχρητο λόγῳ, πάντα ἂν ἀπολώλει. Διὸ καὶ οὗτος ὁ προφήτης ἀλλαχοῦ λέγει· «Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου· ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν». Καὶ πάλιν· «Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται;». Πάντα τοίνυν τὰ ὑπ' αὐτοῦ γινόμενα ἑκατέρων γέμει τούτων. Ἄν τε γὰρ τὸ δίκαιον ἀπαιτῇ μόνον, πάντα ἂν διεφθάρη· εἰ δὲ φιλανθρωπίᾳ μόνῃ κέχρηται, οἱ πλείους ἂν ἐγίνοντο ῥᾳθυμότεροι. Διὰ τοῦτο ποικίλλων τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἑκατέροις τούτοις εἰς τὴν διόρθωσιν αὐτῶν κέχρηται.*

*6. «Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ». Ὅπερ πολλαχοῦ ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, ἀπὸ τῆς σοφίας τῆς ἐν τῇ ποικίλῃ δημιουργίᾳ καὶ τῆς κηδεμονίας ἐπὶ τὴν νομοθεσίαν μεταβαίνων, καὶ τοῦτο πάλιν κινῶν τῆς προνοίας τὸ μέρος. Οὐ γὰρ δὴ μόνον τῷ κτίσαι κτίσιν τοσαύτην, καὶ τηλικαύτην, ἀλλὰ τῷ τὸν νόμον θεῖναι τὸ τῶν ἀνθρώπων διώρθωσε γένος. Διὸ καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ψαλμῷ ἀμφότερα ταῦτα τὰ μέρη διελών, ἀρχόμενος μὲν ἔλεγεν, «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ», πρὸς δὲ τὸ μέσον ἐλθών, καὶ τὸν περὶ τῆς*

38. Γεν. 15. 16.
39. Ψαλμ. 142, 2.
40. Ψαλμ. 129, 3.
41. Ψαλμ. 18, 1.

μὲ δικαιοσύνη. Γι' αὐτὸ καὶ ἀλλοῦ ἔλεγε ὁ Μωυσῆς· «Διότι δὲν ὁλοκληρώθηκαν ἀκόμη οἱ παρανομίες τῶν 'Αμορραίων»[38]. Αὐτὰ δὲ μπορεῖ νὰ τὰ πεῖ κανεὶς ὄχι μόνο γιὰ τοὺς 'Ιουδαίους καὶ γιὰ τὰ ὅσα συνέβηκαν σ' αὐτούς, ἀλλὰ πάλι ὁ λόγος ἔχει γενικὴ σημασία. Διότι ὅλα τὰ ἔργα ποὺ ἔγιναν ἀπ' αὐτὸν εἶναι «ἀλήθεια καὶ κρίση»· «κρίση», δηλαδὴ δικαιοσύνη. Γνωρίζει δὲ ἡ Γραφὴ νὰ ὀνομάζει πολλὲς φορὲς ἀλήθεια καὶ τὴ φιλανθρωπία. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς, ὅτι δηλαδὴ ὅλα τὰ ἀνέμιξε μὲ δικαιοσύνη καὶ φιλανθρωπία. Διότι βέβαια ἂν χρησιμοποιοῦσε μόνο τὴ δικαιοσύνη του, ὅλα θὰ καταστρέφονταν. Γι' αὐτὸ καὶ ὁ ἴδιος ὁ προφήτης ἀλλοῦ λέγει· «Καὶ μὴ θελήσεις νὰ προχωρήσεις σὲ ἀκριβὴ ἐξέταση καὶ κρίση τοῦ δούλου σου· διότι δὲν θὰ βγεῖ ἀπὸ μπροστά σου δικαιωμένος κανένας ἀπὸ τοὺς βρισκομένους στὴ ζωὴ ἀνθρώπους»[39]. Καὶ πάλι· «Ἂν Κύριε, Κύριε, ἐξετάσεις μὲ λεπτομέρεια τὶς ἀνομίες μας ποιὸς θὰ μπορέσει νὰ σταθεῖ μπροστά σου;»[40].. Ὅλα λοιπὸν τὰ ἔργα ποὺ ἔγιναν ἀπ' αὐτὸν εἶναι γεμάτα ἀπὸ αὐτὰ τὰ δυό. Διότι ἂν ἀπαιτοῦσε μόνο τὸ δίκιο, ὅλα θὰ καταστρέφονταν, ἂν δὲ χρησιμοποιοῦσε μόνο τὴ φιλανθρωπία του οἱ περισσότεροι θὰ γίνονταν πιὸ ράθυμοι. Γι' αὐτὸ ἐφαρμόζοντας διαφόρους τρόπους γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων, χρησιμοποιεῖ καὶ τοὺς δύο αὐτοὺς τρόπους γιὰ τὴ διόρθωση αὐτῶν.

6. «Ὅλες οἱ ἐντολές του εἶναι ἀξιόπιστες». 'Εκεῖνο ποὺ κάμνει παντοῦ, αὐτὸ κάμνει καὶ ἐδῶ, μεταβαίνοντας ἀπὸ τὴ σοφία τῆς ποικίλης δημιουργίας καὶ τὴν κηδεμονία γι' αὐτὴν στὴ νομοθεσία, καὶ δείχνοντας πάλι καὶ αὐτὸ τὸ μέρος τῆς προνοίας του. Διότι δὲν διόρθωσε τὸ γένος τῶν ἀνθρώπων μόνο μὲ τὴ δημιουργία τόσων πολλῶν καὶ τόσων σπουδαίων κτισμάτων, ἀλλὰ καὶ μὲ τὴ θέσπιση νόμου. Γι' αὐτὸ καὶ στὸ δέκατο ὄγδοο ψαλμὸ διαχωρίζοντας αὐτὰ τὰ δύο μέρη, στὴν ἀρχὴ μὲν ἔλεγε, «Οἱ οὐρανοὶ διηγοῦνται τὴ δόξα τοῦ Θεοῦ»[41], φθάνοντας δὲ στὴ μέση τοῦ

*κτίσεως ἀπαρτίσας λόγον ἐπήγαγεν· «Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς· ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς». Οὕτω δὴ καὶ ἐνταῦθα, εἰπὼν περὶ τῶν τεραστίων καὶ τῶν θαυμάτων αὐτοῦ καὶ τῶν ἔργων, εἰς τὴν περὶ τῶν ἐντολῶν ὑπόθεσιν μεταχειρίζει τὸν λόγον οὕτω λέγων· «Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι». Οὐχ ἁπλῶς εἶπε, «Πᾶσαι», ἀλλὰ πολὺ γένος ἐντολῶν ἀνακινῶν, ταύτην τέθεικε τὴν λέξιν.*

*Καὶ γὰρ ἐντολαί εἰσιν αἱ τῆς κτίσεως, ἃς διατηρεῖ πᾶσα ἡ κτίσις, ἥλιος καὶ σελήνη, ἡμέρα καὶ νύξ, καὶ ἀστέρες, καὶ γῆς καὶ φύσεως δρόμος. Ἐντολαί εἰσιν αἱ τῇ φύσει δοθεῖσαι ἐξ ἀρχῆς, ὅτε τὸν ἄνθρωπον ἔπλαττε περὶ ὧν φησιν ὁ Παῦλος· «Ὅταν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος». Καὶ πάλιν· «Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον». Ἐντολαί εἰσι καὶ αἱ γραπταί. Καὶ αὗται πᾶσαι μεμενήκασιν. Εἰ δέ τινες κατελύθησαν, οὐκ ἐπὶ τὸ χεῖρον, ἀλλ' ἐπὶ τὸ βέλτιον μεταρρυθμισθεῖσαι. Τὸ γάρ, «Οὐ φονεύσεις», οὐ κατελύθη, ἀλλ' ἐπετάθη· καὶ τό, «Οὐ μοιχεύσεις», οὐκ ἠφανίσθη, ἀλλὰ μεῖζον γέγονε. Διὸ καὶ ἔλεγεν, «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι». Ὁ γὰρ μὴ ὀργιζόμενος, πολλῷ μᾶλλον τοῦ φόνου ἀφέξεται· καὶ ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς, μακρότερον τῆς μοιχείας ἐσκήνωται. Ὁ τοίνυν νόμος τοῦτο μάλιστα ἔχει τὸ ἐξαίρετον, τὸ ἀθάνατον, τὸ διηνεκές, καὶ ὁ τῆς κτίσεως, καὶ ὁ*

---

42. Ψαλμ. 18, 8 - 9.
43. Ρωμ. 2, 14.
44. Ρωμ. 7, 22.
45. Ἐξ. 20, 13· 15.
46. Ματθ. 5, 17.

ψαλμοῦ, καὶ ἀφοῦ ὁλοκλήρωσε τὸ λόγο γιὰ τὴ δημιουργία, πρόσθεσε· «Ὁ νόμος τοῦ Κυρίου εἶναι ἄμεμπτος καὶ ἐπιστρέφει τὶς πλανημένες ψυχές· ἡ ἐντολὴ τοῦ Κυρίου εἶναι φωτεινὴ καὶ φωτίζει ὀφθαλμούς»[42]. Ἔτσι λοιπὸν καὶ ἐδῶ, ἀφοῦ μίλησε γιὰ τὰ τεράστια καὶ καταπληκτικὰ θαύματα καὶ ἔργα του, μεταφέρει τὸ λόγο στὸ θέμα τῶν ἐντολῶν, λέγοντας τὰ ἑξῆς· «Εἶναι ἀξιόπιστες ὅλες οἱ ἐντολὲς τοῦ Θεοῦ, μένουν αἰώνια ἀπαρασάλευτες, διότι συντάχθηκαν μὲ ἀλήθεια καὶ δικαιοσύνη». Δὲν ἀνέφερε τυχαῖα αὐτὴ τὴ λέξη «πᾶσαι», ἀλλὰ γιὰ νὰ παρουσιάσει ἕνα πολὺ μεγάλο πλῆθος ἐντολῶν.

Πράγματι ἐντολὲς εἶναι οἱ ἐντολὲς τῆς κτίσεως, τὶς ὁποῖες διατηρεῖ ὅλη ἡ κτήση, ὁ ὅλιος καὶ ἡ σελήνη, ἡ ἡμέρα καὶ ἡ νύχτα, οἱ ἀστέρες καὶ ἡ κίνηση τῆς γῆς καὶ τῆς φύσεως. Ἐντολὲς εἶναι οἱ ἐντολὲς ποὺ δόθηκαν ἀπὸ τὴν ἀρχὴ στὴ φύση, ὅταν ἔπλαθε τὸν ἄνθρωπο, γιὰ τὶς ὁποῖες λέγει ὁ Παῦλος· «Διότι ὅταν οἱ ἐθνικοί, ποὺ δὲν ἔχουν γραπτὸ νόμο, πράττουν ἐκεῖνα ποὺ διατάσσει ὁ γραπτὸς νόμος, ὁδηγούμενοι ἀπὸ τὸν ἔμφυτο ἠθικὸ νόμο, αὐτοί, ἂν καὶ δὲν ἔχουν γραπτὸ νόμο, εἶναι οἱ ἴδιοι νόμος γιὰ τὸν ἑαυτό τους»[42]. Καὶ πάλι· «Διότι εὐχαριστεῖται ἡ καρδιά μου καὶ ὁ νοῦς μου, ποὺ ἀποτελοῦν τὸν ἐσωτερικό μου ἄνθρωπο, μὲ τὸ νόμο τοῦ Θεοῦ»[43]. Ἐντολὲς εἶναι καὶ οἱ γραπτές. Καὶ αὐτὲς ὅλες ἔμειναν ἀμετακίνητες. Ἂν δὲ μερικὲς καταργήθηκαν, μεταβλήθηκαν ὄχι πρὸς τὸ χειρότερο, ἀλλὰ πρὸς τὸ καλύτερο. Διότι τὸ «Οὐ φονεύσεις»[45], δὲν καταργήθηκε, ἀλλ' ἐπεξετάθη· καὶ τὸ «Οὐ μοιχεύσεις»[45], δὲν ἐξαφανίσθηκε, ἀλλ' ἔλαβε μεγαλύτερη διάσταση. Γι' αὐτὸ ἔλεγε, «Δὲν ἦλθα νὰ καταργήσω τὸ νόμο ἢ τοὺς προφῆτες, ἀλλὰ νὰ τὰ συμπληρώσω»[46]. Διότι ἐκεῖνος ποὺ δὲν ὀργίζεται, πολὺ περισσότερο θ' ἀποφύγει τὸ φόνο· καὶ ἐκεῖνος ποὺ δὲν βλέπει μὲ μάτια ἀκόλαστα, θὰ σταθεῖ μακρύτερα ἀπὸ τὴ μοιχεία. Ὁ νόμος λοιπὸν αὐτὸ πρὸ πάντων τὸ ἐξαίρετο ἔχει, τὸ ἀθάνατο, τὸ αἰώνιο, καὶ ὁ

*φυσικός, καὶ ὁ τῆς φιλοσοφίας, καὶ τῆς Καινῆς Διαθήκης. Διό φησιν· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελεύσονται», τὸ ἀκίνητον αὐτῶν δηλῶν. Πάντα ὅσα ἂν βούληται μένειν ὁ Θεός, μένει διηνεκῶς, καὶ οὐδέν ἐστι τὸ κινοῦν αὐτά.*

*«Πεποιημένα ἐν ἀληθείᾳ καὶ εὐθύτητι». Τί ἐστιν, «Ἐν ἀληθείᾳ καὶ εὐθύτητι»; Οὐδὲν αὐταῖς, φησί, σκολιόν, οὐδὲν στραγγαλιῶδες, οὐδὲν ἀσαφές, οὐδὲν πρὸς χάριν τινὰ ἢ ἀπέχθειαν, ἀλλὰ πάντα πρὸς τὸ συμφέρον καὶ λυσιτελές· οὐ καθάπερ οἱ ἀνθρώπινοι νόμοι, πολὺ μὲν ἔχοντες τὸ ἐπίκηρον, πολὺ δὲ τὸ ἀσαφές, πολὺ δὲ τὸ ἀνθρώπινον. Καὶ γὰρ ἀπὸ ἀνθρωπίνων παθῶν πολλοὶ πολλάκις ἐτέθησαν. Καὶ γὰρ τὸν ἐχθρὸν ἀμυνόμενος, ἢ φίλῳ χαρίζεσθαι βουλόμενος, οὕτω τὰ γράμματα συνέθηκεν. Ἀλλ' οὐχ οἱ θεῖοι τοιοῦτοι, ἀλλ' ἡλίου φαιδρότεροι μένουσι, τὸ συμφέρον τῶν νομοθετουμένων ἐπιζητοῦντες, καὶ πρὸς ἀρετὴν αὐτοὺς ἐπανάγοντες, καὶ πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν, οὐ πρὸς τὰ ψευδῆ ταῦτα, πλοῦτον λέγω καὶ δυναστείαν (ταῦτα γὰρ ψευδῆ, τὰ δὲ τοῦ Θεοῦ ἀλήθεια), οὐχ ὅπως γένοιτο εὐπορώτεροι, οὐδ' ὅπως τῶν παρόντων ἐπιτύχοιεν, ἀλλ' ὅπως τῶν μελλόντων ἀπολαύσαιεν, διδάσκοντες. Περὶ τῶν ἀληθῶν πραγμάτων καὶ ὀρθῶν, καὶ οὐδὲν ἐχόντων διεστραμμένον, ἅπαντα εἶπον ἐκεῖνοι οἱ νόμοι.*

*«Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ». Τί ἐστι, «Πισταί»; Βέβαιαι, μένουσαι. Κἂν γὰρ παραβῶσιν, αἱ τιμωρίαι ἕπονται, καὶ αὗται οὐ σαλεύονται· εἰ δὲ ἄνθρωποι παραβῶσιν, ἀλλ' ὁ Θεὸς αὐτὰς ἐκδικεῖ. Μὴ τοίνυν λέγε, ὅτι πρὸς ἀπειλὴν εἴ-*

---

47. Ματθ. 24. 35.

νόμος τῆς κτίσεως καὶ ὁ φυσικὸς καὶ ὁ νόμος τῆς φιλοσοφίας καὶ τῆς Καινῆς Διαθήκης. Γι' αὐτὸ λέγει· «Ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ ἐξαφανισθοῦν, οἱ λόγοι μου ὅμως θὰ ἐξακολουθοῦν νὰ ἔχουν τὴν ἰσχύ τους»[47], φανερώνοντας τὸ ἀμετακίνητο αὐτῶν. Διότι ὅλα ὅσα θέλει ὁ Θεὸς νὰ μένουν ἀσάλευτα, παραμένουν αἰώνια καὶ τίποτε δὲν ὑπάρχει ποὺ νὰ τὰ μετακινεῖ.

«Διότι συντάχθηκαν μὲ ἀλήθεια καὶ εὐθύτητα». Τί σημαίνει, «Ἐν ἀληθείᾳ καὶ εὐθύτητι»; Τίποτε, λέγει, δὲν ὑπάρχει σ' αὐτὲς παράλογο, οὔτε στραβό, οὔτε ἀσαφές, οὔτε χαριστικὸ ἢ ἐκδικητικό, ἀλλ' ὅλα ἔχουν σὰν στόχο τὸ συμφέρον καὶ τὴν ὠφέλεια· ὄχι ὅπως ἀκριβῶς οἱ ἀνθρώπινοι νόμοι, ποὺ ἔχουν πολὺ τὸ πρόσκαιρο, πολὺ τὸ ἀσαφὲς καὶ πολὺ τὸ ἀνθρώπινο. Καθόσον πολλὲς φορὲς πολλοὶ νόμοι θεσπίσθηκαν ἀπὸ ἀνθρώπινα πάθη. Διότι ὁ νομοθέτης θέσπισε τὸ νόμο θέλοντας ἢ τὸν ἐχθρὸ νὰ πολεμήσει ἢ νὰ φανεῖ ἀρεστὸς σὲ φίλο. Ὅμως δὲν εἶναι τέτοιοι οἱ θεῖοι νόμοι, ἀλλὰ παραμένουν λαμπρότεροι καὶ ἀπὸ τὸν ἥλιο, ἀποβλέποντας στὸ συμφέρον ἐκείνων γιὰ τοὺς ὁποίους θεσπίσθηκαν, τοὺς ὁδηγοῦν πρὸς τὴν ἀρετὴ καὶ πρὸς τὴν ἀλήθεια τῶν πραγμάτων, καὶ ὄχι πρὸς τὰ ψευδὴ αὐτὰ πράγματα, ἐννοῶ τὸν πλοῦτο καὶ τὴν ἐξουσία (διότι αὐτὰ εἶναι ψεύτικα, ἐνῶ τὰ τοῦ Θεοῦ εἶναι ἀληθινά), ὄχι τὸ πῶς νὰ γίνουν πλουσιώτεροι, οὔτε τὸ πῶς νὰ ἐπιτύχουν τὰ παρόντα πράγματα, ἀλλὰ τὸ πῶς ν' ἀπολαύσουν τὰ μελλοντικά. Ὅλες οἱ ἐντολὲς τῶν νόμων ἐκείνων ἀναφέρονται στὰ ἀληθινὰ καὶ ὀρθὰ πράγματα, ποὺ δὲν ἔχουν τίποτε τὸ διεστραμμένο.

«Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ». Τί σημαίνει, «πισταί»; Σταθερές, ἀμετακίνητες. Διότι, καὶ ἂν ἀκόμη τὶς παραβοῦν, ἀκολουθοῦν οἱ τιμωρίες καὶ αὐτὲς μένουν ἀπαρασάλευτες· ἂν δὲ τὶς παραβοῦν οἱ ἄνθρωποι, ὅμως ὁ Θεὸς τιμωρεῖ αὐτὲς τὶς παραβάσεις. Μὴ λοιπὸν λέγεις, ὅτι τὰ λόγια αὐτὰ λέχθηκαν γι' ἀπειλή, ἢ ὅτι εἶναι ὑπερβολικά.

ρηται τὰ εἰρημένα, ἢ ὑπερβολικῶς. Οὐδεὶς νομοθετῶν πρὸς ἀπειλὴν λέγει μόνον, ἀλλὰ καὶ πρὸς σωφρονισμόν. Εἰ δὲ οὐ σφόδρα πιστεύεις ὑπὲρ τῶν μελλόντων, ἀπὸ τῶν παρελθόντων λάμβανε τὴν ἀπόδειξιν. Ὁ γοῦν ἐπὶ τοῦ Νῶε κατακλυσμός, καὶ ἡ ἐπὶ τῶν Σοδόμων πυρπόλησις, καὶ ἡ ἐπὶ τοῦ Φαραὼ ἀπώλεια, καὶ ἡ τῶν Ἰουδαίων πανωλεθρία, καὶ αἱ αἰχμαλωσίαι, καὶ οἱ πόλεμοι, ἆρα ἀπειλῆς εἰσιν, ἢ πείρας πραγμάτων; Εἰ δὲ τὰ ἐν τῷ τύπῳ γέγονε, πολλῷ μᾶλλον τὰ ἐν τῇ ἀληθείᾳ, ὅσῳ καὶ μείζων ἡ πονηρία τῶν αὐτοῖς τετολμημένων μετὰ τοσαύτην θεραπείαν καὶ διόρθωσιν.

«Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ». Κατὰ μὲν τὴν ἱστορίαν, τὴν τῶν Ἰουδαίων ἐλευθερίαν φησί, κατὰ δὲ τὴν ἀναγωγήν, τὴν τῆς οἰκουμένης, ὃ καὶ τὸ ἑξῆς δηλοῖ· «Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ». Τὴν Καινὴν ἐνταῦθα λέγει· ἐπειδὴ γὰρ ἐντολῆς ἐμνήσθη καὶ νόμου, οὗτος δὲ παρεβάθη καὶ εἰργάσατο ὀργήν, φησίν, ὅτι «Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ», καθάπερ καὶ αὐτὸς ἔλεγεν· «Οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον». Ἐπειδὴ γὰρ παραβαινόμενος ὁ νόμος ἐκόλαζεν, «Ὁ γὰρ νόμος ὀργήν», φησί, «κατεργάζεται· οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις», καί, «Πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι», διὰ τοῦτο οὕτως εἶπε· «Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ». Ἀλλ' ὅμως οὐδὲ ἡ λύτρωσις ἁπλῶς, ἀλλὰ μετὰ τὴν λύτρωσιν καὶ νόμος, ἵνα τῆς χάριτος ἀξίαν ἐπιδειξώμεθα τὴν πολιτείαν.

7. «Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ». Ἐπειδὴ γὰρ ἐνενόησεν ἅπαντα τὰ ἀνακηρύττοντα αὐτοῦ τὴν κηδεμονίαν,

48. Τύπος εἶναι ὁ νόμος τῆς Π. Διαθήκης, ἀλήθεια δὲ εἶναι ὁ νόμος τῆς Κ. Διαθήκης.
49. Ἰω. 12, 47.
50. Ρωμ. 4, 15.
51. Ρωμ. 3, 23 - 24.

Κανεὶς δὲν θεσπίζει νόμους μόνο γι' ἀπειλή, ἀλλὰ καὶ γιὰ σωφρονισμό. Ἂν ὅμως δὲν πιστεύεις πάρα πολὺ γιὰ τὰ μελλοντικὰ πράγματα, παίρνε τὴν ἀπόδειξη ἀπὸ τὰ γεγονότα τοῦ παρελθόντος. Διότι ὁ κατακλυσμὸς ποὺ συνέβηκε κατὰ τὴν ἐποχὴ τοῦ Νῶε, ἡ πυρπόληση τῶν Σοδόμων, ἡ καταστροφὴ τοῦ Φαραώ, ἡ πανωλεθρία τῶν Ἰουδαίων, οἱ αἰχμαλωσίες καὶ οἱ πόλεμοι, ἄραγε εἶναι ἀπειλὲς ἢ εἶναι πραγματικὰ γεγονότα; Ἂν δὲ πραγματοποιήθηκαν τὰ ὅσα ἀναφέρονται στὸ νόμο τοῦ τύπου, πολὺ περισσότερο ἔγιναν καὶ θὰ γίνουν τὰ ὅσα ἀναφέρονται στὸ νόμο τῆς ἀλήθειας[48], τόσο περισσότερο, ὅσο μεγαλύτερη εἶναι ἡ κακία αὐτῶν ποὺ ἔπραξαν αὐτὰ μετὰ ἀπὸ τόση θεραπεία καὶ διόρθωση.

«Λύτρωση ἀπέστειλε ὁ Κύριος στὸ λαό του». Ἀπὸ ἱστορικῆς πλευρᾶς ἐννοεῖ τὴν ἐλευθερία τῶν Ἰουδαίων, ἐνῶ ἀλληγορικὰ ἐννοεῖ τὴν ἐλευθερία τῆς οἰκουμένης, πράγμα ποὺ φανερώνει καὶ τὸ ἑξῆς· «Ἔδωσε τὴ διαθήκη του ποὺ ἡ ἰσχύ της εἶναι αἰώνια». Ἐδῶ ἐννοεῖ τὴν Καινὴ Διαθήκη· διότι, ἐπειδὴ μίλησε γιὰ ἐντολὴ καὶ νόμο, αὐτὸς δὲ παραβιάσθηκε καὶ προκάλεσε ὀργή, λέγει, ὅτι «Ἀπέστειλε λύτρωση στὸ λαό του», ὅπως ἀκριβῶς καὶ ὁ Κύριος ἔλεγε· «Δὲν ἦλθα γιὰ νὰ κρίνω τὸν κόσμο, ἀλλὰ γιὰ νὰ σώσω τὸν κόσμο»[49]. Ἐπειδὴ δηλαδὴ παραβαινόμενος ὁ νόμος τιμωροῦσε, «Διότι», λέγει, «ὁ νόμος προκαλεῖ τὴν ὀργὴ πρὸς ἐκείνους ποὺ τὸν παραβαίνουν, ὅπου δὲ δὲν ὑπάρχει νόμος, δὲν ὑπάρχει οὔτε παράβαση»[50], καὶ «Ὅλοι ἁμάρτησαν καὶ στεροῦνται τὴ δόξα τοῦ Θεοῦ, δικαιώνονται δὲ δωρεὰ μὲ τὴ χάρη αὐτοῦ»[51], γι' αὐτὸ εἶπε αὐτὰ τὰ λόγια· «Λύτρωση ἀπέστειλε ὁ Κύριος στὸ λαό του». Ἀλλ' ὅμως οὔτε ἡ λύτρωση δόθηκε ἁπλῶς, ἀλλὰ μετὰ τὴ λύτρωση δόθηκε καὶ νόμος, γιὰ νὰ παρουσιάσουμε τρόπο ζωῆς ἀντάξιο τῆς χάριτος.

7. «Ἅγιο καὶ φοβερὸ εἶναι τὸ ὄνομά του». Ἐπειδὴ δηλαδὴ κατανόησε ὅλα ἐκεῖνα ποὺ διακηρύσσουν τὴν κηδε-

*τὴν πρόνοιαν, τὴν ἐν τῇ Παλαιᾷ, τὴν ἐν τῇ Καινῇ, τὴν ἐν τοῖς ἔργοις, τὴν διὰ τῶν ἐντολῶν, τὴν διὰ τῶν θαυμάτων, τὴν διὰ τῶν τεραστίων, ἔθνους γενόμενος καὶ ἐκπλαγεὶς αὐτοῦ τὴν μεγαλωσύνην, εἰς δοξολογίαν καταλύει τὸν λόγον, ὕμνον ἀναφέρων εἰς τὸν ταῦτα πεποιηκότα. «Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ»· τουτέστιν, ἐκπλήξεως γέμον, θαύματος πολλοῦ. Εἰ δὲ τὸ ὄνομα αὐτοῦ, πόσῳ μᾶλλον ἡ οὐσία; Πῶς δὲ τὸ ὄνομα αὐτοῦ ἅγιον καὶ φοβερόν; Δαίμονες αὐτὸ τρέμουσι, νοσήματα αὐτὸ δέδοικε, τούτῳ κεχρημένοι τῷ ὀνόματι οἱ ἀπόστολοι τὴν οἰκουμένην κατώρθωσαν ἅπασαν. Τούτῳ ὁ Δαυὶδ ἀντὶ ὅπλου χρησάμενος, τὸν βάρβαρον ἐκεῖνον κατήνεγκε· τούτῳ τὰ μυρία κατωρθώθη πράγματα· τούτῳ τὴν ἱερὰν μυσταγωγούμεθα μυσταγωγίαν. Ἐννοῶν τοίνυν ὅσα ἐργάζεται θαύματα τὸ ὄνομα αὐτοῦ, ὅσας εὐεργεσίας, πῶς τοὺς ἐναντίους διαλύει, πῶς τοὺς οἰκείους ἀσφαλίζεται, καὶ πράγματα ἀναλογιζόμενος ὑπερβαίνοντα φύσεως ἀκολουθίαν καὶ νικῶντα λογισμὸν ἀνθρώπων, φησίν· «Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ». Εἰ δὲ ἅγιον, ἁγίων δεῖται στομάτων πρὸς ὑμνολογίαν, ἁγίων καὶ καθαρῶν.*

*«Ἀρχὴ σοφίας φόβος Κυρίου. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν». Τί ἐστιν, «ἀρχή»; Πηγή, ῥίζα, ὑπόθεσις. Ἐπειδὴ γὰρ τοσαῦτα καὶ τηλικαῦτα εἶπε περὶ τοῦ τῆς οἰκουμένης Δεσπότου, καὶ τοσαύτης ἐκπλήξεως ἐνεπλήσθη, ἐπάγει τοῦτο ἀκολούθως, λοιπὸν δεικνύς, ὅτι ὁ τοῦτον φοβούμενος πάσης ἐμπίμπλαται σοφίας, καὶ συνετὸς γίνεται. Εἶτα, ἵνα μή τις νομίσῃ μέχρι τῆς γνώσεως εἶναι τὰ τῆς σοφίας, ἐπήγαγε· «Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν». Οὐ γὰρ ἀρκεῖ πίστις, ἂν μὴ προσῇ καὶ πολιτεία τῇ πίστει συμβαί-*

μονία του καὶ τὴν πρόνοια ποὺ ἔδειξε στὴν Π. Διαθήκη, στὴν Καινή, στὰ δημιουργήματά του καὶ ὅπως αὐτὴ φανερώθηκε μὲ τὶς ἐντολές, τὰ θαύματα καὶ τὰ καταπληκτικὰ ἔργα του, κυριευθεὶς ἀπὸ ἐνθουσιασμὸ καὶ ἐκπλαγεὶς ἀπὸ τὴ μεγαλωσύνη του, τελειώνει τὸ λόγο του μὲ δοξολογία, ἀναφέροντας ὕμνο σ' ἐκεῖνον ποὺ ἔκαμε ὅλα αὐτά. «Εἶναι ἅγιο καὶ φοβερὸ τὸ ὄνομά του»· δηλαδὴ εἶναι γεμάτο ἀπὸ ἔκπληξη καὶ πολὺ θαυμασμό. Ἂν δὲ εἶναι ἀξιοθαύμαστο τὸ ὄνομά του, πόσο περισσότερο εἶναι ἡ οὐσία του; Πῶς δὲ τὸ ὄνομά του εἶναι ἅγιο καὶ φοβερό; Οἱ δαίμονες τὸ τρέμουν, τὰ νοσήματα τὸ φοβοῦνται, αὐτὸ τὸ ὄνομα χρησιμοποιώντας οἱ ἀπόστολοι κατόρθωσαν νὰ σαγηνεύσουν ὅλη τὴν οἰκουμένη. Αὐτὸ τὸ ὄνομα χρησιμοποιήσας καὶ ὁ Δαυὶδ σὰν ὅπλο, συνέτριψε ἐκεῖνον τὸν βάρβαρο· μὲ αὐτὸ τὸ ὄνομα κατορθώθηκαν τὰ ἀμέτρητα κατορθώματα· μὲ αὐτὸ καθοδηγούμεθα στὴν ἱερὴ μυσταγωγία. Σκεπτόμενος λοιπὸν τὰ ὅσα ἀξιοθαύμαστα κατορθώνει τὸ ὄνομά του, τὶς ὅσες εὐεργεσίες, τὸ πῶς διαλύει τοὺς ἀντιπάλους, τὸ πῶς διασφαλίζει ἐκείνους ποὺ τὸ ἀγαποῦν, καὶ ἀναλογιζόμενος τὰ πράγματα ἐκεῖνα ποὺ ὑπερβαίνουν τοὺς φυσικοὺς νόμους καὶ νικοῦν τὸν ἀνθρώπινο λογισμό, λέγει· «Εἶναι ἅγιο καὶ φοβερὸ τὸ ὄνομά του». Ἂν δὲ εἶναι ἅγιο, χρειάζεται ἅγια στόματα πρὸς ὑμνολογία, ἅγια καὶ καθαρά.

«Ὁ φόβος ποὺ ἐμπνέει τὸ ὄνομα τοῦ Κυρίου εἶναι ἀρχὴ τῆς σοφίας, ἡ δὲ σύνεση εἶναι ἀγαθὴ καὶ ὠφέλιμη σ' ὅλους ἐκείνους ποὺ τὴν ἐφαρμόζουν». Τί σημαίνει, «ἀρχή»; Σημαίνει πηγή, ρίζα, βάση. Διότι, ἐπειδὴ ἀνέφερε τόσα πολλὰ καὶ τόσα μεγάλα πράγματα γιὰ τὸν Κύριο τῆς οἰκουμένης καὶ κυριεύθηκε ἀπὸ τόσο μεγάλη ἔκπληξη, προσθέτει στὴ συνέχεια αὐτό, γιὰ νὰ δείξει πλέον, ὅτι ἐκεῖνος ποὺ φοβεῖται αὐτὸν ἀποκτᾶ ὅλη τὴν ἀληθινὴ σοφία καὶ γίνεται συνετός. Ἔπειτα, γιὰ νὰ μὴ νομίσει κανεὶς ὅτι τὰ ἀγαθὰ τῆς σοφίας φθάνουν μόνο μέχρι τὴ γνώση, πρόσθεσε· «*Ἡ δὲ σύνεση εἶναι ἀγαθὴ καὶ ὠφέλιμη σ' ὅλους ἐ-*

νουσα. Πῶς δὲ «ἀρχὴ σοφίας φόβος Κυρίου»; Πάσης ἀπαλλάττει πονηρίας, πᾶσαν ἀρετὴν κατορθοῖ. Σοφίαν δὲ οὐ τὴν ἐν ῥήμασιν, ἀλλὰ τὴν ἐν πράγμασι λέγει. Ἐπεὶ καὶ οἱ ἔξωθεν σοφίαν τοῦτο ὡρίσαντο, θείων καὶ ἀνθρωπίνων πραγμάτων διάγνωσιν. Ταύτην δὲ τὴν τέχνην ὁ τοῦ Θεοῦ φόβος διδάσκει, πονηρίαν ἀνελών, ἀρετὴν φυτεύων, τῶν παρόντων ὑπερορᾶν παρασκευάζων, πρὸς τὸν οὐρανὸν μεθιστάς. Τί δὲ τῆς τοιαύτης ψυχῆς σοφώτερον; Οὐ τὸν ἀκροατὴν δὲ ἐνταῦθα ζητεῖ μόνον, ἀλλὰ καὶ τὸν ποιητήν. «Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν»· τουτέστι, τοῖς ποιοῦσι τὴν σοφίαν, καὶ διὰ τῶν ἔργων ἐπιδεικνυμένοις, σύνεσις ἀγαθή. Σύνεσις εἶπεν ἀγαθή, ὅτι ἐστὶ καὶ σύνεσις πονηρά, ὡς ὅταν λέγῃ· «Σοφοί εἰσι τοῦ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι οὐκ ἔγνωσαν». Ἀλλ' αὐτὸς τὴν ἐπὶ τῆς ἀρετῆς σύνεσιν ζητεῖ.

«Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ποία αἴνεσις; εἰπέ μοι. Ἡ εὐχαριστία, ἡ δοξολογία, ἡ διὰ τῶν ἔργων γενομένη ἀθάνατος, καὶ πρὸ τούτων, αὐτὴ ἡ τῇ οὐσίᾳ αὐτοῦ συγκεκληρωμένη. Ἀθάνατος μὲν γὰρ ὁ Θεός, καὶ καθ' ἑαυτὸν σφόδρα αἰνετός· αἰνετὸς δὲ καὶ ὅταν ἐννοήσῃς τὴν μεγαλωσύνην αὐτοῦ καὶ τὰ ἄλλα πάντα· αἰνετὸς καὶ διὰ τῶν ἔργων, ὅταν ἴδῃς αὐτοῦ τὴν σοφίαν διὰ τῶν δρωμένων. Ταῦτα δὲ λέγει εἰς εὐχαριστίαν προτρέπων, καὶ δεικνὺς οὐδεμιᾶς συγγνώμης ὄντας ἀξίους, οὐδὲ τῆς τυχούσης, τοὺς δυσχεραίνοντας πρὸς τὰ γενόμενα. Ὅταν γὰρ ἡ αἴνεσις αὐτοῦ, καὶ ἡ εὐχαριστία, καὶ ἡ δοξολογία οὕτως ᾖ φανερά, καὶ δήλη, καὶ σαφής, καὶ ἀκίνητος, καὶ πεπηγυῖα, καὶ μονίμη,

52. Ἱερ. 4, 22.

κείνους πού τήν ἐφαρμόζουν». Διότι δὲν ἀρκεῖ ἡ πίστη, ὄν δὲν συνυπάρχει καὶ τρόπος ζωῆς πού νὰ εἶναι σύμφωνος μὲ τὴν πίστη. Πῶς δὲ «ὁ φόβος Κυρίου εἶναι ἀρχὴ σοφίας»; Ἀπαλλάσσει ἀπὸ κάθε κακία, καὶ κατορθώνει κάθε εἶδος ἀρετῆς. Σοφία δέ δὲν ὀνομάζει τὰ σοφὰ λόγια, ἀλλὰ τὸν ὀρθὸ τρόπο ζωῆς. Διότι καὶ οἱ ἐθνικοὶ σὰν σοφία αὐτό ὅρισαν, τὴ διάγνωση τῶν θείων καὶ τῶν ἀνθρωπίνων πραγμάτων. Αὐτήν δὲ τὴν τέχνη διδάσκει ὁ φόβος τοῦ Θεοῦ, ξερριζώνοντας τὴν κακία, φυτεύοντας τὴν ἀρετή, προετοιμάζοντας τὴν περιφρόνηση τῶν παρόντων πραγμάτων καὶ μεταφέροντας πρός τόν οὐρανό. Τί δὲ ὑπάρχει σοφώτερο ἀπὸ μιὰ τέτοια ψυχή; Δὲν ζητεῖ δὲ ἐδῶ μόνο ν' ἀκούει κανεὶς τοὺς λόγους, ἀλλὰ καὶ νὰ τοὺς ἐφαρμόζει. «Ἡ σύνεση εἶναι ὠφέλιμη σ' ὅλους ἐκείνους πού τὴν ἐφαρμόζουν»· ἡ σύνεση εἶναι ὠφέλιμη σ' ἐκείνους πού ἐφαρμόζουν τὴ σοφία καὶ τὴν ἐπιδεικνύουν μὲ ἔργα. Εἶπε «σύνεση ἀγαθή» ἐπειδὴ ὑπάρχει καὶ σύνεση κακή, ὅπως ὅταν λέγει· «Εἶναι σοφοὶ γιά νὰ κακοποιοῦν, δὲν γνωρίζουν ὅμως νὰ κάμνουν τὸ καλό»[52]. Ἀλλ' αὐτὸς ζητεῖ τὴ σύνεση πού συνοδεύεται ἀπὸ ἀρετή.

«Ἡ αἴνεση αὐτοῦ παραμένει αἰώνια». Ποιὰ αἴνεση; Πές μου. Ἡ εὐχαριστία, ἡ δοξολογία, αὐτὴ πού μὲ τὰ ἔργα ἔγινε ἀθάνατη, καὶ πρὶν ἀπὸ ὅλα αὐτά. αὐτὴ πού εἶναι ἑνωμένη μὲ τὴν οὐσία του. Διότι ὁ Θεός εἶναι ἀθάνατος καὶ εἶναι καθ' ἑαυτόν ἄξιος πάρα πολὺ μεγάλης δοξολογίας· ἄξιος δὲ δοξολογίας εἶναι καὶ ὅταν κατανοήσεις τὴ μεγαλωσύνη του καὶ ὅλα τὰ ἄλλα· ἄξιος δοξολογίας δὲ εἶναι καὶ ἐξ αἰτίας τῶν ἔργων του, ὅταν διαπιστώσεις τὴ σοφία του μέσα ἀπὸ τὰ ὁρατὰ δημιουργήματά του. Αὐτὰ δὲ τὰ λέγει γιά νὰ προτρέψει σὲ εὐχαριστία καὶ νὰ δείξει ὅτι δὲν εἶναι ἄξιοι καμιᾶς συγγνώμης, οὔτε τῆς ἐλάχιστης, ἐκεῖνοι πού δυσανασχετοῦν γιά τὰ ὅσα ἔγιναν. Διότι, ὅταν ἡ αἴνεση αὐτοῦ καὶ ἡ εὐχαριστία καὶ ἡ δοξολογία εἶναι τόσο φανερὴ καὶ ὁρατὴ καὶ σαφὴς καὶ ἀκλόνητη καὶ σταθερὴ

*ὡς καὶ ἀθάνατος εἶναι, ἀπέραντος καὶ ἀτελεύτητος, ἐκεῖνοι δὲ ταύτην ἀγνοοῦντες τἀναντία φθέγγωνται, οὐδὲν ἕτερον ἢ πρὸς τὰ ἡλίου σφόδρα σαφέστερα ἀντιλέγουσι, καὶ ἑκόντες τυφλώττουσιν. Οὐδὲ γὰρ πρόσκαιρός ἐστιν, ἵνα ἀγνοήσωσιν, οὔτε ἀμαυρά τις καὶ ἀσαφής, ἀλλὰ καὶ δήλη, καὶ διηνεκὴς καὶ ἀθάνατος, ἀεὶ μένουσα, καὶ τέλος οὐδέποτε ἔχουσα.*

καὶ μόνιμη, ὥστε νὰ εἶναι καὶ ἀθάνατη καὶ ἀπέραντη καὶ ἀτέλειωτη, ἐκεῖνοι δέ, παραβλέποντας αὐτήν, διακηρύσσουν τὰ ἀντίθετα, δὲν κάμνουν τίποτε ἄλλο, παρὰ ν' ἀντιλέγουν πρὸς ἐκεῖνα ποὺ εἶναι πολὺ πιὸ σαφέστερα ἀπὸ τὸν ἥλιο καὶ ἀπὸ μόνοι τους καθιστοῦν τυφλοὺς τοὺς ἑαυτούς τους. Καθόσον δὲν εἶναι πρόσκαιρη, γιὰ νὰ τὴν ἀγνοήσουν, οὔτε σκοτεινὴ καὶ ἀσαφής, ἀλλ' εἶναι καὶ φανερὴ καὶ διαρκὴς καὶ ἀθάνατη, παραμένει αἰώνια καὶ δὲν ἔχει ποτὲ τέλος.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΙΑ΄ ΨΑΛΜΟΝ[1]

«Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον».

1. Σφόδρα μοι δοκεῖ τῷ τέλει τοῦ πρὸ τούτου ψαλμοῦ ἕπεσθαι τὸ προοίμιον καὶ ὥσπερ ἓν σῶμα εἶναι συνεχὲς καὶ συνημμένον. Ἐκεῖ μὲν γάρ φησιν, «Ἀρχὴ σοφίας φόβος Κυρίου», ἐνταῦθα δέ, «Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον», ἑτέροις μὲν ῥήμασι, τοῖς δὲ αὐτοῖς νοήμασι παιδεύων τοῦ Θεοῦ τὸν φόβον. Ἐκεῖ μὲν γὰρ αὐτὸν σοφὸν ἔφησεν εἶναι, ἐνταῦθα δὲ μακάριον· τὸ δὲ ὄντως μακάριον τοῦτο, ὡς τά γε ἄλλα πάντα ματαιότης καὶ σκιά, καὶ ψιλὰ πράγματα, κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν, κἂν σώματος ὥραν, κἂν χρημάτων περιβολήν. Φύλλοις γὰρ ἔοικε καταπίπτουσι, καὶ σκιαῖς παρατρεχούσαις, καὶ ὀνείρασιν ἀφιπταμένοις. Τὸ δὲ ὄντως μακάριον τοῦτο. Εἶτα, ἐπειδὴ καὶ δαίμονες δεδοίκασιν αὐτόν, καὶ φρίττουσιν, ἵνα μὴ νομίσῃς τοῦτο μόνον ἀρκεῖν εἰς σωτηρίαν, ὅπερ ἄνω πεποίηκε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Καθάπερ γὰρ ἐκεῖ εἰπών, «Ἀρχὴ σοφίας φόβος Κυρίου», ἐπήγαγε, «Σύνεσις ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν»[2], τοῖς δόγμασι τὴν συμβαίνουσαν πολιτείαν ἀναρτῶν, οὕτω δὴ καὶ ἐνταῦθα, εἰπὼν τὸν φόβον, οὐκ ἐκεῖνον μόνον λέγει τὸν ἀπὸ τῆς γνώσεως, ὃν καὶ δαίμονες ἔχουσιν, ἀλλὰ καὶ τοῦτο προστίθησιν λέγων ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα».

---

1. Ὁ ψαλμὸς αὐτός, τοῦ ὁποίου ο συγγραφέας εἶναι ἄγνωστος, ἀποτελεῖ ὡραῖο ἐγκώμιο τοῦ δικαίου καὶ ἐξαίρει τὰ ἔργα καὶ τὴν ἀμοιβὴ αὐτοῦ. Ὁ φόβος τοῦ Κυρίου εἶναι ἡ ἀρχὴ καὶ ἡ βάση τῆς ἀληθινῆς σοφίας.

2. Ψαλμ. 110, 10.

# Ο Μ Ι Λ Ι Α
# ΣΤΟΝ ΡΙΑ΄ ΨΑΛΜΟ[1]

«Μακάριος είναι ὁ ἄνθρωπος ἐκεῖνος πού φοβεῖται τόν Κύριο».

1. Μοῦ φαίνεται ὅτι τό προοίμιο συνδέεται στενά μέ τό τέλος τοῦ προηγουμένου ψαλμοῦ, καί εἶναι σάν ν' ἀποτελεῖ ἕνα συνεχές καί στενά συνδεδεμένο σῶμα. Διότι ἐκεῖ μέν λέγει, «Ἀρχή σοφίας φόβος Κυρίου»[2], ἐδῶ δέ, «Μακάριος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος πού φοβεῖται τόν Κύριο», μέ ἄλλα μέν λόγια, ἀλλά μέ τά ἴδια νοήματα διδάσκει τό φόβο τοῦ Θεοῦ. Καθόσον ἐκεῖ μέν ὀνόμασε τό φόβο σοφό, ἐνῶ ἐδῶ μακάριο· τό δέ πραγματικά μακάριο εἶναι αὐτό, διότι ὅλα τ' ἄλλα εἶναι ματαιότης καί σκιά καί χωρίς περιεχόμενο πράγματα, εἴτε ἀναφέρεις τόν πλοῦτο, εἴτε τήν ἐξουσία, εἴτε τή σωματική ὡραιότητα, εἴτε τήν ἀπόκτηση χρημάτων. Διότι μοιάζουν μέ φύλλα πού πέφτουν, μέ σκιές πού φεύγουν καί χάνονται καί μέ ὄνειρα πού πετοῦν. Ὅμως τό πραγματικό μακάριο εἶναι αὐτό. Ἔπειτα, ἐπειδή καί οἱ δαίμονες τόν φοβοῦνται καί φρίττουν, γιά νά μή νομίσεις ὅτι αὐτό μόνο ἀρκεῖ γιά τή σωτηρία, ἐκεῖνο πού ἔκαμε προηγουμένως, αὐτό κάμνει καί ἐδῶ. Διότι, ὅπως ἀκριβῶς ἐκεῖ, ἀφοῦ εἶπε, «Ἀρχή σοφίας φόβος Κυρίου», πρόσθεσε, «Ἡ σύνεση εἶναι ὠφέλιμη σ' ὅλους ἐκείνους πού ἐφαρμόζουν τή σοφία», συνδέοντας μέ τά δόγματα τό σύμφωνο μ' αὐτά τρόπο ζωῆς, ἔτσι λοιπόν καί ἐδῶ, ἀφοῦ ἀνέφερε τό φόβο, δέν ἐννοεῖ μόνο ἐκεῖνον πού προέρχεται ἀπό τή γνώση, πού τόν ἔχουν καί οἱ δαίμονες, ἀλλά προσθέτει καί αὐτό, λέγοντας, «Αὐτός θά ποθήσει μέ ὅλη τή θέληση τῆς ψυχῆς του καί θά ἐκτελέσει τίς ἐντολές του». Αὐτό δέ τό

*Τοῦτο δὲ εἶπε, βίον ἀπαιτῶν καὶ πολιτείαν ἠκριβωμένην καὶ ψυχὴν φιλόσοφον.*

*Καὶ οὐκ εἶπε, 'τὰς ἐντολὰς αὐτοῦ ποιήσει', ἀλλά, «Θελήσει», ἕτερόν τι πλέον ἐπιζητῶν. Ποῖον δὴ τοῦτο; Τὸ μετὰ προθυμίας αὐτὰς ποιεῖν· τὸ ἐραστὰς αὐτῶν εἶναι σφοδρούς· τὸ μεταδιώκειν αὐτῶν τὰ ἐπιτάγματα· τὸ φιλεῖν αὐτάς, μὴ διὰ τὸν μισθὸν τὸν ὑπὲρ αὐτὸν κείμενον, ἀλλὰ διὰ τὸν θέντα αὐτάς· τὸ μεθ' ἡδονῆς μετιέναι τὴν ἀρετήν· τὸ μὴ φόβῳ γεέννης, μηδὲ ἀπειλῇ κολάσεως, μηδὲ ἐπαγγελίᾳ βασιλείας, ἀλλὰ διὰ τὸν νομοθετήσαντα. Καὶ ἀλλαχοῦ τοῦτο ποιεῖ, φησί, δεικνὺς τὴν ἡδονήν, ἣν ἔχει περὶ τὰ προστάγματα τοῦ Θεοῦ. «Ὡς γλυκεῖα τῷ λάρυγγί μου τὰ λόγια σου· ὑπὲρ μέλι τῷ στόματί μου». Τοῦτο καὶ Παῦλος ἐπιζητεῖ, αἰνιγματωδῶς οὕτω λέγων· «Ὥσπερ παρεστήσατε μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν». Τουτέστι, μεθ' ὅσης σπουδῆς, μεθ' ὅσης ἐπιθυμίας τὴν κακίαν ἐδιώκετε, καίτοι μηδὲν ἔπαθλον ἔχουσαν, ἀλλὰ κόλασιν μᾶλλον καὶ τιμωρίαν, μετὰ τοσαύτης διώξατε τὴν ἀρετήν. Ἀλλ' ὅμως καὶ τοῦτο σύμμετρον ἔφησεν ἀπαιτεῖν μέτρον. Μέλλων γὰρ ταῦτα λέγειν, οὕτως ἔφη, «Ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν», δεικνὺς ὅτι οὐ πολλῷ ἧττον ἐπιθυμίαν ἐπιδείκνυσθαι χρὴ περὶ τὴν ἀρετήν, ἢ περὶ τὴν κακίαν ἐπιδειξάμεθα.*

*Ὃ δὲ λέγει τοῦτό ἐστιν· εἰ γὰρ μὴ τὴν αὐτὴν ἐπιδείξωνται ἀρετήν, τίνα ἂν ἔχοιεν ἀπολογίαν ἢ συγγνώμην οἱ μηδὲ μετὰ τῆς αὐτῆς ἐπιθυμίας πρὸς ταύτην ἰόντες; Διὰ δὴ τοῦτο*

3. Ψαλμ. 118, 103.
4. Ρωμ. 6, 19.
5. Ρωμ. 4, 19.

εἶπε, ἐπειδὴ ἀπαιτεῖ βίο καὶ πολιτεία τέλεια καὶ ψυχὴ γεμάτη ἀπὸ εὐσέβεια.

Καὶ δὲν εἶπε, 'θὰ ἐκτελέσει τὶς ἐντολές του', ἀλλά, «Θὰ θελήσει μὲ πόθο», ἐπιζητώντας ἐπὶ πλέον κάτι ἄλλο. Ποιὸ λοιπὸν εἶναι αὐτό; Τὸ νὰ ἐπιδιώκουν νὰ ἐφαρμόζουν τὰ προστάγματα αὐτῶν, τὸ ν' ἀγαποῦν αὐτές, ὄχι ἐξ αἰτίας τοῦ μισθοῦ ποὺ ἐπιφυλάσσεται ἀπὸ αὐτὲς γι' αὐτούς, ἀλλ' ἐξ αἰτίας ἐκείνου ποὺ θέσπισε αὐτές· τὸ ν' ἀσκοῦν τὴν ἀρετὴ μὲ εὐχαρίστηση καὶ ὄχι ἐξ αἰτίας τοῦ φόβου τῆς γέεννας, οὔτε ἐξ αἰτίας τῆς ἀπειλῆς τῆς κολάσεως, οὔτε ἐξ αἰτίας τῆς ἐπαγγελίας τῆς οὐρανίου βασιλείας, ἀλλὰ πρὸς χάρη ἐκείνου ποὺ τὶς νομοθέτησε. Καὶ ἀλλοῦ, λέγει, τὸ κάμνει αὐτό, γιὰ νὰ δείξει τὴν εὐχαρίστηση ποὺ νοιώθει γιὰ τὰ προστάγματα τοῦ Θεοῦ. «Πόσο γλυκὰ εἶναι τὰ λόγια σου στὸ λάρυγγά μου, πολὺ πιὸ γλυκὰ ἀπὸ τὸ μέλι στὸ στόμα μου»[3]. Αὐτὸ ἐπιζητεῖ καὶ ὁ Παῦλος, λέγοντας κατὰ τρόπο αἰνιγματικὸ τὰ ἑξῆς· «Ὅπως ἀκριβῶς ἀφήσατε τὰ μέλη σας νὰ γίνουν δοῦλα στην ἀκαθαρσία καὶ στὴν ἀνομία γιὰ νὰ πράττετε τὴν ἀνομία, ἔτσι καταστήσατε τὰ μέλη σας δοῦλα στὴ δικαιοσύνη γιὰ νὰ προοδεύετε στὴν ἁγιότητα»[4]. Δηλαδὴ μὲ ὅση προθυμία, μὲ ὅση ἐπιθυμία ἐπιδιώκατε νὰ πράττετε τὴν ἀδικία, ἂν καὶ αὐτὴ δὲν προσφέρει καμιὰ ἀμοιβή, ἀλλὰ μᾶλλον κόλαση καὶ τιμωρία, μὲ τόση προθυμία ἐπιδιώξατε τὴν ἀρετή. Ἀλλ' ὅμως καὶ αὐτὸ εἶπε ὅτι ἀπαιτεῖ ἰσοδύναμη προσπάθεια. Διότι θέλοντας νὰ πεῖ αὐτά, εἶπε τὰ ἑξῆς, «Ὁμιλῶ μὲ τὸν ἀνθρώπινο τρόπο ἐξ αἰτίας τῆς ἀσθενείας τῆς σάρκας σας»[5], γιὰ νὰ δείξει ὅτι πρέπει νὰ δείχνουμε ὄχι μικρότερη ἐπιθυμία γιὰ τὴν ἄσκηση τῆς ἀρετῆς, ἀπὸ ἐκείνη ποὺ δείξαμε γιὰ τὴν ἄσκηση τῆς κακίας.

Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἂν λοιπὸν δὲν δείξουν τὴν ἴδια ἀρετή, ποιὰ ἀπολογία ἢ συγγνώμη θὰ μποροῦσαν νὰ εἶχαν ἐκεῖνοι ποὺ δὲν βαδίζουν πρὸς αὐτὴ μὲ τὴν ἴδια ἐπιθυμία; Γι' αὐτὸ λοιπὸν καὶ αὐτὸς ὁ προφή-

*καὶ ὁ προφήτης εἶπεν οὕτως· «Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα»· ὁ γὰρ φοβούμενος αὐτὸν ὡς χρή, τὰ ἐπιτάγματα αὐτοῦ μετὰ πολλῆς δέχεται τῆς ἐπιθυμίας. Διόπερ ὁ περὶ τὸν νομοθέτην ἔρως προσηνῆ ποιεῖ τὸν νόμον, κἂν δυσκολίαν δοκῇ ἔχειν τινά. Καὶ μηδεὶς καταγνῷ τοῦ λόγου, εἰ τοιούτῳ κέχρημαι παραδείγματι· καὶ γὰρ καὶ Παῦλος ἐχρήσατο αὐτῷ οὕτως εἰπών· «Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω παραστήσατε δοῦλα τῇ δικαιοσύνῃ». Ὁ τοίνυν πόρνης ἐρῶν, κἂν ὑβρίζηται, κἂν λοιδορῆται, κἂν τύπτηται, κἂν ἀσχημονῇ, κἂν τῆς πατρίδος ἐκβάλληται, καὶ τῆς πατρῴας οὐσίας, κἂν τῆς εὐνοίας τοῦ πατρός, κἂν ἕτερα χαλεπώτερα πάσχῃ, μεθ' ἡδονῆς αὐτὰ φέρει διὰ τὸν ἔρωτα τὸν ἀκόλαστον. Εἰ δὲ ἐκεῖνα μεθ' ἡδονῆς δέχονται, πῶς οὐ πολλῷ μᾶλλον τὰ τοῦ Θεοῦ διατάγματα, τὰ σωτηριώδη καὶ δόξης γέμοντα, καὶ πολλὴν ἡμῖν παρέχοντα φιλοσοφίαν, καὶ ψυχὴν βελτίονα ἐργαζόμενα, μετὰ πολλῆς δεῖ δέχεσθαι τῆς ἡδονῆς, καὶ μηδὲν δύσκολον ἐν αὐτοῖς εἶναι νομίζειν; Τὴν γὰρ δυσκολίαν οὐχ ἡ τῶν ἐπιταγμάτων φύσις, ἀλλ' ἡ τῶν πολλῶν ῥαθυμία ποιεῖν εἴωθεν. Ὡς εἴ τις μετὰ προθυμίας αὐτὰ δέχοιτο, κοῦφα καὶ ῥᾷστα αὐτὰ ὄψεται ὄντα. Διὸ ὁ Χριστὸς ἔλεγεν· «Ὁ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι».*

*Καὶ ἵνα μάθῃς, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ ἡ ῥαθυμία τῶν πολλῶν καὶ τὰ εὔκολα δύσκολα ἀποφαίνει, ἡ δὲ σπουδὴ καὶ τὰ δύσκολα ῥᾷστα· ὅτε τοῦ μάννα ἀπήλαυον οἱ Ἰουδαῖοι, καὶ ἐδυσχέραινον καὶ θάνατον ηὔχοντο· λιμῷ δὲ παλαίων ὁ Παῦλος ἔχαιρε καὶ ἐσκίρτα. Κἀκεῖνοι μὲν ἔλεγον· «Ἡ ψυχὴ ἡμῶν κατάκενος ἐπὶ τῷ μάννα». «Ἐξήγαγες ἡ-*

---

6. Ρωμ. 4, 19.
7. Ματθ. 11, 30.
8. Ἀριθμ. 11, 6.

της εἶπε· «Αὐτός θὰ ποθήσει μὲ ὅλη τὴ δύναμη τῆς ψυχῆς του καὶ θὰ ἐκτελέσει τὶς ἐντολές του»· διότι αὐτός ποὺ φοβᾶται αὐτόν ὅπως πρέπει, δέχεται τὰ προστάγματά του μὲ πολὺ μεγάλη ἐπιθυμία. Γι' αὐτὸ ἀκριβῶς ὁ ἔρωτας γιὰ τὸ νομοθέτη κάμνει τὸ νόμο εὐχάριστο, καὶ ἂν ἀκόμη φαίνεται ὅτι ἔχει κάποια δυσκολία. Καὶ κανεὶς ἂς μὴ κατηγορήσει τὰ λόγια αὐτά, ἂν χρησιμοποιεῖ τέτοιο παράδειγμα· καθόσον καὶ ὁ Παῦλος χρησιμοποιεῖ αὐτό, λέγοντας τὰ ἑξῆς· «Ὅπως ἀκριβῶς ἀφήσατε τὰ μέλη σας νὰ γίνουν δοῦλα στὴν ἀκαθαρσία, ἔτσι καταστήσατε αὐτὰ δοῦλα στὴ δικαιοσύνη»[6]. Ὁ ἐρωτευμένος λοιπόν μὲ πόρνη, εἴτε περιφρονεῖται, εἴτε κατηγορεῖται, εἴτε ἐπιτιμᾶται, εἴτε φέρεται ἄσεμνα, εἴτε ἀπομακρύνεται ἀπὸ τὴν πατρίδα του καὶ ἀπὸ τὴν περιουσία του, εἴτε στερεῖται τῆς πατρικῆς ἀγάπης, εἴτε ὑποφέρει ἄλλα φοβερώτερα, τὰ ὑποφέρει αὐτά μὲ εὐχαρίστηση ἐξ αἰτίας τοῦ ἀκόλαστου ἔρωτά του. Ἂν δὲ δέχονται ἐκεῖνα μὲ εὐχαρίστηση, πῶς δὲν πρέπει νὰ δέχονται μὲ πολὺ πιὸ μεγαλύτερη εὐχαρίστηση καὶ νὰ πιστεύουν ὅτι δὲν ὑπάρχει τίποτε τὸ δύσκολο στὰ διδάγματα τοῦ Θεοῦ, τὰ σωτηριώδη καὶ γεμάτα ἀπὸ πολλὴ δόξα, ποὺ μᾶς παρέχουν πολλὴ εὐσέβεια, ποὺ κάμνουν τὴν ψυχὴ καλύτερη; Διότι συνήθως τὴ δυσκολία τὴν δημιουργεῖ ὄχι ἡ φύση τῶν προσταγμάτων, ἀλλ' ἡ ἀδιαφορία τῶν πολλῶν. Διότι, ἂν κάποιος δέχονταν αὐτὰ μὲ προθυμία, θὰ δεῖ ὅτι εἶναι ἐλαφρὰ καὶ εὔκολα. Γι' αὐτὸ ὁ Χριστὸς ἔλεγε· «Ὁ ζυγός μου εἶναι ἁπαλὸς καὶ τὸ φορτίο μου ἐλαφρό»[7].

Καὶ γιὰ νὰ μάθεις, ὅτι αὐτὰ ἔτσι ἔχουν καὶ ὅτι ἡ ἀδιαφορία τῶν πολλῶν κάμνει καὶ τὰ εὔκολα δύσκολα, ἐνῶ ἡ προθυμία κάμνει καὶ τὰ δύσκολα εὔκολα, ἄκουε· ὅταν οἱ Ἰουδαῖοι ἀπολάμβαναν τὸ μάννα, δυσανασχετοῦσαν καὶ εὔχονταν νὰ τοὺς βρεῖ ὁ θάνατος, ἐνῶ ὁ Παῦλος ἀγωνιζόμενος ἐναντίον τῆς πείνας χαιρόταν καὶ σκιρτοῦσε ἀπὸ ἀγαλλίαση. Καὶ ἐκεῖνοι μὲν ἔλεγαν, «Ἡ ψυχή μας εἶναι ἐντελῶς ἄδεια μὲ τὸ μάννα»[8]· «Μᾶς ἔβγαλες ἀπὸ τὴν

μᾶς ἀποκτεῖναι παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ;», ὁ δὲ Παῦλος ἔλεγε· «Χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ, ἐν τῇ σαρκί μου». Ποίοις παθήμασι; Τῷ λιμῷ, τῇ δίψῃ, τῇ γυμνότητι, καὶ τοῖς ἄλλοις ἅπασιν. «Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα». Πῶς δ' ἂν τοῦτο γένοιτο; Ἂν μετὰ ἀκριβείας καὶ φοβώμεθα καὶ ἀγαπῶμεν τὸν Θεόν· ἂν ἐννοῶμεν αὐτῆς τῆς ἀρετῆς τὴν φύσιν. Καὶ γὰρ πρὸ τῶν ἄλλων ἐπάθλων ἐν ἑαυτῇ τὰς ἀμοιβὰς ἔχει. Ὅταν γὰρ μὴ μοιχεύῃς, μηδὲ φονεύῃς, ἐννόησον ὅσης ἀπολαύσῃ τῆς ἡδονῆς, μὴ καταγινωσκόμενος ὑπὸ τοῦ συνειδότος, μὴ τοὺς οἰκείους αἰσχυνόμενος, καθαροῖς ὀφθαλμοῖς πρὸς ἅπαντας βλέπων. Ἀλλ' οὐχ ὁ μοιχὸς τοιοῦτος, ἀλλὰ πάντας τρέμει καὶ δέδοικε, καὶ αὐτὰς τὰς σκιὰς ὑφορᾶται. Πάλιν ὁ πλεονέκτης καὶ βάσκανος τὰ αὐτὰ πείσεται, ὁ δὲ τούτων ἀπηλλαγμένος τὰ ἐναντία.

2. «Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ». Σπέρμα οἶδε πολλάκις ἡ Γραφὴ λέγειν οὐ τὸ κατὰ φύσεως ἀκολουθίαν τικτόμενον, ἀλλὰ τὸ κατὰ κοινωνίαν ἀρετῆς. Διὸ καὶ Παῦλος ἑρμηνεύων τό, «Σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου», ἔλεγεν· «Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ· οὐδ' ὅτι σπέρμα Ἀβραάμ, πάντες τέκνα, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα». Καὶ πάλιν, «Ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη». Ὅτι γὰρ οὐ περὶ Ἰουδαίων εἴρηται, τὰ πράγματα δηλοῖ· οἱ γὰρ αὐτοὶ κατάρας γέμοντες, πῶς ἂν ἄλλοις εὐλογίας γένοιντο αἴτιοι; ἀλλὰ περὶ τῆς Ἐκκλη-

9. Ἐξ. 14, 11.
10. Κολ. 1, 24.
11. Γεν. 13, 15.
12. Ρωμ. 9, 7. Γεν. 21, 12· Ἑβρ. 11, 18.
13. Γαλ. 3, 8.

Αἴγυπτο γιὰ νὰ μᾶς θανατώσεις, σὰν νὰ μὴ ὑπάρχουν τάφοι στὴν Αἴγυπτο;»[9], ἐνῶ ὁ Παῦλος ἔλεγε˙ «Χαίρομαι γιὰ τὰ παθήματά μου καὶ ἀναπληρώνω τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ, ὑπομένοντας αὐτὰ στό σῶμα μου»[10]. Μὲ ποιὰ παθήματα χαίρεται; Μὲ τὴν πείνα, μὲ τὴ δίψα, μὲ τὴ γυμνότητα καὶ μὲ ὅλα τὰ ἄλλα. «Αὐτὸς θὰ ζητήσει μὲ πόθο καὶ θὰ ἐκτελέσει τὶς ἐντολές του». Πῶς δὲ θὰ μποροῦσε νὰ γίνει αὐτό; Ἂν φοβόμαστε καὶ ἀγαπᾶμε μὲ τόν πρέποντα τρόπο τὸ Θεό˙ ἂν κατανοοῦμε τὴ φύση τῆς ἴδιας τῆς ἀρετῆς. Καθόσον πρὶν ἀπὸ τὰ ἄλλα ἔπαθλα αὐτὴ ἔχει μέσα της τὶς ἀμοιβές. Διότι, ὅταν δὲν μοιχεύεις, οὔτε φονεύεις, σκέψου πόση ἡδονὴ θ' ἀπολαύσεις, ἐφόσον δὲν θὰ ἐλέγχεσαι ἀπὸ τὴ συνείδησή σου, δὲν θὰ ντρέπεσαι τοὺς συγγενεῖς σου καὶ θὰ βλέπεις μὲ καθαρὰ μάτια. Ὅμως δὲ νοιώθει τὸ ἴδιο ὁ μοιχός, ἀλλὰ τρέμει καὶ φοβεῖται ὅλους καὶ ὑποψιάζεται καὶ αὐτὲς τὶς σκιές. Ἐπίσης ὁ πλεονέκτης καὶ ὁ φθονερὸς θὰ πάθει τὰ ἴδια, ἐνῶ αὐτός ποὺ εἶναι ἀπαλλαγμένος ἀπὸ αὐτὰ θὰ πάθει τὰ ἀντίθετα.

2. «Οἱ ἀπόγονοί του θὰ εἶναι πανίσχυροι ἐπάνω στὴ γῆ». Σπέρμα συνηθίζει ἡ Γραφὴ πολλὲς φορὲς νὰ ὀνομάζει ὄχι ἐκεῖνο ποὺ γεννιέται κατὰ φυσικὴ ἀκολουθία, ἀλλ' ἐκεῖνο ποὺ προέρχεται ἀπὸ τὴ συμμετοχὴ στὴν ἀρετή. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἑρμηνεύοντας τό. «Σὲ σένα θὰ δώσω αὐτὴ τὴ γῆ καὶ στοὺς ἀπογόνους σου»[11], ἔλεγε˙ «Διότι δὲν εἶναι ὅλοι οἱ σαρκικοὶ ἀπόγονοι τοῦ Ἰσραήλ, οἱ ἀληθινοὶ ἀπόγονοι τοῦ Ἰσραήλ, οὔτε διότι εἶναι κατὰ σάρκα ἀπόγονοι τοῦ Ἀβραάμ, εἶναι καὶ ὅλοι τέκνα του, ἀλλ' οἱ ἀπόγονοι τοῦ Ἰσαὰκ θὰ θεωρηθοῦν σὰν ἀληθινοὶ ἀπόγονοί σου»[12]. Καὶ πάλι˙ «Μὲ κάποιο ἀπὸ τοὺς ἀπογόνους σου θὰ εὐλογηθοῦν ὅλα τὰ ἔθνη»[13]. Τὸ ὅτι βέβαια δὲν λέχθηκε αὐτὸ γιὰ τοὺς Ἰουδαίους, γίνεται φανερὸ ἀπὸ τὰ πράγματα˙ διότι αὐτοὶ ποὺ ἦταν γεμάτοι ἀπὸ κατάρα, πῶς θὰ μποροῦσαν νὰ γίνουν αἴτιοι εὐλογίας γιὰ ἄλλους; ἀλλ' ὁμι-

*σίας φησί, τῆς κατὰ τὴν κοινωνίαν τῆς πίστεως σπέρμα χρηματιζούσης αὐτῷ. Τοιοῦτοι τοίνυν οἱ ἐνάρετοι, καὶ τὸν Θεὸν φοβουμένων παῖδες.*

*«Δυνατὸν ἐν τῇ γῇ τὸ σπέρμα αὐτοῦ». Διὰ τί εἶπεν, «Ἐν τῇ γῇ»; Ἵνα δείξῃ, ὅτι καὶ πρὸ τῆς ἐντεῦθεν ἀποδημίας, καὶ πρὸ τῆς πείρας τῶν ἀγαθῶν τῶν ἐκεῖ. Ὅπερ γὰρ ἔφθην εἰπών, ἐν ἑαυτῇ τὴν ἀμοιβὴν ἡ ἀρετὴ κέκτηται, καὶ πρὸ τῶν ἐπάθλων. Ὅτι γὰρ ὁ τοιοῦτος σπέρμα δυνατὸν ἔσχε, καὶ ὁ ἀρετὴν περιβεβλημένος πάντων ἐστὶ δυνατώτερος, ἐδίδαξαν οἱ ἀπόστολοι, ἔδειξαν οἱ προφῆται. Ὁμοίως καὶ ὁ Κύριος περὶ τούτων ἐμφαίνων, φησίν· «Ὅστις ἀκούει μου τοὺς λόγους, καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν». Πόσαι δήμων ἐπαναστάσεις, πόσοι τυράννων θυμοί, πόσα ξίφη, πόσα δόρατα, πόσα βέλη, πόσαι κάμινοι, πόσοι θηρίων ὀδόντες, πόσοι κρημνοί, πόσα πελάγη, πόσαι ἐπιβουλαί, πόσαι συκοφαντίαι, πόσα μηχανήματα κατὰ τῶν ἀποστόλων ἤρετο; ἀλλ' ὅμως οὐδὲν αὐτοὺς ὑπεσκέλισεν, ἀλλὰ πάντων ὑψηλότεροι τούτων ἐγένοντο, ὑπὲρ τοὺς καλάμους τῶν ἐπιβουλευόντων πετόμενοι, καὶ τοὺς ἐπιβουλεύοντας εἰς τὴν ἑαυτῶν μετατιθέντες τάξιν. Οὐδὲν γὰρ ἀρετῆς δυνατώτερον· αὕτη καὶ πέτρας στερροτέρα, καὶ ἀδάμαντος ἰσχυροτέρα· ὥσπερ οὖν κακίας οὐδὲν εὐτελέστερον, οὐδὲ ἀσθενέστερον, κἂν μυρία τις ᾖ περιβεβλημένος χρήματα, κἂν πολλὴν ἔξωθεν ἔχων δυναστείαν. Εἰ δὲ ἐν τῇ γῇ τοσαύτη ἡ ἰσχύς, ἐννόησον, ἐν τοῖς οὐρανοῖς πόσης ἀπολαύσονται τῆς δυνάμεως οἱ τοιοῦτοι.*

*«Γενεὰ εὐθέων εὐλογηθήσεται». Εἶδες αὐτὴν διαλάμπου-*

14. Ματθ. 7, 24 - 25.

λεῖ γιὰ τὴν ἐκκλησία ποὺ εἶναι ἀπόγονος αὐτοῦ κατὰ τὴν κοινωνία τῆς πίστεως. Διότι τέτοιοι εἶναι οἱ ἐνάρετοι καὶ τὰ παιδιὰ ἐκείνων ποὺ φοβοῦνται τὸ Θεό.

«Οἱ ἀπόγονοι αὐτοῦ εἶναι πανίσχυροι ἐπάνω στὴ γῆ». Γιατὶ εἶπε, «Στὴ γῆ»; Γιὰ νὰ δείξει, ὅτι εἶναι ἰσχυροὶ καὶ πρὶν ἀπὸ τὴν ἀναχώρησή τους ἀπὸ τὴν ἐδῶ ζωὴ καὶ πρὶν ἀπό τὴν ἀπολαβὴ τῶν ἐκεῖ ἀγαθῶν. Διότι, ὅπως προανέφερα, ἡ ἀρετὴ ἔχει μέσα της τὴν ἀμοιβὴ καὶ πρὶν ἀπό τὰ ἔπαθλα. Τὸ ὅτι λοιπὸν ὁ ἄνθρωπος αὐτός εἶχε ἰσχυρό ἀπόγονο καὶ ὅτι ὁ ἐνάρετος εἶναι δυνατώτερος ἀπό ὅλους, τό δίδαξαν οἱ ἀπόστολοι, τὸ ἔδειξαν οἱ προφῆτες. Παρόμοια καὶ ὁ Κύριος μιλώντας γι' αὐτούς, λέγει˙ «Ὅποιος ἀκούει τὰ λόγια μου καὶ ἐφαρμόζει αὐτά, θὰ παρομοιασθεῖ μὲ ἄνδρα φρόνιμο, ποὺ οἰκοδόμησε τὴν οἰκία του ἐπάνω στὴν πέτρα˙ καὶ κατέβηκε ἡ βροχὴ καὶ ἦλθαν οἱ ποταμοὶ καὶ φύσηξαν οἱ ἄνεμοι καὶ ἔπεσαν μὲ ὁρμὴ πάνω σ' ἐκείνη τὴν οἰκία, καὶ δὲν ἔπεσε˙ διότι εἶχε θεμελιωθεῖ πάνω στὴν πέτρα»[14]. Πόσες ἐπαναστάσεις λαῶν, πόσοι θυμοὶ τυράννων, πόσα ξίφη, πόσα δόρατα, πόσα βέλη, πόσα καμίνια, πόσα δόντια θηρίων, πόσοι γκρεμοί, πόσα πελάγη, πόσες ἐπιβουλές, πόσες συκοφαντίες, πόσες μηχανορραφίες ξέσπασαν ἐναντίον τῶν ἀποστόλων; ἀλλ' ὅμως τίποτε δὲν τοὺς ὑπεσκέλισε, ἀλλ' ἀνέβηκαν ψηλότερα ἀπό ὅλους, πετώντας πάνω ἀπὸ τὶς μηχανορραφίες τῶν συκοφαντῶν καὶ μετέθεσαν τοὺς συκοφάντες στὴ θέση τὴ δική τους. Διότι τίποτε δὲν ὑπάρχει δυνατώτερο ἀπό τὴν ἀρετή˙ αὐτὴ εἶναι στερεώτερη ἀπὸ τὴν πέτρα καὶ ἰσχυρότερη ἀπὸ τό διαμάντι˙ ὅπως βέβαια πάλι τίποτε δὲν ὑπάρχει εὐτελέστερο ἀπό τὴν κακία, οὔτε ἀσθενέστερο, καὶ ἂν ἀκόμη κανεὶς περιβάλλεται ἀπὸ ἀμέτρητα χρήματα, καὶ ἂν ἀκόμη ἔχει μεγάλη ἐξωτερικὴ δύναμη. Ἂν δὲ στὴ γῆ εἶναι τόση ἡ δύναμή τους, σκέψου στούς οὐρανούς πόση δύναμη θ' ἀπολαύσουν αὐτοὶ οἱ ἄνθρωποι.

«Ἡ γενεὰ τῶν δικαίων θὰ εὐλογηθεῖ». Εἶδες αὐτὴν

*σαν, καὶ μυρίους κήρυκας καὶ ἐπαινέτας ἔχουσαν καὶ θαυμαστάς; Ἀλλ' οὐχ ἁπλῶς τοὺς τυχόντας, ἀλλὰ τοὺς συνετούς, Οὐδὲ γὰρ δυνήσεταί τις αὐτὴν συνιδεῖν τῶν χαμαιζήλων ἀνθρώπων ἀλλ' οὗτοι μάλιστα αὐτὴν ἐπαινέσονται, οὗτοι θαυμάσονται, καὶ ἀνακηρύξουσιν, οἱ μὴ διεστραμμένην ἔχοντες τὴν διάνοιαν. Ἐννόησον οὖν ἡλίκον ἐστὶ τὸ κτῆμα, ὥστε μηδὲ τῶν ἀγγέλων ἀποδέειν, μηδὲ τῶν ἀποστόλων, μηδὲ τῶν μεγάλων καὶ θαυμαστῶν· καὶ γὰρ εἰ τοὺς ἐγκωμιάζοντας αὐτὴν τοιούτους εἶναι χρή, σκόπει καὶ λογίζου ἡλίκην αὐτὴν εἶναι εἰκός. «Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ». Πάλιν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ διαβαίνει. Οἶδε γὰρ καὶ πλοῦτον καλεῖν ἡ Γραφὴ τὸν ἐν τοῖς ἔργοις τοῖς ἀγαθοῖς· ὡς ὅταν λέγῃ· «Ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς». Οὗτος γὰρ ἀληθὴς ὁ πλοῦτος, ὡς ὅ γε ἕτερος ὄνομα πλούτου ψιλόν, πράγματος ἔρημον. Εἰ δὲ καὶ τοῦτον λέγει τις, οὐδὲ οὕτως ἀποστησόμεθα τοῦ λόγου. Τί γὰρ ἂν ἦν καὶ ἐν χρήμασι τῶν ἀποστόλων πλουσιώτερον, οἷς καθάπερ ἐκ πηγῶν ἅπαντα ἔρρει; Ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον καὶ ἐτίθουν τὰς τιμὰς παρὰ τοὺς πόδας τῶν ἀποστόλων.*

*Ὁρᾷς πλούτου φιλοτιμίαν; Τὰ πάντων ἐκέκτηντο, τῆς φροντίδος αὐτῶν ἀπηλλαγμένοι, καὶ ὥσπερ οἰκονόμοι μᾶλλον αὐτῶν ὄντες οἱ δεσπόται. Οἱ γὰρ ἔχοντες, τοῦ ἔχειν ἀφιστάμενοι, οὕτως αὐτὰ τοῖς ἀποστόλοις ἐκόμιζον, αὐτοὶ μὲν αὐτὰ ἐξαργυρίζοντες καὶ χρήματα ποιοῦντες, τὴν δὲ διανομὴν ἐπιτρέποντες ἐν τῇ ἐξουσίᾳ τῇ ἐκείνων γίνεσθαι. Διὰ τοῦτο ἔλεγεν ὁ Παῦλος· «Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κα-*

15. Α' Τιμ. 6, 18.
16. Πρ. 4, 34.

πού διαλάμπει καὶ πού ἔχει ἀμέτρητους κήρυκες, ἐπαινετὰς καὶ θαυμαστάς; Ἀλλ᾽ δὲν ἔχει ἁπλῶς τοὺς τυχόντες, ἀλλὰ τοὺς συνετούς. Διότι δὲν θὰ μπορέσει κανεὶς ἀπὸ τοὺς χαμαίζηλους ἀνθρώπους νὰ κατανοήσει αὐτήν, ἀλλ᾽ αὐτοὶ πρό πάντων θὰ ἐπαινέσουν αὐτήν, αὐτοὶ θὰ τὴν θαυμάσουν καὶ θὰ τὴν διακηρύξουν, αὐτοὶ πού δὲν ἔχουν διεστραμμένη διάνοια. Σκέψου λοιπόν πόσο μεγάλο ἀγαθό εἶναι ἡ ἀρετή, ὥστε νὰ μὴ ὑπολείπεται οὔτε τῶν ἀγγέλων, οὔτε τῶν ἀποστόλων, οὔτε τῶν μεγάλων καὶ θαυμαστῶν ἀνδρῶν· καθόσον, ἂν πρέπει νὰ εἶναι τέτοιοι αὐτοὶ πού τὴν ἐγκωμιάζουν, σκέψου καὶ ἀναλογίσου πόσο σπουδαία φυσικὸ εἶναι νὰ εἶναι αὐτή. «Δόξα καὶ πλοῦτος θὰ ὑπάρχει στὸν οἶκο αὐτοῦ». Πάλι ἀπό τὰ αἰσθητὰ προχωρεῖ πρὸς τὰ πνευματικά. Διότι συνηθίζει ἡ Γραφὴ νὰ ὀνομάζει πλοῦτο αὐτόν πού πηγάζει ἀπό τὰ ἀγαθὰ ἔργα, ὅπως ὅταν λέγει· «Νὰ ἀγαθοεργοῦν, νὰ γίνονται πλούσιοι σὲ ἔργα καλά»[15]. Διότι αὐτός εἶναι ὁ ἀληθινὸς πλοῦτος, ἐνῶ ὁ ἄλλος εἶναι ὄνομα πλούτου γυμνό, πού στερεῖται περιεχομένου. Ἂν δὲ καὶ αὐτὸν ὀνομάζει κανεὶς πλοῦτο, οὔτε καὶ πάλι θ᾽ ἀποφύγουμε τό λόγο. Πράγματι τί θὰ μποροῦσε νὰ ὑπάρξει πλουσιώτερο καὶ σὲ χρήματα ἀπό τοὺς ἀποστόλους, στοὺς ὁποίους ὅλα ἔτρεχαν σὰν ἀκριβῶς ἀπὸ πηγές; Διότι ὅσοι ἰδιοκτῆτες κτημάτων καὶ οἰκιῶν ὑπῆρχαν, ἀφοῦ τὰ πωλοῦσαν, ἔφερναν καὶ τοποθετοῦσαν τὸ ἀντίτιμό τους στὰ πόδια τῶν ἀποστόλων[16].

Βλέπεις γενναιοδωρία πλούτου; κατεῖχαν στὴ διάθεσή τους ὅλων τὰ ὑπάρχοντα, ἦταν ἀπαλλαγμένοι ἀπὸ τὴ φροντίδα γι᾽ αὐτὰ καὶ ἦταν μᾶλλον σὰν διαχειριστὲς αὐτῶν, παρὰ κύριοι. Διότι οἱ κάτοχοι αὐτῶν, ἀπαρνούμενοι αὐτά, ἔφερναν καὶ παράδοναν αὐτὰ στοὺς ἀποστόλους, καὶ αὐτοὶ μὲν ἐξαργύρωναν αὐτὰ καὶ τὰ ἔκαμναν χρήματα, ἐνῶ τὴν διανομὴ αὐτῶν τὴν ἐμπιστεύονταν στοὺς ἀποστόλους. Γι᾽ αὐτὸ ἔλεγε ὁ Παῦλος· «Εἶναι σὰν νὰ μὴ ἔχουμε τίποτε, καὶ ὅμως θὰ βρίσκονται στὴν κατοχή μας».

*τέχοντες». Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι ἐν τοσούτῳ πλούτῳ ὄντες, ὑψηλότεροι τῆς περιουσίας ἦσαν· καὶ γὰρ τὸ πλῆθος αὐτοὺς οὐ κατεῖχε τῶν χρημάτων. Τοῦτο μάλιστα πλοῦτος, τὸ μὴ δεῖσθαι πλούτου.*

*«Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ». Ἐνταῦθα λοιπὸν οὐδὲ ἑρμηνείας δεῖται. Εἶχον μὲν γὰρ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ. Εἵπετο καὶ αὕτη κατὰ τὸν θεῖον λόγον τὸν λέγοντα, «Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Τί γὰρ ἐκείνων σεμνότερον; Ὡς ἀγγέλους τοῦ Θεοῦ ἐδέχοντο, τὰ χρήματα φέροντες, παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν· λοιπὸν καὶ αὐτῶν τῶν τὸ διάδημα περικειμένων λαμπρότεροι ὑπῆρχον. Ποῖος μὲν μετὰ τοσαύτης εἰσῄει βασιλεὺς περιφανείας, μεθ' ὅσης ὁ Παῦλος ἐθαυμάζετο πανταχοῦ φθεγγόμενος, καὶ λύων θανάτους, καὶ ἐλαύνων νοσήματα, δραπετεύειν ποιῶν δαίμονας, καὶ διὰ τῶν ἱματίων τῶν ἑαυτοῦ τοιαῦτα ἐργαζόμενος; Οὗτος τὴν γῆν οὐρανὸν ἐποίει, καὶ πρὸς τὴν ἀρετὴν ἅπαντας ἐχειραγώγει. Εἰ δὲ ἐν τῇ γῇ τοιαῦτα, ἐννόησον ἐν οὐρανοῖς ἡλίκης δόξης ἀπολαύσονται.*

*3. Τί δέ ἐστιν, «Ἐν τῷ οἴκῳ αὐτοῦ»; Μετ' αὐτοῦ φησίν. Ὁ δὲ ἔξωθεν πλοῦτος οὐ μετὰ τοῦ ἔχοντος, ἐπειδὴ οὐδὲν ἐν ἀσφαλείᾳ κεῖται, ἀλλὰ ἐν ταῖς τῶν συκοφαντῶν χερσίν, ἐν ταῖς τῶν κολάκων, ἐν ταῖς τῶν ἀρχόντων, ἐν ταῖς τῶν οἰκετῶν· διὰ τοῦτο πανταχοῦ αὐτὸν διασπείρει, μὴ θαρρῶν αὐτὸν ὅλον ἐν τῷ οἴκῳ κατέχειν· διὰ τοῦτο φυλακαὶ καὶ προφυλακαί, καὶ πλέον οὐδέν, πάντα δυναμένου διαδιδράσκειν ἐκείνου.*

*«Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἕτερός φησιν, «Ἡ ἐλεημοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἤτοι τὴν ἀρετὴν τὴν καθόλου φησὶν ἐνταῦθα, ἤτοι τὴν ἀντικειμένην τῇ ἀδικίᾳ, ἢ καθὼς ἕτερος*

---

17. Ματθ. 6, 33.

Διότι τὸ ἀξιοθαύμαστο αὐτὸ εἶναι, ὅτι, ἂν καὶ βρίσκονταν μέσα σὲ τόσο πλοῦτο, ὅμως στέκονταν ψηλότερα ἀπό τὰ χρήματα· καθόσον τὸ πλῆθος τῶν χρημάτων δὲν τοὺς ἐξουσίαζε. Αὐτό πρὸ πάντων εἶναι πλοῦτος, τὸ νά μὴ ἔχει κανεὶς ἀνάγκη ἀπό πλοῦτο.

«Δόξα καὶ πλοῦτος θὰ ὑπάρχει στὸν οἶκο αὐτοῦ». Αὐτὸ βέβαια δὲν χρειάζεται οὔτε ἑρμηνεία. Διότι εἶχαν τὴ δόξα ἐκ μέρους τοῦ Θεοῦ. Ἀκολουθοῦσε καὶ αὐτή, σύμφωνα μὲ τό θεῖο λόγο, ἐκεῖνον πού λέγει, «Ζητεῖτε τὴ βασιλεία τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ τὰ ἐπίγεια ἀγαθὰ θὰ σᾶς δοθοῦν ἐπιπρόσθετα»[17]. Τί λοιπὸν ὑπῆρχε σεμνότερο ἀπό ἐκείνους; Τοὺς δέχονταν σὰν ἀγγέλους τοῦ Θεοῦ, καὶ φέρνοντας τὰ χρήματα, τὰ τοποθετοῦσαν μπροστὰ στὰ πόδια τους· συνεπῶς ἦταν λαμπρότεροι καὶ ἀπὸ αὐτοὺς πού φοροῦν τὸ βασιλικὸ στέμμα. Ποιὸς βασιλιὰς ἐμφανιζόταν μὲ τόση περιφάνεια, μὲ ὅση θαυμαζόταν ὁ Παῦλος διδάσκοντας παντοῦ, νικώντας θανάτους, διώχνοντας νοσήματα, τρέποντας τοὺς δαίμονες σὲ φυγή, καὶ κάμνοντας καὶ μέ τὰ ἐνδύματά του ἀκόμη παρόμοια ἔργα; Αὐτὸς μετέβαλε τὴ γῆ σὲ οὐρανό καὶ ὁδηγοῦσε ὅλους πρὸς τὴν ἀρετή. Ἂν δὲ ἀπόλαυσαν τέτοια στὴ γῆ, σκέψου πόση δόξα θ' ἀπολαύσουν στούς οὐρανούς.

3. Τί σημαίνει δέ, «Ἐν τῷ οἴκῳ αὐτοῦ»; Μαζὶ μὲ αὐτόν, λέγει. Ὁ ὑλικὸς πλοῦτος δὲν βρίσκεται κοντὰ σ' ἐκεῖνον πού τὸν ἔχει, ἐπειδὴ κοντά του δὲν εἶναι ἀσφαλής, ἀλλὰ βρίσκεται στὰ χέρια τῶν συκοφαντῶν, στὰ χέρια τῶν κολάκων, στὰ χέρια τῶν ἀρχόντων, στὰ χέρια τῶν δούλων· γι' αὐτὸ διασκορπίζει αὐτὸν παντοῦ, μὴ ἔχοντας τὸ θάρρος νὰ ἔχει αὐτὸν ὅλο στὴν οἰκία του· γι' αὐτό φυλακὲς καὶ προφυλακὲς καὶ τὰ ἀποτέλεσμα κανένα, ἀφοῦ ὁ πλοῦτος μπορεῖ νὰ δραπετεύσει ἀπὸ ὅλα αὐτά.

«Καὶ ἡ δικαιοσύνη του μένει αἰώνια». Ἄλλος λέγει, «Ἡ ἐλεημοσύνη του μένει αἰώνια». Ἢ ἐδῶ ἐννοεῖ γενικὰ τὴν ἀρετή, ἢ τὴν ἀρετὴ ἐκείνη πού ἀντιτίθεται στὴν ἀδι-

ἑρμηνευτὴς ἔφη, τὴν φιλανθρωπίαν, τὸν ἔλεον λέγει. Τοιοῦτον γὰρ ἡ τῆς ἐλεημοσύνης δύναμις, ἀθάνατον πρᾶγμα καὶ ἀκήρατον, καὶ οὐδέποτε σβεσθῆναι δυνάμενον. Ἀλλὰ τὰ μὲν ἀνθρώπινα ἅπαντα διασύρεται, ὁ δὲ τῆς ἐλεημοσύνης καρπὸς ἀμάραντος διαμένει διηνεκῶς, μηδεμιᾷ δυσκολίᾳ καιρῶν ἐλεγχόμενος. Κἂν γὰρ τὸ σῶμα διαλυθῇ, ἐκείνη οὐ συγκαταλύεται τῷ βίῳ, ἀλλὰ προαποδημεῖ μονὰς αὐτῷ προευτρεπίζουσα, περὶ ὧν φησιν ὁ Χριστός, ὅτι «Ἐν τῷ οἴκῳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν». Ὥστε καὶ τούτῳ κρατεῖ τῶν ἀνθρωπίνων, τῷ διηνεκεῖ καὶ μονίμῳ, ὅπερ οὐδὲν ἔχει τῶν βιωτικῶν. Ἄν τε γὰρ κάλλος εἴπῃς, νόσῳ μαραίνεται, καὶ γήρᾳ δαπανᾶται· ἄν τε δυναστείαν εἴπῃς, πολλάκις μεταβάλλεται· ἄν τε πλοῦτον, ἄν τε ἄλλο ὁτιοῦν τῶν λαμπρῶν καὶ περιφανῶν τῶν κατὰ τὸν παρόντα βίον, ἢ ζῶντας ἀπέλιπεν, ἢ τελευτήσαντας γυμνοὺς καὶ ἐρήμους εἴασεν. Ἀλλ' οὐχ ὁ τῆς δικαιοσύνης καρπὸς τοιοῦτος· οὐ χρόνῳ δαπανᾶται, οὐ θανάτῳ διακόπτεται, ἀλλὰ τότε μᾶλλον ἀσφαλέστερος γίνεται, ὅταν πρὸς ἐκεῖνον καταπλεύσῃ τὸν ἀκύμαντον λιμένα.

«Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι». Τὸν μακαρισμὸν ὑπογράφων τοῦ φοβουμένου τὸν Θεόν, λέγει καὶ τὰ ἐν τῷ παρόντι συμβαίνοντα πράγματα, οἷον ὅτι ἀθάνατα αὐτοῦ τὰ κτήματα, ὅτι δόξης ἀπολαύσεται, καὶ πάντων ἀνώτερος ἔσται, ὅτι τοὺς ἐοικότας αὐτῷ κατὰ τὴν ἀρετήν, καὶ τέκνα αὐτοῦ γινομένους, ἀχειρώτους ὄψεται, ὅτι ἐν τῇ τῶν πραγμάτων δυσκολίᾳ πολλῆς τεύξεται τῆς ἀδείας. Τοῦτο γάρ

18. Ἰω. 14, 2.

κία, ή, όπως είπε άλλος ερμηνευτής, έννοεῖ τὴν φιλανθρωπία καὶ τὴν ἐλεημοσύνη. Διότι τέτοια εἶναι ἡ δύναμη τῆς ἐλεημοσύνης, εἶναι ἀθάνατο πράγμα καὶ ἄφθαρτο καὶ δὲν εἶναι δυνατὸ ποτὲ νὰ σβήσει. Καὶ τὰ μὲν ἀνθρώπινα ὅλα γενικὰ διαλύονται, ὅμως ὁ καρπός τῆς ἐλεημοσύνης παραμένει συνέχεια ἀμάραντος, χωρὶς νὰ ἐμποδίζεται ἀπὸ καμμιὰ καιρικὴ δυσκολία. Διότι, καὶ ἂν ἀκόμη τό σῶμα διαλυθεῖ, ἐκείνη δὲν διαλύεται μαζὶ μὲ τὴν ἐδῶ ζωή, ἀλλ' ἀναχωρεῖ πρὶν ἀπὸ τὸ σῶμα γιὰ νὰ προετοιμάσει καὶ στολίσει τόπους κατοικίας γι' αὐτό, γιὰ τοὺς ὁποίους λέγει ὁ Χριστός, ὅτι «Στὸν οἶκο τοῦ Πατέρα μου ὑπάρχουν πολλοὶ τόποι διαμονῆς»[18]. Ὥστε καὶ ὡς πρός αὐτὸ ὑπερισχύει τῶν ἀνθρώπινων, ὡς πρὸς τὸ αἰώνιο καὶ μόνιμο, πράγμα ποὺ δὲν ἔχει κανένα ἀπὸ τὰ κοσμικὰ πράγματα. Διότι εἴτε ἀναφέρεις τὸ κάλλος, μωραίνεται μὲ τὴν ἀσθένεια καὶ καταστρέφεται μὲ τὰ γηρατειά˙ εἴτε ἀναφέρεις τὴν ἐξουσία, πολλὲς φορὲς μεταβάλλεται καὶ αὐτή˙ εἴτε πάλι τὸν πλοῦτο, εἴτε ὁ,τιδήποτε ἄλλο ἀπὸ τὰ λαμπρὰ καὶ ἔνδοξα τῆς παρούσας ζωῆς, αὐτὸ ἢ τοὺς ἐγκατέλειψε ἐνῶ ἀκόμη ζοῦσαν, ἢ ὅταν πέθαναν τοὺς ἄφησε γυμνοὺς καὶ ἔρημους. Ἀλλὰ δὲν εἶναι τέτοιος ὁ καρπὸς τῆς δικαιοσύνης˙ δὲν καταστρέφεται μὲ τὸ πέρασμα τοῦ χρόνου, δὲν διακόπτεται μὲ τό θάνατο, ἀλλὰ τότε περισσότερο ἀσφαλέστερος γίνεται, ὅταν καταπλεύσει πρὸς ἐκεῖνο τὸ ἀκύμαντο λιμάνι

«Μέσα στὸ σκοτάδι τῶν θλίψεων ἔλαμψε γιά τοὺς ἐνάρετους τό φῶς». Περιγράφοντας τὴν ἄξια μακαρισμοῦ ζωὴ ἐκείνων ποὺ σέβονται τὸ Θεό, ἀναφέρει καὶ τὰ πράγματα ποὺ συμβαίνουν στὴν παρούσα ζωή, ὅπως ἐπὶ παραδείγματι, ὅτι εἶναι ἀθάνατα αὐτά ποὺ ἀπέκτησε, ὅτι θ' ἀπολαύσει δόξα καὶ θὰ γίνει ἀνώτερος ἀπὸ ὅλους, ὅτι θά δεῖ νὰ γίνωνται ἀκατανίκητοι ἐκεῖνοι ποὺ τὸν μοιάζουν ὡς πρὸς τὴν ἀρετή, καὶ νὰ γίνονται τέκνα του, ὅτι μέσα στὶς δυσκολίες τῶν πραγμάτων θὰ τύχει πολλῆς ἀσφάλειας. Καθό-

ἐστιν, «Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι». Τοῖς γὰρ οὕτω διακειμένοις, τοῖς ὀρθὰ βαδίζουσι, ἐν μέσῳ σκότους φῶς ἀνατεῖλαι παρασκευάσει. Τί ἐστιν, «Ἐν σκότει»; Κἂν ἐν θλίψει καὶ στενοχωρίᾳ καὶ πειρασμῷ καὶ κινδύνοις γένωνται, φησὶ (ταῦτα γὰρ σκότος καλεῖ), πολλὴν αὐτοῖς εὐθέως ποιήσει ἔσεσθαι τὴν ἡδονήν. Ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Οὐ θέλω δὲ ἀγνοεῖν ὑμᾶς περὶ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρύνθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν». Εἶδες τὸ σκότος; «Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐν ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς». Εἶδες τὸ φῶς πῶς ἀνέτειλε; Σκόπει δὲ αὐτὸ καὶ ἐπὶ τῶν τριῶν παίδων. Προσδοκῶντες γὰρ ἐμπίπρασθαι, δρόσου καθαρωτάτης ἀπήλαυσαν. Καὶ ἐπὶ τοῦ Δανιὴλ δὲ καὶ τῶν ἄλλων προφητῶν. Εἰ δὲ καὶ κατὰ ἑτέραν τις ἀναγωγὴν ταῦτα ἐκλαβεῖν θέλει, ἐπὶ τῆς οἰκουμένης ὄψεται τοῦτο γεγονός. Κατέχοντος γὰρ τοῦ σκότους γῆν καὶ θάλατταν, καὶ πλάνης πανταχοῦ κεχυμένης, κάτωθεν ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος. Ἐπειδὴ γὰρ οὐρανὸν ἀφέντες οἱ τότε ἄνθρωποι Θεὸν ἐπὶ γῆς ἐζήτουν, ἐκεῖθεν αὐτοῖς ἐφάνη συγκαταβὰς τοῖς ἀσθενοῦσιν, ἵνα ἀναγάγῃ πρὸς ὕψος ἄπειρον.

«Ἐλεήμων, καὶ οἰκτίρμων, καὶ δίκαιος Κύριος ὁ Θεός». Ἐπειδὴ εἶπεν, ὅτι ἡ δικαιοσύνη αὐτοῦ μένει, καὶ παρεμυθήσατο ἐκείνῳ τῷ τρόπῳ, πολλοὶ δὲ τῶν ἐλεημόνων, καὶ τῶν τὸν ὀρθὸν βιούντων βίον, τῶν ἐναντίων ἐνταῦθα ἀπολαύουσιν, ἑτέραν ἐπεισάγει παραμυθίαν λέγων, «Ἐλεήμων, καὶ οἰκτίρμων, καὶ δίκαιος ὁ Κύριος», διπλῆν κατασκευὴν ἐργα-

19. Β' Κορ. 1, 8.
20. Β' Κορ. 1, 9 - 10.
21. Δαν. 3, 22 - 3 καὶ Ὕμνος τριῶν παίδων 26.

σον αὐτὸ σημαίνει, «ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι». Διότι γι' αὐτοὺς πού ζοῦν κατ' αὐτόν τόν τρόπο, πού βαδίζουν ὀρθά, θὰ κάνει ν' ἀνατείλει μέσα στό σκοτάδι φῶς. Τί σημαίνει, «Ἐν σκότει»; Καὶ ἂν βρεθοῦν, λέγει, σὲ θλίψη, σὲ στενοχώρια, σὲ δοκιμασίες καὶ σὲ κινδύνους (διότι αὐτὰ ὀνομάζει σκότος), ἀμέσως θὰ τοὺς κάνει νὰ νοιώσουν πολλὴ χαρά, πράγμα πού γιά νὰ δηλώσει ὁ Παῦλος, ἔλεγε· «Δὲν θέλω ν' ἀγνοεῖτε γιὰ τὴ θλίψη μας πού μᾶς συνέβηκε στὴν Ἀσία, διότι περάσαμε ὑπερβολικὲς καὶ πάνω ἀπὸ τὶς δυνάμεις μας θλίψεις, ὥστε ν' ἀπελπισθοῦμε καὶ γι' αὐτὴ ἀκόμα τὴ ζωή μας»[19]. Εἶδες τό σκότος; «Ἀλλὰ καὶ ἐμεῖς οἱ ἴδιοι αἰσθανόμασταν ὅτι εἴχαμε καταδικασθεῖ σὲ θάνατο, ὥστε νὰ μὴ ἔχουμε πεποίθηση στόν ἑαυτὸ μας, ἀλλὰ στό Θεὸ πού ἀνασταίνει τοὺς νεκρούς, καὶ πού ἐλευθέρωσε καὶ ἐμᾶς ἀπό τέτοιους θανάτους»[20]. Εἶδες τὸ φῶς πῶς ἀνέτειλε; Πρόσεχε δὲ αὐτὸ καὶ στὴν περίπτωση τῶν τριῶν παιδιῶν. Διότι ἐνῶ περίμεναν νὰ κατακαοῦν, ἀπήλαυσαν δροσιὰ καθαρώτατη[21]. Τό ἴδιο δὲ συνέβηκε καὶ μὲ τό Δανιὴλ καὶ μὲ τούς ἄλλους προφῆτες. Ἂν δὲ κανεὶς θελήσει νὰ ἐξετάσει αὐτὰ καὶ μὲ τρόπο ἀλληγορικό, θ' ἀντιληφθεῖ ὅτι αὐτό ἔγινε καὶ στὴν οἰκουμένη. Διότι, ἐνῶ τό σκοτάδι σκέπαζε τὴν ξηρὰ καὶ τὴ θάλασσα καὶ παντοῦ ἦταν ἁπλωμένη ἡ πλάνη, ἔλαμψε ἀπὸ κάτω ὁ ἥλιος τῆς δικαιοσύνης. Ἐπειδὴ δηλαδὴ οἱ τότε ἄνθρωποι, ἀφοῦ ἐγκατέλειψαν τόν οὐρανό, ζητοῦσαν Θεό ἐπάνω στὴ γῆ, φανερώθηκε σ' αὐτοὺς ἀπὸ ἐκεῖ, δείχνοντας συγκατάβαση στοὺς ἀσθενεῖς πνευματικά, γιὰ νὰ τοὺς ὁδηγήσει σὲ ὕψος ἄπειρο.

«Ὁ Θεὸς εἶναι ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος». Ἐπειδὴ εἶπε, ὅτι ἡ δικαιοσύνη του μένει αἰώνια καὶ τοὺς παρηγόρησε μ' ἐκεῖνο τὸν τρόπο, πολλοὶ δὲ ἀπὸ τοὺς ἐλεήμονες καὶ ἀπό ἐκείνους πού ζοῦν ἐνάρετα, ἀπολαμβάνουν ἐδῶ τὰ ἀντίθετα, προσθέτει καὶ ἄλλη παρηγορία, λέγοντας, «Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος εἶναι ὁ

ζόμενος ἐντεῦθεν. Εἰ γὰρ ἐλεήμων ἐστί, καὶ τοὺς ἁμαρτάνοντας πολλάκις συγγνώμης ἀξιοῖ, πολλῷ μᾶλλον τοὺς κατορθοῦντας οὐ περιόψεται ἀστεφανώτους ἀπελθόντας. Ἀλλὰ κἂν ἐνταῦθα μὴ ἀποδῷ, ἀποδώσει πάντως ἐκεῖ. Εἶτα καὶ Δίκαιος ἐπάγει· εἰ δὲ δίκαιός ἐστιν, ὥσπερ οὖν καὶ ἔστι, τὸ κατ' ἀξίαν ἑκάστῳ ἀποδώσει, κἂν ἐναῦθα μὴ ἀποδῷ· ὅπερ μάλιστα καὶ τῆς ἀναστάσεώς ἐστιν ἀπόδειξις μεγίστη. Ὅταν γὰρ πολλοὶ τῶν ἐναρέτων φαίνωνται μυρία παθόντες δεινά, καὶ τῶν πονηρῶν πολλῆς ἀπολαύσαντες ἀδείας, ποῦ τὸ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται, εἰ μὴ μέλλοι ἀνάστασις εἶναι, καὶ ἑτέρα ζωή, καὶ κρίσις, καὶ ἀντίδοσις; Εἶτα ἐπειδὴ δικαιοσύνης μνησθείς, ἐφόβησε τὸν ἀκροατὴν ὡς μέλλοντα εὐθύνας ὑπέχειν τῶν ἡμαρτημένων, ταχέως ἐπάγει τὸ φάρμακον, λέγων· «Χρηστὸς ἀνὴρ ὁ οἰκτείρμων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει».

4. Ὅρα πόσα τίθησι τὰ ἔπαθλα τῷ φιλανθρώπῳ· ὅτι μένει διηνεκῶς ὁ καρπός, ὅτι πειρασμῶν ἀπαλλαγήσεται, ὅτι τὸν Θεὸν ζηλώσει (καὶ γὰρ ὁ Θεὸς οἰκτίρμων), ὅτι τῶν οἰκείων ἁμαρτημάτων λήψεται συγγνώμην. Τοῦτο γάρ ἐστιν, «Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει»· τουτέστι, τεύξεται συνηγορίας, τεύξεται ἀπολογίας, οὐκ ἔσται αὐτῷ κατάκρισις τότε, τῆς ἐλεημοσύνης διατιθείσης αὐτῷ τὴν ἀπολογίαν καλῶς. Ἕτερος δὲ ἑρμηνευτής φησιν, «Οἰκονομῶν τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως». Τουτέστι, πολλῆς ἀπολαύσεται εὐημερίας, οὐχ ὑποστήσεταί τι τῶν ἀτόπων, ἅτε ἄριστος οἰκονόμος γενόμενος. Ὡς ὅ γε ὠμὸς καὶ ἀπάνθρω-

Κύριος», πετυχαίνοντας μὲ αὐτὸ διπλὸ σκοπό. Διότι, ἂν εἶναι ἐλεήμων καὶ συγχωρεῖ ἐκείνους ποὺ ἁμαρτάνουν πολλὲς φορές, πολὺ περισσότερο δὲν θὰ παραβλέψει τοὺς ἐνάρετους, ὥστε νὰ τοὺς ἀφήσει νὰ φύγουν ἀστεφάνωτοι. Ἀλλὰ καὶ ἂν ἀκόμα δὲν τοὺς ἀνταποδώσει ἐδῶ τὰ στεφάνια, ὁπωσδήποτε θὰ τ' ἀποδώσει ἐκεῖ. Ἔπειτα προσθέτει ὅτι εἶναι καὶ «Δίκαιος»· ἂν δὲ εἶναι δίκαιος, ὅπως ἀκριβῶς βέβαια καὶ εἶναι, θ' ἀποδώσει στὸν καθένα τὴν ἀμοιβὴ ἀνάλογα μὲ τὴν ἀξία του, καὶ ἂν ἀκόμη δὲν τὴν ἀποδώσει ἐδῶ, πράγμα ποὺ ἀποτελεῖ μάλιστα τὴν πιό μεγάλη ἀπόδειξη τῆς ἀναστάσεως. Διότι, ὅταν πολλοὶ ἀπὸ τοὺς ἐνάρετους φαίνονται νὰ παθαίνουν πολλὰ κακά, καὶ οἱ κακοὶ νὰ ἔχουν ἀπολαύσει πολλὴ ἄνεση, ποῦ θὰ λάβει ὁ καθένας αὐτὸ ποὺ τοῦ ἀξίζει, ἂν πρόκειται νὰ μὴ ὑπάρχει ἀνάσταση, ἄλλη ζωή, κρίση καὶ ἀνταπόδοση; Ἔπειτα ἐπειδὴ μίλησε γιὰ δικαιοσύνη καὶ φόβησε τὸν ἀκροατὴ μὲ τὸ ὅτι πρόκειται νὰ δώσει λόγο γιὰ τὶς ἁμαρτίες του, ἀμέσως προσθέτει τὸ φάρμακο, λέγοντας· «Καλὸς ἄνθρωπος εἶναι ἐκεῖνος ποὺ ἐλεεῖ καὶ δανίζει· αὐτὸς μὲ τὴν ὀρθὴ κρίση του θὰ ρυθμίσει τὰ λόγια του ἔτσι, ὥστε νὰ μὴ θίξει κανένα ἀπ' αὐτοὺς ποὺ ἐλεεῖ».

4. Πρόσεχε μὲ πόσα ἔπαθλα βραβεύει τὸν φιλάνθρωπο· ὅτι παραμένει αἰώνιος ὁ καρπός, ὅτι θ' ἀπαλλαγεῖ ἀπὸ τὶς δοκιμασίες, ὅτι θὰ γίνει μιμητὴς τοῦ Θεοῦ· καθόσον ὁ Θεὸς εἶναι εὐσπλαγχνικός, ὅτι θὰ λάβει συγχώρηση τῶν ἁμαρτημάτων του. Διότι αὐτὸ σημαίνει τὸ «Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει»· δηλαδή, θὰ τύχει συμπαραστάσεως, θὰ κατορθώσει ν' ἀπολογηθεῖ, δὲν θὰ καταδικασθεῖ τότε, διότι ἡ ἐλεημοσύνη θὰ τοῦ δώσει τὴν δυνατότητα νὰ ἔχει καλὴ ἀπολογία. Ἄλλος δὲ ἑρμηνευτὴς λέγει, «Ρυθμίζονται τὰ πράγματά του μὲ φρόνηση καὶ κρίση». Δηλαδή, θ' ἀπολαύσει μεγάλης εὐτυχίας, δὲν θὰ ὑποστεῖ τίποτε τό ἀνάρμοστο, ἐπειδὴ ὑπῆρξε ἄριστος οἰκονόμος. Ἀντίθετα βέβαια ὁ σκληρὸς καὶ ἀπάνθρωπος καὶ ποὺ δὲν

*πος, καὶ μὴ ἐλεῶν, σφόδρα ἀνοικονόμητος. Τί γὰρ ἂν γένοιτο τούτου χαλεπώτερον, ἢ ὅταν περὶ ψυχῆς κινδυνεύειν μέλλων χρημάτων φείδηται, κἀκείνης ἀμελῇ; Διά τοι τοῦτο καὶ ἐκεῖνον τὸν οἰκονόμον ὁ Χριστὸς ἐπήνεσε τὸν ἡνίκα ἔμελλε κινδυνεύειν τὰ γραμματεῖα διαλύσαντα, καὶ χρεωκοπίαν ἐργασάμενον. Πῶς γὰρ οὐκ ἄτοπον ἐν μὲν τῷ παρόντι κινδυνεύοντας βίῳ πάντα τὰ ἑαυτῶν προΐεσθαι, ὥστε ἐξωνεῖσθαι τὸν κίνδυνον, ἐπικινδύνῳ δὲ μέλλοντας παραδίδοσθαι κολάσει, μὴ τοιαύτῃ κεχρῆσθαι οἰκονομίᾳ; Διὰ δὴ τοῦτο φρόνιμον οἰκονόμον φησὶ τὸν ἐλεήμονα, ὀλίγου πολλὰ ἀγοράζοντα, χρημάτων τὸν οὐρανὸν ὠνούμενον, ἱματίου τὴν βασιλείαν, ἄρτου καὶ ψυχροῦ ποτηρίου τὰ μέλλοντα ἀγαθά.*

*Τί γὰρ ταύτης τῆς οἰκονομίας γένοιτ' ἂν ἴσον, ὅταν τὰ ἀπολλύμενα διδούς τις καὶ ῥέοντα καὶ φθειρόμενα, τὰ μέλλοντα καὶ ἀκίνητα ταῦτα λαμβάνῃ, καὶ δι' ἐκείνων καὶ τῆς κατὰ τὸν παρόντα βίον ἀσφαλείας ἀπολαύῃ; Διὰ τοῦτό φησιν, «Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει». Ἢ, ὡς ἕτερός φησιν «Οἰκονομῶν τὰ πράγματα τὰ αὐτοῦ μετὰ κρίσεως. Ποία ἐν κρίσει, ἢ ἐν τῇ μελλούσῃ ἡμέρᾳ; Ἢ ὅτι εὖ διαθήσει τὰ κατ' αὐτὸν ἅπαντα, καὶ οὐδὲν ἐν αὐτοῖς ἔσται συγκεχυμένον, ἀλλὰ πάντα ἐν τάξει κείμενα, πάντα ἀκολουθίᾳ καὶ ὁδῷ βαδίζοντα, οὐδὲν τεταραγμένον ἐν αὐτοῖς οὐδὲ θορυβῶδες, τῆς ἐλεημοσύνης ἅπαντα ἐξευμαριζούσης αὐτῷ. Ὃ καὶ σαφέστερον ποιῶν ἕτερος ἑρμηνευτής, «Οἰκονομῶν τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως», εἶπεν. Ἐλεήμων γὰρ οὗτος ὁ μετὰ κρίσεως οἰκονομῶν τὰ ἑαυτοῦ· ὡς ὅ γε ἕτερος ἄκαρπος, ἀνοικονόμητος.*

*«Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται». Τί τῆς οἰκονομίας ταύτης ἴσον, ὅταν τοιαύτην ὁδὸν εὕρῃ τὴν ἀπαλλάττουσαν αὐ-*

22. Λουκᾶ 16, 8.

ἐλεεῖ, εἶναι πάρα πολὺ κακὸς οἰκονόμος. Διότι τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπ' αὐτό, ὅταν, ἐνῶ κινδυνεύει ἡ ψυχή του, λυπεῖται τὸ χρῆμα καὶ ἀδιαφορεῖ γιὰ ἐκείνην; Γι' αὐτὸ βέβαια καὶ ὁ Χριστὸς ἐπήνεσε τὸν οἰκονόμο ἐκεῖνο, ποὺ, ὅταν κινδύνευσε, κατέστρεψε τὰ γραμμάτια καὶ χρεωκόπησε[22]. Διότι πῶς δὲν εἶναι παράλογο στὴν μὲν παρούσα ζωή, ὅταν κινδυνεύουμε, νὰ τὰ δίνουμε ὅλα, ὥστε ν' ἀπαλλαγοῦμε ἀπὸ τὸν κίνδυνο, ἐνῶ, ὅταν πρόκειται νὰ παραδοθοῦμε σὲ ἐπικίνδυνη κόλαση, νὰ μὴ χρησιμοποιοῦμε τέτοιο μέτρο οἰκονομίας; Γι' αὐτὸ λοιπὸν φρόνιμο οἰκονόμο ὀνομάζει τὸν ἐλεήμονα, ποὺ μὲ λίγα ἀγοράζει πολλά, ποὺ μὲ τὰ χρήματα ἀγοράζει τὸν οὐρανό, μὲ ἔνδυμα τὴ βασιλεία, μὲ ἄρτο καὶ ἕνα ποτήρι κρύο νερὸ τὰ μελλοντικὰ ἀγαθά.

Τί λοιπὸν θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴν οἰκονομία, ὅταν κανεὶς δίνει αὐτὰ ποὺ χάνονται καὶ διαλύονται καὶ καταστρέφονται, καὶ λαμβάνει τὰ μελλοντικὰ αὐτὰ καὶ ἀμετακίνητα, καὶ ἐπὶ πλέον μὲ αὐτὰ ἀπολαμβάνει καὶ τὴν ἀσφάλεια τῆς παρούσης ζωῆς; Γι' αὐτὸ λέγει, «Θὰ ρυθμίσει τὰ λόγια του μὲ κρίση». Ἤ, ὅπως ἄλλος λέγει, «Οἰκονομώντας τὰ πράγματά του μὲ κρίση». Σὲ ποιὰ κρίση, παρὰ στὴν κρίση τῆς μέλλουσας ἡμέρας; Ἢ ὅτι θὰ ρυθμίσει πολὺ καλὰ ὅλα ἐκεῖνα ποὺ τὸν ἀφοροῦν καὶ δὲν θὰ ὑπάρχει σ' αὐτὰ τίποτε τὸ συγκεχυμένο, ἀλλ' ὅλα θὰ εἶναι ρυθμισμένα μὲ τάξη, ὅλα θ' ἀκολουθοῦν καὶ θὰ βαδίζουν τὸ δρόμο τους, τίποτε δὲν θὰ δημιουργεῖ ταραχὴ καὶ θόρυβο, καθόσον ἡ ἐλεημοσύνη θὰ τὰ κάμνει σ' αὐτὸν ὅλα εὔκολα. Καὶ κάμνοντας αὐτὸ σαφέστερο ἄλλος ἑρμηνευτής, εἶπε, «Οἰκονομώντας τὰ πράγματά του. Διότι αὐτὸς ποὺ ρυθμίζει τὰ πράγματά του μὲ ὀρθὴ κρίση εἶναι εὐσπλαχνικός· ὅπως πάλι ὁ ἄλλος εἶναι ἄκαρπος καὶ ὄχι καλὸς οἰκονόμος.

«Αὐτὸς δὲν θὰ σαλευθεῖ στὸν αἰώνα». Τί μπορεῖ νὰ ἐξισωθεῖ μ' αὐτὴν τὴν οἰκονομία, ὅταν βρεῖ μιὰ τέτοια

τὸν τῶν ἀδοκήτων περιστάσεων, καὶ τῶν τοῦ βίου κλυδωνίων ἔξω ποιοῦσαν ὁρμίζεσθαι, καὶ ἄνθρωπος ὢν μηδὲν ἀνθρώπινον ὑπομένῃ, ἢ ὑπομένῃ μέν, μὴ περιτρέπηται δέ; Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅταν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ μὴ κλίνηται, μηδὲ ὑποσκελίζηται. Τί οὖν; οὐκ ἐσαλεύθησαν πολλοὶ τῶν ἐλεημόνων; Οὐδαμῶς. Εἰ γὰρ καὶ πένητες ἐγένοντο, καὶ πρὸς ἐσχάτην πτωχείαν μετηνέχθησαν, καὶ συμφοραῖς περιέπεσον, ἀλλ' ὅμως οὐ περιετράπησαν, ἐννοοῦντες τὰ εἰργασμένα αὐτοῖς, καὶ τὴν εὔνοιαν τοῦ Θεοῦ, καὶ τὴν ἄνωθεν ἐπισπασάμενοι, καὶ ἰσχυράν τινα καὶ ἀσφαλῆ ἄγκυραν, τὸ χρηστὸν λέγω συνειδός, ἔχοντες. Διά τοι τοῦτο οὐκ εἶπεν, ὅτι οὐκ ἐπιβουλευθήσονται, ἀλλ', ὅτι «οὐ σαλευθήσονται». Ὃ δὴ καὶ ἐπ' ἐκείνου ἔλεγεν ὁ Χριστός, τοῦ τὴν οἰκοδομὴν ποιοῦντος ἐπὶ τῆς πέτρας, οὐχ ὅτι οὐχ ὑποστήσεται χειμῶνα, ἀλλ' ὅτι καὶ ὑπομένων χειμῶνα οὐ περιτραπήσεται. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅταν μὴ ἐν ἐρημίᾳ τῶν πειρασμῶν τὸ ἀσφαλὲς αὐτῷ ᾖ, ἀλλὰ καὶ πυκνότητι τῶν μηχανημάτων ἀπερίτρεπτος μένῃ διηνεκῶς. Καὶ γὰρ ἀμήχανον ψυχὴν πλουτοῦσαν ἐλεημοσύνῃ ὑπὸ ἀηδίας παθῶν βαπτισθῆναί ποτε.

«Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος». Ὅρα αὐτὸν οὐκ ἐν τῷ καιρῷ τῆς ζωῆς, ἀλλὰ καὶ μετὰ τὴν τελευτὴν διδάσκοντα πολλοὺς καὶ κατηχοῦντα. Πῶς οὖν οὗτος ἐν τῷ ζῆν πείσεταί τι πονηρόν, ὅταν καὶ τελευτῶν ἑτέροις διδάσκαλος γένηται εὐθυμίας; Ἵνα γὰρ μάθωσι καὶ οἱ σφόδρα ἄπιστοι, ὅτι ἀθάνατος αὐτοῦ ὁ καρπὸς ἐν οὐρανοῖς μένει, ἐνταῦθα δίδωσι τὴν πεῖραν· καὶ γὰρ τοῦ σώματος αὐτοῦ καταχωσθέντος, καὶ τῇ γῇ παραδοθέντος, ἡ μνήμη πανταχοῦ πε-

---

23. Ματθ. 7, 25.

ὁδὸ ποὺ τὸν ἀπαλλάσσει ἀπὸ τὶς ἀπροσδόκητες περιστάσεις, τὸν βοηθᾶ ν' ἀγκυροβολεῖ ἔξω ἀπὸ τὶς τρικυμίες τῆς ζωῆς, καί, ἐνῶ εἶναι ἄνθρωπος, δὲν ὑπομένει τίποτε τὸ ἀνθρώπινο, ἢ ὑπομένει μέν, ἀλλὰ δὲν ἀνατρέπεται ἀπὸ τὴν ὁδὸ ποὺ βαδίζει; Διότι βέβαια τὸ ἀξιοθαύμαστο αὐτὸ εἶναι, τὸ ὅτι δὲν λυγίζει οὔτε ὑποσκελίζεται ἀπὸ τὶς προσβολὲς τῶν δοκιμασιῶν. Τί λοιπόν; δὲν σαλεύθηκαν πολλοὶ ἀπὸ τοὺς ἐλεήμονες; Καθόλου. Διότι καὶ ἂν ἀκόμα φτώχεψαν καὶ κατάντησαν στὴ πιὸ χειρότερη μορφὴ φτώχειας καὶ περιέπεσαν σὲ συμφορές, ἀλλ' ὅμως δὲν ἐκτράπηκαν, σκεπτόμενοι αὐτὰ ποὺ ἔκαμε ὁ Θεὸς γι' αὐτούς, ἔχοντας τὴν ἀγάπη τοῦ Θεοῦ καὶ τὴν οὐράνια βοήθεια, καὶ στηριζόμενοι ἀπὸ κάποια ἰσχυρὴ καὶ ἀσφαλὴ ἄγκυρα, ἐννοῶ τὴν τίμια καὶ ἀγαθὴ συνείδησή τους. Γι' αὐτὸ λοιπὸν δὲν εἶπε, ὅτι δὲν θὰ ἐπιβουλευθοῦν, ἀλλ' ὅτι «Δὲν θὰ σαλευθοῦν». Πράγμα βέβαια ποὺ καὶ ὁ Χριστὸς ἔλεγε γιὰ ἐκεῖνον ποὺ χτίζει τὴν οἰκοδομὴ ἐπάνω στὴν πέτρα[23], ὄχι ὅτι δὲν θὰ ὑποστεῖ τὶς δοκιμασίες τῆς ζωῆς, ἀλλ' ὅτι ὑπομένοντας τὶς δοκιμασίες αὐτὲς δὲν θὰ λυγίσει καὶ θὰ ἐκτραπεῖ. Διότι βέβαια τὸ ἀξιοθαύμαστο αὐτὸ εἶναι, ὅταν ἡ ἀσφάλειά του δὲν προέρχεται ἀπὸ τὴν ἔλλειψη δοκιμασιῶν, ἀλλά, μολονότι δέχεται τὶς πυκνὲς ἐπιθέσεις τῶν μηχανορραφιῶν, αὐτὸς μένει γιὰ πάντα ἀσάλευτος. Καθόσον εἶναι ἀδύνατο ψυχή, ποὺ εἶναι πλούσια σὲ ἐλεημοσύνη, νὰ καταποντισθεῖ κάποτε ἀπὸ τὴν ἀηδία τῶν παθῶν.

«Ὁ δίκαιος θὰ μνημονεύεται αἰώνια». Πρόσεχε αὐτὸν ποὺ διδάσκει πολλοὺς καὶ κατηχεῖ ὄχι μόνο κατὰ τὸν καιρὸ τῆς ζωῆς του, ἀλλὰ καὶ μετὰ τὸ θάνατό του. Πῶς λοιπὸν αὐτὸς θὰ πάθει κατὰ τὴν διάρκεια τῆς ζωῆς του κάποιο κακό, ὅταν καὶ πεθαίνοντας γίνεται σ' ἄλλους δάσκαλος ψυχικῆς γαλήνης; Γιὰ νὰ μάθουν λοιπὸν καὶ οἱ πάρα πολὺ ἄπιστοι, ὅτι μένει ἀθάνατη ἡ ἀμοιβή του στοὺς οὐρανούς, κάμνει ἀπὸ ἐδῶ τὴν ἀρχή· καθόσον, ἐνῶ τὸ σῶμα του παραχώθηκε στὸν τάφο καὶ παραδόθηκε στὴ

*ριφέρεται. Τοιαύτη τῆς ἀρετῆς ἡ δύναμις· οὐκ εἴκει τῷ χρόνῳ, οὐ μαραίνεται τῷ πλήθει τῶν ἡμερῶν. Τοῦτο δὲ γίνεται διὰ τὴν τῶν πονηρῶν σωτηρίαν. Ἐκεῖνοι μὲν γὰρ οὐ δέονται τῆς παρὰ ἀνθρώπων εὐφημίας· οἱ δὲ ἐν κακίᾳ ζῶντες δέονται τῶν ἐκείνων ἐγκωμίων, ὥστε ἀπὸ τῆς εὐφημίας τῶν ἑτέροις κατορθουμένων σπουδαιότεροι γενέσθαι καὶ τῆς κακίας ἀπαλλαγῆναί ποτε. Ποῦ τοίνυν εἰσὶν οἱ τοὺς τάφους τοὺς πολυτελεῖς οἰκοδομοῦντες καὶ τὰς λαμπρὰς οἰκίας ἐγείροντες; Ἀκουέτωσαν τί ποιεῖ μνημόσυνον διηνεκές. Οὐ λίθων οἰκοδομή, οὐδὲ περιβολὴ τοίχων καὶ πύργοι, ἀλλ' ἔργων ἀγαθῶν ἐπίδειξις. Ταῦτα δὲ τίθησι διὰ τοὺς σφόδρα ἀπίστους καὶ τοῖς μέλλουσιν οὐ προσέχοντας, ἵνα ἀπὸ τῶν παρόντων καὶ φαινομένων ἐπισπασάμενος αὐτούς, καὶ πρὸς τὰ μέλλοντα χειραγωγήσῃ· ἄλλως τε καὶ δείκνυσιν ὅτι ἡ ἀρετή, ὃ πολλάκις εἶπον, καὶ πρὸ τῶν ἐπάθλων ἐκείνων ἐν ἑαυτῇ τὴν ἀμοιβὴν ἔχει.*

*5. «Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται». Ἄλλος, «Ἀγγελίαν κακὴν οὐ φοβηθήσεται». Ὥσπερ ἄνω οὐκ εἶπεν, ὅτι οὐκ ἐπιβουλευθήσεται, ἀλλ' ὅτι ἐπιβουλευόμενος οὐ σαλευθήσεται, οὕτω καὶ ἐνταῦθα οὐκ εἶπεν, ὅτι οὐκ ἀκούσεται πονηρὰν ἀγγελίαν, ἀλλ' ὅτι ἀκούων οὐ φοβηθήσεται. Καὶ πῶς οὐ φοβηθήσεται; Κἂν πόλεμον ἴδῃ προσιόντα, κἂν σεισμὸν τὰς πόλεις καταλύοντα, κἂν λῃστὰς καὶ τοιχωρύχους τὰ πάντα ὑφαιρουμένους, κἂν βαρβάρους ἐπιτρέχοντας, κἂν νόσον θάνατον ἀπειλοῦσαν, κἂν δικαστοῦ θυμόν, κἂν ὁτιοῦν ἕτερον, οὐ δέδοικε. Προαπέθηκε γὰρ αὐτοῦ τὸν πλοῦτον ἐν ἀσύλῳ χωρίῳ, καὶ οὐ μόνον οὐ τρέμει τελευτῆς ἐπιούσης, ἀλλὰ καὶ ἐπείγεται ταχέως ἐπιδημῆσαι, ἐν-*

γῆ, ἐξακολουθεῖ νὰ μνημονεύεται παντοῦ. Τέτοια εἶναι ἡ δύναμη τῆς ἀρετῆς· δὲν ὑποχωρεῖ μὲ τὸ πέρασμα τοῦ χρόνου, δὲν μαραίνεται ἀπὸ τὸ πλῆθος τῶν ἡμερῶν. Αὐτὸ δὲ γίνεται γιὰ τὴ σωτηρία τῶν κακῶν. Διότι ἐκεῖνοι μὲν δὲν ἔχουν ἀνάγκη ἀπὸ τὴν ἐξύμνηση ἐκ μέρους τῶν ἀνθρώπων, ἐνῶ ἐκεῖνοι ποὺ ζοῦν μέσα στὴν κακία ἔχουν ἀνάγκη ἀπὸ τὰ ἐγκώμια ἐκείνων, ὥστε ἀπὸ τὴν ἐξύμνηση τῶν κατορθωμάτων τῶν ἄλλων νὰ γίνονται καλύτεροι καὶ ν' *ἀπαλλαγοῦν κάποτε ἀπὸ τὴν κακία τους*. Ποῦ λοιπὸν εἶναι ἐκεῖνοι ποὺ οἰκοδομοῦν τοὺς πολυτελεῖς τάφους καὶ ἀνεγείρουν τὶς λαμπρὲς οἰκίες; Ἂς ἀκούσουν τί εἶναι ἐκεῖνο ποὺ κάμνει νὰ μνημονεύεται κανεὶς αἰώνια. Ὄχι ἡ οἰκοδομὴ λίθων, οὔτε τὸ χτίσιμο τοίχων καὶ πύργων, ἀλλ' ἡ ἐπίδειξη ἀγαθῶν ἔργων. Αὐτὰ δὲ τὰ ἀναφέρει γιὰ τοὺς πάρα πολὺ ἄπιστους καὶ γιὰ τοὺς μελλοντικὰ ἀδιάφορους, ὥστε νὰ τοὺς ἀποσπάσει ἀπὸ τὰ παρόντα καὶ ἀπατηλὰ πράγματα καὶ νὰ τοὺς ὁδηγήσει πρὸς τὰ μελλοντικὰ ἀγαθά. Ἄλλωστε δείχνει, πράγμα ποὺ πολλὲς φορὲς εἶπα, ὅτι ἡ ἀρετή, καὶ πρὶν ἀπὸ τὰ βραβεῖα ἐκεῖνα ἔχει ἀπὸ μόνη της τὴν ἀμοιβή.

5. «Δὲν θὰ φοβηθεῖ ἀπὸ κακὴ φήμη». Ἄλλος λέγει, «Ἀγγελία κακὴ δὲν θὰ φοβηθεῖ». Ὅπως ἀκριβῶς προηγουμένως δὲν εἶπε, ὅτι δὲν θὰ μείνει μακριὰ ἀπὸ τὶς ἐπιβουλές, ἀλλ' ὅτι, ἂν καὶ θὰ ἐπιβουλεύεται, δὲν θὰ σαλευθεῖ, ἔτσι καὶ ἐδῶ δὲν εἶπε, ὅτι δὲν θ' ἀκούσει κακὰ λόγια, ἀλλ' ὅτι, ἂν καὶ θ' ἀκούει, δὲν θὰ φοβηθεῖ. Καὶ πῶς δὲν θὰ φοβηθεῖ; Καὶ εἴτε δεῖ πόλεμο ἐρχόμενο, εἴτε σεισμὸ καὶ πόλεις νὰ καταστρέφονται, εἴτε ληστὲς καὶ κλέπτες ν' ἀφαιροῦν τὰ πάντα, εἴτε βαρβάρους νὰ εἰσβάλλουν, εἴτε ἀσθένεια ποὺ ν' ἀπειλεῖ μὲ θάνατο, εἴτε θυμὸ δικαστῆ, εἴτε ὁτιδήποτε ἄλλο, δὲν φοβᾶται. Διότι τοποθέτησε πρὸ πολλοῦ τὸν πλοῦτο του σὲ μέρος ἀπαραβίαστο καὶ ὄχι μόνο δὲν τρέμει τὸν ἐπερχόμενο θάνατο, ἀλλὰ καὶ βιάζεται γρήγορα νὰ φύγει ἀπ' αὐτὴ τὴ ζωὴ καὶ

θα τὰ τῆς ἐμπορίας αὐτῷ. «Ὅπου γὰρ ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ». Εἰ γὰρ ἔμποροι χρημάτων πολλὰ προπέμψαντες οἴκαδε φορτία, καθ' ἑκάστην ἐπείγονται τὴν ἡμέραν ἰδεῖν τὸν αὐτῶν πλοῦτον, πολλῷ μᾶλλον οὗτος, ὁ ἐν τοῖς οὐρανοῖς τὴν περιουσίαν προαποθέμενος ἅπασαν, θελήσει τῶν παρόντων ἀπορραγεὶς πρὸς τὰ μέλλοντα κατεπείξεσθαι. Οὐδὲν τοίνυν αὐτὸν εἰς φόβον ἐμβαλεῖν δύναιτ' ἄν.

«Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον». Ἕτερός φησιν, «Ἑδραία καρδία αὐτοῦ», ταὐτὸ δηλῶν, καὶ ἑρμηνεύων τὸ ἕτοιμον. Ὃ οὖν λέγει τοῦτό ἐστιν· οὐδέν ἐστι τὸ παρασαλεῦον αὐτόν, καὶ τοῖς παροῦσι προσηλοῦν, ἀλλ' ὅλος δι' ὅλου πρὸς τὸν Θεὸν ἀνατέταται, καὶ τὴν ἐλπίδα ἀναμένει ἐκείνην, καὶ πέπηγε τῇ προσδοκίᾳ ταύτῃ διηνεκῶς ἐρηρεισμένος, καὶ οὐδενὶ τῶν παρόντων μαλακιζόμενος ἢ περισπώμενος. Τοιαῦται γὰρ αἱ τῶν πραγμάτων φροντίδες· σχίζουσι τὴν διάνοιαν καὶ διατέμνουσι τὴν γνώμην. Ἀναγκαῖον τοίνυν πάλιν εἰπεῖν ἐκεῖνο τὸ εὐαγγελικόν· «Ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ».

«Ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ σαλευθῇ». Εἶδες τὸν οἰκοδομοῦντα τὴν οἰκίαν ἐπὶ τὴν πέτραν; Τί γὰρ δύναται δεδοικέναι ὁ γυμνὸς καὶ εὔζωνος καὶ μηδεμίαν μηδενὶ παρέχων λαβήν; τί δύναται δεδοικέναι ὁ τὸν Θεὸν ἵλεω ἔχων καὶ εὐμενῆ; Ὥστε ἑκατέρωθεν αὐτῷ τὰ τῆς ἀσφαλείας, ἔκ τε τῆς ἄνωθεν ῥοπῆς καὶ τῆς κάτωθεν εὐκολίας· καὶ οὐδὲν αὐτὸν παρασαλεῦσαι δύναται, οὐ ζημία χρημάτων, οὐκ ἐπήρειαι, οὐ συκοφαντίαι. Οὐ γὰρ ἔχει ἔνθα βλαβῇ, ἐντεῦθεν μεθορμισάμενος εἰς τὸν οὐρανόν, εἰς χωρίον πονηρίᾳ πάσῃ καὶ ἐπι-

---

24. Ματθ. 6, 21.

νὰ μεταβεῖ ἐκεῖ ποὺ ἔχει τὸ ἐμπόρευμά του. «Διότι ὅπου ὑπάρχει ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ εἶναι καὶ ἡ καρδιά του»[24]. Ἂν λοιπὸν οἱ ἔμποροι χρημάτων ποὺ ἔστειλαν πολλὰ φορτία στὴν πατρίδα τους, καθημερινὰ ἀνυπομονοῦν νὰ δοῦν τὸν πλοῦτο τους, πολὺ περισσότερο αὐτός, ποὺ τοποθέτησε πρὸ πολλοῦ ὅλη τὴν περιουσία του στὸν οὐρανό, θὰ θελήσει ν' ἀπαλλαγεῖ ἀπὸ τὰ παρόντα πράγματα καὶ νὰ μεταβεῖ πρὸς τὰ μελλοντικά. Τίποτε λοιπὸν δὲν μπορεῖ νὰ τοῦ δημιουργήσει φόβο.

«Ἡ καρδιά του εἶναι ἕτοιμη καὶ ἔχει τὴν ἐλπίδα της στηριγμένη στὸν Κύριο». Ἄλλος λέγει, «Ἡ καρδιά του εἶναι σταθερή», δηλώνοντας τὸ ἴδιο καὶ ἑρμηνεύοντας τὴν ἑτοιμότητα. Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Δὲν ὑπάρχει τίποτε ποὺ νὰ τὸν κλονίζει καὶ νὰ τὸν προσκολλᾶ στὰ παρόντα πράγματα, ἀλλ' ὁλόκληρος καὶ μὲ ὅλη τὴν καρδιά του εἶναι ὑψωμένος πρὸς τὸ Θεό, περιμένει ἐκείνη τὴν ἐλπίδα, καὶ εἶναι σταθερὰ καὶ διαρκῶς στηριγμένος σ' αὐτὴ τὴν προσδοκία, καὶ τίποτε ἀπὸ τὰ παρόντα δὲν τὸν ἀποχαυνώνει καὶ δὲν τὸν ἀποσπᾶ. Διότι τέτοιες εἶναι οἱ φροντίδες τῶν ὑλικῶν πραγμάτων· διχάζουν τὴ διάνοια καὶ διασποῦν τὴ γνώμη. Ἀνάγκη λοιπὸν ν' ἀναφέρουμε πάλι ἐκεῖνο τὸ εὐαγγελικό· «Ὅπου βρίσκεται ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ βρίσκεται καὶ ἡ καρδιά του».

«Ἡ καρδιά του εἶναι στηριγμένη στὸν Κύριο καὶ δὲν θὰ σαλευθεῖ». Εἶδες αὐτὸν ποὺ οἰκοδομεῖ τὴν οἰκία του ἐπάνω στὴν πέτρα; Τί λοιπὸν εἶναι δυνατὸ νὰ φοβεῖται ὁ γυμνὸς καὶ καλοοπλισμένος καὶ ποὺ δὲν δίνει σὲ κανένα καμιὰ ἀφορμή; τί μπορεῖ νὰ φοβεῖται ἐκεῖνος ποὺ ἔχει τὴν εὔνοια καὶ τὴν εὐμένεια τοῦ Θεοῦ; Ὥστε εἶναι διπλὴ ἡ ἀσφάλειά του· καὶ τὴν οὐράνια βοήθεια ἔχει καὶ τὴν ἐπίγεια εὐκολία· καὶ τίποτε δὲν μπορεῖ νὰ τὸν κλονίσει, οὔτε ἡ ζημία χρημάτων, οὔτε οἱ βλαβερὲς ἐνέργειες, οὔτε οἱ συκοφαντίες. Διότι δὲν ὑπάρχει δυνατότητα βλάβης ἀπὸ πουθενά, ἀφοῦ μεταφέρθηκε ἀπὸ ἐδῶ στὸν οὐρανό.

*βουλῇ ἄβατον. Καὶ γὰρ ἴστε σαφῶς, ὅτι πᾶσαι αἱ ἐπιβουλαὶ περὶ χρήματα καὶ χρημάτων ἕνεκεν, καὶ περὶ ταῦτα τῶν ἀνθρώπων ἡ πᾶσα σπουδή. «Ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ». Τίς δὲ τοῦ τοιούτου ὁ ἐχθρός, ἀλλ' ἢ οἱ πονηροὶ δαίμονες καὶ αὐτὸς ὁ διάβολος;*

*«Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα». Ἐπειδὴ γὰρ ἐλεημοσύνης ἐμνήσθη καὶ τοῦ κιχρᾶν καὶ τοῦ οἰκτείρειν, ἐλεημοσύνης δὲ μέτρα πολλὰ (ὁ μὲν γὰρ ἔλαττον, ὁ δὲ πλεῖον δίδωσιν), ἴδωμεν ποῖον ἐλεήμονά φησι, τὸν ἐκ τοῦ περισσεύματος παρέχοντα, ἢ τὸν ὄντα κενοῦντα. Εὔδηλον ὅτι τὸν τὰ ὄντα κενοῦντα, τὸν ἀφειδῶς κεχρημένον τῷ πράγματι· οἷον Παῦλος ζητεῖ λέγων· «Ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει». Ὅρα δὲ πῶς ὁ προφήτης ἄριστα ταῖς λέξεσι κέχρηται. Οὐ γὰρ εἶπε, 'δέδωκε', 'διένειμεν', ἀλλ' «Ἐσκόρπισεν», ὁμοῦ καὶ τὴν δαψίλειαν τοῦ παρέχοντος δηλῶν, καὶ σπόρον τὸ πρᾶγμα ὀνομάζων. Τοιοῦτον γὰρ οἱ σπείροντες· σκορπίζουσι τὰ ἀποκείμενα, καὶ τὰ δῆλα προδιδόασιν, ἵνα τὰ μέλλοντα λάβωσι. Τοῦτο συλλογῆς κρεῖττον· καὶ γὰρ οὕτω σκορπίζειν πολλῷ τοῦ συλλέγειν βέλτιον. Σκορπίζεται χρήματα, καὶ συλλέγεται δικαιοσύνη· σκορπίζεται τὰ μὴ μένοντα, ἵνα πορισθῇ τὰ μένοντα. Τοῦτο καὶ γηπόνοι ποιοῦσιν. Ἀλλ' ἐκεῖνοι μὲν ἐπ' ἀδήλοις, γῆ γάρ ἐστιν ἡ ὑποδεχομένη, σὺ δὲ εἰς τὴν χεῖρα τοῦ Θεοῦ, ὅθεν οὐδέν ἐστιν ἀπολέσαι. Ὅταν οὖν ἴδῃς, ὅτι*

---

25. Β΄ Κορ. 9, 6.

σὲ μέρος ποὺ εἶναι ἀδιάβατο γιὰ κάθε κακία καὶ ἐπιβουλή. Καθόσον γνωρίζετε πολὺ καλά, ὅτι ὅλες οἱ ἐπιβουλὲς γίνονται γιὰ τὰ ὑλικὰ πράγματα καὶ γιὰ τὰ χρήματα καὶ ὅλη ἡ φροντίδα τῶν ἀνθρώπων συγκεντρώνεται σ' αὐτά. «Μέχρι ποὺ νὰ δεῖ ταπεινωμένους τοὺς ἐχθρούς του». Ποιὸς δὲ εἶναι ὁ ἐχθρὸς αὐτοῦ τοῦ ἀνθρώπου, παρὰ οἱ πονηροὶ δαίμονες καὶ ὁ ἴδιος ὁ διάβολος;

«Σκόρπισε τὰ ὑπάρχοντά του καὶ ἔδωσε στοὺς φτωχούς· ἡ δικαιοσύνη του μένει αἰώνια». Ἐπειδὴ λοιπὸν μίλησε γιὰ ἐλεημοσύνη καὶ δανεισμὸ καὶ εὐσπλαχνία, ὑπάρχουν δὲ πολλὰ μέτρα ἐλεημοσύνης, (καθόσον ὁ μὲν ἕνας δίνει λίγα, ὁ δὲ ἄλλος περισσότερα), ἂς δοῦμε ποιόν ἐλεήμονα ἐννοεῖ, ἐκεῖνον ποὺ δίνει ἀπὸ τὸ περίσσευμά του, ἢ ἐκεῖνον ποὺ δίνει ὅλα τὰ ὑπάρχοντά του. Εἶναι ὁλοφάνερο πὼς ἐννοεῖ ἐκεῖνον ποὺ δίνει ὅλα τὰ ὑπάρχοντά του, ἐκεῖνον ποὺ σκορπίζει αὐτὰ μὲ πολλὴ ἀπλοχεριά, πράγμα ποὺ ζητεῖ ὁ Παῦλος λέγοντας· «Ἐκεῖνος ποὺ σπείρει μὲ ἀφθονία, μὲ ἀφθονία καὶ θὰ θερίσει»[25]. Πρόσεχε δὲ πῶς καὶ ὁ προφήτης χρησιμοποιεῖ ἄριστα τὶς λέξεις. Διότι δὲν εἶπε 'ἔδωσε', 'μοίρασε', ἀλλὰ «Σκόρπισε», φανερώνοντας συγχρόνως καὶ τὴν ἀφθονία ἐκείνου ποὺ δίνει καὶ ὀνομάζοντας σπόρο τὸ πράγμα. Διότι τέτοιοι εἶναι αὐτοὶ ποὺ σπείρουν· σκορπίζουν τὰ ὑπάρχοντά τους καὶ δίνουν ἐκ τῶν προτέρων τὰ φανερά, γιὰ νὰ λάβουν τὰ μελλοντικά. Αὐτὸ εἶναι καλύτερο ἀπὸ τὴ συλλογή· καθόσον ἔτσι τὸ σκόρπισμα εἶναι κατὰ πολὺ καλύτερο ἀπὸ τὴ συλλογή. Σκορπίζει χρήματα καὶ συγκεντρώνει δικαιοσύνη, σκορπίζει τὰ μὴ αταθερά, γιὰ ν' ἀποκτήσει τὰ σταθερὰ καὶ αἰώνια. Αὐτὸ κάμνουν καὶ οἱ γεωργοί. Ἀλλ' ἐκεῖνοι μὲν τὸ κάμνουν σὲ πράγματα ποὺ δὲν εἶναι φανερά, διότι ἡ γῆ εἶναι ἐκείνη ποὺ δέχεται τὸ σπόρο, ἐνῶ σὺ τὸ σκορπίζεις στὰ χέρια τοῦ Θεοῦ, ἀπ' ὅπου δὲν εἶναι δυνατὸν τίποτε νὰ χάσεις. Ὅταν λοιπὸν σκεφθεῖς ὅτι

*τὸ χρυσίον καλόν, καὶ ὀκνήσῃς ἐκβαλεῖν, ἐννόησον τοὺς σπείροντας, οἳ ἀπὸ δαπάνης ἄρχονται καὶ ἀναλωμάτων, καὶ ταῦτα ἕκαστος τούτων ἀδήλοις ἐγχειρίζων τοῖς πράγμασι· καὶ γὰρ καὶ κύματα, καὶ κόλποι γῆς, καὶ γραμματεῖα τῶν ὀφειλόντων, πάντα ἄδηλα. Καὶ γὰρ πολλάκις ἐν τῷ κεφαλαίῳ τὴν ζημίαν ὑπέμειναν οἱ δανείσαντες, ὁ δὲ τὸν οὐρανὸν γεωργῶν, οὐδὲν τούτων δέδοικεν, ἀλλὰ καὶ περὶ τοῦ κεφαλαίου καὶ περὶ τοῦ τόκου θαρρεῖν ἔχει, εἴ γε τὸ τοιοῦτον τόκον δεῖ καλεῖν, ἀλλ' οὐχὶ καὶ τοῦ κεφαλαίου πολλῷ πλέον. Τὸ μὲν γὰρ κεφάλαιον χρήματα, ὁ δὲ τόκος οὐρανῶν βασιλεία.*

*Εἶδες δανείσματος φύσιν, τοῦ κεφαλαίου πολλῷ μείζονα ἔχουσαν τὸν τόκον; Καὶ ταῦτα μὲν ἐν τῷ μέλλοντι, ἐν δὲ τῷ παρόντι ἐλευθερίας ἀπολαύσῃ πολλῆς. Τὸ ἀνεπιβούλευτον ἕξεις, τῶν συκοφαντῶν καὶ τῶν ἐπιβουλευτῶν τὴν ἐπιθυμίαν σβέσεις· ἐν ἀδείᾳ βιώσῃ τὸν ἅπαντα βίον, οὔτε ταῖς φροντίσι τῶν ὄντων ἀποτεινόμενος, ἀλλὰ ταῖς ἐλπίσι τῶν μελλόντων πτερούμενος. «Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ». Ὃ μάλιστα ποθεινὸν ἀνθρώποις, τοῦτο συνεχῶς τίθησι, τὸ λαμπρὸν καὶ ἐπίσημον, ὃ καὶ ἐκεῖ αὐτοὺς διαδέξεται, καὶ ἐνταῦθα αὐτοῖς μετὰ πολλῆς ἔσται τῆς περιουσίας. Οὐδεὶς γὰρ οὕτω λαμπρὸς καὶ ἐπίδοξος, ὡς ὁ ἐλεήμων.*

*6. Καὶ εἰ βούλει, λάβε τοὺς ἐν ταῖς ἱπποδρομίαις καὶ ἐν τοῖς θεάτροις εἰκῇ τὰ αὐτῶν δαπανῶντας· ἄγε εἰς μέσον τὸν ἐλεήμονα, καὶ τότε ὄψει ὅσος ἑκατέροις ὁ καρπός· πῶς τοῦτον μὲν ἅπαντες κροτοῦσι διηνεκῶς, καὶ θαυμάζου-*

εἶναι καλὸς ὁ χρυσὸς καὶ διστάσεις νὰ τὸν βγάλεις καὶ νὰ τὸν σκορπίσεις, σκέψου τοὺς σπορεῖς, σκέψου τοὺς δανειστές, σκέψου τοὺς ἐμπόρους, ποὺ ἀρχίζουν μὲ δαπάνη καὶ ἔξοδα, καὶ ὁ καθένας ἀπὸ αὐτοὺς παραδίνει αὐτὰ σὲ πράγματα ἄγνωστα· καθόσον ὅλα εἶναι ἄγνωστα καὶ τὰ κύματα καὶ οἱ κόλποι τῆς γῆς καὶ τὰ γραμμάτια τῶν ὀφειλετῶν. Καὶ πράγματι πολλὲς φορὲς οἱ δανειστὲς ὑπέστησαν καὶ ζημιὰ στὸ κεφάλαιό τους, ἐνῶ ἐκεῖνος ποὺ σπέρνει στὸν οὐρανό, τίποτε ἀπ' αὐτὰ δὲν φοβεῖται, ἀλλ' ἔχει αἰσιοδοξία καὶ γιὰ τὸ κεφάλαιο καὶ γιὰ τὸν τόκο, ἂν βέβαια πρέπει νὰ ὀνομάζει αὐτὸ τὸ πράγμα τόκο, καὶ ὄχι σὰν κάτι πολὺ περισσότερο καὶ ἀπ' τὸ κεφάλαιο. Διότι τὸ μὲν κεφάλαιο εἶναι χρήματα, ἐνῶ ὁ τόκος βασιλεία τῶν οὐρανῶν.

Εἶδες μορφὴ δανείσματος, ποὺ ἔχει τὸν τόκο πολὺ πιὸ μεγαλύτερο ἀπὸ τὸ κεφάλαιο; Καὶ αὐτὰ μὲν θὰ συμβοῦν στὴ μέλλουσα ζωή, ἐνῶ στὴν παροῦσα ζωὴ θ' ἀπολαύσεις πολλὴ ἐλευθερία. Θὰ εἶσαι ἀπαλλαγμένος ἀπὸ ἐπιβουλές, θὰ σβήσεις τὴν ἐπιθυμία τῶν συκοφαντῶν καὶ τῶν ἐπίβουλων· μὲ ἀφοβία θὰ περάσεις ὅλη τὴ ζωή σου, χωρὶς ν' ἀπορροφᾶσαι ἀπὸ τὶς φροντίδες τῶν ὑλικῶν πραγμάτων, ἀλλὰ θ' ἀναπτερώνεσαι ἀπὸ τὶς ἐλπίδες γιὰ τὰ μελλοντικὰ πράγματα. «Ἡ δύναμή του θὰ ἐξυψωθεῖ γεμάτη ἀπὸ δόξα». Ἐκεῖνο ποὺ κατ' ἐξοχὴ εἶναι ποθητὸ ἀπὸ τοὺς ἀνθρώπους, αὐτὸ συνεχῶς ἀναφέρει, τὴ λαμπρότητα καὶ τὴν περιφάνεια, πράγμα ποὺ καὶ ἐκεῖ θὰ τοὺς διαδεχθεῖ καὶ ἐδῶ θὰ τὸ ἔχουν μὲ μεγάλη ἀφθονία. Διότι κανένας δὲν εἶναι τόσο λαμπρὸς καὶ ἔνδοξος, ὅσο ἐκεῖνος ποὺ ἐλεεῖ.

6. Καὶ ἂν θέλεις λάβε ἐκείνους ποὺ δαπανοῦν τὰ ὑπάρχοντά τους ἄσκοπα στὶς ἱπποδρομίες καὶ στὰ θέατρα· ὁδήγησε ἀνάμεσα σ' αὐτοὺς τὸν ἐλεήμονα, καὶ τότε θὰ δεῖς ποιὰ εἶναι ἡ ἀμοιβὴ γιὰ τὸν καθένα ἀπ' αὐτούς· πῶς δηλαδὴ αὐτὸν μὲν τὸν χειροκροτοῦν συνέχεια καὶ τὸν

*σι, κοινὸν πατέρα καὶ λιμένα ἡγούμενοι, ἐκεῖνον δὲ τὴν ἡμέραν ἐκείνην κροτήσαντες μόνον ἀκαίρῳ τινὶ καὶ ἀλογίστῳ ὁρμῇ, μετὰ ταῦτα διαβάλλουσιν, ὡς ἀπάνθρωπον, ὡς ὠμόν, ὡς κενόδοξον, ὡς ἀσελγείας διάκονον καὶ πονηρίας ὑπηρέτην. Ἀλλὰ καὶ ἐν τοῖς συλλόγοις, εἴποτε τοιοῦτοι γίνονται λόγοι, ἐκείνων μὲν τὰ ἀναλώματα στίζεται, καὶ διαβάλλονται αἱ δαπάναι, τούτων δὲ οὐδείς ἐστιν οὕτως ἀναίσχυντος καὶ μιαρός, ὃς κἂν μυριάκις ὠμότατος ᾖ καὶ ἀπάνθρωπος, οὐκ ἔσται ἐπαινέτης καὶ θαυμαστής. Τοιοῦτον γὰρ ἡ ἀρετή· καὶ παρὰ τοῖς μὴ μετιοῦσιν αὐτὴν ἐπαινετή· ὥσπερ οὖν ἡ κακία καὶ παρὰ τοῖς μετιοῦσι βδελυρά, καὶ κατηγορίας ἀνάμεστος. Διά τοι τοῦτο ἐκείνους μὲν οὐδὲ οἱ λαμβάνοντες ἐπαινοῦσι, πόρναι, καὶ ἡνίοχοι, καὶ ὀρχησταί, ἀλλὰ καὶ κακῶς ἐροῦσι, τοῦτον δὲ οὐχ οἱ λαβόντες πένητες μόνον, ἀλλὰ καὶ οἱ μὴ τῆς φιλοτιμίας ἀπολαύσαντες θαυμάσονται καὶ φιλήσουσιν ἅπαντες.*

*«Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται». Τοιοῦτον ἡ ἀρετή· ἐπαχθὲς καὶ φορτικὸν τῇ κακίᾳ. Καὶ γὰρ καθάπερ τὸ πῦρ ἐκκαίει τὰς ἀκάνθας, οὕτω δὴ καὶ ἡ φιλανθρωπία τοὺς ἀπανθρώπους καὶ ὠμοὺς παροξύνει· ἔλεγχος γὰρ αὐτῶν ἐστι καὶ κατηγορία τῆς κακίας. Ἀλλ' ὅρα αὐτὸν οὐδὲ ἐν τῇ τηκεδόνι τολμῶντα κατηγορῆσαι καὶ ἀντιβλέψαι τῷ φαιδρῷ τῆς ἀρετῆς ὄμματι, ἀλλὰ καὶ τὴν διάνοιαν τηκόμενον καὶ τὴν ὀδύνην διὰ τῶν ὀδόντων ἐπιδεικνύμενον, ῥῆμα δὲ ἐξενεγκεῖν οὐ τολμῶντα, ἀλλὰ τηκόμενον καὶ κατατεινόμενον. Τοιοῦτον γὰρ ἡ κακία· κἂν εἰς αὐτὰ ἀναβῇ τὰ σκῆπτρα, καὶ ἐγγὺς τῶν τὰ διαδήματα περικειμένων στῇ, πάντων ἐστὶν εὐτελεστέρα καὶ δειλοτέ-*

θαυμάζουν, θεωρώντας τον κοινὸ πατέρα καὶ λιμάνι, ἐνῶ ἐκεῖνον, ἀφοῦ τὸν χειροκρότησαν μόνο ἐκείνη τὴν ἡμέρα, παρακινούμενοι ἀπὸ κάποια πρόσκαιρη καὶ ἀπερίσκεπτη ὁρμή, στὴ συνέχεια τὸν κατηγοροῦν σὰν ἀπάνθρωπο, σὰν σκληρό, σὰν κενόδοξο, σὰν ὑπηρέτη τῆς ἀσέλγειας καὶ σὰν δοῦλο τῆς κακίας. Ἀλλὰ καὶ στὶς συγκεντρώσεις, ἂν κάποτε γίνονται συζητήσεις, ἐκείνων τὰ ἔξοδα στιγματίζονται καὶ κατηγοροῦνται οἱ δαπάνες, ἐνῶ αὐτῶν κανένας δὲν εἶναι τόσο ἀναίσχυντος καὶ βδελυρός, ποὺ, καὶ ἂν ἀκόμα εἶναι σὲ ἀμέτρητο βαθμὸ σκληρὸς καὶ ἀπάνθρωπος, νὰ μὴ τοὺς ἐπαινεῖ καὶ νὰ τοὺς θαυμάζει. Διότι τέτοια εἶναι ἡ ἀρετή· ἐπαινεῖται καὶ ἀπὸ ἐκείνους ποὺ δὲν τὴν ἀσκοῦν· ὅπως ἀκριβῶς βέβαια ἡ κακία εἶναι βδελυρὴ καὶ κατηγορεῖται καὶ ἀπὸ ἐκείνους ποὺ τὴν ἀσκοῦν. Γι' αὐτὸ λοιπὸν ἐκείνους μὲν δὲν τοὺς ἐπαινοῦν οὔτε ἐκεῖνοι ποὺ παίρνουν ἀπ' αὐτούς, οἱ πόρνες δηλαδή, οἱ ἡνίοχοι καὶ οἱ χορευτές, ἀλλὰ καὶ τοὺς κακολογοῦν, ἐνῶ αὐτὸν τὸν ἐπαινοῦν ὄχι μόνο οἱ πτωχοὶ ποὺ εὐεργετήθηκαν ἀπ' αὐτόν, ἀλλὰ καὶ θὰ τὸν θαυμάσουν καὶ θὰ τὸν ἀγαπήσουν καὶ ὅλοι ἐκεῖνοι ποὺ δὲν ἀπόλαυσαν τὴν γενναιοδωρία του.

«Ὁ ἁμαρτωλὸς θὰ τὰ δεῖ αὐτὰ καὶ θὰ ὀργισθεῖ· θὰ τρίξει τὰ δόντια του καὶ θὰ λειώσει ἀπὸ τὸ φθόνο του». Τέτοια εἶναι ἡ ἀρετή· εἶναι μισητὴ καὶ ἐνοχλητικὴ στὴν κακία. Καθόσον, ὅπως ἀκριβῶς ἡ φωτιὰ καίει τὰ ἀγκάθια, ἔτσι λοιπὸν καὶ ἡ φιλανθρωπία παροργίζει τοὺς ἀπάνθρωπους καὶ σκληρούς, διότι ἀποτελεῖ ἔλεγχο καὶ κατηγορία τῆς κακίας. Ἀλλὰ πρόσεχε αὐτὸν πού, παρ' ὅλο τὸ φθόνο του, δὲν τολμᾶ νὰ κατηγορήσει καὶ ν' ἀντικρύσει τὸ φαιδρὸ πρόσωπο τῆς ἀρετῆς, ἀλλά, ἂν καὶ λειώνει ἡ διάνοιά του καὶ δείχνει τὸν ἀφόρητο πόνο μὲ τὰ δόντια του, ὅμως δὲν τολμᾶ νὰ βγάλει λέξη, ἀλλὰ λειώνει καὶ ὑποφέρει ἀπὸ τὴν κακία του. Διότι τέτοια εἶναι ἡ κακία· καὶ ἂν ἀκόμα ἀνεβεῖ στὰ πιὸ ψηλὰ ἀξιώματα καὶ σταθεῖ κοντὰ σ' ἐκείνους ποὺ φοροῦν τὰ βασιλικὰ στέματα, εἶναι εὐτελέστερη

ρα, καὶ θορύβῳ τινὶ καὶ ταραχῇ ἔοικε, καὶ θαλάττῃ μαινομένῃ, κἂν μυρίαν ᾖ περιβεβλημένη δυναστείαν· ὥσπερ οὖν ἡ ἀρετὴ τοὐναντίον. Κἂν γὰρ εἰς ἐσχάτην ᾖ πενίαν, κἂν παρ' αὐτῷ τῷ δεσμωτηρίῳ, τῶν βασιλευόντων ἐστὶ λαμπροτέρα, καὶ πολλῆς ἀπολαύει τῆς ἀδείας, καὶ ἐν γαλήνῃ κάθηται καὶ ἀκυμάντῳ λιμένι, οὐ μόνον οὐδὲν πάσχουσα παρὰ τῶν πονηρῶν, ἀλλὰ καὶ ἐν τῷ σιγᾶν ἀμύνασθαι αὐτοὺς δυναμένη, καὶ τὴν ἐσχάτην τῆς πονηρίας ἀπαιτοῦσα δίκην.

Τί γὰρ ἂν γένοιτο ἀνθρώπου ἀθλιώτερον τοῦ ἐν πονηρίᾳ ζῶντος, ὅταν πρὸς τῷ δουλεύειν τοῖς χρήμασι καὶ τοῖς ἑτέρων κατορθώμασι δάκνηται, καὶ τὴν ἑτέρων εὐδοκίμησιν οἰκείαν ἡγῆται τιμωρίαν εἶναι, καὶ δίκην αὐτὸς ἑαυτὸν ἀπαιτῇ, καταξαίνων ἑαυτοῦ τὸ συνειδός, κατατείνων ἑαυτοῦ τὴν διάνοιαν, δήμιος αὐτὸς ἑαυτοῦ γινόμενος; Εἶδες ἀρετῆς δύναμιν καθ' ὑπερβολήν; εἶδες κακίας ἀσθένειαν καὶ ἀθλιότητα; Ἀλλ' οὐκ ἐν τούτῳ μόνῳ ἕστηκεν αὐτοῦ τὰ τῆς συμφορᾶς, ἀλλὰ καὶ ἐν ἑτέροις πλείοσιν· ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἐπήγαγε, λέγων· «Ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται». Τί ἐστιν, «Ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται»; Οὐδαμοῦ, φησίν, ἵσταται. Ἐπειδὴ γὰρ τὰ ἐπιθυμήματα αὐτοῦ τοιαῦτα ῥευστὰ καὶ παρατρέχοντα, καὶ ἡ ἐπιθυμία μιμεῖται τὰ πράγματα, σβεννυμένη καὶ ἀπολλυμένη, καὶ ῥίζαν οὐδεμίαν ἔχουσα. Εἰ δὲ ἐνταῦθα τοιαῦτα τὰ τοῦ ἁμαρτωλοῦ, ἐννόησον τὰ ἐν τῷ μέλλοντι αἰῶνι ἡλίκα.

Ἵνα οὖν μὴ ταῦτα πάθωμεν, ταύτην φυγόντες τὴν ὁδόν, ἐκείνην ἑλώμεθα, καὶ βαδίζωμεν διηνεκῶς τὴν ἀσφαλῆ, τὴν ἀχείρωτον, τὴν ἡδονῆς γέμουσαν, τὴν δόξης ἐμπεπλησμένην, τὴν οὐρανὸν ἡμῖν προξενοῦσαν, τὴν πρὸς πάντα

καὶ δειλότερη ἀπὸ ὅλους, καὶ μοιάζει μὲ κάποιο θόρυβο καὶ ταραχὴ καὶ θάλασσα μανιασμένη, καὶ ἂν ἀκόμα περιβάλλεται ἀπὸ ἀπέραντη ἐξουσία· ὅπως ἀκριβῶς βέβαια ἡ ἀρετὴ εἶναι τὸ ἀντίθετο. Διότι, καὶ ἂν ἀκόμα καταντήσει στὴν πιὸ χειρότερη φτώχεια, καὶ ἂν ἀκόμα μέσα στὴ φυλακή, εἶναι λαμπρότερη ἀπὸ τοὺς βασιλεῖς, ἀπολαμβάνει μεγάλη ἀσφάλεια, καὶ ζεῖ μέσα σὲ γαλήνη καὶ σὲ ἀκύμαντο λιμάνι, καὶ ὄχι μόνο δὲν παθαίνει τίποτε ἀπὸ τοὺς κακούς, ἀλλὰ καὶ μὲ τὴ σιωπή της μπορεῖ ν' ἀντιμετωπίζει αὐτοὺς καὶ ν' ἀπαιτεῖ τὴν πιὸ χειρότερη τιμωρία τῆς κακίας.

Πράγματι τί θὰ μποροῦσε νὰ ὑπάρξει ἀθλιώτερο ἀπὸ τὸν ἄνθρωπο ἐκεῖνο ποὺ ζεῖ μέσα στὴν κακία, ὅταν στενοχωρεῖται δουλεύοντας γιὰ τὰ χρήματα καὶ ἀπὸ τὰ κατορθώματα τῶν ἄλλων, καὶ θεωρεῖ τιμωρία του τὴν ἐπιτυχία τῶν ἄλλων, καὶ τιμωρεῖ ὁ ἴδιος τὸν ἑαυτό του, κατακοματιάζοντας τὴ συνείδησή του, καταβασανίζοντας τὴ διάνοιά του καὶ γενόμενος ὁ ἴδιος δήμιος τοῦ ἑαυτοῦ του; Εἶδες τὴν ὑπερβολικὴ δύναμη τῆς ἀρετῆς; εἶδες τὴν ἀδυναμία καὶ τὴν ἀθλιότητα τῆς κακίας; Καὶ ὅμως δὲν σταματοῦν μέχρις ἐδῶ μόνο οἱ συμφορές του, ἀλλὰ προχωροῦν καὶ σὲ πολλὰ ἄλλα· αὐτὸ ἀκριβῶς λοιπὸν θέλοντας καὶ αὐτὸς νὰ δηλώσει, πρόσθεσε τὰ ἑξῆς λόγια· «Ἡ ἐπιθυμία τῶν ἁμαρτωλῶν θὰ μείνει ἀπραγματοποίητη». Τί σημαίνει «Ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται»; Πουθενά, λέγει, δὲν στέκεται. Διότι, ἐπειδὴ αὐτὰ ποὺ ἐπιθυμεῖ εἶναι τόσο ἀσταθὴ καὶ φεύγουν καὶ χάνονται, καὶ ἡ ἐπιθυμία μιμεῖται τὰ πράγματα, σβήνει καὶ χάνεται καὶ δὲν ἔχει καμιὰ ρίζα. Ἂν δὲ τέτοια εἶναι ἐδῶ τὰ πράγματα τοῦ ἁμαρτωλοῦ, σκέψου ποιὰ θὰ εἶναι στὴ μέλλουσα ζωή.

Γιὰ νὰ μὴ πάθουμε λοιπὸν αὐτά, ἀφοῦ ἀποφύγουμε αὐτὴ τὴν ὁδό, ἂς προτιμήσουμε ἐκείνη, καὶ ἂς βαδίζουμε συνεχῶς τὴν ἀσφαλή, τὴν ἀπρόσβλητη, τὴ γεμάτη ἀπὸ χαρά, τὴ γεμάτη ἀπὸ δόξα, ποὺ μᾶς χαρίζει τὸν οὐρανό,

*τοῦ Θεοῦ τὴν εὔνοιαν ἡμῖν παρεχομένην, τὴν φιλοσοφεῖν παρασκευάζουσαν, τὴν τοσαῦτα ἔχουσαν ἀγαθά, ὅσα οὐδὲ λόγος παραστῆσαι δυνήσεται, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ (τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν).*

πού μᾶς παρέχει πάντα τὴν ἀγάπη τοῦ Θεοῦ, ποὺ μᾶς δίνει τὴ δυνατότητα γιὰ εὐσεβὴ ζωή, ποὺ ἔχει τόσα πολλὰ ἀγαθά, ὅσα δὲν μποροῦν μὲ λόγια νὰ περιγραφοῦν, τὰ ὁποῖα μακάρι νὰ συμβεῖ ὅλοι μας νὰ τὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ φιλανθρωπία (τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο, μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ Ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων Ἀμήν).

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΙΒ΄ ΨΑΛΜΟΝ

«Αἰνεῖτε, παῖδες, Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου».

1. Πολὺς ἐν ταῖς Γραφαῖς τῶν αἴνων τούτων ὁ λόγος· οὐδὲ γὰρ τὸ τυχὸν πρᾶγμά ἐστιν, ἀλλὰ θυσία τις καὶ προσφορὰ ἀρέσκουσα τῷ Θεῷ· «Θυσία γάρ, φησίν, αἰνέσεως δοξάσει με». Καὶ πάλιν· «Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει· καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς». Καὶ πολλαχοῦ καὶ αἱ ἱεραὶ βίβλοι τοῦτο παρακελεύονται, καὶ οἱ σωζόμενοι ἀντὶ μεγάλων εὐχαριστηρίων τοῦτο προσφέρουσι. Καὶ ποίαν τοῦτο δυσκολίαν ἔχει; φησί· τίνι δὲ οὐ ῥάδιον καὶ τῶν τυχόντων αὐτὸ ἀνύειν καὶ αἰνεῖν τὸν Θεόν; Ἂν ἀκριβῶς καταμάθῃς, ὄψει καὶ τὸν πόνον τὸν ἐν τῷ πράγματι, καὶ τὸ κέρδος τὸ ἐξ αὐτοῦ. Πρῶτον μὲν γὰρ παρὰ δικαίων ὁ τοιοῦτος ἐπιζητεῖται ὕμνος, καὶ δεῖ πρότερον τὸν βίον κατορθοῦντα, οὕτως ᾄδειν ὕμνους τῷ Θεῷ. Οὐ γὰρ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ. Δεύτερον δέ, ὅτι οὐχὶ διὰ ῥημάτων μόνον ἐστὶν αἰνεῖν, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων, καὶ τοῦτον μάλιστα ἐπιζητεῖ ὁ Θεὸς τὸν αἶνον, ταύτην τὴν δόξαν· «Λαμψάτω» γάρ, φησί, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Οὕτως αἰνεῖ τὰ Χερουβίμ. Διὸ τοῦτο καὶ ὁ προφήτης ἀκούσας τῆς μελῳδίας ἐκείνης τῆς μυστικῆς, ταλανίζει ἑαυτόν, λέγων· «Οἴ

---

1. Ο συγγραφέας καὶ ἡ ἐποχὴ τῆς συγγραφῆς τοῦ ψαλμοῦ παραμένουν ἄγνωστα. Σ' ὅλο τὸν ψαλμὸ ἐξαίρεται ἡ συγκατάβαση τοῦ ἀπείρου Θεοῦ πρὸς τὸν ἄνθρωπο.
2. Ψαλμ. 49, 23.
3. Ψαλμ. 68, 31 - 32.
4. Σοφ. Σειρ. 15, 9.
5. Ματθ. 5, 16.

# Ο Μ Ι Λ Ι Α
# ΣΤΟΝ ΡΙΒ΄ ΨΑΛΜΟ[1]

«Ὑμνεῖτε, δοῦλοι, τὸν Κύριο, ὑμνεῖτε τὸ ὄνομα τοῦ Κυρίου».

1. Στὶς γραφὲς γίνεται πολὺ λόγος γι' αὐτοὺς τοὺς ὕμνους· διότι δὲν εἶναι κάποιο τυχαῖο πράγμα, ἀλλ' εἶναι εἶδος θυσίας καὶ προσφορὰ ποὺ ἀρέσει στὸ Θεό· διότι λέγει, «Θυσία δοξολογίας θὰ μὲ δοξάσει»[2]. Καὶ πάλι· «Θὰ ὑμνήσω τὸ ὄνομα τοῦ Θεοῦ μου μὲ ᾠδές, θὰ μεγαλύνω αὐτὸν μὲ ὕμνους, καὶ αὐτὸ θ' ἀρέσει στὸ Θεὸ περισσότερο ἀπὸ τὴ θυσία νέου μοσχαριοῦ, ποὺ βγάζει κέρατα καὶ νύχια»[3]. Καὶ σὲ πολλὰ μέρη καὶ τὰ ἱερὰ βιβλία αὐτὸ παραγγέλουν καὶ οἱ σωζόμενοι αὐτὸ προσφέρουν σ' ἔνδειξη τῶν μεγάλων εὐχαριστιῶν τους. Καὶ ποιὰ δυσκολία, λέγει, ἔχει αὐτό; σὲ ποιὸν καὶ ἀπὸ τοὺς τυχαίους δὲν εἶναι εὔκολο νὰ τὸ κάμνουν αὐτὸ καὶ νὰ ὑμνοῦν τὸ Θεό; Ἂν ἐξετάσεις αὐτὸ μὲ πολλὴ προσοχή, θὰ διαπιστώσεις καὶ τὸν κόπο ποὺ ἔχει αὐτὸ τὸ πράγμα καὶ τὴν ὠφέλεια ἀπ' αὐτό. Διότι πρῶτο μὲν αὐτὸς ὁ ὕμνος ἐπιζητεῖται καὶ ἀπὸ τοὺς δικαίους, καὶ πρέπει προηγουμένως νὰ κάνουμε τὴ ζωή μας ἐνάρετη καὶ ὕστερα νὰ ὑμνοῦμε τὸ Θεό. «Διότι δὲν εἶναι ὡραῖος ὁ ὕμνος στὸ στόμα τοῦ ἁμαρτωλοῦ»[4]. Δεύτερο δὲ μπορεῖ κανεὶς ὄχι μόνο μὲ λόγια νὰ τὸν ὑμνεῖ, ἀλλὰ καὶ μὲ τὰ ἔργα, καὶ αὐτὴ πρὸ πάντων τὴ δοξολογία ζητεῖ ὁ Θεός, αὐτὴ τὴ δόξα· διότι λέγει· «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας τὸν οὐράνιο»[5]. Ἔτσι ὑμνοῦν τὸ Θεὸ τὰ χερουβίμ. Γι' αὐτὸ καὶ ὁ προφήτης, ἐπειδὴ ἄκουσε ἐκείνη τὴ μυστικὴ μελωδία, ταλανίζει τὸν ἑαυτό του, λέγοντας· «Ἀλλοίμονό μου, διότι εἶμαι

*μοι, ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ». Διὰ τοῦτο καὶ παρακελευόμενος αἶνους ἀναφέρειν, ἀπὸ τῶν ἄνω δυνάμεων ἄρχεται λέγων οὕτως· «Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ». Ὥστε ἄγγελον δεῖ γενέσθαι, καὶ οὕτως αἰνεῖν.*

*Μὴ τοίνυν ἁπλῶς τὸν αἶνον τοῦτον εἶναι νομίσωμεν, ἀλλὰ πρὸ τοῦ στόματος ἡμῶν ὁ βίος αὐτὸν ἠχείτω, καὶ πρὸ τῆς γλώττης ἡ πολιτεία βοάτω. Οὕτω καὶ σιωπῶντες δυνάμεθα τὸν Θεὸν ὑμνεῖν· οὕτω καὶ φθεγγόμενοι σύμφωνον τῷ βίῳ τὴν μελῳδίαν ἐργασόμεθα. Οὐ τοῦτο δὲ μόνον ἐστὶν ἰδεῖν ἀπὸ τοῦ ψαλμοῦ, ἀλλ' ὅτι καὶ εἰς συμφωνίαν πάντας ἄγει, καὶ ὁλόκληρον τὸν χορὸν ἵστησι. Οὐ γὰρ ἑνὶ καὶ δύο διαλέγεται, ἀλλ' ὁλοκλήρῳ δήμῳ. Καὶ καθάπερ ὁ Χριστὸς ἐνάγων ἡμᾶς εἰς ὁμόνοιαν καὶ ἀγάπην, ἐν ταῖς εὐχαῖς κοινὴν ἐπέταξε ποιεῖσθαι τὴν εὐχήν, καὶ ἀπὸ τῆς Ἐκκλησίας πάσης ὡς ἐξ ἑνὸς προσώπου λέγειν, «Πάτερ ἡμῶν», καί, «Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον»· καί, «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ», πανταχοῦ τῷ πληθυντικῷ κεχρημένος ὀνόματι, καὶ κελεύων ἑνὶ ἑκάστῳ, κἂν καθ' ἑαυτὸν εὔχηται, κἂν κοινῇ, καὶ ὑπὲρ τῶν ἀδελφῶν εὐχὴν ἀναφέρειν· οὕτω καὶ ὁ προφήτης κοινῇ πάντας εἰς τὴν συμφωνίαν καλεῖ τῆς εὐχῆς, καὶ λέγει· «Αἰνεῖτε τὸ ὄνομα Κυρίου».*

*Τί οὖν βούλεται ἡ προσθήκη τοῦ ὀνόματος; Μάλιστα μὲν τῆς διαθέσεως παραστατικόν ἐστι τοῦ λέγοντος· αἰνίττεται δέ τι καὶ ἕτερον. Ποῖον δὴ τοῦτο; Ὥστε τὸ ὄνομα αὐτοῦ δοξάζεσθαι δι' ἡμῶν, ὥστε αἰνετὸν φαίνεσθαι καὶ διὰ τοῦ βίου τοῦ ἡμετέρου· ἔστι γὰρ φύσει τοιοῦτον· βούλε-*

---

6. Ἡσ. 6, 5.
7. Ψαλμ. 148, 1 - 2.
8. Ματθ. 6, 9· 11 - 13.

ἄνθρωπος, ἔχω ἀκάθαρτα χείλη καὶ κατοικῶ ἀνάμεσα σὲ λαὸ πού ἔχει ἀκάθαρτα χείλη»[6]. Γι' αὐτό καὶ προτρεπόμενος νὰ ὑμνήσει τὸ Θεό, ἀρχίζει ἀπὸ τὶς οὐράνιες δυνάμεις, λέγοντας τὰ ἑξῆς· «Ὑμνεῖτε τὸν Κύριο ἀπὸ τούς οὐρανούς, ὑμνεῖτε αὐτὸν ὅλοι οἱ ἄγγελοί του»[7]. Ὥστε πρέπει κανεὶς νὰ γίνει ἄγγελος καὶ μετὰ νὰ ὑμνεῖ τὸ Θεό.

Ἂς μὴ νομίσουμε λοιπὸν ὅτι θέλει ἁπλῶς αὐτὸν τὸν ὕμνο, ἀλλὰ πρὶν ἀπὸ τὸ στόμα μας ἂς ἀναπέμπει τόν ὕμνο αὐτὸ ἡ ζωή μας, καὶ πρὶν ἀπὸ τὴ γλώσσα μας ἂς τὸν διακηρύσσει ὁ τρόπος τῆς ὅλης ζωῆς μας. Ἔτσι καὶ σιωπώντας μποροῦμε νὰ ὑμνοῦμε τὸ Θεό· ἔτσι καὶ μιλώντας θὰ κάνουμε τὴ μελωδία σύμφωνη μὲ τὴ ζωή μας. Καὶ δὲν εἶναι μόνο αὐτὸ πού μποροῦμε νὰ γνωρίσουμε ἀπὸ τὸν ψαλμό, ἀλλ' ὅτι ὁδηγεῖ ὅλους σὲ συμφωνία καὶ διεγείρει ὅλο τὸ χορό. Διότι δὲν συνομιλεῖ μὲ ἕνα ἢ δυό, ἀλλὰ μὲ ὁλόκληρο τὸ λαό. Καὶ ὅπως ἀκριβῶς ὁ Χριστὸς προτρέποντάς μας σὲ ὁμόνοια καὶ ἀγάπη, ἔδωσε ἐντολὴ κατὰ τὶς προσευχὲς νά κάμνουμε κοινὴ προσευχὴ καὶ ὁλόκληρο τὸ ἐκκλησίασμα σὰν ἕνα πρόσωπο νὰ λέγει, «Πατέρα μας», καὶ «Τὸν ἄρτο μας τὸν καθημερινὸ δῶσε μας σήμερα», καὶ «Συγχώρησε τὰ παίσματά μας, ὅπως καὶ ἐμεῖς συγχωροῦμε ἐκείνους πού μᾶς ἔκαναν κακό, καὶ μὴ μᾶς ἀφήσεις νὰ πέσουμε σὲ πειρασμό, ἀλλὰ σῶσε μας ἀπὸ τὸν πονηρὸ διάβολο»[8], καὶ παντοῦ χρησιμοποιεῖ τὸν πληθυντικὸ ἀριθμὸ καὶ προτρέπει τὸν καθένα ξεχωριστά, εἴτε προσεύχεται μόνος του, εἴτε μὲ ἄλλους μαζί, νὰ προσεύχεται γιὰ τούς ἀδελφούς του, ἔτσι καὶ ὁ προφήτης προσκαλεῖ ὅλους μαζὶ σὲ ἑνότητα προσευχῆς, καὶ λέγει· «Ὑμνεῖτε τὸ ὄνομα τοῦ Κυρίου».

Τί θέλει λοιπὸν ἡ προσθήκη τοῦ ὀνόματος; Κατ' ἀρχὴ φανερώνει τὴ διάθεση ἐκείνου πού ὁμιλεῖ, ὑπαινίσσεται ὅμως καὶ κάτι ἄλλο. Ποιὸ λοιπὸν εἶναι αὐτό; Τὸ νὰ δοξάζεται τὸ ὄνομά του ἀπὸ ἐμᾶς, τὸ νὰ φαίνεται αὐτὸ ἐξυμνούμενος καὶ μὲ τὴ ζωή μας· διότι ἐκ φύσεως εἶναι

ται δὲ καὶ διὰ τῆς πολιτείας ἡμῶν τὸν αἶνον τοῦτον διαλάμπειν. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, ὅρα τὸ ἑξῆς· ἐπάγει γάρ, «Εἴη», φησί, «τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος». Τί λέγεις; οὐ γάρ ἐστιν εὐλογημένον, ἐὰν μὴ σὺ εὔξῃ; Ὁρᾷς ὅτι οὐ περὶ τῆς εὐλογίας λέγει τῆς αὐτῷ προσούσης, καὶ τῇ φύσει αὐτοῦ συγκεκληρωμένης, ἀλλὰ τῆς διὰ τῶν ἀνθρώπων γινομένης; Περὶ ταύτης καὶ ὁ Παῦλος γράφων λέγει· «Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν». Αὐτὸς τοίνυν καὶ ὑψηλός ἐστι καὶ μέγας καὶ αἰνετὸς καθ' ἑαυτόν, γίνεται δὲ καὶ παρὰ ἀνθρώποις τοιοῦτος, ὅταν οἱ δουλεύοντες αὐτῷ τοιοῦτον ἐπιδεικνύωνται βίον, ὡς πάντας τοὺς ὁρῶντας αὐτοὺς εὐλογεῖν τὸν Δεσπότην. Τοῦτο καὶ ἐν τῇ εὐχῇ ἐκέλευσεν ἡμᾶς ὁ Χριστὸς ἀεὶ λέγειν εὐχομένους· «Ἁγιασθήτω τὸ ὄνομά σου», τουτέστι, καὶ διὰ τοῦ βίου τοῦ ἡμετέρου δοξασθήτω. Ὥσπερ γὰρ βλασφημεῖται, κακῶς πολιτευομένων ἡμῶν, οὕτω δοξάζεται καὶ εὐλογεῖται καὶ ἁγιάζεται, ἀρετῆς ἐπιμελουμένων. Ὃ τοίνυν λέγει τοῦτό ἐστι· διαπαντὸς καταξίωσον ἡμᾶς ἐνάρετον βίον ζῆν, ὡς εὐλογητὸν εἶναι τὸ ὄνομά σου καὶ δι' ἡμῶν.

«Ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου». Ὁρᾷς τὴν καινὴν ἤδη προανακρουόμενον αὐτὸν πολιτείαν, καὶ παρανοίγοντα τῆς Ἐκκλησίας τὴν εὐγένειαν; Οὐκ ἔτι γὰρ ἐν Παλαιστίνῃ, οὔτε ἐν Ἰουδαίᾳ, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης. Πότε δὲ τοῦτο γέγονεν, ἢ ὅτε τὰ ἡμέτερα ἤνθησεν; Ὡς τό γε παλαιὸν οὐ μόνον οὐκ ηὐλογεῖτο ἐν Παλαιστίνῃ, ἀλλὰ καὶ ἐβλασφημεῖτο διὰ τοὺς ἐν αὐτῇ κατοικοῦντας Ἰουδαίους. «Δι' ὑμᾶς γὰρ τὸ ὄνομά μου βλασφημεῖται», φησίν, «ἐν τοῖς ἔθνεσι». Νυνὶ δὲ πανταχοῦ τῆς

9. Α´ Κορ. 6, 20.
10. Ματθ. 6, 9.
11. Ἠσ. 52, 5.

τέτοιο, θέλει ὅμως τὸν ὕμνο αὐτὸ νὰ διαλάμπει καὶ μὲ ὅλο τὸν τρόπο τῆς ζωῆς μας. Καὶ γιὰ νὰ μάθεις ὅτι αὐτὸ σημαίνει, πρόσεχε τὸ ἑξῆς· διότι λέγει, «Ἂς εἶναι», λέγει, «τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένο ἀπὸ τώρα καὶ μέχρι τέλους τοῦ αἰώνα». Τί λέγεις; δὲν εἶναι δηλαδὴ εὐλογημένο, ἂν σὺ δὲν τὸ εὐχηθεῖς; Βλέπεις ὅτι δὲν ὁμιλεῖ γιὰ τὴν εὐλογία ποὺ ὑπάρχει σ᾽ αὐτὸν καὶ ποὺ εἶναι ἑνωμένη μὲ τὴ φύση του, ἀλλὰ γι᾽ αὐτὴν ποὺ προέρχεται ἀπὸ τοὺς ἀνθρώπους; Γι᾽ αὐτὴν γράφοντας καὶ ὁ Παῦλος λέγει· «Δοξάσατε λοιπὸν τὸ Θεὸ μὲ τὸ σῶμα σας καὶ τὸ *πνεῦμα σας*»[9]. Αὐτὸς λοιπὸν εἶναι καὶ ὑψηλὸς καὶ μέγας καὶ δοξασμένος ἀπὸ μόνος του, γίνεται ὅμως τέτοιος καὶ ἀπὸ τοὺς ἀνθρώπους, ὅταν αὐτοὶ ποὺ τὸν ὑπηρετοῦν δείχνουν τέτοιο τρόπο ζωῆς, ὥστε ὅλοι ἐκεῖνοι ποὺ βλέπουν αὐτοὺς νὰ εὐλογοῦν τὸν Κύριο. Αὐτὸ ἔδωσε ἐντολὴ καὶ ὁ Χριστός, νὰ λέγουμε πάντοτε ὅταν προσευχόμαστε· «Ἂς δοξασθεῖ τὸ ὄνομά σου»[10], δηλαδὴ ἂς δοξασθεῖ καὶ μὲ τὸν τρόπο ζωῆς μας. Διότι ὅπως ἀκριβῶς βλασφημεῖται, ὅταν ἡ ζωή μας εἶναι κακή, ἔτσι δοξάζεται καὶ εὐλογεῖται καὶ ἁγιάζεται, ὅταν φροντίζουμε γιὰ τὴν ἀρετή. Αὐτὸ δηλαδὴ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἀξίωσέ μας πάντοτε νὰ ζοῦμε ἐνάρετα, ὥστε ἐξ αἰτίας μας νὰ δοξάζεται τὸ ὄνομά σου.

«Ἀπὸ ἐκεῖ ποὺ ἀνατέλλει ὁ ἥλιος καὶ μέχρι ἐκεῖ ποὺ δύει ἂς δοξάζεται τὸ ὄνομα τοῦ Κυρίου». Βλέπεις ποὺ προετοιμάζει πλέον τὸ νέο τρόπο ζωῆς καὶ προδηλώνει τὴν εὐγενικὴ καταγωγὴ τῆς ἐκκλησίας; Διότι λέγει ἂς ὑμνεῖται τὸ ὄνομά του ὄχι στὴν Παλαιστίνη, οὔτε στὴν Ἰουδαία, ἀλλὰ σ᾽ ὅλα τὰ μέρη τῆς οἰκουμένης. Πότε δὲ συνέβηκε αὐτό, παρὰ ὅταν ἄνθησαν τὰ δικά μας; Διότι τὴν παλιὰ ἐποχὴ ὄχι μόνο δὲν δοξαζόταν στὴν Παλαιστίνη, ἀλλὰ καὶ βλασφημόταν ἐξ αἰτίας τοῦ ὅτι κατοικοῦσαν σ᾽ αὐτὴ οἱ Ἰουδαῖοι. Διότι λέγει, «Ἐξ αἰτίας σας βλασφημεῖται τὸ ὄνομά μου μεταξὺ τῶν ἐθνικῶν»[11]. Ἀντίθετα τώ-

*οἰκουμένης ὑμνεῖται. Ὅπερ οὖν καὶ ἄλλος προφήτης δηλῶν ἔλεγεν· «Ἐπιφανήσεται Κύριος καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ». Καὶ ἕτερος πάλιν· «Διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεάν· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί σου καὶ θυσία καθαρά».*

*2. Ὁρᾷς πῶς κατέστειλε τὰ Ἰουδαϊκὰ καὶ ἔπαυσε, καὶ πανταχοῦ τῆς οἰκουμένης τῆς Ἐκκλησίας τὴν πολιτείαν ἐξέτεινε καὶ λατρείαν προανεκήρυξεν; Ὁ γὰρ ταῦτα λέγων προφήτης μετὰ τὴν ἐπάνοδόν ἐστι τὴν ἐκ Βαβυλῶνος, καὶ διὰ τοῦτο ταῦτα προεφήτευσε τότε, ἵνα μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι ἐκεῖνον λέγει τὸν συγκλεισμὸν καὶ ἐκείνην τὴν ἐρήμωσιν τὴν ἐν Βαβυλῶνι. Μετὰ γὰρ τὸ λυθῆναι ἐκεῖνα καὶ ἐπὶ τὴν προτέραν αὐτοὺς ἐπανελθεῖν πολιτείαν, ταῦτα ὁ ἄγγελός φησι, δηλῶν τὴν ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν, μεθ' ἣν οὐκ ἔσται λοιπὸν τῆς ἐρημίας ἐκείνης μεταβολή τις. Διεδέξατο γὰρ τὰ τῆς Ἐκκλησίας πράγματα. Διό φησιν, ὅτι «Μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, τουτέστιν, εὐλογημένον, διὰ τοῦ βίου αὐτῶν αἰνούμενον· ὥσπερ καὶ ἐνταῦθα ἔλεγεν· «Εὐλογημένον τὸ ὄνομα Κυρίου».*

*«Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος». Ὁρᾷς πάλιν τὰ ἔθνη δεχόμενα αὐτοῦ τὴν λατρείαν, καὶ οὐχ ἁπλῶς ἓν καὶ δύο καὶ τρία, ἀλλὰ πάντα τὰ κατὰ τὴν οἰκουμένην; Τί ταύτης τῆς προφητείας σαφέστερον; Πῶς δὲ ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη; Ὅτι μεγαλύνομεν αὐτόν, οὐ προστιθέντες αὐτῷ ὕψος; Ἄπαγε· ἀλλὰ τοῖς δόγμασι, τῇ λατρείᾳ, τῇ προσκυνήσει, τοῖς*

---

12. Σοφ. 2, 11.
13. Μαλαχ. 1, 10 - 11.
14. Τὸ 70 μ.Χ. καταστράφηκε ἡ Ἱερουσαλὴμ ἐκ θεμελίων.

ρα ὑμνεῖται σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης. Αὐτὸ ἀκριβῶς λοιπὸν γιὰ νὰ δηλώσει καὶ ἄλλος προφήτης, ἔλεγε· «Θὰ παρουσιασθεῖ ὁ Κύριός μας καὶ θὰ ἐξολοθρεύσει ὅλους τοὺς θεοὺς τῶν εἰδωλολατρῶν καὶ θὰ προσκυνήσει αὐτὸν ὁ καθένας στὸν τόπο του»[12]. Καὶ ἄλλος πάλι· «Διότι καὶ σὲ σᾶς θὰ κλείσουν οἱ πόρτες καὶ δὲν θ' ἀνάβει τὸ θυσιαστήριό μου ἄσκοπα· καθόσον ἀπὸ τὴν ἀνατολὴ τοῦ ἡλίου καὶ μέχρι τὴ δύση του δοξάσθηκε τὸ ὄνομά μου μεταξὺ τῶν ἐθνικῶν καὶ σὲ κάθε τόπο προσφέρεται στὸ ὄνομά μου θυμίαμα καὶ θυσία καθαρή»[13].

2. Βλέπεις πῶς συγκράτησε καὶ κατέπαυσε τὰ ἰουδαϊκὰ καὶ ἐξάπλωσε τὸ πολίτευμα τῆς ἐκκλησίας σ' ὅλη τὴν οἰκουμένη καὶ διακήρυξε ἐκ τῶν προτέρων τὴ λατρεία; Διότι ὁ προφήτης ποὺ λέγει αὐτὰ ἔζησε μετὰ τὴν ἐπάνοδο τῶν Ἰουδαίων ἀπὸ τὴ Βαβυλώνα καὶ γι' αὐτὸ προφήτεψε τότε αὐτά, γιὰ νὰ μὴ λέγουν οἱ Ἰουδαῖοι, ὅτι ὁμιλεῖ γιὰ ἐκείνη τὴν ἀπομόνωση καὶ γιὰ ἐκείνη τὴν ἐρήμωση στὴ Βαβυλώνα. Διότι αὐτὰ τὰ λέγει ὁ προφήτης μετὰ τὴν ἀπαλλαγὴ ἀπὸ ἐκεῖνα καὶ τὴν ἐπιστροφή τους στὸν προηγούμενο τρόπο ζωῆς τους προλέγοντας τὴν ἐρήμωση ποὺ ἔγινε ἐπὶ Βεσπασιανοῦ καὶ Τίτου[14], μετὰ ἀπὸ τὴν ὁποία δὲν εἶναι δυνατὴ καμιὰ μεταβολὴ τῆς ἐρημώσεως ἐκείνης, διότι τὴν διαδέχτηκαν τὰ πράγματα τῆς ἐκκλησίας. Γι' αὐτὸ λέγει ὅτι «Εἶναι μεγάλο τὸ ὄνομά μου μεταξὺ τῶν ἐθνικῶν», δηλαδὴ εὐλογημένο, δοξαζόμενο ἀπὸ τὸν τρόπο τῆς ζωῆς τους. Ὅπως ἀκριβῶς καὶ ἐδῶ ἔλεγε· «Εὐλογημένο εἶναι τὸ ὄνομα τοῦ Κυρίου».

«Ὁ Κύριος εἶναι ὑψηλότερος ἀπὸ ὅλα τὰ ἔθνη». Βλέπεις πάλι τὰ ἔθνη νὰ δέχονται τὴ λατρεία του, καὶ ὄχι ἁπλῶς ἕνα καὶ δύο καὶ τρία, ἀλλὰ τὰ ἔθνη ὅλης τῆς οἰκουμένης; Τί ὑπάρχει σαφέστερο ἀπ' αὐτὴ τὴν προφητεία; Πῶς δὲ εἶναι ὑψηλότερος ἀπὸ ὅλα τὰ ἔθνη; Μὲ τὸ ὅτι ἐξυμνοῦμε αὐτόν, χωρὶς νὰ τοῦ προσθέτουμε ὕψος; Μακριὰ μιὰ τέτοια σκέψη· ἀλλὰ μὲ τὶς ἀλήθειες τῆς πί-

ἄλλοις ἅπασιν, οὐδὲν ταπεινὸν ἐννοοῦντες, καθάπερ οἱ Ἰουδαῖοι, ἀλλ' ὑψηλότερα πολλῷ καὶ μείζονα. Τοιαύτη γὰρ αὕτη ἡ πολιτεία· ὅσον οὐρανὸς τῆς γῆς ὑψηλότερος, τοσοῦτον αὕτη τῆς παλαιᾶς. Διό φησιν· «Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος». Καὶ γὰρ μετὰ τοῦ ὑψοῦν αὐτὸν διὰ τῆς λατρείας, κἀκεῖνο ἴσμεν, ὅτι καὶ ταῦτα συγκατάβασίς ἐστιν. Ὥστε κἂν τῶν ἐν τῇ παλαιᾷ ὑψηλότερα, ἀλλὰ τῆς ἀξίας αὐτοῦ καταδεέστερα. Καὶ ταῦτα Παῦλος δηλῶν, καὶ ἑκατέρας τῆς γνώσεως τῆς τε νῦν κατεχούσης, τῆς τε τότε ἐσομένης ἐν τῷ μέλλοντι τὸ διάφορον παριστὰς ἔλεγεν· «Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην, ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου». Καὶ πάλιν, «Ἐκ μέρους γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν». Καί, «Βλέπομεν ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον». Δείκνυσι γὰρ διὰ τούτου, ὅτι τοσοῦτον ἀφέστηκεν ἡ γνῶσις αὕτη τῆς τότε, ὅσον τὸ νήπιον τοῦ ἐλθόντος ἀνδρὸς εἰς ἡλικίαν τελείαν.

«Ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ». Ἐπειδὴ γὰρ περὶ αἴνου καὶ ὕψους διελέχθη τοῦ διὰ τῆς πολιτείας τῆς ἀνθρωπίνης γενομένου, καὶ παρήνεσεν οὕτως ὑψοῦν τὸν Θεόν, οὕτως αἰνεῖν, οὕτω μεγαλύνειν, εἰς μείζονα προτρεπόμενος ἀρετήν, δείκνυσι ποῦ τοῦτο γίνεται μάλιστα. Ποῦ τοίνυν τοῦτο γίνεται; Ἐν τοῖς οὐρανοῖς. Ἐκεῖ γάρ ἐστιν ἡ δόξα αὐτοῦ. Μάλιστα γὰρ ἄγγελοι δοξάζουσι αὐτόν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ὑπακοῆς τῶν διακονουμένων ἀνθρώπων δοξάζουσι, μετὰ ἀκριβείας τὰ θελήματα αὐτοῦ καὶ

---

15. Α´ Κορ. 13, 11.
16. Α´ Κορ. 13, 9.
17. Α´ Κορ. 13, 12.

στεως, μὲ τὴ λατρεία, μὲ τὴν προσκύνηση, μὲ ὅλες τὶς ἄλλες, χωρὶς νὰ σκεπτόμαστε τίποτα τὸ ταπεινό, ὅπως ἀκριβῶς οἱ Ἰουδαῖοι, ἀλλὰ πολὺ ὑψηλότερα καὶ ἀνώτερα. Διότι τέτοιος εἶναι αὐτὸς ὁ τρόπος τῆς ζωῆς· ὅσο ὑψηλότερος εἶναι ὁ οὐρανὸς ἀπὸ τὴ γῆ, τόσο ἀνώτερος εἶναι αὐτὸς ὁ τρόπος ζωῆς ἀπὸ τὸν παλιό. Γι' αὐτό λέγει· «Ὁ Κύριος εἶναι ὑψηλότερος ἀπὸ ὅλα τὰ ἔθνη». Καθόσον μαζὶ μὲ τὴν ἐξύψωση αὐτοῦ μὲ τὴ λατρεία πρέπει νὰ γνωρίζουμε καὶ αὐτό, ὅτι δηλαδὴ καὶ αὐτὴ εἶναι συγκατάβαση. Ὥστε, καὶ ἂν ἀκόμη εἶναι αὐτὸς ὁ τρόπος ζωῆς ὑψηλότερος ἀπὸ τὸν παλιό, ἀλλ' ὅμως εἶναι κατώτερος τῆς ἀξίας του. Καὶ γιὰ νὰ δηλώσει αὐτό ὁ Παῦλος καὶ νὰ παρουσιάσει τὴ διαφορὰ τῆς κάθε μιᾶς γνώσεως, καὶ αὐτῆς ποὺ ἰσχύει σήμερα καὶ ἐκείνης ποὺ θὰ λάβει χώρα στὸ μέλλον, ἔλεγε· «Ὅταν ἤμουν νήπιο, σὰν νήπιο σκεπτόμουν καὶ σὰν νήπιο συλλογιζόμουν, ὅταν ὅμως ἔγινα ἄνδρας, κατάργησα τοὺς τρόπους τοῦ νηπίου»[15]. Καὶ πάλι· «Ἡ γνώση μας εἶναι μερικὴ καὶ ὁρισμένα μόνο προφητεύουμε»[16]. Καὶ «Τώρα μὲν βλέπομε, σὰν μέσα ἀπὸ καθρέφτη, σκοτεινά, τότε ὅμως θὰ βλέπομε πρόσωπο μὲ πρόσωπο»[17]. Μὲ αὐτὰ δηλαδὴ δείχνει ὅτι τόσο πολὺ ἀπέχει αὐτὴ ἡ γνώση ἀπὸ τὰ μελλοντικά, ὅσο τὸ νήπιο ἀπὸ τὸν ἄνδρα ἐκεῖνο ποὺ ἔφθασε σὲ ὥριμη ἡλικία.

«Ἡ δόξα του εἶναι στοὺς οὐρανούς». Ἐπειδὴ δηλαδὴ μίλησε γιὰ δοξολογία καὶ ἐξύψωση ποὺ κατορθώνεται μὲ τὸν τρόπο τῆς ζωῆς τοῦ ἀνθρώπου, καὶ συμβούλεψε ἔτσι νὰ ἐξυψώνει κανεὶς τὸ Θεό, ἔτσι νὰ τὸν ἐξυμνεῖ, ἔτσι νὰ τὸν δοξολογεῖ, θέλοντας νὰ προτρέψει μεγαλύτερη ἄσκηση ἀρετῆς, δείχνει ποῦ γίνεται αὐτὸ πρὸ πάντων. Ποῦ λοιπὸν γίνεται αὐτό; Στοὺς οὐρανούς. Διότι ἐκεῖ βρίσκεται ἡ δόξα του. Καθόσον βέβαια οἱ ἄγγελοι δοξάζουν αὐτόν, ὄχι μόνο ἐξ αἰτίας τῆς φύσεώς τους, ἀλλὰ τὸν δοξάζουν καὶ ἐξ αἰτίας τῆς ὑπακοῆς τῶν ἀνθρώπων ποὺ ὑπηρετοῦν, ἐκπληρώνοντας μὲ ἀκρίβεια τὰ θελήματα

τὰ προστάγματα αὐτοῦ ἀνύοντες. Διό φησι· «Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ». Διὸ καὶ ἐν τοῖς εὐαγγελίοις ἐκέλευεν ὁ Χριστὸς εὔχεσθαι, καὶ λέγειν· «Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς». Τουτέστιν, ὥσπερ ἄγγελοι αὐτὸν ἁγιάζουσι, πονηρίας μὲν πάσης ἀπηλλαγμένοι, ἀρετὴν δὲ μετιόντες μετὰ ἀκριβείας, οὕτω δὴ καταξιωθείημεν καὶ ἡμεῖς αὐτὸν ἁγιάζειν. Τοῦτο καὶ οὗτος δηλῶν, ἐπήγαγεν· «Ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ». Μὴ γὰρ δὴ μόνον ἐν τῇ γῇ ἴδῃς τὰ κτίσματα ταῦτα τὰ δρώμενα, μηδὲ τὴν κατὰ τὸν οὐρανὸν εὐταξίαν, ἀλλ' ἀνάβηθι τῷ νῷ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοερά, ἐπὶ τὰ κάλλη τῶν οὐσιῶν ἐκείνων, ἐπὶ τὴν φαιδρότητα τῆς πολιτείας ἐκείνης, καὶ τότε εἴσῃ πῶς ἐν τοῖς οὐρανοῖς ἡ δόξα αὐτοῦ.

«Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν;». Ἆρα οὐ δοκεῖ μέγα εἶναι τὸ εἰρημένον; Ἀλλ' ὅταν ἐννοήσῃς περὶ τίνος εἴρηται, σφόδρα ἔσται καταδεές. Οὕτως, ὅπερ ἔλεγον, οὐ χρὴ μέχρι τῶν ῥημάτων ἵστασθαι, ἀλλ' ἀναβαίνειν τῇ διανοίᾳ. Πῶς γὰρ ἐν οὐρανοῖς κατοικεῖ ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν, ὁ πανταχοῦ παρών, ὁ λέγων «Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν»· «Ὁ μετρήσας τὸν οὐρανὸν σπιθαμῇ καὶ τὴν γῆν δρακί· ὁ κατέχων τὸν γῦρον τῆς γῆς»; Ἀλλ' ἐπειδὴ πρὸς Ἰουδαίους αὐτῷ ἦν ὁ λόγος, διὰ τοῦτο τέως οὕτω κέχρηται τῷ λόγῳ, κατὰ μικρὸν ἀνάγων αὐτῶν τὴν διάνοιαν, καὶ πτερῶν τὴν γνώμην, καὶ ἀναβιβάζων ἠρέμα. Διὰ δὴ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν, «Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν»· ἀλλὰ πρότερον εἰπών, «Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν;», τότε

18. Ψαλμ. 102, 20.
19. Ματθ. 6, 10.
20. Ἱερ. 23, 23.
21. Ἠσ. 40, 12· 22.

καὶ τὰ προστάγματα αὐτοῦ. Γι' αὐτὸ λέγει· «Ἰσχυροὶ σὲ δύναμη, αὐτοὶ ποὺ ἐκτελοῦν τὶς ἐντολές του»[18]. Γι' αὐτὸ καὶ στὰ εὐαγγέλια ἔδωσε ὁ Χριστὸς ἐντολὴ νὰ προσευχόμαστε καὶ νὰ λέμε· «Ἂς γίνει τὸ θέλημά σου, ὅπως στὸν οὐρανό, ἔτσι καὶ στὴ γῆ»[19]. Δηλαδή, ὅπως ἀκριβῶς οἱ ἄγγελοι ἁγιάζουν αὐτόν, μὲ τὸ νὰ εἶναι ἀπαλλαγμένοι μὲν ἀπὸ κάθε κακία, νὰ ἀσκοῦν δὲ τὴν ἀρετὴ μὲ ἀκρίβεια, ἔτσι λοιπὸν ἂς ἀξιωθοῦμε καὶ ἐμεῖς νὰ τὸν ἁγιάζουμε. Αὐτὸ γιὰ νὰ δηλώσει καὶ αὐτός, πρόσθεσε· «Ἡ δόξα του βρίσκεται στοὺς οὐρανούς». Μὴ δηλαδὴ βλέπεις μόνο αὐτὰ τὰ ὁρατὰ κτίσματα τῆς γῆς, οὔτε τὴν ἀπόλυτη τάξη στὸν οὐρανό, ἀλλὰ ἀνέβα μὲ τὸ νοῦ σου ἀπὸ τὰ αἰσθητὰ στὰ νοερά, στὰ κάλλη ἐκείνων τῶν οὐσιῶν, στὴ λαμπρότητα ἐκείνου τοῦ τρόπου ζωῆς, καὶ τότε θὰ γνωρίσεις πῶς ἡ δόξα του βρίσκεται στοὺς οὐρανούς.

«Ποιὸς εἶναι σὰν τὸν Κύριο τὸ Θεό μας, ποὺ κατοικεῖ στὰ ὕψη τῶν οὐρανῶν καὶ ἐποπτεύει μὲ τὸ βλέμμα του τὰ ταπεινὰ τῆς γῆς;». Ἄραγε δὲν νομίζεις ὅτι εἶναι πολὺ μεγάλο αὐτὸ ποὺ λέγει; Ἀλλ' ὅταν σκεφθεῖς γιὰ ποιὸν ἔχει λεχθεῖ, θὰ δεῖς ὅτι εἶναι πάρα πολὺ ἐλλιπές. Ἐπομένως, ὅπως ἀκριβῶς ἔλεγα, δὲν πρέπει νὰ στεκόμαστε μόνο στὰ λόγια, ἀλλὰ ν' ἀνεβαίνουμε μὲ τὴ σκέψη μας. Διότι πῶς κατοικεῖ στοὺς οὐρανοὺς ἐκεῖνος ποὺ πληρεῖ τὸν οὐρανὸ καὶ τὴ γῆ, ποὺ βρίσκεται παντοῦ, ποὺ λέγει, «Ἐγὼ εἶμαι Θεὸς ποὺ βρίσκομαι κοντὰ στοὺς ἀνθρώπους καὶ ὄχι Θεὸς ποὺ βρίσκεται μακριά»[20], καὶ «Ἐγὼ μέτρησα τὸν οὐρανὸ μὲ τὴ σπιθαμή μου καὶ τὴ γῆ μὲ τὴ χούφτα μου καὶ κατέχω τὴ σφαίρα τῆς γῆς»[21]; Ἀλλ' ἐπειδὴ μιλοῦσε πρὸς τοὺς Ἰουδαίους, γι' αὐτὸ στὴν ἀρχὴ χρησιμοποιεῖ τέτοια λόγια, ὑψώνοντας σιγὰ σιγὰ τὴ σκέψη τους, ἀναπτερώνοντας τὴ γνώμη τους καὶ ἀνεβάζοντάς τους ἤρεμα. Γι' αὐτὸ λοιπὸν δὲν εἶπε ἁπλῶς, «Αὐτὸς ποὺ κατοικεῖ στὰ ὑψηλὰ καὶ καταδέχεται νὰ ρίχνει τὸ βλέμμα του στὰ ταπεινά», ἀλλ' ἀφοῦ πρῶτα εἶπε, «Ποιὸς εἶναι σὰν τὸν Κύριο τὸ

*ἐπήγαγεν, «Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν»· εἶπε δὲ ἐκεῖνο δηλῶν, τίνος ἕνεκεν τὸ δεύτερον εἶπε. Διὰ γὰρ τὴν ἀσθένειαν τὴν Ἰουδαϊκὴν τὴν πρὸς τὰ εἴδωλα ἐπτοημένην, καὶ θεοὺς προσκυνοῦσαν τοὺς ἐν τόποις καὶ ναοῖς συγκεκλεισμένους.*

*Διὰ δὴ τοῦτο κατὰ μικρὸν τὴν σύγκρισιν ποιεῖται, καίτοι ἀσυγκρίτως ἁπάντων ὁ Θεὸς ὑπερέχει, ἀλλὰ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων, ὅπερ ἔφθην εἰπὼν (οὐ γὰρ παύσομαι συνεχῶς τὸ αὐτὸ λέγων), ῥυθμίζει τὸν λόγον. Οὐ γὰρ ἐζήτει, ὅπως ἄξιόν τι τῆς δόξης εἴποι τοῦ Θεοῦ τέως, ἀλλ' ὅπως ἐκείνοις χωρητὸν γένηται. Διὰ δὴ τοῦτο κατὰ μικρὸν αὐτοὺς ἀνάγει, καὶ ὅμως οὐδὲ οὕτως ἐναπομένει τῇ ταπεινότητι, ἀλλὰ διανοίγνυσι πάλιν ὑψηλότερα νοήματα ἕτερα. Ἐπειδὴ γὰρ εἶπεν, «Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν», πάλιν ἐπὶ τὸ ὑψηλότερον ἄγων τὸν λόγον, φησίν, «Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ», δεικνὺς ὅτι πανταχοῦ ἐστι, κἀκεῖ καὶ ἐνταῦθα. Οὐ γὰρ ὡς ἄν τις ἐν οὐρανῷ συγκεκλεισμένος, πόρρωθεν βλέπει τὰ ἐν τῇ γῇ, ἀλλὰ πανταχοῦ παρών, καὶ πᾶσι παριστάμενος.*

*3. Εἶδες πῶς κατὰ μικρὸν πτεροῖ τὴν διάνοιαν τῶν ἀκουόντων; Εἶτα ἀναστήσας ἀπὸ τῆς γῆς τὸν ἀκροατὴν καὶ τῷ οὐρανῷ προσηλώσας, πάλιν μεῖζόν τι φαντάζεσθαι παρασκευάσας, ἐφ' ἕτερον ἔρχεται τῆς δυνάμεως αὐτοῦ δεῖγμα, λέγων· «Ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα». Μεγάλης γὰρ δυνάμεως καὶ σφόδρα ἀφάτου, καὶ τὰ μικρὰ ἐπαίρειν. Ἀλλαχοῦ μέντοι καὶ τὸ ἐναντίον τίθησιν, ὅτι καὶ τὰ μεγάλα ταπεινοῖ, λέγων οὕτως· «Διαιρῶν σύντριμμα ἐπὶ ἰσχύν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων». Ἐνταῦθα μέντοι γε εἴρηται, ὅτι τοὺς μικροὺς ἐπᾶραι δύναται. Ἔστι*

22. Ἀμὼς 5, 9.

Θεὸ μας;», τότε πρόσθεσε, «Αὐτὸς ποὺ κατοικεῖ στὰ ὑψηλὰ καὶ καταδέχεται νὰ ρίχνει τὸ βλέμμα του στὰ ταπεινά»· τὸ εἶπε δὲ ἐκεῖνο γιὰ νὰ δηλώσει γιὰ ποιὸ λόγο εἶπε τὸ δεύτερο. Ἐξ αἰτίας δηλαδὴ τῆς ἰουδαϊκῆς ἀδυναμίας, ποὺ ἦταν ἀπορροφημένη ἀπὸ τὰ εἴδωλα καὶ προσκυνοῦσε θεοὺς ποὺ ἦταν περιορισμένη μέσα σὲ τόπους καὶ ναούς.

Γι' αὐτὸ λοιπὸν κάμνει τὴ σύγκριση σιγὰ - σιγά, ἂν καὶ ὁ Θεὸς ὑπερέχει ἀπὸ ὅλα κατὰ τρόπο ἀσύγκριτο· ἀλλὰ ρυθμίζει τὸ λόγο ἀνάλογα μὲ τὴν πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν του, ὅπως προανέφερα (διότι δὲν θὰ παύσω νὰ τὸ λέγω αὐτὸ συνέχεια). Καθόσον δὲ ἤθελε στὴν ἀρχὴ νὰ πεῖ κάτι ἀντάξιο τῆς δόξας τοῦ Θεοῦ, ἀλλὰ πῶς νὰ γίνει σ' ἐκείνους κατανοητό. Γι' αὐτὸ λοιπὸν τοὺς ὁδηγεῖ σιγὰ - σιγά, ὅμως οὔτε καὶ ἔτσι παραμένει στὴ ταπεινότητα, ἀλλὰ προβάλλει καὶ πάλι ἄλλα ὑψηλότερα νοήματα. Διότι, ἐπειδὴ εἶπε, «Αὐτὸς ποὺ κατοικεῖ στὰ ὑψηλὰ καὶ καταδέχεται νὰ ρίχνει τὸ βλέμμα του στὰ ταπεινά», μεταφέροντας τὸ λόγο στὴ συνέχεια ὑψηλότερα, λέγει· «Καὶ στὸν οὐρανὸ καὶ στὴ γῆ», γιὰ νὰ δείξει ὅτι βρίσκεται παντοῦ, καὶ στὸν οὐρανὸ καὶ στὴ γῆ. Δὲν βλέπει δηλαδὴ τὰ πράγματα τῆς γῆς ἀπὸ μακριά, σὰν κάποιος ποὺ εἶναι κλεισμένος μέσα στὸν οὐρανό, ἀλλὰ βρίσκεται παντοῦ καὶ στέκεται κοντὰ σ' ὅλα.

3. Εἶδες πῶς σιγὰ - σιγὰ ἀναπτερώνει τὴ σκέψη τῶν ἀκροατῶν; Στὴ συνέχεια, ἀφοῦ ἀνύψωσε τὸν ἀκροατὴ ἀπὸ τὴ γῆ καὶ τὸν προσήλωσε στὸν οὐρανό, καὶ ἀφοῦ τὸν προετοίμασε πάλι νὰ σκέπτεται κάτι τὸ ἀνώτερο, ἔρχεται σὲ ἄλλη ἀπόδειξη τῆς δυνάμεώς του, λέγοντας· «Αὐτὸς ποὺ σηκώνει τὸ φτωχὸ ἀπὸ τὸ χῶμα καὶ ἀνυψώνει μέσα ἀπὸ τὴν κοπριὰ τὸν δυστυχή». Διότι εἶναι δεῖγμα μεγάλης καὶ τελείως ἀπερίγραπτης δυνάμεως τὸ ν' ἀνυψώνει τὰ ἀσήμαντα. Ἀλλοῦ ὅμως ἀναφέρει καὶ τὸ ἀντίθετο, ὅτι δηλαδὴ ταπεινώνει καὶ τὰ μεγάλα, λέγοντας τὰ ἑξῆς· «Αὐτὸς ποὺ συντρίβει κάθε δύναμη καὶ ἐπιφέρει καταστρο-

*μὲν οὖν καὶ καθολικὸς ὁ λόγος. Εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν αὐτὸν ἐκλαβεῖν βουληθείη, ὄψεται τοῦτο ἐπὶ τῶν ἐθνῶν γινόμενον, ὄψεται τοῦτο ἐπὶ τῶν ἀνθρώπων ἡμῶν ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ. Τί γὰρ τῆς ἡμετέρας φύσεως πτωχότερον; Ἀλλ' ὅμως αὐτὴν ἤγειρε καὶ ἀνήγαγε μετὰ τῆς ἀπαρχῆς ἡμῶν εἰς οὐρανόν, καὶ συνεκάθισεν εἰς τὸν πατρικὸν θρόνον.*

*«Καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα· τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων τοῦ λαοῦ αὐτοῦ». Κοπρίαν ἐνταῦθα τὸ εὐτελὲς λέγει, καὶ τὴν ἐκεῖθεν ἀθρόον γινομένην μεταβολήν, δεικνὺς ὅτι πάντα αὐτῷ ῥᾴδια καὶ εὔκολα. Εἶτα ἐφ' ἕτερον ἔρχεται μεῖζον. Ποῖον δὴ τοῦτο; Ὅτι οὐ τὰ πράγματα μεταθεῖναι δύναται, οὐδὲ τὴν εὐτέλειαν εἰς ἀξίωμα μεταστῆσαι μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως μεταθεῖναι τοὺς ὅρους καὶ στεῖραν ποιῆσαι μητέρα. Διόπερ ἐπήγαγεν· «Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην». Ὅπερ γέγονεν ἐπὶ τῆς Ἄννης, ὅπερ γέγονεν ἐπὶ μυρίων ἑτέρων. Εἶδες ὕμνον ἀπηρτισμένον; εἶδες ὕμνον πεπληρωμένον; Εἶπε τὰ μέλλοντα κατορθοῦσθαι τῇ οἰκουμένῃ, πῶς ὁ Ἰουδαϊσμὸς παύεσθαι μέλλει, πῶς καινὴ τῆς Ἐκκλησίας πολιτεία διαλάμπειν, πῶς θυσία πανταχοῦ προσάγεσθαι.*

*Εἶτα ἀξιόπιστον ποιῶν καὶ τοῖς παχυτέροις τὸν λόγον, ἀπὸ τῶν ἤδη γινομένων καὶ περὶ τῶν μελλόντων βεβαιοῦται. Ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ ἀπιστήσῃς, ἄνθρωπε, ὅτι τοσαύτη ἔσται μεταβολή, καὶ τὰ ἀπερριμμένα ἔθνη εἰς δόξαν ἥξει μεγίστην. Οὐχ ὁρᾷς καθ' ἑκάστην ἡμέραν ταῦτα γινόμενα; τοὺς*

φὴ στὰ ὀχυρώματα»[22]. Ἐδῶ βέβαια ἔχει λεχθεῖ, ὅτι μπορεῖ νὰ ὑψώσει τοὺς μικρούς. Ἂν δὲ κάποιος θελήσει νὰ τὸν ἐξετάσει ἀλληγορικά, θὰ δεῖ ὅτι αὐτὸ ἔγινε στοὺς ἐθνικούς, θὰ δεῖ ὅτι ἔγινε σὲ μᾶς τοὺς ἀνθρώπους κατὰ τὸν ἐρχομὸ τοῦ Χριστοῦ στὸν κόσμο. Διότι τί ὑπάρχει ταπεινότερο ἀπὸ τὴν δική μας φύση; Ἀλλ' ὅμως τὴν σήκωσε καὶ τὴν ἀνέβασε στὸν οὐρανὸ μαζὶ μὲ τὸ πιὸ ὡραῖο πράγμα μας καὶ τὴν ἔβαλε νὰ καθίσει στὸν πατρικὸ θρόνο.

«Καὶ ἀπὸ τὴν κοπριὰ ἀνυψώνει τὸ φτωχὸ γιὰ νὰ τὸν βάλει νὰ καθίσει μαζὶ μὲ τοὺς ἄρχοντες, μαζὶ μὲ τοὺς ἄρχοντες τοῦ λαοῦ του». Κοπριὰ ἐδῶ ὀνομάζει τὴν ταπεινότητα καὶ τὴν μεταβολὴ ποὺ συμβαίνει ἀπὸ ἐκεῖ αὐτοστιγμεί, γιὰ νὰ δείξει ὅτι ὅλα σ' αὐτὸν εἶναι κατορθωτὰ καὶ εὔκολα. Ἔπειτα ἔρχεται σὲ ἄλλο σπουδαιότερο. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ὅτι μπορεῖ ὄχι μόνο νὰ μεταθέσει τὰ πράγματα, ὄχι μόνο νὰ μεταβάλει τὴν ταπεινότητα σὲ ἀξίωμα, ἀλλὰ καὶ νὰ μεταβάλει καὶ αὐτοὺς ἀκόμα τοὺς νόμους τῆς φύσεως καὶ νὰ κάνει τὴ στείρα μητέρα. Γι' αὐτὸ ἀκριβῶς πρόσθεσε· «Αὐτὸς ποὺ ἐγκαθιστᾶ μὲ τὶς εὐλογίες του τὴ στείρα στὸν οἶκο γιὰ νὰ γίνει μητέρα καὶ νὰ εὐφραίνεται γιὰ τὰ τέκνα ποὺ ἀπέκτησε». Αὐτὸ ἀκριβῶς ποὺ συνέβηκε μὲ τὴν Ἄννα, αὐτὸ ποὺ συνέβηκε μὲ ἀμέτρητες ἄλλες γυναῖκες. Εἶδες ὕμνο ὁλοκληρωμένο; εἶδες ὕμνο τέλειο κατὰ πάντα; Εἶπε ἐκεῖνα ποὺ πρόκειται νὰ κατορθωθοῦν στὴν οἰκουμένη, πῶς δηλαδὴ πρόκειται νὰ παύσει ὁ Ἰουδαϊσμός, πῶς θὰ διαλάμψει ἡ νέα ζωὴ τῆς ἐκκλησίας, πῶς θὰ προσφέρεται παντοῦ θυσία.

Ἔπειτα γιὰ νὰ κάνει ἀξιόπιστο τὸ λόγο του καὶ σ' ἐκείνους ποὺ πνευματικὰ εἶναι παχύτεροι, ἐπιβεβαιώνει ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν ἀπὸ αὐτὰ ποὺ ἤδη γίνονται. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Μὴ ἀπιστήσεις, ἄνθρωπε, ὅτι θὰ συμβεῖ τόση μεταβολὴ καὶ ὅτι θ' ἀνέλθουν σὲ πάρα πολὺ μεγάλη δόξα τὰ ἔθνη ποὺ ἀπορρίφθηκαν στὴν ἀρχή. Δὲν βλέπεις καθημερινὰ νὰ συμβαίνουν

*ταπεινοὺς ὑπουμένους, καὶ μετὰ ἀρχόντων καθημένους; οὐχ ὁρᾷς τὴν φύσιν πηρουμένην καὶ διορθουμένην, στείρας μητέρας γινομένας; Τοιοῦτόν τι καὶ περὶ τῆς Ἐκκλησίας συνέβη· στεῖρα ἦν, ἀλλ' ἐγένετο μήτηρ τέκνων πολλῶν. Διὸ καὶ λέγει ὁ Ἠσαΐας· «Εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα· ρῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα»· τοῦτο καὶ ἐπὶ τῆς Ἐκκλησίας ἐσόμενον προαναφωνῶν. Διὰ δὴ τοῦτο καὶ οὗτος ἐνταῦθα τὸν λόγον κατέλυσε, τὴν προφητείαν ἀξιόπιστον καὶ ἐντεῦθεν ἀποφήνας, ἀπὸ τῶν ἤδη γενομένων, ἀπὸ τῆς μεγαλωσύνης αὐτοῦ. Πάντα γὰρ ὅσα ἂν δόξῃ τῷ Θεῷ, ῥάδια ποιῆσαι. Καὶ γὰρ φύσιν μεταθεῖναι δύναται, καὶ ταπεινότητα μεταβαλεῖν εἰς ὕψος, καὶ διορθῶσαι τρόπους.*

*Ταῦτ' οὖν εἰδότες ἅπαντα, τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ πάσης ἀπολαυσόμεθα δόξης, καὶ πρὸς ἄφατον ὕψος ἀναβησόμεθα, τῆς ῥοπῆς ἀπολαύοντες τοῦ Θεοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

23. Ἠσ. 54, 1.

αὐτά; τοὺς ταπεινοὺς νὰ ὑψώνονται καὶ νὰ κάθονται μαζὶ μὲ τοὺς ἄρχοντες; δέν βλέπεις τὴν ἀνάπηρη φύση ποὺ διορθώνεται, τὶς στεῖρες νὰ γίνονται μητέρες; Κάτι παρόμοιο συνέβηκε καὶ μὲ τὴν ἐκκλησία· ἦταν στείρα, ἀλλ᾽ ἔγινε μητέρα πολλῶν τέκνων. Γι᾽ αὐτὸ καὶ λέγει ὁ Ἠσαΐας· «Νοιῶσε χαρὰ σὺ ἡ στείρα ποὺ δὲν γεννοῦσες, βγάλε μεγάλη φωνὴ καὶ κραύγασε σὺ ποὺ δὲν γνώρισες τοὺς πόνους τοῦ τοκετοῦ· διότι περισσότερα εἶναι τὰ τέκνα τῆς ἐρήμου, παρά αὐτῆς ποὺ ἔχει ἄνδρα»[23]· αὐτό προλέγει ὅτι θά γίνει καὶ στὴν ἐκκλησία. Γι᾽ αὐτὸ λοιπὸν καὶ αὐτὸς τερμάτισε ἐδῶ τὸ λόγο, παρουσιάζοντας τὴν προφητεία καὶ μ᾽ αὐτὰ ἀξιόπιστη, καὶ μ᾽ αὐτὰ ποὺ ἤδη ἔγιναν καὶ ἀπὸ τὴ μεγαλωσύνη αὐτοῦ. Διότι ὅλα, ὅσα φανοῦν ἀρεστὰ στὸ Θεὸ, εἶναι εὔκολο νὰ τὰ κάμει. Καθόσον μπορεῖ καὶ τὴ φύση νὰ μεταθέσει καὶ τὴν ταπεινότητα νὰ μεταβάλει σὲ ὕψος, καὶ νὰ διορθώσει τὸν τρόπο ζωῆς.

Γνωρίζοντας λοιπὸν ὅλα αὐτά, ἂς προσφέρουμε ὅ,τι ἐξαρτᾶται ἀπὸ ἐμᾶς, διότι ἔτσι καὶ θ᾽ ἀπολαύσουμε κάθε δόξα καὶ θ᾽ ἀνεβοῦμε σὲ ὕψος ἀπερίγραπτο, ἀπολαμβάνοντας τὴ βοήθεια τοῦ Θεοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, στὸν Πατέρα δηλαδὴ καὶ στὸν Υἱὸ καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΙΓ΄ ΨΑΛΜΟΝ

*«Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ».*

*1. Μεγάλην ἐνταῦθα τοῦ Θεοῦ τὴν πραότητα μαρτυρεῖ καὶ ἡμερότητα. Ποίαν δὴ ταύτην; Ὅτι πρῶτον ἀποδείξεις παρεχόμενος τῆς οἰκείας δυνάμεως, τότε ἀπαιτεῖ τὴν προσκύνησιν. Τοῦτο γὰρ δηλῶν ἔλεγεν· «Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ». Τότε γὰρ ἔδειξε τὴν δύναμιν αὐτοῦ, φησί, διὰ τῶν ἐν Αἰγύπτῳ σημείων, διὰ τῶν ἐν τῇ ἐρήμῳ· τότε καὶ τὸν λαὸν ᾠκειώσατο. Τοῦτο καὶ ἐπὶ τοῦ Ἀδὰμ ἐποίησε. Πρότερον γὰρ τὸν κόσμον ποιήσας, καὶ δείξας αὐτοῦ καὶ τῆς σοφίας καὶ τῆς δυνάμεως τὴν ἰσχύν, οὕτω τὸν ἄνθρωπον ἔπλασε, καὶ τὴν προσκύνησιν ἀπῄτησε. Οὕτω καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ σημεῖα πρῶτον παρασχόμενος πολλὰ καὶ παντοδαπά, τότε τὴν πίστιν ἀπῄτει. Διά τοι τοῦτο τοῖς μὲν ἐξ ἀρχῆς προσιοῦσιν, ἅτε οὐκ ἔχουσιν αὐτοῦ ἐνέχυρα, οὐδὲ ἀπόδειξιν τῆς θεότητος, οὐκ ἔλεγε, πιστεύετε, ὅτι δύναμαι τοῦτο ποιῆσαι, ἀλλὰ μόνον τὰ σημεῖα ἐπεδείκνυ. Ἐπειδὴ δὲ πανταχοῦ τῆς Παλαιστίνης ὑπομνήματα τῆς ἑαυτοῦ δυνάμεως ἐναπέθετο, σώματα πεπηρωμένα διορθῶν, κακίαν ἐξελαύνων, περὶ βασιλείας διαλεγόμενος, τοὺς σωτηριώδεις εἰσάγων νόμους, τότε καὶ τὴν πίστιν ἀπῄτει παρὰ τῶν προσιόντων. Ἄνθρωποι μὲν γὰρ*

1. Ὁ ψαλμὸς αὐτὸς στὸ Μασσωριτικὰ κείμενα χωρίζεται σὲ δυὸ ψαλμούς· ὁ ἕνας ἀπὸ 1—8 στίχο καὶ ὁ ἄλλος ἀπὸ 9—26. Στοὺς Ο΄ ὅμως καὶ σ' ἄλλες μεταφράσεις παρουσιάζεται ἑνιαῖος. Τὸ πρῶτο μέρος εἶναι ἱστορικό· ἀποτελεῖ μικρογραφία τῶν θαυμαστῶν ἐπεμβάσεων τοῦ Κυρίου γιὰ τὴ σωτηρία τοῦ Ἰσραὴλ ἀπὸ τὴν ἔξοδό του μέχρι τὴν ἐγκατάστασή του στὴ γῆ τῆς ἐπαγγελίας. Στὸ δεύτερο μέρος ζητεῖται ἀπὸ τὸ Θεὸ νὰ ἐπέμβει καὶ νὰ βοηθήσει τὸ λαό του πρὸς δόξα τοῦ ὀνόματός του, παράλληλα προτρέπεται ὁ Ἰσραὴλ νὰ στηρίξει κάθε ἐλπίδα του στὸν Κύριο, ὅπως ἔπραξαν οἱ πρόγονοί του, καὶ ὁπωσδήποτε θὰ δοθεῖ καὶ πάλι ἡ εὐλογία του.

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΡΙΓ' ΨΑΛΜΟ

«Όταν ἐξῆλθε ὁ Ἰσραὴλ ἀπὸ τὴν Αἴγυπτο καὶ ἐλευθερώθηκε ὁ οἶκος τοῦ Ἰακὼβ ἀπὸ τὸ βάρβαρο λαό, ἡ Ἰουδαία ἔγινε τόπος ἁγιάσματος τοῦ Θεοῦ, καὶ τέθηκε κάτω ἀπὸ τὴν ἐξουσία του».

1. Τὰ λόγια αὐτὰ ἀποτελοῦν μεγάλη ἐπιβεβαίωση τῆς πραότητας καὶ ἡμερότητας τοῦ Θεοῦ. Ποιὰ λοιπὸν εἶναι αὐτή; Ὅτι, ἀφοῦ πρώτη δώσει ἀποδείξεις τῆς δυνάμεώς του, τότε ἀπαιτεῖ τὴν προσκύνηση. Αὐτὸ λοιπὸν γιὰ νὰ δηλώσει, ἔλεγε· «Ὅταν ἐξῆλθε ὁ Ἰσραὴλ ἀπὸ τὴν Αἴγυπτο, ἔγινε ἡ Ἰουδαία τόπος ἁγιάσματος τοῦ Θεοῦ». Τότε δηλαδή, λέγει, ἔδειξε τὴ δύναμή του, μὲ τὰ θαύματα ποὺ ἔκαμε στὴν Αἴγυπτο καὶ στὴν ἔρημο, τότε ἔκαμε καὶ τὸν ἰουδαϊκὸ λαὸ δικό του. Αὐτὸ ἔκαμε καὶ στὴν περίπτωση τοῦ Ἀδάμ. Ἀφοῦ δηλαδὴ προηγουμένως δημιούργησε τὸν κόσμο καὶ ἔδειξε καὶ τὴ σοφία του, καὶ τὴ δύναμη καὶ ἰσχύ του, τότε ἔπλασε τὸν ἄνθρωπο καὶ ζήτησε τὴν προσκύνησή του. Ἔτσι καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἀφοῦ πρῶτα ἔδωσε πολλὲς καὶ διάφορες ἀποδείξεις τῆς δυνάμεώς του, τότε ζήτησε καὶ τὴν πίστη. Γι' αὐτὸ λοιπὸν σ' ἐκείνους ποὺ προσέρχονταν στὴν ἀρχή, ἐπειδὴ δὲν εἶχαν ἐγγυητικὰ σημεῖα, οὔτε ἀπόδειξη γιὰ τὴ θεότητά του, δὲν ἔλεγε, πιστεύετε, ὅτι μπορῶ νὰ τὸ κάνω αὐτό, ἀλλὰ μόνο τὰ θαύματα φανέρωνε. Ὅταν ὅμως ἄφησε ἐνθύμια τῆς δυνάμεώς του σ' ὅλα τὰ μέρη τῆς Παλαιστίνης, θεραπεύοντας σώματα ἀνάπηρα, διώχνοντας τὴν κακία, μιλώντας γιὰ τὴν οὐράνιο βασιλεία καὶ θεσπίζοντας τοὺς σωτηριώδεις νόμους, τότε ζητοῦσε καὶ τὴν πίστη ἐκείνων ποὺ προσέρχονταν. Διότι οἱ ἄνθρωποι

*πρότερον ἄρχειν ἐθέλουσι, καὶ τότε εὐεργετεῖν ἐπιχειροῦσιν, ὁ Θεὸς δὲ ἀπὸ τῶν εὐεργεσιῶν ἄρχεται. Καὶ τί λέγω τὰς ἄλλας εὐεργεσίας, ὅπου γε καὶ τὸν σταυρὸν αὐτὸν ὑπέμεινε, καὶ τότε τῆς οἰκουμένης ἐκράτησε, διὰ τῶν ἔργων ἐπιδειξάμενος τὴν κηδεμονίαν;*

*Τοῦτο γοῦν καὶ ὁ ψαλμὸς ἐνταῦθα δηλῶν ἔλεγεν, «Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ». Τουτέστιν, ἐν τῇ ἐξόδῳ, ἐν τῇ ἀπαλλαγῇ, ἐν τῇ ἐλευθερίᾳ τῆς Αἰγύπτου. Καὶ οὐχ ἁπλῶς εἶπεν, «Αἰγύπτου», ἀλλὰ προσέθηκε, «Λαοῦ βαρβάρου», τῷ ὀνόματι τῶν πολεμίων τὴν κηδεμονίαν ἐνδειξάμενος τοῦ Θεοῦ. Τῶν γὰρ χαλεπῶν ἐκείνων, καὶ ἀνημέρων, καὶ βαρβαρικώτερον διακειμένων Αἰγυπτίων οὐκ ἂν ἠδυνήθησαν ἀπαλλαγῆναι, εἰ μὴ τῆς κραταιᾶς ἀπήλαυσαν χειρὸς καὶ τῆς δεξιᾶς τῆς ἀμάχου. Καὶ γὰρ θηρίων ἦσαν ἀγριώτεροι, καὶ πέτρας σκληρότεροι, μυρίαις παιόμενοι πληγαῖς, καὶ οὐκ ἐνδιδόντες. Εἰπὼν τοίνυν τὸν λαὸν βάρβαρον, ἔδειξε τοῦ Θεοῦ τῆς δυνάμεως τὴν ὑπερβολήν, ὅτι τὸν οὕτω βάρβαρον, τὸν οὕτως ὠμόν, νῦν μὲν ἔπεισε, νῦν δὲ καὶ ἄκοντα κατηνάγκασεν ἀφεῖναι τοὺς δούλους, καὶ φιλονεικοῦντας ὕστερον τῇ θαλάττῃ παρέδωκε, καὶ οὕτω τὸν λαὸν ἠλευθέρωσε τὸν ἑαυτοῦ.*

*Τί δέ ἐστιν, «Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ»; Ἀντὶ τοῦ, 'λαὸς αὐτῷ λατρεύων', 'λαὸς αὐτῷ ἀνακείμενος', 'λαὸς αὐτῷ ᾠκειωμένος'. Ἁγίασμα δὲ κυρίως ἐλέγετο ὁ ναός, τὰ ἄδυτα, τὰ ἅγια τῶν ἁγίων, καθάπερ καὶ Ζαχαρίας εἰσάγει τινὰς ἐρωτῶντας, καὶ λέγοντας· «Εἰσῆλθεν ὧδε τὸ ἁγίασμα, ἢ νηστεύσομεν;», περὶ τῆς* ***ἐπανόδου τῆς κιβωτοῦ,*** *καὶ τῶν*

2. Ζαχ. 7, 3.

πρῶτα θέλουν ν' ἀποκτήσουν ἐξουσία καὶ μετὰ ἐπιχειροῦν νὰ εὐεργετοῦν, ἐνῶ ὁ Θεὸς ἀρχίζει ἀπὸ τὶς εὐεργεσίες. Καὶ γιατὶ λέγω τὶς ἄλλες εὐεργεσίες, τὴ στιγμὴ βέβαια ποὺ καὶ τὸ ἴδιο τὸ σταυρὸ ὑπέμεινε καὶ μετὰ κυριάρχησε στὴν οἰκουμένη, ἀφοῦ μὲ τὰ ἔργα ἔδειξε τὴ φροντίδα του γι' αὐτήν;

Αὐτὸ λοιπὸν γιὰ νὰ δηλώσει καὶ ὁ ψαλμωδὸς ἐδῶ, ἔλεγε· «Ὅταν ἐξῆλθε ὁ Ἰσραὴλ ἀπὸ τὴν Αἴγυπτο καὶ ἐλευθέρωσε τὸν Ἰακὼβ ἀπὸ τὸ βάρβαρο λαό, ἔγινε ἡ Ἰουδαία τόπας ἁγιάσματος τοῦ Θεοῦ». Δηλαδὴ ὅταν ἐξῆλθε ἀπὸ τὴν Αἴγυπτο, ὅταν ἀπαλλάχθηκε ἀπ' αὐτὴ καὶ ἀπέκτησε τὴν ἐλευθερία του. Καὶ δὲν εἶπε ἁπλῶς, «Ἀπὸ τὴν Αἴγυπτο», ἀλλὰ πρόσθεσε, «ἀπὸ τὸ βάρβαρο λαό», γιὰ νὰ δείξει μὲ τὸ ὄνομα τῶν ἐχθρῶν τὴ φροντίδα τοῦ Θεοῦ. Διότι δὲν θὰ μποροῦσαν ν' ἀπαλλαγοῦν ἀπὸ τοὺς φοβεροὺς ἐκείνους, ἀγρίους καὶ πάρα πολὺ βαρβάρους Αἰγυπτίους, ἂν δὲν ἀπολάμβαναν τὴ βοήθεια τοῦ πανίσχυρου καὶ ἀκαταμάχητου χεριοῦ τοῦ Θεοῦ. Καθόσον ἦταν ἀγριώτεροι καὶ ἀπὸ θηρία, σκληρότεροι καὶ ἀπὸ τὴν πέτρα, καὶ δὲν ὑποχωροῦσαν, ἂν καὶ δέχονταν τὰ πλήγματα ἀμέτρητων πληγῶν. Ὀνομάζοντας λοιπὸν τὸ λαὸ βάρβαρο, ἔδειξε τὴν ὑπερβολικὴ δύναμη τοῦ Θεοῦ, ὅτι δηλαδὴ τὸν τόσο βάρβαρο λαό, τὸν τόσο σκληρό, ἄλλοτε μὲν τοὺς ἔπεισε, ἄλλοτε δὲ τοὺς ἐξανάγκασε καὶ χωρὶς νὰ τὸ θέλουν ν' ἀφήσουν τοὺς δούλους, καὶ ἐπειδὴ ἀργότερα συνέχισαν τὴν ἐχθρότητά τους, τοὺς παρέδωσε στὴ θάλασσα, καὶ ἔτσι ἐλευθέρωσε τὸ λαό του.

Τί σημαίνει δέ, «Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ»; Λέχθηκε ἀντὶ τοῦ, 'ὁ λαὸς αὐτὸν λάτρευε', 'ὁ λαὸς ἦταν ἀφοσιωμένος σ' αὐτόν', 'ὁ λαὸς ἦταν δικός του'. Ἁγίασμα δὲ κυρίως ὀνομαζόταν ὁ ναός, τὰ ἄδυτα, τὰ ἅγια τῶν ἁγίων, ὅπως ἀκριβῶς καὶ ὁ Ζαχαρίας παρουσιάζει μερικοὺς νὰ ἐρωτοῦν καὶ νὰ λέγουν· «Εἰσῆλθε ἐδῶ τὸ ἁγίασμα ἢ θὰ νηστέψουμε;»[2], δηλώνοντας τὴν ἐπιστροφὴ τῆς

ἄλλων ἁπάντων δηλῶν. «Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ», τουτέστιν, ἁγίασμα ἤγετο διὰ τῆς ἐποπτείας, διὰ τῶν θυσιῶν, διὰ τῆς λατρείας, διὰ τῆς ἄλλης ἁγιαστίας. «Ἰσραὴλ ἐξουσία αὐτοῦ». Τί ἐστιν, «Ἰσραὴλ ἐξουσία αὐτοῦ»; Ὑπὸ τὴν ἀρχὴν αὐτοῦ, φησί. Καίτοι πᾶσα ἡ οἰκουμένη ὑπὸ τὴν αὐτοῦ ἀρχὴν ἦν, ἀλλ' οὗτοι καὶ κατ' οἰκείωσιν ἑτέραν. Ἐπειδὴ καὶ προφητείας ἐδέχοντο, καὶ διελέγετο αὐτοῖς, καὶ τὰ κατ' αὐτοὺς ᾠκονόμει μειζόνως.

Εἶτα καθ' ἕτερον δὲ τρόπον καὶ λαὸς αὐτοῦ ἐχρημάτιζε. Καὶ γὰρ τῷ νεύματι τῷ ἐκείνου πολλάκις καὶ εἰς πολέμους ἐξῄεσαν, καὶ πολλὰ τῶν ἄλλων ἔπραττον. Βαρβαρικῶν γὰρ αὐτοὺς ἀπαλλάξας χειρῶν, καὶ τυραννίδος, καὶ δουλείας, καὶ κινδύνου ἐσχάτου, καὶ παρανόμου γνώμης, γέγονεν αὐτῶν βασιλεύς. Τοῦτο γοῦν καὶ ἀλλαχοῦ δικαιολογούμενος καὶ δεικνύς, ὅτι πρότερον τὰ παρ' ἑαυτοῦ ἐπιδειξάμενος ἀπῄτει τὰ παρ' ἐκείνων ἔλεγε· «Μὴ ἔρημος ἐγενόμην τῷ οἴκῳ Ἰσραήλ, ἢ γῆ κεχερσωμένη;». Ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ ἄκαρπος, φησίν, ὑμῖν ἐγενόμην; οὐ μυρία ἀγαθὰ εἰς ὑμᾶς ἐπεδειξάμην; οὐ τὴν φύσιν αὐτὴν μετέβαλον; οὐ τὰ στοιχεῖα πρὸς τὴν ὑπηρεσίαν ὑμῶν ἐρρύθμισα; οὐ διαγωγὴν ὑμῖν ἐχαρισάμην ἀνθρωπίνων ἀπηλλαγμένην πόνων; Διὰ τοῦτό φησι· «Μὴ ἔρημος ἐγενόμην τῷ οἴκῳ Ἰσραήλ;». Τουτέστιν, οὐ μυρίους ἤνεγκα καρπούς; ἐλευθερίαν ἀπ' Αἰγύπτου, ἀπαλλαγὴν βαρβάρων, θαυμάτων ἐπίδειξιν, τὴν ἐν ἐρήμῳ διαγωγήν, τὴν τῆς Παλαιστίνης κληρονομίαν, τὴν τῶν ἐθνῶν κράτησιν, τὰ συνεχῆ τρόπαια, τὰς ἐπαλλήλους νίκας, τὰ θαύματα τὰ παράδο-

3. Ἱερ. 2, 31.

κιβωτοῦ καὶ ὅλων τῶν ἄλλων. «Ἔγινε ἡ Ἰουδαία τόπος ἁγιάσματος τοῦ Θεοῦ». Πρὶν δηλαδὴ ἀπ' αὐτὸ ἡ χώρα ἦταν μιὰ ἀκάθαρτη καὶ μολυσμένη χώρα, ὅταν ὅμως ἐπέστρεψε ὁ λαὸς τοῦ Θεοῦ, ἔγινε ἡ πόλη τόπος ἁγιάσματος αὐτοῦ· δηλαδὴ θεωροῦνταν ἁγίασμα γιὰ τὴν μύηση στὰ μυστήρια, γιὰ τὶς θυσίες, γιὰ τὴ λατρεία καὶ γιὰ ὅλη τὴν ἄλλη ἱεροτελεστία. «Ὁ Ἰσραὴλ ἐξουσία αὐτοῦ». Τί σημαίνει, «Ἰσραὴλ ἐξουσία αὐτοῦ»; Κάτω ἀπὸ τὴν ἐξουσία του, λέγει. Ἂν καὶ βέβαια ὅλη ἡ οἰκουμένη ἦταν κάτω ἀπὸ τὴν ἐξουσία του, ἀλλ' αὐτοὶ ἦταν κάτω ἀπὸ τὴν ἐξουσία του μὲ κάποια ἰδιαίτερη σχέση. Ἐπειδὴ καὶ προφητεῖες δέχονταν καὶ συνομιλοῦσε μαζί τους καὶ ρύθμιζε μὲ μεγαλύτερο ἐνδιαφέρον τὰ θέματα αὐτῶν.

Ἔπειτα δὲ καὶ κατ' ἄλλο τρόπο ὀνομαζόταν λαός του. Καθόσον πολλὲς φορὲς κάτω ἀπὸ τὸ βλέμμα του καὶ πολέμους διεξήγαγαν καὶ πολλὰ ἔκαμναν ἐναντίον ἄλλων λαῶν. Ἀφοῦ λοιπὸν τοὺς ἀπάλλαξε ἀπὸ τὰ βαρβαρικὰ χέρια, τὴν τυραννικὴ ἐξουσία, τὴ δουλεία, τὸν ἔσχατο κίνδυνο καὶ τὴν παράνομη γνώμη τῶν ἐχθρῶν τους ἔγινε βασιλεύς τους. Γι' αὐτὸ λοιπὸν ἀπολογούμενος καὶ σ' ἄλλη περίπτωση καὶ γιὰ νὰ δείξει ὅτι ζητοῦσε ἀπὸ ἐκείνους τὴν πίστη τους, ἀφοῦ ἀποκάλυψε τὰ δικά του ἔργα, ἔλεγε· «Μήπως ὑπῆρξα ἔρημος γιὰ τὸν οἶκο τοῦ Ἰσραήλ, ἢ γῆ ἄγονη;»[3]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Μήπως, λέγει, ὑπῆρξα γιὰ σᾶς ἄκαρπος; δὲν σᾶς πρόσφερα ἀμέτρητα ἀγαθά, δὲν μετέβαλα τὴν ἴδια τὴ φύση; δὲν ρύθμισα τὰ στοιχεῖα τῆς φύσεως πρὸς ἐξυπηρέτησή σας; δὲν σᾶς χάρισα διάβαση ἀπαλλαγμένη ἀπὸ κόπους ἀνθρώπινους; Γι' αὐτὸ λέγει· «Μήπως ὑπῆρξα ἔρημος γιὰ τὸν οἶκο τοῦ Ἰσραήλ;». Δηλαδή, δὲν σᾶς πρόσφερα ἀμέτρητους καρπούς; ἐλευθερία ἀπὸ τὴν Αἴγυπτο, ἀπαλλαγὴ ἀπὸ βαρβάρους, ἐπίδειξη θαυμάτων, τὴ μετάβασή σας μέσα ἀπὸ τὴν ἔρημο, τὴν κληρονομία τῆς Παλαιστίνης, τὴν ἐπικράτησή σας στὰ ἔθνη, τὰ συνεχῆ τρόπαια, τὶς ἀλλεπάλληλες νίκες,

*ξα, τὰ τεράστια τὰ συνεχῆ, τῆς γῆς τὴν εὐετηρίαν, τοῦ γένους ὑμῶν τὴν ἐπίδοσιν, τὴν πανταχοῦ τῆς οἰκουμένης δόξαν, ἕτερα μυρία;*

*2. Εἶδες καρποὺς τοῦ Θεοῦ; Διὰ τοῦτο ἐπήγαγε· «Μὴ γῆ ἐγενόμην κεχερσωμένη;». Τουτέστιν, οὐ μυρίους ἐδρέψασθε παρ' ἐμοῦ καρπούς; οὐκ ηὐλόγησα τὴν εἴσοδον ὑμῶν καὶ τὴν ἔξοδον ὑμῶν, τὰ ποίμνια ὑμῶν, καὶ τὰ βουκόλια ὑμῶν, τὸν ἄρτον ὑμῶν, καὶ τὸ ὕδωρ ὑμῶν; οὐκ ἐν ἀσφαλείᾳ κατέστησα; οὐ πᾶσιν ἀχειρώτους εἰργασάμην, οὐ φοβεροὺς καὶ ἀμάχους; οὐ καθάπερ ἀπὸ πηγῶν πάντα ὑμῖν ἐπέρρει τὰ ἀπὸ τῆς γῆς, τὰ ἀπὸ τοῦ οὐρανοῦ; Τὸν γὰρ ἄρχοντα ταῦτα μάλιστα δείκνυσι. τὸ προνοεῖν τῶν ὑπηκόων, τὸ κήδεσθαι καὶ φροντίζειν. Διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· «Ὁ ποιμὴν ὁ καλός», οὐκ εἶπε, τιμᾶται καὶ θεραπεύεται, ἀλλά, «Τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων». Τοῦτο ἀρχή, τοῦτο ποιμαντικὴ ἐπιστήμη, τὸ τὰ αὐτοῦ παρορᾶν, καὶ τὰ τῶν ἀρχομένων μεριμνᾶν. Ὅπερ γάρ ἐστιν ἰατρός, τοῦτό ἐστιν ἄρχων· μᾶλλον δὲ καὶ ἰατροῦ πλέον. Ὁ μὲν γὰρ ἰατρὸς τῇ τέχνῃ τὴν σωτηρίαν περιποιεῖται, ὁ δὲ ἄρχων καὶ ἐν τοῖς ἰδίοις κινδύνοις.*

*Ὅπερ καὶ ὁ Χριστὸς ἐποίησε, ῥαπισθείς, σταυρωθείς, τὰ μυρία παθών. Διὸ καὶ Παῦλος ἔλεγε· «Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται, Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ». Δύο τοίνυν, μᾶλλον δὲ καὶ τρεῖς καὶ μυρίας τίθησιν ἐνταῦθα εὐεργεσίας, ὅτι βαρβάρων ἀπήλλαξεν, ὅτι τῆς ἀλλοτρίας ἠλευθέρωσεν, ὅτι δουλείας ἐξέβαλεν, ὅτι πόνους ἔλυσε καὶ ταλαιπωρίας, ὅτι μυρία θαύματα εἰργάσατο· εἶτα ὅτι καὶ ἁγίασμα αὐτοῦ αὐ-*

---

4. Ἰω. 10, 11.
5. Ρωμ. 15, 3· Ψαλμ. 68, 10.

τὰ παράδοξα θαύματα, τὰ τεράστια καὶ συνεχῆ, τὴν εὐημερία τῆς γῆς, τὴν προκοπὴ τῆς φυλῆς σας, τὴ δόξα σας σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης καὶ ἀμέτρητα ἄλλα;

2. Εἶδες καρποὺς τοῦ Θεοῦ; Γι' αὐτὸ πρόσθεσε˙ «Μήπως ὑπῆρξα γιὰ σένα γῆ ἄγονη;». Δηλαδή, δὲν κόψατε ἀπὸ μένα ἀμέτρητους καρπούς; δὲν εὐλόγησα τὴν εἴσοδό σας καὶ τὴν ἔξοδό σας, τὰ ποίμνιά σας καὶ τὰ κοπάδια τῶν βοδιῶν σας, τὸν ἄρτο σας, τὸ νερό σας; δὲν σᾶς χάρισα ἀσφάλεια; δὲν σᾶς ἔκαμα σ' ὅλους ἀκατανίκητους, φοβεροὺς καὶ ἀκαταμάχητους; δὲν ἔτρεχαν σὲ σᾶς ὅλα σὰν ἀπὸ πηγὲς τόσο ἀπό τὴ γῆ, ὅσο καὶ ἀπὸ τὸν οὐρανό; Διότι αὐτὸ πρὸ πάντων ἀποδεικνύει τὸν ἄρχοντα, τὸ νὰ προνοεῖ γιὰ τοὺς ὑπηκόους του, τὸ νὰ ἐνδιαφέρεται καὶ νὰ φροντίζει γι' αὐτούς. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε˙ «Ὁ καλὸς ὁ ποιμένας», δὲν εἶπε, τιμᾶται καὶ ὑπηρετεῖται, ἀλλὰ «θυσιάζει τὴ ζωή του γιὰ τὰ πρόβατά του»[4]. Αὐτὸ εἶναι ἐξουσία, αὐτὸ ποιμαντικὴ ἐπιστήμη, τὸ νὰ παραβλέπει κανεὶς τὰ δικά του, καὶ νὰ φροντίζει γιὰ τὰ θέματα αὐτῶν ποὺ ἄρχει. Διότι αὐτὸ ἀκριβῶς ποὺ εἶναι ὁ ἰατρός, αὐτὸ εἶναι καὶ ὁ ἄρχοντας˙ μᾶλλον δὲ περισσότερο καὶ ἀπὸ τὸ γιατρό. Διότι ὁ μὲν ἰατρὸς μὲ τὴν τέχνη του φροντίζει γιὰ τὴ σωτηρία, ἐνῶ ὁ ἄρχοντας συμμετέχει καὶ στοὺς ἴδιους τοὺς κινδύνους.

Καὶ αὐτὸ ἀκριβῶς ἔκαμε καὶ ὁ Χριστός, διότι δέχθηκε ραπίσματα, σταυρώθηκε καὶ ἔπαθε ἀμέτρητα ἄλλα παθήματα. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε˙ «Διότι καὶ ὁ Χριστὸς δὲν φρόντισε ν' ἀρέσει στὸν ἑαυτό του, ἀλλὰ ὅπως ἔχει γραφεῖ, οἱ ὕβρεις τῶν ὑβριστῶν σου ἔπεσαν ἐπάνω μου»[5]. Δύο λοιπὸν εὐεργεσίες ἀναφέρει ἐδῶ, μᾶλλον δὲ τρεῖς καὶ ἀμέτρητες˙ τὸ ὅτι τοὺς ἀπάλλαξε ἀπὸ τοὺς βαρβάρους, τὸ ὅτι τοὺς ἐλευθέρωσε ἀπὸ τὴν ξένη χώρα, τὸ ὅτι τοὺς ἐξέβαλε ἀπὸ τὴ δουλεία, τὸ ὅτι τοὺς ἀπάλλαξε ἀπὸ τοὺς κόπους καὶ τὶς ταλαιπωρίες, τὸ ὅτι ἔκαμε ἀμέτρητα θαύματα, καὶ στὴ συνέχεια τοὺς καταξίωσε νὰ γί-

τοὺς κατηξίωσε καὶ ὑπηκόους. Καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν εὐεργεσίας εἶδος, τὸ ἐν τάξει τῶν ὑπηκόων αὐτοὺς καταλέγειν.

«Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν· ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω». Ὅρα τὸν λόγον κορυφούμενον, καὶ τὴν εὐεργεσίαν αὐξανομένην. Τί γὰρ δεῖ λέγειν, φησί, περὶ βαρβάρων καὶ ἐθνῶν, ὁπότε καὶ ἡ κτίσις ὑπεξίστατο καὶ παρεχώρει, καὶ πρὸς τὰ ἐναντία μεθίστατο, τὸν στρατηγοῦντα ὁρῶσα, καὶ τῷ δημαγωγῷ παραχωροῦσα; Πάντα γὰρ τότε τῷ δήμῳ τῷ τῶν Ἑβραίων ὑπεξίστατο καὶ παρεχώρει, ἵνα μάθωσιν, ὅτι οὐκ ἀνθρωπίνης ἀκολουθίας ἦν τὰ γινόμενα, ἀλλὰ θείας καὶ ἀπορρήτου δυνάμεως τὰ θαυματουργούμενα ἅπαντα. Καὶ ὅρα τὴν ἔμφασιν τῆς λέξεως, πῶς ἀρίστως αὐτὴν τέθεικεν. Οὐ γὰρ εἶπεν, ἀνεχώρησεν, οὐδέ, ὑπεξέστη, ἀλλὰ τί; «Ἡ θάλασσα εἶδε, καὶ ἔφυγε»· τὸ τάχος τῆς ἀναχωρήσεως τῇ φυγῇ παραστῆσαι βουλόμενος, τὸ μέγεθος τῆς ἐκπλήξεως, τὸ εὔκολον τῆς ἐνεργείας τοῦ Θεοῦ. Καὶ ἵνα μή τις νομίσῃ ἐκ περιόδου τινὸς καὶ συντυχίας τοῦτο γίνεσθαι, ἐξ ἐκείνου οὐκ ἔτι γέγονεν» ἀλλ' ἅπαξ, ὅτε ὁ Θεὸς ἐκέλευσε, καὶ ἐπὶ διαφόρων προσώπων. Καὶ γὰρ ἡ ἄτακτος τῶν ὑδάτων ῥύμη καθάπερ λογική τις καὶ ἔμψυχος, τοῦ Θεοῦ κελεύοντος, οὕτω τοὺς μὲν ἔσωσε, τοὺς δὲ ἀπώλλυε, τοῖς μὲν τάφος, τοῖς δὲ ὄχημα γινομένη. Τοῦτο καὶ ἐπὶ τῆς Βαβυλωνίας καμίνου ἴδοι τις ἄν. Καὶ γὰρ τὸ πῦρ, τὸ ἁπλῶς καὶ ὡς ἔτυχε φερόμενον, πολλὴν εὐταξίαν ἐπεδείκνυτο, ὅτι ὁ Θεὸς ἐπέταξε, οὓς μὲν ἔνδον εἶχε διασῶζον, τοὺς δὲ ἔξωθεν περικαθημένους ἁρπάζον καὶ ἀναλίσκον.

«Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω». Εἶδες καὶ ἐν

νουν άγίασμά του καί ύπήκοοί του. Καθόσον καί αύτό δέν είναι μικρό είδος εύεργεσίας, τό νά τούς κατατάσσει στή θέση τών ύπηκόων του.

«Ή θάλασσα είδε τόν Ίσραήλ καί έφυγε, ό Ίορδάνης στράφηκε στά όπίσω». Πρόσεχε τό λόγο πού φθάνει στό άποκορύφωμά του καί τήν εύεργεσία πού αύξάνει. Διότι, λέγει, τί χρειάζεται νά όμιλοῦμε γιά τούς βαρβάρους καί τά έθνη, τή στιγμή πού καί ή κτίση ύποχωροῦσε καί ύποτασσόταν καί άκολουθοῦσε άντίθετη πορεία, βλέποντας τό στρατηγό καί ύποχωρώντας μπροστά στόν άρχηγό τοῦ λαοῦ; Διότι όλα τότε ύποχωροῦσαν καί ύποτάσσονταν στό λαό τῶν έβραίων, γιά νά μάθουν, ότι τά όσα γίνονταν δέν ἦταν άποτέλεσμα άνθρώπινης ένέργειας, άλλ' όλα έκεῖνα πού γίνονταν κατά τρόπο θαυματουργικό ἦταν άποτέλεσμα τῆς θείας καί άπερίγραπτης έκείνης δυνάμεως. Καί πρόσεχε τήν έμφαση τῆς λέξεως, μέ πόσο άριστο τρόπο άνέφερε αύτή. Διότι δέν είπε, άναχώρησε, ούτε ύποχώρησε, άλλά τί; «Ή θάλασσα είδε καί έφυγε», θέλοντας νά παρουσιάσει μέ τή φυγή τήν ταχύτητα τῆς ύποχωρήσεως, τό μέγεθος τῆς έκπλήξεως, τό εύκολο τῆς ένέργειας τοῦ Θεοῦ. Καί γιά νά μή νομίσει κανείς ότι αύτό γίνεται γιά μιά μόνο στιγμή καί συμπτωματικά, καί ότι άπό τότε δέν ξανάγινε πλέον, άλλά μιά φορά, όταν ό Θεός πρόσταξε καί σέ διάφορα πρόσωπα, καθόσον ή άτακτη όρμή τῶν ύδάτων, σάν κάποια άκριβῶς λογική καί έμψυχη, μόλις ό Θεός πρόσταξε, άλλους μέν έσωσε, άλλους δέ τούς κατέστρεψε, καί έγινε σ' άλλους μέν τάφος, σ' άλλους δέ όχημα. Αύτό θά μποροῦσε κανείς νά τό δεῖ καί στή Βαβυλώνια κάμινο. Καθόσον ή φωτιά, πού κινεῖται όπως τύχει, έδειχνε πολλή πειθαρχία, διότι πρόσταξε ό Θεός, έκείνους μέν πού εἶχε μέσα νά τούς σώζει, ένῶ έκείνους πού κάθονταν έξω καί γύρω άπ' αύτή νά τούς άρπάζει καί νά τούς κατακαίει.

«Ό Ίορδάνης στράφηκε πίσω». Είδες τά θαύματα

*διαφόροις καιροῖς, καὶ ἐν διαφόροις χωρίοις τὰ θαύματα γινόμενα; Ἵνα γὰρ μάθωσιν, ὅτι πανταχοῦ ἡ δύναμις ἐκτέταται τοῦ Θεοῦ, καὶ οὐ περικλείεται τόπῳ, καὶ ἐν τῇ ἐρήμῳ καὶ ἐν τῇ τῶν βαρβάρων χώρᾳ, καὶ πανταχοῦ παρεγίνετο θαυματουργῶν καὶ νῦν μὲν ἐν θαλάττῃ, νῦν δὲ ἐν ποταμοῖς, καὶ τότε μὲ ἐν θαλάττῃ, νῦν δὲ ἐν ποταμοῖς, καὶ τότε μὲν ἐπὶ Μωϋσέως, ὕστερον δὲ ἐπὶ τοῦ Ἰησοῦ· καὶ πανταχοῦ διὰ σημείων παρεπέμποντο, ἵνα τὴν ἀναίσθητον αὐτῶν γνώμην καὶ τὴν σκληρὰν διάνοιαν τοῖς θαύμασι μαλασσομένην, εὐήνιον καὶ ἐπιτηδειοτέραν καταστήσωσι πρὸς τὴν τῆς θεογνωσίας ὑποδοχήν.*

*Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων». Ἐνταῦθα ζήτημα οὐ μικρὸν ἡμῖν ἀνακύπτει. Καὶ γάρ τινες διαποροῦντές φασιν, ὅτι μὲν τὰ πρότερα γέγονεν ἴσμεν· καὶ γὰρ ἱστορία παρέδωκεν, ὅτι καὶ ἡ ἐρυθρὰ θάλασσα ἐσχίσθη ἐν τῇ ἐξόδῳ, καὶ ὅτι ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ἡνίκα ἡ κιβωτὸς παρῄει· ὅτι δὲ ὄρη ἐσκίρτησαν καὶ βουνοί, οὐδαμοῦ τοῦτο ὁρῶμεν γεγραμμένον. Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι τὴν ἡδονὴν ὑπερβολικῶς παραστῆσαι βουλόμενος καὶ τῶν θαυμάτων τὸ μέγεθος ὁ προφήτης, εἰσάγει καὶ τὰ ἄψυχα αὐτὰ μονονουχὶ χορεύοντα καὶ πηδῶντα, ἅπερ ἐπὶ τῶν εὐφραινομένων γίνεται. Διὰ τοῦτο καὶ ἡ προσθήκη τῆς εἰκόνος τό, «Ὡς κριοὶ καὶ ὡς ἀρνία προβάτων». Καὶ γὰρ ἐκεῖνα τὰ ἄλογα ἡνίκα εὐφραίνηται τοῖς πηδήμασι τὴν ἡδονὴν δηλοῖ. Ὥσπερ οὖν ἐν ταῖς συμφοραῖς ἄλλος φησίν, ὅτι καὶ ἄμπελος ἐπένθησε καὶ οἶνος· οὐχ ὡς τῆς ἀμπέλου πενθούσης (πῶς γὰρ ἂν πενθήσει ἄμπελος;) ἀλλὰ τὴν ὑπερβολὴν τῆς κατηφείας ἐνδείξασθαι βουλόμενος, καὶ τῶν ἀψύχων αὐτῶν σχεδὸν ἁπτομένων ὑπερβολικῶς λέγει, οὕτω δὴ καὶ ἐνταῦθα τὴν κτίσιν εἰσάγει κοινωνοῦσαν τῆς ἡδονῆς, ἵνα τὸ μέγεθος δείξῃ τῆς εὐφροσύνης. Τοῦτο καὶ ἡμῖν ἔθος λέ-*

πού γίνονται καὶ σὲ διαφόρους καιροὺς καὶ σὲ διαφόρους τόπους; Γιὰ νὰ μάθαυν λοιπόν, ὅτι ἡ δύναμη τοῦ Θεοῦ ἐπεκτείνεται παντοῦ καὶ δὲν περικλείεται σ᾽ ἕνα τόπο, καὶ ὅτι περιφερόταν παντοῦ θαυματουργώντας καὶ στὴν ἔρημο καὶ στὴ χώρα τῶν βαρβάρων, καὶ ἄλλοτε μὲν στὴ θάλασσα, ἄλλοτε δὲ στοὺς ποταμούς, καὶ τότε μὲν μέσω τοῦ Μωυσῆ, ἀργότερα δὲ μέσω τοῦ Ἰησοῦ· καὶ παντοῦ ἀκολουθοῦνταν ἀπὸ θαύματα, ὥστε, ἀφοῦ μαλακώσουν τὴν ἀναίσθητη γνώμη τους καὶ τὴ σκληρὴ διάνοιά τους, νὰ τὴν καταστήσουν ὑπάκουη καὶ κατάλληλη γιὰ τὴν ὑποδοχὴ τῆς θεογνωσίας.

«Τὰ ὄρη σκίρτησαν σὰν κριοὶ καὶ τὰ βουνὰ σὰν ἀρνιὰ προβάτων». Ἐδῶ προβάλλει σ᾽ ἐμᾶς μεγάλο ζήτημα. Καθόσον μερικοὶ πού ἀποροῦν λέγουν· τὸ ὅτι μὲν συνέβηκαν τὰ προηγούμενα τὸ γνωρίζουμε· καθότι ἡ ἱστορία μᾶς παρέδωσε, ὅτι καὶ ἡ ἐρυθρὰ θάλασσα σχίσθηκε κατὰ τὴν ἔξοδο, καὶ ὁ Ἰορδάνης στράφηκε πίσω, ὅταν περνοῦσε ἡ κιβωτός· τὸ ὅτι ὅμως σκίρτησαν τὰ ὄρη καὶ τὰ βουνά, αὐτὸ πουθενὰ δὲν τὸ βλέπουμε γραμμένο. Τί μποροῦμε λοιπὸν νὰ ποῦμε; Ὅτι θέλοντας ὁ προφήτης νὰ παραστήσει τὴν ὑπερβολικὴ χαρὰ καὶ τὸ μέγεθος τῶν θαυμάτων, παρουσιάζει καὶ αὐτὰ τὰ ἄψυχα σὰν κατὰ κάποιο τρόπο, νὰ χορεύουν καὶ πηδοῦν, πράγμα πού γίνεται μὲ ἐκείνους πού χαίρονται. Γι᾽ αὐτὸ καὶ ἡ προσθήκη τῆς εἰκόνας, δηλαδὴ τὸ «Σὰν κριοὶ καὶ σὰν ἀρνιὰ προβάτων». Καθόσον ἐκεῖνα τὰ ἄλογα ζῶα ὅταν χαίρονται, ἐκδηλώνουν τὴ χαρά τους μὲ πηδήματα. Ὅπως ἀκριβῶς λοιπὸν στὶς συμφορὲς ἄλλος λέγει, ὅτι καὶ ἡ ἄμπελος πένθησε καὶ ὁ οἶνος, ὄχι ὅτι ἡ ἄμπελος πενθεῖ (διότι πῶς θὰ μποροῦσε νὰ πενθήσει ἡ ἄμπελος;), ἀλλὰ θέλοντας νὰ δείξει τὴν ὑπερβολικὴ θλίψη, παρουσιάζει κατὰ τρόπο ὑπερβολικὸ σὰν νὰ μετέχουν σχεδὸν καὶ τὰ ἴδια τὰ ἄψυχα, ἔτσι λοιπὸν καὶ ἐδῶ παρουσιάζει τὴν κτίση νὰ συμμετέχει στὴ χαρά, γιὰ νὰ δείξει τὸ μέγεθος τῆς εὐφροσύνης. Αὐτὸ καὶ ἐμεῖς συνη-

*γειν, ὅτι τὰ ἐνταῦθα φαιδρὰ γέγονεν, ἐπειδὰν τινα ἴδωμεν ἔντιμον παραγενόμενον· ἐνέπλησας τὴν οἰκίαν χαρᾶς, οὐ περὶ τῶν τοίχων διαλεγόμενοι, ἀλλὰ τὴν ὑπερβολὴν τῆς εὐφροσύνης παριστῶντες.*

*«Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοί, ὡς ἀρνία προβάτων;». Κατὰ ἐρώτησιν τὸν λόγον προάγει, καὶ τοῖς στοιχείοις διαλέγεται, ἀπὸ τῆς αὐτῆς γνώμης ἀφ' ἧς ἔφησεν αὐτὰ σκιρτᾶν. Ὥσπερ γὰρ οὐκ αἴσθησιν αὐτοῖς διδοὺς ταῦτα ἔλεγεν, ἀλλ', ὅπερ ἔφθην εἰπών, τὴν ὑπερβολὴν τῆς ἡδονῆς ἐνδεικνύμενος καὶ τῶν κατορθωμάτων τὸ μέγεθος, οὕτω καὶ τὴν ἐρώτησιν αὐτοῖς προσάγει· οὐχ ὡς ἀποκρίνασθαι δυναμένοις καὶ αἴσθησιν ἔχουσιν, ἀλλ' ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον καὶ δεῖξαι τὸ παράδοξον. Ὡς γὰρ καινοῦ τινος γενομένου, καὶ οὐ κατὰ ἀκολουθίαν συμβάντος, τὴν ἐρώτησιν ἐπάγει, καὶ προστίθησι τὴν ἀπόκρισιν. Τίς δὲ ἦν αὕτη; «Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ». Ἐνταῦθα πάλιν σάλον τὴν ἔκπληξιν λέγει, τὸ θαῦμα, τὴν ἔκστασιν, ὥστε δεῖξαι τὸ μέγεθος τῶν γεγενημένων.*

*3. Εἶτα δεικνὺς ὅσον ἐστὶν ἀνδρὸς ἀρετή, ἀπὸ τοῦ δούλου τὸν Δεσπότην ἐκάλεσεν, ὃ καὶ Παῦλος ἀντὶ μεγίστης τιμῆς ἔφη τοῖς ἁγίοις δεδόσθαι ἐκείνοις, ὅτι δὴ τῶν βιωτικῶν ἀπηλλάγησαν ἁπάντων. Οὐδὲ γὰρ τὴν τιμὴν μόνον τίθησιν, ἀλλὰ καὶ τὴν αἰτίαν τῆς τιμῆς προστίθησιν, ἵνα τὸν ἀκροατὴν διδάξῃ τὴν ὁδόν, δι' ἧς δύναται ταύτης ἀπολαῦσαι τῆς προεδρίας. Τίς δέ ἐστιν αὕτη; Τὸ ἀπὸ τῶν δούλων καλεῖσθαι τὸν Δεσπότην. Διὸ καὶ ἔλεγε· «Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν». Πῶς δὲ ὁ Θεὸς αὐτῶν ἐκαλεῖτο; Λέγων· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς*

6. Ἠσ. 24, 7.
7. Ἑβρ. 11, 16.

θίζουμε νὰ λέμε, ὅτι ὅλα ἐδῶ ἔχουν γίνει χαρούμενα, ὅταν δοῦμε κάποιο ἐπίσημο νὰ ἔχει ἔλθει· γέμισες, λέμε, τὴν οἰκία ἀπὸ χαρά, χωρὶς νὰ ἐννοοῦμε τοὺς τοίχους, ἀλλὰ παριστάνουμε τὴν ὑπερβολὴ τῆς εὐφροσύνης.

«Τί σοῦ συνέβη, θάλασσα, καὶ ἔφυγες, καὶ σύ, Ἰορδάνη, ποὺ στράφηκες πίσω; Καὶ τὰ ὄρη γιατί σκιρτήσατε σὰν τὰ κριάρια καὶ τὰ βουνὰ σὰν τὰ ἀρνιὰ τῶν προβάτων;». Μὲ ἐρωτήσεις προχωρεῖ τὸ λόγο καὶ συνομιλεῖ μὲ τὰ στοιχεῖα τῆς φύσεως, μὲ τὴν ἴδια σκέψη, μὲ τὴν ὁποία εἶπε ὅτι αὐτὰ σκιρτοῦν. Ὅπως ἀκριβῶς δηλαδὴ τὰ ἔλεγε αὐτὰ χωρὶς νὰ δίνει αἴσθηση σ' αὐτά, ἀλλά, ὅπως προανέφερα, γιὰ νὰ δείξει τὴν ὑπερβολικὴ χαρὰ καὶ τὸ μέγεθος τῶν κατορθωμάτων, ἔτσι κάμνει καὶ τὴν ἐρώτηση σ' αὐτά· ὄχι ὅτι μποροῦν ν' ἀποκριθοῦν καὶ ὅτι αἰσθάνονται, ἀλλὰ γιὰ νὰ κάνει τὸ λόγο σαφέστερο καὶ νὰ δείξει τὸ παράδοξο. Διότι, σὰν νὰ συνέβηκε κάτι τὸ καινούριο καὶ ποὺ δὲν συνέβηκε κατὰ φυσικὸ τρόπο, κάμνει τὴν ἐρώτηση καὶ προσθέτει καὶ τὴν ἀπάντηση. Ποιὰ δὲ εἶναι αὐτή; «Ἀπὸ τὴν παρουσία τοῦ Κυρίου σαλεύθηκε ἡ γῆ, ἀπὸ τὴν παρουσία τοῦ Θεοῦ τοῦ Ἰακώβ». Ἐδῶ πάλι ὀνομάζει σάλο τὴν ἔκπληξη, τὸ θαῦμα, τὴν ἔκσταση, γιὰ νὰ δείξει τὸ μέγεθος τῶν συμβάντων.

3. Ἔπειτα, γιὰ νὰ δείξει πόσο μεγάλη εἶναι ἡ ἀρετὴ τοῦ ἄνδρα, ὀνόμασε τὸν Κύριο μὲ τὸ ὄνομα τοῦ δούλου, πράγμα ποὺ καὶ ὁ Παῦλος εἶπε ὅτι δόθηκε ἀντὶ μεγίστης τιμῆς σ' ἐκείνους τοὺς ἁγίους, ἐπειδὴ δηλαδὴ ἀπαλλάχθηκαν ἀπὸ ὅλα τὰ κοσμικά. Διότι δὲν ἀναφέρει μόνο τὴν τιμή, ἀλλὰ προσθέτει καὶ τὴν αἰτία τῆς τιμῆς, γιὰ νὰ διδάξει στὸν ἀκροατὴ τὴν ὁδό, μὲ τὴν ὁποία μπορεῖ ν' ἀπολαύσει αὐτὴν τὴν τιμητικὴ διάκριση. Ποιὰ δὲ εἶναι αὐτή; Τὸ νὰ ὀνομάζεται ὁ Κύριος μὲ τὸ ὄνομα τῶν δούλων. Γι' αὐτὸ καὶ ἔλεγε· «Γιὰ τὸ λόγο αὐτὸ δὲν ντρέπεται ὁ Θεὸς νὰ ὀνομάζεται Θεός τους»[*]. Πῶς δὲ ὁ Θεὸς ὀνομαζόταν Θεός τους; Λέγοντας· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραάμ,

Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ». Εἶτα καὶ τὴν αἰτίαν τῆς τοιαύτης κλήσεως ἀνωτέρω τιθείς, εἶπε· «Καὶ οὗτοι πάντες ἀπέθανον, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν». Αὕτη ἡ αἰτία, διὸ καὶ ἐπήγαγε· «Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν». Ποίαν αἰτίαν; εἰπέ μοι. Ὅτι ὡμολόγησαν ξένοι καὶ παρεπίδημοι εἶναι, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ παρόντα, ἀλλ' ἀπορρήξαντες ἑαυτοὺς τῶν βιωτικῶν, οὕτως ἐν ἀλλοτρίᾳ διέτριβον.

«Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων». Ποίαν ἔχοιεν ἄν, εἰπέ μοι, συγγνώμην οἱ σκληροὶ καὶ δυσένδοτοι, ὅταν ἡ πέτρα καὶ ἡ ἀκρότομος καὶ σκληρὰ καὶ δυσένδοτος εἴκῃ τῷ προστάγματι τοῦ Θεοῦ, ἄνθρωπος δέ, ὁ λόγῳ τετιμημένος, καὶ πάντων ἡμερώτερος, ἐκείνης ἀναισθητότερος γίνηται; Ἀκρότομον γάρ ἐνταῦθά φησι τὴν σιδήρῳ οὐ ῥᾳδίως εἴκουσαν, ἀλλ' ἐκ τῶν ἄκρων μόλις ἀποθραυομένην. Ἀλλ' ὅμως καὶ ἐκείνη εἰς τὴν ἐναντίαν διελύθη φύσιν, καὶ πηγὰς ἀφῆκε ὑδάτων. Ὁ γὰρ τῆς φύσεως δημιουργὸς καὶ τοὺς ὅρους αὐτοὺς μεταθεῖναι δύναται καὶ τὰ ἐναντία ἐπιδείξασθαι, ὃ πολλαχοῦ πολλάκις ἐποίησε, δεικνὺς ὅτι αὐτός ἐστιν ὁ ἐξ οὐκ ὄντων τὰ πάντα ποιήσας. Εἰπὼν τοίνυν τὰς παλαιὰς εὐεργεσίας, τὰ θαύματα, τὰ τεράστια πῶς ἀπήλλαξε βαρβαρικῆς δουλείας, πῶς εἰς ἐλευθερίαν ἐλειραγώγησε, καὶ τὰ στοιχεῖα μετέβαλε, καὶ πάντα ἡδονῆς ἐνέπλησε, καὶ ὑπὲρ τῶν παρόντων δεῖται, ἐπὶ τὸν αὐτὸν καταφεύγων λιμένα.

Εἶτα, ἐπειδὴ κἀκεῖνο γεγένηται, σὺ διὰ τὴν ἀξίαν τῶν

8. Ἐξ. 3, 6.
9. Ἑβρ. 11, 13.
10. Ἑβρ. 11, 16.

καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[8]. Ἔπειτα ἀναφέροντας καὶ τὴν αἰτία αὐτῆς τῆς ὀνομασίας ποὺ προαναφέραμε, εἶπε· «Καὶ ὅλοι αὐτοὶ πέθαναν, χωρὶς νὰ λάβουν τὶς ἐπαγγελίες, ἀλλὰ τὶς εἶδαν μόνο ἀπὸ μακριά, τὶς πίστεψαν καὶ ὁμολόγησαν ὅτι εἶναι ξένοι καὶ προσωρινοὶ κάτοικοι τῆς γῆς»[9]. Αὐτὴ εἶναι ἡ αἰτία, γι' αὐτὸ καὶ πρόσθεσε· «Γιὰ τὴν αἰτία αὐτὴ δέν ντρέπεται ὁ Θεὸς νὰ ὀνομάζεται Θεός τους»[10]. Ποιὰ αἰτία; Πές μου; Τὸ ὅτι ὁμολόγησαν ὅτι εἶναι ξένοι καὶ προσωρινοὶ κάτοικοι τῆς γῆς, καὶ ὅτι δέν ἔχουν τίποτε τὸ κοινὸ μὲ τὰ παρόντα πράγματα, ἀλλ' ἀφοῦ ἀπομάκρυναν τοὺς ἑαυτούς τους ἀπὸ τὰ κοσμικὰ πράγματα, ἔτσι ζοῦσαν σὰν σὲ ξένη χώρα.

«Ὁ ὁποῖος μετέβαλε τὴν πέτρα σὲ λίμνες ὑδάτων, καὶ τὸ σκληρὸ βράχο σὲ πηγὲς ὑδάτων». Ποιὰ συγγνώμη, πές μου, θὰ μποροῦσαν νὰ ἔχουν οἱ σκληροὶ καὶ ἀνυποχώρητοι, ὅταν ἡ πέτρα καὶ ὁ βράχος ὁ σκληρὸς καὶ ἀνυποχώρητος ὑποχωρεῖ στὸ πρόσταγμα τοῦ Θεοῦ, ὁ δὲ ἄνθρωπος, ποὺ ἔχει τιμηθεῖ μὲ λόγο καὶ εἶναι ἡμερώτερος ἀπὸ ὅλα, γίνεται πιὸ ἀναίσθητος ἀπὸ ἐκείνη; Διότι ἀκρότομο ἐδῶ ὀνομάζει τὸ βράχο ποὺ δὲν ὑποχωρεῖ εὔκολα στὸ σίδερο, ἀλλὰ σπάζει λίγο μόνο στ' ἄκρα. Ἀλλ' ὅμως καὶ ἐκεῖνος διαλύθηκε στὴν ἀντίθετη φύση καὶ ἄφησε νὰ τρέξουν πηγές ὑδάτων. Διότι ὁ δημιουργὸς τῆς φύσεως μπορεῖ καὶ αὐτούς τοὺς ὅρους νὰ μεταβάλει καὶ νὰ παρουσιάσει τὰ ἀντίθετα, πράγμα ποὺ ἔκαμε σὲ πολλὲς περιπτώσεις, γιὰ νὰ δείξει, ὅτι αὐτὸς εἶναι ἐκεῖνος ποὺ δημιούργησε τὰ πάντα ἀπὸ τὸ μηδέν. Ἀφοῦ λοιπὸν ἀνέφερε τὶς παλιὲς εὐεργεσίες, τὰ θαύματα καὶ τὰ παράδοξα, πῶς δηλαδὴ τοὺς ἀπάλλαξε ἀπὸ τὴ βαρβαρικὴ δουλεία, πῶς τοὺς ὁδήγησε σὲ ἐλευθερία καὶ μετέβαλε τὰ στοιχεῖα τῆς φύσεως καὶ ὅλα τὰ γέμισε μὲ χαρά, ἀπευθύνει τὴν παράκλησή του καὶ γιὰ τὰ παρόντα, καταφεύγοντας στὸν ἴδιο λιμένα.

Ἔπειτα, ἐπειδὴ καὶ ἐκεῖνο συνέβηκε, ὄχι ἐπειδὴ τὸ

*εὐεργετουμένων, ἀλλὰ διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ διὰ τὸ ὄνομα αὐτοῦ, ὅπερ ἔλεγεν, «Ἵνα μὴ βεβηλωθῇ τὸ ὄνομά μου, ἀλλὰ πάντες μάθωσι διὰ τῶν γινομένων τὴν ἰσχὺν αὐτοῦ καὶ τὴν δύναμιν, καὶ τοῦτο διδασκαλίας ὑπόθεσις γένηται, τοῦτο καὶ νῦν προβάλλεται τὸ δικαίωμα, λέγων· εἰ καὶ ὑπὸ τοῦ βίου προδεδόμεθα, καὶ ἀπὸ τῶν ἔργων ἐσμὲν ἀπαρρησίαστοι, διὰ τὸ ὄνομά σου ποίησον, ὃ καὶ Μωϋσῆς τότε ἔλεγεν. Ὃ καὶ οὗτός φησι, συνῳδὰ ἐκείνῳ φθεγγόμενος. «Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν». Μὴ δι' ἡμᾶς, φησίν, ἵνα ἡμᾶς λαμπροτέρους ποιήσῃς καὶ ἐπισήμους, ἀλλ' ἵνα αὐτὸς πανταχοῦ κατάδηλόν σου τὴν δύναμιν ἐργάσῃ. Ἀλλ' ὥσπερ τὸ ὄνομα αὐτοῦ δοξάζεται, ἀντιλαμβανομένου καὶ βοηθοῦντος, οὕτω πάλιν δοξάζεται ἐν ἀρετῇ βιούντων ἡμῶν καὶ λαμπόντων κατὰ τὴν πολιτείαν. «Λαμψάτω» γάρ, φησί, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς».*

*Ὥσπερ τοίνυν δοξάζεται ἐν ἀρετῇ ὄντων ἡμῶν, οὕτω πάλιν βλασφημεῖται ἐν κακίᾳ διατριβόντων. Τοῦτο γοῦν καὶ διὰ τοῦ προφήτου δηλῶν, ἔλεγε· «Τὸ ὄνομά μου δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν». Ἀλλ' ἐπειδὴ οὐδαμόθεν ἑτέρωθεν ἔχει τὴν συνηγορίαν τὴν ὑπὲρ αὐτῶν ποιήσασθαι, ἐπὶ τοῦτο καταφεύγει, καθάπερ καὶ Μωϋσῆς. Ἀλλ' οὐκ ἀεὶ αὐτὸ ποιεῖ ὁ Θεός, τῆς σωτηρίας κηδόμενος τῶν ἀνθρώπων. Εἰ γὰρ ἀεὶ τοῦτο ποιεῖν ἔμελλε, πολλοὶ τῶν ῥαθύμων χείρους ἂν ἐγένοντο, μέγιστον ἐνέχυρον ἔχοντες τοῦ μὴ πάσχειν κακῶς, τὸ διὰ τὴν δόξαν αὐτοῦ διηνεκῶς σώζεσθαι. Ἀλλ' οὐ γίνεται τοῦτο. Οὐ γὰρ οὕτω μέλει τῆς δόξης αὐτοῦ αὐτῷ, ὡς τῆς σωτηρίας τῆς τῶν ἀνθρώπων. Εἰ γὰρ ἄνθρωποι καταφρονοῦσι τούτου, πολλῷ μᾶλλον ὁ Θεός, ὁ μὴ δεόμενός τινος τῶν παρ' ἡμῶν·*

---

11. Ἰεζ. 20, 9.
12. Ματθ. 5, 16.
13. Ἠσ. 52, 5.

ἄξιζαν οἱ εὐεργετούμενοι, ἀλλ' ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ καὶ γιὰ τὸ ὄνομά του, πράγμα ποὺ ἔλεγε, «Γιὰ νὰ μὴ βεβηλωθεῖ τὸ ὄνομά μου»[11], ἀλλ' ὅλοι νὰ μάθουν μὲ τὰ συμβάντα τὴν ἰσχὺ καὶ τὴ δύναμή του, καὶ αὐτὸ νὰ γίνει μέσο διδασκαλίας, αὐτὸ τὸ δικαίωμα προβάλλει καὶ τώρα, λέγοντας· Ἂν καὶ προδοθήκαμε ἀπὸ τὸν τρόπο ζωῆς μας καὶ δὲν ἔχουμε τὸ θάρρος νὰ τὸ ζητήσουμε ἀπὸ τὰ ἔργα μας, κάμε το γιὰ τὸ ὄνομά σου, πράγμα ποὺ καὶ ὁ Μωυσῆς ἔλεγε τότε. Αὐτὸ καὶ αὐτὸς λέγει μιλώντας σύμφωνα μὲ ἐκεῖνον. «Ὄχι σ' ἐμᾶς, Κύριε, ὄχι σ' ἐμᾶς, ἀλλὰ στὸ ὄνομά σου δῶσε δόξα». Ὄχι γιὰ μᾶς, λέγει, γιὰ νὰ μᾶς κάνεις λαμπρότερους καὶ ἐνδοξότερους, ἀλλὰ γιὰ νὰ φανερώσεις παντοῦ τὴ δύναμή σου. Ἀλλ' ὅπως ἀκριβῶς δοξάζεται τὸ ὄνομά του, ὅταν φροντίζει γιὰ μᾶς καὶ μᾶς βοηθεῖ, ἔτσι πάλι δοξάζεται ὅταν ζοῦμε ἐνάρετα καὶ λάμπουμε μὲ τὸν τρόπο τῆς ζωῆς μας. Διότι λέγει· «Ἂς λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας τὸν οὐράνιο»[12].

Ὅπως ἀκριβῶς λοιπὸν δοξάζεται ὅταν ζοῦμε ἐνάρετα, ἔτσι πάλι βλασφημεῖται ὅταν ζοῦμε μέσα στὴν κακία. Αὐτὸ λοιπὸν γιὰ νὰ δηλώσει καὶ μὲ τὸν προφήτη, ἔλεγε· «Τὸ ὄνομά μου ἐξ αἰτίας σας βλασφημεῖται μεταξὺ τῶν ἐθνικῶν»[13]. Ἀλλ', ἐπειδὴ ἀπὸ πουθενὰ ἀλλοῦ δὲν μπορεῖ νὰ συνηγορήσει γι' αὐτούς, καταφεύγει σ' αὐτό, ὅπως ἀκριβῶς καὶ ὁ Μωυσῆς. Ἀλλὰ δὲν κάμνει πάντοτε αὐτὸ ὁ Θεός, φροντίζοντας γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων. Διότι ἂν συνέβαινε πάντοτε νὰ κάμνει αὐτό, πολλοὶ ἀπὸ τοὺς ράθυμους θὰ γίνονταν χειρότεροι, ἔχοντας μέγιστη ἐγγύηση τὸ νὰ μὴ κακοπαθοῦν, τὸ ὅτι σώζονται συνέχεια ἀπ' αὐτὸν ἐξ αἰτίας τῆς δόξας του. Ἀλλὰ δὲν γίνεται αὐτό. Καθόσον δὲν ἐνδιαφέρεται τόσο πολὺ γιὰ τὴ δόξα του, ὅσο γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων. Διότι ἂν οἱ ἄνθρωποι τὸ περιφρονοῦν αὐτό, πολὺ περισσότερο ὁ Θεός,

ἀλλ', ὅπερ ἔφην, ὁ προφήτης, ἐπειδὴ συνηγόρου τάξιν ἔχει, ἀπὸ τῶν ἐνόντων τὴν συνηγορίαν ποιεῖται, καὶ διπλασιάζει τῷ λόγῳ, λέγων «Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν» σφόδρα τὸ ἀνάξιον τῶν σωζομένων δεικνύς, «Ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν». Ἡμεῖς μὲν γὰρ μυρίων ἄξιοι κακῶν, ἀλλ' ὅπως τὸ ὄνομά σου μὴ βεβηλωθῇ.

«Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου». Ἕτερος ἑρμηνευτής φησι, «Διὰ τὸ ἔλεός σου». Ὁρᾷς πῶς αὐτὸ καὶ αὐτὸς οἶδε σαφῶς, ὅτι πολλάκις τούτου καταφρονῶν ὁ Θεὸς πρὸς ἓν ὁρᾷ μόνον, τὴν τῶν ἁμαρτανόντων διόρθωσιν. Διὰ τοῦτο ἐπήγαγεν· «Ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου». Τουτέστι, διὰ τὸ ἔλεός σου βοήθησον ἡμῖν, εἰ καὶ τῆς δόξης οὐ μέλει σοι τῆς παρὰ τῶν ἀνθρώπων, «ἀλλὰ διὰ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου». Ἔστι γάρ, ἔστι καὶ κολάζοντα δόξαν λαβεῖν, οὐκ ἐλεοῦντα μόνον. Ἀλλὰ μὴ οὕτω, φησίν, ἀλλὰ «διὰ τὸ ἔλεός σου». Ἐχρῆν μὲν γὰρ παρ' ἡμῶν τῷ ὀνόματί σου δίδοσθαι δόξαν διὰ τοῦ βίου καὶ τῆς πολιτείας, ἐπειδὴ δὲ τοῦτο προδεδώκαμεν, διὰ τῆς ἀντιλήψεως ποίησον, διὰ τοῦ ἐλέου καὶ τῆς φιλανθρωπίας.

4. «Μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;». Πολλῶν καὶ νῦν εὐχομένων ἀκούω ταῦτα λεγόντων· ἀλλὰ δέος, μήποτε ἄλλως εἴπωσι τό, «Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;» ὅταν ἁρπάζωσι πολλοὶ καὶ ἀδικῶσι καὶ μυρία ποιῶσι δεινά. «Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησεν». Ἐνταῦθα τὴν πλάνην τῶν ἀνοήτων διορθοῦται. Ἐπειδὴ γὰρ πολλοὶ ἀγνοοῦσιν εἶναι Θεόν, τὸ τοιοῦτον δόγμα διορθούμενος, φησίν· «Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ πάντα ὅσα ἠθέλησεν ἐποίησεν». Εἰ δὲ ἐν τῷ οὐρανῷ, πολλῷ μᾶλλον ἐπὶ τῆς γῆς. Τί δέ ἐστιν, «Ἐν τῷ οὐρανῷ πάντα ὅσα ἠθέλησεν ἐποίησεν»; Ἢ τὰς δυνάμεις τὰς ἄνω φησὶ καὶ τοὺς δή-

ποὺ δὲν ἔχει ἀνάγκη τίποτε ἀπὸ τὰ δικά μας· ἀλλ᾿ ὅπως εἶπα, ὁ προφήτης, ἐπειδὴ ἔχει τὴ θέση τοῦ συνηγόρου, συνηγορεῖ μὲ τὰ μέσα ποὺ ἔχει στὴ διάθεσή του, καὶ διπλασιάζει τὸ λόγο, λέγοντας, «Ὄχι γιὰ ἐμᾶς, Κύριε, ὄχι γιὰ ἐμᾶς», γιὰ νὰ δείξει τὴν ὑπερβολικὴ ἀναξιότητα τῶν σωζομένων, «Ἀλλὰ στὸ ὄνομά σου δῶσε δόξα». Διότι ἐμεῖς εἴμαστε ἄξιοι ἀμετρήτων κακῶν, ἀλλὰ γιὰ νὰ μὴ βεβηλωθεῖ τὸ ὄνομά σου.

«Γιὰ τὸ ἔλεος καὶ τὴν ἀλήθεια σου». Ἄλλος ἑρμηνευτὴς λέγει, «Γιὰ τὸ ἔλεός σου». Βλέπεις ὅτι καὶ αὐτὸς τὸ γνωρίζει αὐτό πολὺ καλά, ὅτι πολλὲς φορὲς ὁ Θεὸς περιφρονώντας αὐτό, σ᾿ ἕνα μόνο ἀποβλέπει, τὴ διόρθωση τῶν ἁμαρτωλῶν. Γι᾿ αὐτὸ πρόσθεσε· «Γιὰ τὸ ἔλεός σου καὶ τὴν ἀλήθεια σου». Δηλαδὴ ἐξ αἰτίας τῆς εὐσπλαχνίας σου βοήθησέ μας, ἂν καὶ δὲν σὲ ἐνδιαφέρει ἡ δόξα ἐκ μέρους τῶν ἀνθρώπων, «ἀλλὰ γιὰ τὸ ἔλεος καὶ τὴν ἀλήθεια σου». Διότι εἶναι δυνατὸ καὶ ὅταν τιμωρεῖς νὰ λάβεις δόξα, καὶ ὄχι μόνο ὅταν ἐλεεῖς. Ὅμως, λέγει, ὄχι ἔτσι, ἀλλὰ «γιὰ τὸ ἔλεός σου». Καθόσον ἔπρεπε νὰ δοξάζουμε τὸ ὄνομά σου μὲ τὴ ζωή μας καὶ τὴν ὅλη συμπεριφορά μας, ἐπειδὴ ὅμως τὸ προδώσαμε, κάμε το αὐτὸ ἐξ αἰτίας τῆς βοήθειας, ἐξ αἰτίας τοῦ ἐλέους σου καὶ τῆς φιλανθρωπίας σου.

4. «Μήπως καὶ ποῦν οἱ ἐθνικοῦ· ποῦ εἶναι ὁ Θεός τους;». Πολλοὺς καὶ τώρα ἀκούω νὰ προσεύχονται καὶ νὰ λένε αὐτά· ἀλλὰ φοβᾶμαι, μήπως γιὰ ἄλλο λόγο ποῦν τὸ «Ποῦ εἶναι ὁ Θεός τους;», ὅταν πολλοὶ ἁρπάζουν, ἀδικοῦν καὶ προξενοῦν ἀμέτρητα κακά. «Ὁ Θεός μας ὅμως δημιούργησε στὸν οὐρανὸ καὶ στὴ γῆ ὅλα ὅσα θέλησε». Ἐδῶ διορθώνει τὴν πλάνη τῶν ἀνοήτων. Ἐπειδὴ δηλαδὴ πολλοὶ ἀγνοοῦν ὅτι ὑπάρχει Θεός, διορθώνοντας αὐτὴ τὴ δοξασία, λέγει· «Ὁ Θεός μας ὅμως δημιούργησε στὸν οὐρανὸ ὅλα ὅσα θέλησε». Ἂν δὲ στὸν οὐρανό, πολὺ περισσότερο στὴ γῆ. Τί σημαίνει δέ, «Ἐν τῷ οὐρανῷ πάντα ὅσα ἠθέλησεν ἐποίησεν»; Ἢ ἐννοεῖ τὶς οὐράνιες δυνάμεις καὶ τὰ

*μους τοὺς ἀπείρους ἐκείνους, ἢ τὰ ἐπιτάγματα, ἃ μετὰ εὐκολίας ἀνύεται. Εἰ δὲ ἡ γῆ πολλὴν ἔχει τὴν σύγχυσιν καὶ τὴν ἀταξίαν, μὴ θαυμάσῃς. Ἀπὸ τῆς τῶν ἀνθρώπων κακίας καὶ τῆς πονηρίας τῶν μετιόντων, ἀλλ' οὐ παρὰ τὴν ἀτονίαν τοῦ Θεοῦ τοῦτο γίνεται. Ὅτι γὰρ ἰσχυρὸς καὶ δυνατός, τὰ ἐν τῷ οὐρανῷ δηλοῖ πραττόμενα. Εἰ δὲ ἐν τῇ γῇ οὐχ οὕτως, οἱ ἀναξίους ἑαυτοὺς καθιστῶντες αἴτιοι. Καὶ ἑτέρως δ' ἄν τις τοῦτον μεταχειρίσειε τὸν λόγον, ὅτι πολλὰ καὶ διὰ μακροθυμίαν οὐδέπω τὴν κατ' ἀξίαν λαμβάνει ἀντίδοσιν. Διὰ τοῦτο καὶ πονηροὶ δικαίων περιγίνονται, οὐ βουλομένου τοῦ φιλανθρώπου Θεοῦ παρὰ πόδας ἕκαστον τὰς εὐθύνας ἀπαιτεῖν τῶν πεπλημμελημένων· ἐπεὶ πάλαι ἂν τὸ γένος ἀνηρπάσθη τὸ ἡμέτερον. Τοῦτο τοίνυν ἐνταῦθά φησιν, ὅτι δυνατὸς μέν ἐστι καὶ ἰσχυρός, καὶ οἷός τε ἐπεξελθεῖν, καὶ δῆλον ἐκ τῶν ἐν τῷ οὐρανῷ γενομένων, οὐ ποιεῖ δὲ τοῦτο, πανταχοῦ τῇ μακροθυμίᾳ χρώμενος, καὶ εἰς μετάνοιαν ἕλκων τοὺς ἐν πονηρίᾳ ζῶντας.*

*«Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται· χεῖρα ἔχουσι, καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά». Ἐν μὲν τῷ ἑκατοστῷ πέμπτῳ ψαλμῷ τὴν μανίαν αὐτῶν διηγούμενος ἔλεγεν, ὅτι «Τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας ἔθυσαν τοῖς δαιμονίοις», ἐν δὲ τῷ παρόντι τὴν ἀναισθησίαν, ὅτι ταῖς ἀψύχοις ὕλαις προστετήκασι. Καὶ πάντα αὐτῶν ἔπεισι τὰ μέλη, πλατυτέραν τὴν κωμῳδίαν ἐργαζόμενος. Εἶτα καὶ ἐπάγων φησίν· «Ὅμοιοι αὐ-*

14. Ψαλμ. 105, 35.

ἀμέτρητα ἐκεῖνα πλήθη, ἤ τὰ προστάγματα, ποὺ τὰ πραγματοποιεῖ μὲ εὐκολία. Ἂν ὅμως ἡ γῆ παρουσιάζει πολλὴ σύγχυση καὶ ἀταξία, μὴ θαυμάσεις. Αὐτὸ γίνεται ἐξ αἰτίας τῆς κακίας τῶν ἀνθρώπων, καὶ τῆς πονηρίας ἐκείνων ποὺ διαπράττουν τὴν κακία, καὶ ὄχι ἐξ αἰτίας τῆς ἀδυναμίας τοῦ Θεοῦ. Διότι, τὸ ὅτι εἶναι ἰσχυρὸς καὶ δυνατός, τὸ φανερώνουν τὰ ὅσα γίνονται στὸν οὐρανό. Ἂν δὲ δὲν συμβαίνει στὴ γῆ τὸ ἴδιο, αἴτιοι εἶναι ἐκεῖνοι ποὺ καθιστοῦν τοὺς ἑαυτούς τους ἀναξίους. Καὶ μὲ ἄλλο τρόπο θὰ μποροῦσε κανεὶς νὰ ἐκτιμήσει αὐτὸ τὸ λόγο, ὅτι δηλαδὴ πολλὰ δὲν λαμβάνουν οὐδέποτε τὴν ἀξία ἀνταπόδοση ἐξ αἰτίας τῆς μακροθυμίας του. Γι' αὐτὸ καὶ οἱ κακοὶ ὑπερισχύουν τῶν δικαίων, ἐπειδὴ ὁ φιλάνθρωπος Θεὸς δὲν θέλει νὰ ζητεῖ ἀπὸ τὸν καθένα ἀμέσως εὐθύνες τῶν παραπτωμάτων του· διότι πρὸ πολλοῦ θὰ ἐξαφανιζόταν τὸ γένος μας. Αὐτὸ λοιπὸν ἐννοεῖ ἐδῶ, ὅτι δηλαδὴ εἶναι μὲν δυνατὸς καὶ ἰσχυρός, καὶ μπορεῖ νὰ τὸ πράξει αὐτό, καὶ γίνεται φανερὸ ἀπὸ τὰ ὅσα γίνονται στὸν οὐρανό, δὲν τὸ κάμνει ὅμως αὐτό, δείχνοντας παντοῦ τὴ μακροθυμία του καὶ προσελκύοντας σὲ μετάνοια ἐκείνους ποὺ ζοῦν μέσα στὴν κακία.

«Τὰ εἴδωλα τῶν ἐθνικῶν εἶναι ἀπὸ ἄργυρο καὶ χρυσὸ καὶ κατασκευασμένα ἀπὸ χέρια ἀνθρώπινα. Στόμα ἔχουν καὶ δὲν μιλοῦν· μάτια ἔχουν καὶ δὲν βλέπουν· αὐτιὰ ἔχουν καὶ δὲν ἀκοῦν· μύτες ἔχουν καὶ δὲν ὀσφραίνονται· χέρια ἔχουν καὶ δὲν ψηλαφοῦν· πόδια ἔχουν καὶ δὲν περπατοῦν· δὲν θὰ βγάζουν ποτὲ φωνὴ ἀπὸ τὸ λάρυγγά τους. Ὅμοιοι μὲ αὐτὰ θὰ γίνουν καὶ ἐκεῖνοι ποὺ κατασκευάζουν αὐτά». Στὸν μὲν ἑκατοστὸ πέμπτο ψαλμὸ[14] περιγράφοντας τὴ μανία αὐτῶν ἔλεγε, ὅτι «Θυσίασαν τοὺς υἱούς τους καὶ τὶς θυγατέρες τους στὰ δαιμόνια», ἐνῶ σ' αὐτὸν τὸν ψαλμὸ περιγράφει τὴν ἀναισθησία, διότι προσκολλήθηκαν στὶς ἄψυχες ὕλες. Καὶ περιγράφει ὅλα τὰ μέλη τους, παρουσιάζοντας μεγαλύτερη τὴ διακωμώδηση. Ἔπειτα προσ-

*τοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς». Καίτοι γε τοῦτο ἀρετή, τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἐνταῦθα κατάρα γέγονεν. Ἐννόησον οὖν τίνες ἂν εἶεν, ὅταν ἡ πρὸς αὐτοὺς ὁμοίωσις ἀντὶ ἀρᾶς προφέρηται τῆς ἐσχάτης. Καὶ καλῶς οὕτω τὸν λόγον ἐσχημάτισε, κωμῳδῶν αὐτοὺς εἰς ἐσχάτην ἄνοιαν, καὶ καταγελάστους δεικνύς. Πῶς γὰρ οὐ καταγέλαστον, εἰπέ μοι, τὸ προσδεδέσθαι ξοάνῳ τύπον ἔχοντι τῆς ἐσχάτης ἀσχημοσύνης; Τίς γὰρ ἂν ἕλοιτο γυμνὴν γυναῖκα ἰδεῖν; Ὁ δὲ δαίμων καὶ γυμνῷ τύπῳ παρεδρεύει. Καὶ νῦν μὲν πορνείας εἰκόνες τὰ ξόανα, νῦν δὲ μανίας τῆς κατὰ τῶν ἀρρένων. Τί γὰρ ἂν ὁ ἀετὸς βούλεται; τί δὲ ὁ Γανυμήδης; τί δὲ ὁ διώκων τὴν παρθένον Ἀπόλλων; τί δὲ τὰ ἕτερα μυσαρὰ σχήματα; Πανταχοῦ ἀσέλγεια, πανταχοῦ ἀκολασία, πανταχοῦ μίξεων ἀθέσμων καὶ ἐρώτων λυσσώντων τύποι. Καὶ γὰρ τὰ ξόανα, καὶ αἱ ἑορταί, καὶ αἱ πανηγύρεις, καὶ αἱ τελεταί, ἔλεγχοι καὶ ὑπομνήματα καὶ διδασκαλίαι τῶν ἀτόπων εἰσίν. Οὐ μόνον δὲ τῶν αἰσχρῶν, ἀλλὰ καὶ φόνων τῶν πρὸς ἀνθρώπους. Ὅθεν καὶ ἀποτροπιάζονται τοὺς δαίμονας. Οὐδὲν γὰρ ἕτερον παρ' ἐκείνοις, ἢ ἀσέλγεια, καὶ μέθαι ἀκόλαστοι, καὶ ὠμότης, καὶ ἀπανθρωπία, καὶ μιαιφονίαι, καὶ τὰς ἑορτὰς ὅλας ἐντεῦθεν συνισταμένας ἴδοι τις ἄν.*

*Κωμῳδήσας τοίνυν τῶν εἰδώλων τὴν ἀναισθησίαν καὶ τὴν ἄνοιαν τῶν πεποιθότων αὐτοῖς, μετάγει τὸν λόγον ἐπὶ τὸν τοῦ Θεοῦ ὕμνον λέγων· «Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑ-*

---

15. Γανυμήδης· ὡραῖος νέος, υἱὸς τοῦ Τρωός, ποὺ ἁρπάχθηκε ἀπὸ τοὺς θεοὺς σὰν οἰνοχόος τους.

θέτει καὶ λέγει· «Ὅμοιοι μὲ αὐτὰ θὰ γίνουν καὶ ἐκεῖνοι ποὺ κατασκευάζουν αὐτὰ καὶ ὅλοι πού πιστεύουν σ' αὐτά». Ἂν καὶ βέβαια αὐτὸ εἶναι ἀρετή, τὸ νὰ εἶναι ἴσοι μὲ τὸ Θεό, ἀλλ' ἐδῶ ἔγιναν κατάρα. Σκέψου λοιπὸν ποιοὶ ἦταν, τὴ στιγμὴ πού ἡ ὁμοίωσή τους μὲ αὐτούς ἀναφέρεται σὰν τὴν πιὸ χειρότερη κατάρα. Καὶ πολὺ καλὰ παρουσίασε ἔτσι τὸ λόγο, διακωμωδώντας αὐτοὺς γιὰ τὴν πιὸ χειρότερη μορφὴ ἀνοησίας καὶ παρουσιάζοντάς τους ἀξίους γιὰ γέλια. Διότι πές μου, πῶς δὲν εἶναι ἄξιο γιὰ γέλια τὸ νὰ προσκολλᾶται κανεὶς στὸ ξόανο, ποὺ παρουσιάζει τὴ μορφὴ τῆς πιὸ μεγάλης ἀσχημοσύνης; Διότι ποιὸς θὰ προτιμοῦσε νὰ δεῖ γυμνὴ γυναίκα; Ὁ δαίμονας ὅμως παρουσιάζεται καὶ μὲ γυμνὴ μορφή. Καὶ ἄλλοτε μὲν τὰ ξόανα παρουσιάζουν εἰκόνες πορνείας, ἄλλοτε δὲ εἰκόνες τῆς μανίας ἐναντίον τῶν ἀνδρῶν. Διότι τί παριστάνουν ὁ ἀετός; τί ὁ Γανυμήδης[15]; τί ὁ Ἀπόλλωνας πού καταδιώκει τὴν παρθένο; τί δὲ τὰ ἄλλα σιχαμερὰ σχήματα; Παντοῦ ἀσέλγεια, παντοῦ ἀκολασία, παντοῦ τύποι παρανόμων ἑνώσεων καὶ ἐρώτων πού εἶναι γεμάτοι ἀπὸ λύσσα. Καθόσον τὰ ξόανα καὶ οἱ ἑορτὲς καὶ οἱ πανηγύρεις, καὶ οἱ τελετὲς εἶναι ἔλεγχοι καὶ ἀναμνήσεις καὶ διδασκαλίες τῶν ἀτόπων. Ὄχι μόνο τῶν αἰσχρῶν, ἀλλὰ καὶ φόνων ἀνθρώπων. Γιὰ τὸ λόγο αὐτὸ καὶ συχένονται τοὺς δαίμονες. Διότι τίποτε δὲν θὰ μποροῦσε κανεὶς νὰ δεῖ σ' ἐκείνους, παρὰ ἀσέλγειες, μέθες ἀκόλαστες, ὠμότητα, ἀπανθρωπιά, φόνους ἀνθρώπων, καὶ οἱ ἑορτές τους δὲ ὅλες ἀπὸ αὐτὰ ἀποτελοῦνται.

Ἀφοῦ λοιπὸν διακωμώδησε τὴν ἀναισθησία τῶν εἰδώλων καὶ τὴν μωρία ἐκείνων πού πιστεύουν σ'αὐτά, μεταφέρει τὸ λόγο στὸν ὕμνο τοῦ Θεοῦ, λέγοντας· «Ὁ οἶκος τοῦ Ἰσραὴλ ἔλπισε στὸν Κύριο· αὐτὸς εἶναι ὁ βοηθὸς καὶ ὑπερασπιστής τους. Ὁ οἶκος τοῦ Ἀαρὼν ἔλπισε στὸν Κύριο· αὐτὸς εἶναι ὁ βοηθὸς καὶ ὑπερασπιστής τους. Αὐτοὶ πού φοβοῦνται τὸν Κύριο ἔλπισαν στὸν Κύριο· αὐτὸς

περασπιστὴς αὐτῶν ἐστι». Διὰ γὰρ τούτων καὶ τὴν δύναμιν τοῦ Θεοῦ ἀνακηρύττει καὶ τὴν ἀσύγκριτον αὐτοῦ καὶ κατὰ πάντων ὑπεροχήν. Τὰ γὰρ εἰς τὸν δῆμον τὸν Ἰουδαϊκὸν γινόμενα εἰς μέσον ἄγων, διπλῆν δείκνυσιν αὐτοῦ τὴν εὐεργεσίαν, μᾶλλον δὲ καὶ τριπλῆν. Πρῶτον μέν, ὅτι δαιμόνων αὐτοὺς ἀπήλλαξεν· ἔπειτα, ὅτι ἑαυτὸν ἐγνώρισεν· καὶ τρίτον, ὅτι καὶ βοήθειαν αὐτοῖς τὴν παρ' ἑαυτοῦ παρέσχε. Διαιρεῖ δὲ τὸν λόγον εἴς τε τὸν Ἰσραήλ, καὶ τὸ ἱερατικὸν γένος, καὶ τοὺς ἐξ ἐθνῶν προσιόντας αὐτῷ. Οὐ γάρ ἐστιν ἴσον ἱερεὺς καὶ ἰδιώτης, ἀλλ' ἔχει τι πλέον οὗτος· διὸ καὶ τὴν διαίρεσιν εἰκότως ποιεῖται. Καὶ γὰρ μείζων εἰς αὐτοὺς ἡ τιμὴ ἐγένετο.

5. Εἶτα δεικνύς, ὅτι οὐκ εἰς τὰ Ἰουδαϊκὰ αὐτοῦ κατεκέκλειστο ἡ πρόνοια, καὶ τῶν προσηλύτων ἐμνήσθη, τῶν ἐκ τῶν ἐθνῶν προσιόντων, τήν τε βοήθειαν καὶ τὴν εὐλογίαν εἰς ἅπαντας γεγενῆσθαι λέγων. «Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς. Εὐλόγησε τὸν οἶκον Ἰσραήλ· εὐλόγησε τὸν οἶκον Ἀαρών· εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον». Τί ἐστιν, «Εὐλόγησε»; Μυρίων, φησίν, ἐνέπλησεν ἀγαθῶν. Εὐλογεῖ μὲν γὰρ ἄνθρωπος Θεόν, ὡς ὅταν λέγῃ, «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον», ἀλλ' ὁ τὸν Θεὸν εὐλογῶν, αὐτὸς κερδαίνει, λαμπρότερον ἑαυτὸν καθιστάς, οὐκ ἐκείνῳ τι χαριζόμενος, ὁ δὲ Θεὸς εὐλογῶν, ἡμᾶς λαμπροτέρους ποιεῖ, οὐκ αὐτός τι προσλαμβάνει. Ἀνενδεὲς γὰρ τὸ Θεῖον· ὥστε ἑκατέρωθεν ἡμέτερόν ἐστι τὸ κέρδος. Πῶς δὲ εὐλόγησεν αὐτούς; Ἄρτον αὐτοῖς ἐξ οὐρανοῦ ἔδωκεν, ὕδωρ ὤμβρησεν ἐκ πέτρας, τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους ἐφύλαξε, τὰ βουκόλια αὐτῶν ἐπλήθυνε καὶ τὰ ποίμνια αὐτῶν, λαὸν περιούσιον ὠνόμασε, καὶ βασίλειον ἱεράτευμα, νόμον ἔδωκε, προφήτας ἔπεμψε. Ταῦτα καὶ ἀλλαχοῦ κηρύττων, «Οὐκ ἐποίησε», φη-

---

16. Ψαλμ. 102, 1.

εἶναι βοηθὸς καὶ ὑπερασπιστής τους». Μὲ αὐτὰ τὰ λόγια λοιπὸν ἀνακηρύττει καὶ τὴ δύναμη τοῦ Θεοῦ καὶ τὴν ἀσύγκριτη ὑπεροχὴ αὐτοῦ ἀπέναντι σ' ὅλους. Διότι παρουσιάζοντας τὰ γεγονότα ποὺ συνέβησαν στὸν ἰουδαϊκὸ λαό, δείχνει διπλὴ τὴν εὐεργεσία του, μᾶλλον δὲ καὶ τριπλή. Πρῶτα, ὅτι ἀπάλλαξε αὐτοὺς ἀπὸ τοὺς δαίμονες· ἔπειτα, ὅτι τοὺς γνώρισε τὸν ἑαυτό του· καὶ τρίτο, ὅτι τοὺς πρόσφερε καὶ τὴ βοήθειά του. Διαιρεῖ δὲ τὸ λόγο πρὸς τὸν Ἰσραήλ, πρὸς τὸ ἱερατικὸ γένος καὶ πρὸς ἐκείνους ἀπὸ τοὺς ἐθνικοὺς ποὺ πιστεύουν σ' αὐτόν. Διότι δὲν εἶναι ὁ ἱερεὺς ἴσος μὲ τὸν ἁπλὸ ἄνθρωπο, ἀλλ' αὐτὸς ἔχει κάτι περισσότερο· γι' αὐτὸ καὶ πολὺ σωστὰ κάμνει τὴ διαίρεση. Καθόσον δόθηκε σ' αὐτοὺς μεγαλύτερη τιμή.

5. Ἔπειτα γιὰ νὰ δείξει, ὅτι ἡ πρόνοιά του δὲν περιορίσθηκε μόνο στοὺς Ἰουδαίους, ἀνέφερε καὶ τοὺς προσηλύτους, ποὺ προσέρχονται ἀπὸ τοὺς ἐθνικούς, λέγοντας ὅτι ἡ βοήθεια καὶ εὐλογία του δόθηκε πρὸς ὅλους γενικῶς. «Ὁ Κύριος μᾶς θυμήθηκε καὶ μᾶς εὐλόγησε. Εὐλόγησε τὸν οἶκο τοῦ Ἰσραήλ· εὐλόγησε τὸν οἶκο τοῦ Ἀαρών· εὐλόγησε ἐκείνους ποὺ φοβοῦνται τὸν Κύριο». Τί σημαίνει, «εὐλόγησε»; Τοὺς γέμισε, λέγει, μὲ ἀμέτρητα ἀγαθά. Διότι εὐλογεῖ μὲν ὁ ἄνθρωπος τὸ Θεό, ὅπως ὅταν λέγει, «Εὐλόγει, ψυχή μου, τὸν Κύριο»[18], ἀλλ' ἐκεῖνος ποὺ εὐλογεῖ τὸ Θεό, ὁ ἴδιος κερδίζει, καθιστώντας τὸν ἑαυτό του λαμπρότερο, χωρὶς νὰ χαρίζει τίποτε σ' ἐκεῖνον, ὁ Θεὸς ὅμως εὐλογώντας, καθιστᾶ ἐμᾶς λαμπροτέρους, καὶ ὁ ἴδιος δὲν κερδίζει τίποτε. Διότι τὸ θεῖο εἶναι χωρὶς ἀνάγκη· ὥστε καὶ στὶς δυὸ περιπτώσεις δικό μας εἶναι τὸ κέρδος. Πῶς δὲ εὐλόγησε αὐτούς; Τοὺς ἔδωσε ἄρτο ἀπὸ τὸν οὐρανό, ἀνάβλυσε νερὸ ἀπὸ τὴν πέτρα, προστάτεψε τὶς ἐσόδους καὶ ἐξόδους τους, πλήθυνε τὰ κοπάδια τῶν βοδιῶν καὶ τὰ ποίμνιά τους, τοὺς ὀνόμασε λαὸ περιούσιο καὶ βασίλειο ἱεράτευμα, τοὺς ἔδωσε νόμο, τοὺς ἔστειλε προφῆτες. Αὐτὰ διακηρύσσοντας καὶ ἀλλοῦ, λέγει· «Δὲν ἔ-

σίν, «οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς». Καὶ ἄλλος· «Ποῖον ἔθνος οὕτω σοφόν, ᾧ ἐγγίζει Κύριος ὁ Θεός;». Τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Οὐδὲ ἓν γένος, φησίν, ἔρημον εὐλογίας ἦν, ἀλλ' εἰς πάντας ἐκτέτατο ταῦτα.

«Προσθείη Κύριος ἐφ' ὑμᾶς· ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν». Εἶδες ἕτερον εὐλογίας εἶδος; τὸ ἐπιδοῦναι τὸ γένος; Διὰ δὴ τοῦτο ἐν τάξει κολάσεως τὸ ἐναντίον ἕτερος προφέρων φησί· «Καὶ ἐσμικρύνθημεν καὶ ἐσμὲν ὀλιγοστοὶ παρὰ πάντας τοὺς κατοικοῦντας τὴν γῆν». Ταύτης τῆς εὐλογίας καὶ ἐν Αἰγύπτῳ ὄντες ἀπήλαυον, καίτοι μυρίων ὄντων τῶν διακωλυόντων, τῶν ἔργων, τῆς ταλαιπωρίας, τῆς τῶν ἐνεστηκότων ὠμότητος, ἀλλ' οὐδὲν τοῦ Θεοῦ τὸν λόγον διέκοπτεν. ἀλλ' οὕτω προήει τὰ τῆς εὐλογίας, ὡς ἐν διακοσίοις ἔτεσιν ἑξακοσίας γενέσθαι χιλιάδας. Ἀλλὰ τότε μὲν ἐν τούτοις τὰ τῆς εὐλογίας, νυνὶ δὲ ἐν πολλῷ βελτίοσιν ἐπὶ τῆς Καινῆς. Διό φησι Παῦλος· «Εὐλογητὸς ὁ Θεός, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ». Καὶ πάλιν· «Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, αὐτῷ ἡ δόξα ἐν τῇ Ἐκκλησίᾳ». Διὰ δὴ τοῦτο καὶ οἱ προφῆται τὸ παλαιὸν εὐεργεσίας ζητοῦντες, ταύτην τὴν εὐλογίαν παρεῖχον. Ὁ γὰρ Ἐλισσαῖος τὴν ὑποδεξαμένην τῇ τοῦ παιδὸς δόσει ἀμείβεται. Ἐπὶ δὲ τῆς Καινῆς οὐ ταῦτα, ἀλλὰ πολλῷ μείζονα. Ἡ γοῦν πορφυρόπωλις οὐ ταῦτα ᾔτει παρὰ τῶν ἀποστόλων, ἀλλὰ τί; «Εἰ οὐ κεκρίκατέ με ἀναξίαν τῷ Κυρίῳ, εἰσελθόντες μείνατε παρ' ἐμοί».

Εἶδες πόσον τὸ μέσον, καὶ τίνα μὲν ᾔτουν οἱ ἐν τῇ

---

17. Ψαλμ. 147, 9.
18. Δευτ 4, 7.
19. Δαν. Προσευχὴ Ἀζαρίου 3, 13.
20. Ἐφ. 1, 3.
21. Ἐφ. 3, 20 - 21.
22. Δ. Βασ. 4, 16 ἑ.
23. Πράξ. 16, 15.

πραξε έτσι γιὰ κανένα ἔθνος καὶ τὶς ἀλήθειες του δὲν τὶς φανέρωσε σ' αὐτά»[17]. Καὶ ἄλλος· «Ποιὸ ἔθνος εἶναι τόσο σοφὸ, ποὺ ἔχει κοντά του τὸν Κύριο τὸ Θεό;»[18]. Τοὺς μικροὺς μαζὶ μὲ τοὺς μεγάλους. Κανένα ἔθνος, λέγει, δὲν ἦταν ἔρημο τῆς εὐλογίας του, ἀλλὰ σ' ὅλους ἁπλωνόταν αὐτές.

«Εἴθε νὰ προσθέτει ὁ Κύριος εὐλογίες σὲ σᾶς· σὲ σᾶς καὶ στοὺς υἱούς σας». Εἶδες ἄλλο εἶδος εὐλογίας; τὴν αὔξηση τοῦ γένους. Γι' αὐτὸ λοιπὸν ἄλλος, παρουσιάζοντας σὲ θέση τιμωρίας τὸ ἀντίθετο, λέγει· «Καὶ λιγοστέψαμε καὶ εἴμαστε οἱ πιὸ λίγοι ἀπὸ ὅλους τοὺς κατοίκους τῆς γῆς»[19]. Αὐτὴ τὴν εὐλογία ἀπολάμβαναν καὶ ὅταν ἦταν στὴν Αἴγυπτο, ἂν καὶ βέβαια ἦταν ἀμέτρητα τὰ ἐμπόδια, ὅπως τὰ ἔργα, οἱ ταλαιπωρίες, ἡ σκληρότητα τῶν ἀντιπάλων τους, ἀλλ' ὅπως τίποτε δὲν διέκοπτε τὸ λόγο τοῦ Θεοῦ, ἀλλὰ τόσο αὐξάνονταν οἱ εὐλογίες, ὥστε σὲ διακόσια χρόνια νὰ γίνουν ἑξακόσιες χιλιάδες. Ἀλλὰ τότε μὲν οἱ εὐλογίες περιορίζονταν σ' αὐτά, ἐνῶ σήμερα στὴν Καινὴ Διαθήκη εἶναι πολὺ πιὸ σπουδαιότερες. Γι' αὐτὸ λέγει ὁ Παῦλος· «Ἂς εἶναι εὐλογημένος ὁ Θεός, ποὺ μᾶς εὐλόγησε μὲ τὸ Χριστὸ μὲ κάθε πνευματικὴ εὐλογία ποὺ ὑπάρχει στὸν οὐρανό»[20]. Καὶ πάλι· «Στὸ Θεὸ δὲ ποὺ μπορεῖ νὰ κάνει σὲ ἐμᾶς πολὺ περισσότερα ἀπὸ ἐκεῖνα ποὺ ζητοῦμε ἢ ποὺ σκεπτόμαστε, σ' αὐτὸν ἂς ἀνήκει ἡ δόξα μέσα στὴν ἐκκλησία»[21]. Γι' αὐτὸ λοιπὸν καὶ οἱ προφῆτες τὴν παλιὰ ἐποχή, ζητώντας εὐεργεσίες, αὐτὴ τὴν εὐλογία πρόσφερναν. Διότι ὁ Ἐλισσαῖος ἐκείνην ποὺ τὸν φιλοξένησε, τὴν ἀμοίβει μὲ τὴ δόση τοῦ παιδιοῦ[22]. Στὴν ἐποχὴ τῆς Καινῆς Διαθήκης ὅμως δὲν δίνονται αὐτά, ἀλλὰ πολὺ πιὸ μεγαλύτερα. Ἡ πορφυρόπωλη λοιπὸν δὲν ζητοῦσε αὐτὰ ἀπὸ τοὺς ἀποστόλους, ἀλλὰ τί; «Ἂν δὲ δὲν μὲ κρίνατε ἀνάξια γιὰ τὸν Κύριο, ἐλᾶτε καὶ μείνετε στὸ σπίτι μου»[23].

Εἶδες πόση εἶναι ἡ ἀπόσταση μεταξὺ τῶν δυὸ διαθη-

*Παλαιᾷ, τίνα δὲ οἱ ἐν τῇ Καινῇ; Καὶ πάλιν ὁ Χριστός· «Χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς». Καὶ ὁ Παῦλος· «Ὁ δὲ Θεὸς πληρώσαι ὑμᾶς πάσης χάριτος καὶ ἐλπίδος ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ἐν τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος ἁγίου». Εἶδες εὐλογίας δύναμιν τὰ ἀπόρρητα χαριζομένην ἀγαθά, καὶ οὐδὲν ἔχουσαν γήϊνον; Καὶ πάλιν ὁ Παῦλος· «Ὁ Θεὸς συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει». Ἀλλ' ἐν τῇ Παλαιᾷ, ὅτε παχύτερον τὰ τῶν ἀνθρώπων διέκειτο, ἀπὸ τῶν αἰσθητῶν τὰ τῆς εὐλογίας ὑφαίνετο, καὶ ἡ πολυπαιδία μέγιστον πρᾶγμα εἶναι ἐνομίζετο. Ἐπειδὴ γὰρ ἐκ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος, παραμυθούμενος τὸ γένος ὁ Θεός, καὶ δεικνύς, ὅτι οὐ μόνον οὐκ ἀναλώσει, οὔτε πανωλεθρίᾳ παραδώσει, ἀλλὰ καὶ πολλῷ πλείους ἔσονται τοῦ προτέρου, φησίν· «Αὐξάνεσθε καὶ πληθύνεσθε». Ἐπειδὴ δὲ ἐγνώσθη ὕπνος ὢν ὁ θάνατος, εἰσήγετο τὸ τῆς παρθενίας καλόν. Διὸ καὶ ὁ Παῦλος ἔλεγε· «Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ἐν ἐγκρατείᾳ, ὡς καὶ ἐμαυτόν». Καὶ πάλιν· «Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι». Καὶ ὁ Χριστός· «Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν». Ἄλλως δὲ καὶ ἐν ἀρχῇ τοῦτο ᾐνίξατο, ὅτι ἀρετῆς, οὐ πολυπαιδίας χρεία. Καὶ ἄκουε πῶς. Λέγει γάρ τις σοφός· «Μὴ ἐπιθύμει πλῆθος τέκνων ἀχρήστων, εἰ μή ἐστι μετ' αὐτῶν φόβος Θεοῦ· καὶ μὴ ἔπεχε ἐπὶ τὸ πλῆθος αὐτῶν· κρεῖσσον γὰρ εἷς, ἢ χίλιοι, καὶ ἀποθανεῖν ἄτεκνον, ἢ ἔχειν τέκνα ἀσεβῆ· καὶ κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι». Ἀλλ' οἱ ἀναίσθητοι Ἰουδαῖοι, καὶ πρὸς τὴν σάρκα κεχηνότες ἀεί, καὶ ἀρετῆς ἀ-*

---

24. Λουκᾶ 10, 20.
25. Ρωμ. 15, 13.
26. Ρωμ. 16, 20.
27. Γέν. 1, 28· 9, 1.
28. Α΄ Κορ. 7, 7.
29. Α΄ Κορ. 7, 1.
30. Ματθ. 19, 12.
31. Σοφ. Σειρ. 16, 1 - 3.

κῶν καὶ ποιὰ μὲν ζητοῦσαν οἱ τῆς Παλαιᾶς Διαθήκης, ποιὰ δὲ οἱ τῆς Καινῆς; Καὶ πάλι ὁ Χριστός· «Χαίρετε, ποὺ τὰ ὀνόματά σας γράφηκαν στοὺς οὐρανούς»[24]. Καὶ ὁ Παῦλος· «Ὁ δὲ Θεὸς ἄς σᾶς γεμίσει μὲ κάθε χαρὰ καὶ ἐλπίδα ἐξ αἰτίας τῆς πίστεώς σας, ὥστε νὰ ἔχετε μὲ τὴ δύναμη τοῦ ἁγίου Πνεύματος ἄφθονη τὴν ἐλπίδα»[25]. Εἶδες δύναμη εὐλογίας ποὺ χαρίζει τὰ ἀπόρρητα ἀγαθὰ καὶ ποὺ δὲν ἔχει τίποτε τὸ γήϊνο; Καὶ πάλι ὁ Παῦλος· «Ὁ Θεὸς θὰ συντρίψει τὸ σατανὰ κάτω ἀπὸ τὰ πόδια σας ἀμέσως»[26]. Ἀλλὰ στὴν παλαιὰ Διαθήκη, ὅταν τὰ τῶν ἀνθρώπων ἦταν πνευματικὰ κατώτερα, ἀπὸ τὰ αἰσθητὰ προέρχονταν τὰ τῆς εὐλογίας, καὶ ἡ πολυπαιδία θεωροῦνταν πολὺ σπουδαῖο πράγμα. Διότι, ἐπειδὴ ὁ θάνατος εἰσῆλθε στὸν ἄνθρωπο μὲ τὴν ἁμαρτία, παρηγορώντας ὁ Θεὸς τὸ γένος μας καὶ γιὰ νὰ δείξει, ὅτι ὄχι μόνο δὲν θὰ τοὺς ἐξαφανίσει οὔτε θὰ τοὺς παραδώσει στὴν πανωλεθρία, ἀλλὰ καὶ ὅτι θὰ γίνουν πολὺ περισσότεροι ἀπὸ πρίν, λέγει· «Αὐξάνεσθε καὶ πληθύνεσθε»[27]. Ὅταν ὅμως ἔγινε γνωστὸ ὅτι ὁ θάνατος εἶναι ὕπνος, παρουσιαζόταν καὶ τὸ καλὸ τῆς παρθενίας. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Θέλω δὲ ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ἐγκρατεῖς ὅπως καὶ ἐγώ»[28]. Καὶ πάλι· «Εἶναι καλὸ στὸν ἄνθρωπο νὰ μὴ πλησιάζει γυναίκα»[29]. Καὶ ὁ Χριστός· «Ὑπάρχουν εὐνοῦχοι, ποὺ εὐνουχίσθηκαν μόνοι τους γιὰ τὴ βασιλεία τῶν οὐρανῶν»[30]. Ἄλλωστε δὲ καὶ στὴν ἀρχὴ αὐτὸ ὑπαινίχθηκε, ὅτι χρειάζεται ἀρετὴ καὶ ὄχι πολυπαιδία. Καὶ ἄκουε πῶς. Διότι λέγει κάποιος σοφός· «Μὴ ἐπιθυμεῖς πολλὰ ἄχρηστα παιδιά, ἂν δὲν ὑπάρχει σ' αὐτὰ φόβος Θεοῦ· καὶ μὴ προσβλέπεις στὸ πλῆθος αὐτῶν· διότι προτιμότερο εἶναι ἕνα, παρὰ χίλια, καὶ νὰ πεθάνεις ἄτεκνος, παρὰ νὰ ἔχεις ἀσεβῆ τέκνα, καὶ προτιμότερο εἶναι ἕνα ποὺ νὰ κάμνει τὸ θέλημα τοῦ Κυρίου, παρὰ ἀμέτρητα παράνομα»[31]. Ἀλλ' οἱ ἀναίσθητοι Ἰουδαῖοι, ποὺ πάντοτε εἶχαν συγκεντρωμένο τὸ ἐνδιαφέρο τους στὴ σάρκα καὶ ἀδιαφοροῦσαν γιὰ τὴν ἀρετή, ἔλεγαν· «Τί ζητεῖ ὁ

*μελοῦντες, ἔλεγον· «Τί ζητεῖ ὁ Θεός, ἀλλ' ἢ σπέρμα;». Δεικνὺς τοίνυν αὐτοῖς, ὅτι οὐ τοῦτο ζητεῖ, μυριάκις αὐτοὺς ἀπώλεσεν, ἀρετῆς ἐρήμους ὄντας.*

*«Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ». Καλῶς προσέθηκε, «Τῷ Κυρίῳ». Τοῦτο γὰρ μάλιστα εὐλογία. Εἰσὶ γὰρ καὶ παρὰ ἀνθρώποις εὐλογούμενοι, ἀλλ' ἀνθρώπινα τὰ ἐκείνων. Ἡ δὲ μεγίστη εὐλογία αὕτη. Ἄνθρωποι μὲν γὰρ εὐλογοῦσι, τουτέστι, ἐγκωμιάζουσιν, ἐπαινοῦσι τοὺς ἐν πλούτῳ καὶ δυναστείαις καὶ δόξαις ὄντας. Ἀλλ' αὕτη ἡ εὐλογία πρόσκαιρος, καὶ ἡνίκα ἂν παρῇ, οὐδὲν ἔχουσα κέρδος· ἡ δὲ τοῦ Θεοῦ διηνεκής, καὶ ἐν τοῖς μεγίστοις παρέχουσα τὴν ὠφέλειαν. «Τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν». Εἶδες ὅση τῆς εὐλογίας ἡ ἰσχύς; Τὰ γὰρ ῥήματα αὐτοῦ ἔργα γίνεται. Τὸν γοῦν οὐρανὸν τὸ ῥῆμα αὐτοῦ πεποίηκε. «Τῷ λόγῳ» γάρ, φησί, «Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν». Ἐκείνῳ τῷ λόγῳ σε εὐλογεῖ, τῷ τοσαῦτα δυναμένῳ.*

*«Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων». Τί λέγεις; ἐξελέξατο τὸν οὐρανὸν οἴκημα ἑαυτῷ, καὶ τὰ ὑπερῷα λαβών, ἡμῖν ἀφώρισε τὰ ἐνταῦθα; Ἄπαγε· οὐκ ἔστι τοῦτο, ἀλλὰ συγκαταβάσεως ὁ λόγος. Εἰ γὰρ τοῦτό ἐστι, πῶς τὸ ἕτερον ἕστηκε τὸ παρὰ τοῦ Θεοῦ λεγόμενον; «Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος». Ἐκεῖνο γὰρ ἐναντίον τούτῳ, εἰ κατὰ τὴν πρόχειρον αὐτὸ προφορὰν ἐκδεξώμεθα, καὶ μὴ τὴν ἀποκειμένην αὐτοῖς σκοπήσωμεν θεωρίαν. Τί οὖν ἐστιν ὅ φησιν, «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων»; Συγκαταβατικῷ κέχρηται λόγῳ, οὐκ ἀποκλείων ἐν τῷ οὐρανῷ τὸν Θεόν. Οὐδὲ γὰρ τό, «Οὐρανὸς θρόνος αὐτοῦ καὶ ἡ γῆ ὑποπόδιον», ὥσπερ οὐδὲ*

32. Μαλαχ. 2, 15.
33. Ψαλμ. 32, 6.
34. Ἱερ. 23 24.

Θεός, παρά άπογόνους;»[32]. Γιά νά δείξει λοιπόν σ' αύτούς, ότι δέν ζητεί αύτό, άμέτρητες φορές τούς κατέστρεψε, έπειδή ήταν γυμνοί άπό άρετή.

«"Ας είσθε εύλογημένοι άπό τόν Κύριο». Πολύ καλά πρόσθεσε, «'Από τόν Κύριο». Καθόσον αύτό πρό πάντων είναι εύλογία. Διότι ύπάρχουν εύλογούμενοι καί άπό ανθρώπους, άλλ' οί εύλογίες έκείνων είναι άνθρώπινες. Ή πιό μεγάλη εύλογία είναι αύτή. Διότι οί μέν άνθρωποι εύλογοῦν, δηλαδή έγκωμιάζουν, έπαινοῦν έκείνους πού έχουν πλοῦτο, έξουσία καί δόξα. 'Αλλ' αύτή ή εύλογία είναι πρόσκαιρη καί όταν δίνεται, δέν παρέχει κανένα κέρδος, ένῶ ή εύλογία τοῦ Θεοῦ είναι διαρκής καί παρέχει τήν πιό μεγάλη ώφέλεια. «Πού δημιούργησε τόν ούρανό καί τή γῆ». Είδες πόση είναι ή δύναμη τῆς εύλογίας; Διότι τά λόγια του γίνονται έργα. Τόν ούρανό δηλαδή τόν δημιούργησε ό λόγος του. Διότι λέγει· «Μέ τό λόγο τοῦ Κυρίου στερεώθηκαν οί ούρανοί»[33]. Μέ έκεῖνο τό λόγο σέ εύλογεῖ, πού έχει τή δύναμη τόσα πολλά νά κάνει.

6. «Ό ούρανός πού βρίσκεται πάνω άπό τόν ούρανό είναι κατοικία τοῦ Κυρίου, ένῶ τή γῆ τήν έδωσε στούς υίούς τῶν άνθρώπων». Τί λέγεις; διάλεξε τόν ούρανό γιά κατοικία του καί κρατώντας τά ύψηλότερα μέρη γιά τόν έαυτό του, γιά μᾶς δέ ξεχώρισε τά έδῶ; Μακριά μιά τέτοια σκέψη· δέν σημαίνει αύτό, άλλ' είναι λόγια συγκαταβάσεως. Διότι, άν σημαίνει αύτό, πῶς ίσχύει τό άλλο πού λέγεται άπό τό Θεό; «Δέν πληρῶ έγώ τόν ούρανό καί τή γῆ; λέγει ό Κύριος»[34]. Διότι έκεῖνο είναι άντίθετο άπ' αύτό, άν τό δεχθοῦμε μέ πρόχειρη έξέταση καί δέν έξετάσουμε τό βαθύτερο νόημα πού ύπάρχει σ' αύτά. Τί σημαίνει λοιπόν αύτό πού λέγει, «Ό ούρανός τοῦ ούρανοῦ τῷ Κυρίῳ, τήν δέ γῆν έδωκε τοῖς υίοῖς τῶν άνθρώπων»; Χρησιμοποιεῖ συγκαταβατικά λόγια, χωρίς νά περιορίζει τό Θεό στόν ούρανό. Διότι ούτε τό, «Ό ούρανός είναι ό

τό, «Οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ», ἀξίως αὐτοῦ εἴρηται, ἀλλὰ καὶ αὐτὸ συγκατάβασις. Πάντα γὰρ αὐτὸς περιέχει, πάντα φέρει, οὐ δεόμενος τόπου, ἀλλ' αὐτὸς ἅπαντα συγκρατῶν· ἀλλὰ λέγεται ὁ οὐρανὸς αὐτοῦ οἶκος, διὰ τὸ καθαρὸν εἶναι χωρίον πονηρίας.

Ὥσπερ οὖν ἐνταῦθα οὐκ ἐκλογὴ ὁ οὐρανός, οὕτως οὐδὲ ὅταν λέγῃ, «Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ», ἢ ὅτι «Ἐξελέξατο τὸν οἶκον Ἰακώβ». Οὐδὲ γὰρ ἐνταῦθά φησι τοῦτο, ὅτι οἱ μὲν Ἰουδαῖοι αὐτοῦ, οἱ δὲ ἄλλοι ἄνθρωποι οὐκ ἔτι, ἀλλ' ἔρημοι τῆς προνοίας αὐτοῦ εἰσι, καὶ τῆς δημιουργίας ἀπεστέρηνται. Κοινὸς γὰρ ἁπάντων Θεός ἐστι· κέχρηται δὲ τῷ λόγῳ τούτῳ, δεικνὺς τὸν πόθον τὸν περὶ αὐτούς, ἐπειδὴ ὁπωσοῦν τῶν ἄλλων ἐδόκουν εἶναι ἀμείνους. Ὅτι γὰρ οὐκ αὐτοὺς ἐξελέξατο μόνους, ἀλλὰ πάντων ἦν κηδεμών, δείκνυσι μὲν καὶ τὰ πρὸ Μωϋσέως, οὐκ ἔλαττον δὲ καὶ τὰ ἐπ' αὐτοῦ· καὶ μετὰ τοῦτον τὰ καθέκαστον γινόμενα. Τόν τε γὰρ ἥλιον, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἄλλα πάντα κοινῇ πᾶσιν ἔδωκε, τόν τε φυσικὸν νόμον πᾶσιν ἐνέσπειρε. Τόν τε Ἀβραάμ, Πέρσην ὄντα, καὶ ἐφίλει, καὶ μετετίθει· τούς τε γὰρ Αἰγυπτίους, τούς τε ἐν τῇ Χαναάν, τούς τε ἀπὸ Περσίδος ἐλθόντας δι' αὐτοῦ διώρθωσε· πάλιν διά τε τοῦ παιδὸς τοῦ ἐκείνου καὶ τοῦ ἐκγόνου πολλοὺς τῶν ἐκεῖ γειτόνων βελτίους ἐποίει, τὸ γοῦν ἑαυτοῦ μέρος. Ἐπειδὴ δὲ καὶ Μωϋσῆς ἐτέχθη, μετὰ ταῦτα διὰ τῶν εἰς τοὺς Ἰουδαίους γινομένων τοὺς Αἰγυπτίους πρὸς θεογνωσίαν ἐχειραγώγει, καὶ τοὺς ἐν Παλαιστίνῃ,

---

35. Ἡσ. 66, 1.
36. Δευτ. 32, 8.
37. Ψαλμ. 134, 4.
38. Γεν. 12, 1.

θρόνος αὐτοῦ καὶ ἡ γῆ τὸ ὑποπόδιό του»[35], οὔτε καὶ τὸ «Ἐγὼ πληρῶ τὸν οὐρανὸ καὶ τὴ γῆ», λέχθηκαν κατὰ τὴν ἀξία του, ἀλλὰ καὶ αὐτὸ ἀποτελεῖ συγκατάβαση. Διότι ὅλα αὐτὸς τὰ περιέχει, ὅλα τὰ μεταφέρει, μὴ ἔχοντας ἀνάγκη ἀπὸ τόπο, ἀλλ' αὐτὸς τὰ συγκρατεῖ ὅλα· λέγεται ὅμως ὁ οὐρανὸς οἶκος του, ἐπειδὴ εἶναι τόπος καθαρὸς ἀπὸ κακία.

Ὅπως ἀκριβῶς λοιπὸν ἐδῶ ὁ οὐρανὸς δὲν ἀποτελεῖ ξεχωριστὸ μέρος αὐτοῦ, ἔτσι οὔτε ὅταν λέγει, «Καθόρισε τὰ σύνορα τῶν ἐθνῶν ἀνάλογα μὲ τὸν ἀριθμὸ τῶν ἀγγέλων τοῦ Θεοῦ»[36], ἢ ὅτι «Διάλεξε τὸν οἶκο τοῦ Ἰακὼβ»[37]. Διότι οὔτε ἐδῶ λέγει αὐτό, ὅτι οἱ μὲν Ἰουδαῖοι εἶναι δικοί του, οἱ δὲ ἄλλοι ἄνθρωποι δὲν εἶναι ἀκόμα δικοί του, ἀλλ' ὅτι εἶναι γυμνοὶ ἀπὸ τὴν πρόνοιά του καὶ στεροῦνται τῆς δημιουργίας. Διότι εἶναι Θεὸς ὅλων· χρησιμοποιεῖ ὅμως αὐτὰ τὰ λόγια, γιὰ νὰ δείξει τὴν ἀγάπη του γι' αὐτούς, ἐπειδὴ κατὰ κάποιο τρόπο νόμιζαν ὅτι εἶναι καλύτεροι ἀπὸ τοὺς ἄλλους. Τὸ ὅτι λοιπὸν δὲν διάλεξε μόνο αὐτούς, ἀλλ' ἦταν προστάτης ὅλων, τὸ φανερώνουν μὲν καὶ τὰ πρὶν ἀπὸ τὸν Μωυσῆ, ὄχι λιγώτερο δὲ καὶ τὰ ὅσα συνέβηκαν στὶς ἡμέρες του καθὼς καὶ ὅλα γενικὰ τὰ συμβάντα μετὰ ἀπ' αὐτόν. Διότι ἔδωσε σ' ὅλους γενικὰ τὸν ἥλιο, τὴ γῆ, τὴ θάλασσα καὶ ὅλα τὰ ἄλλα, καὶ ἔσπειρε μέσα σ' ὅλους τὸ φυσικὸ νόμο. Καὶ τὸν Ἀβραάμ, ποὺ ἦταν Πέρσης, καὶ τὸν ἀγαποῦσε καὶ τὸν μετέφερε ἀπὸ ἕνα τόπο σ' ἄλλο· διότι καὶ τοὺς Αἰγυπτίους, καὶ ἐκείνους ποὺ κατοικοῦσαν στὴ Χαναὰν καὶ ἐκείνους ποὺ ἦλθαν ἀπὸ τὴν Περσία[38], μὲ αὐτὸν τοὺς διόρθωσε· ἐπίσης δὲ καὶ μὲ τὸν υἱὸ ἐκείνου καὶ τὸν ἐγγονό του πολλοὺς ἀπὸ τοὺς ἐκεῖ γειτονικοὺς λαοὺς ἔκαμνε καλυτέρους, ὅσο φυσικὰ ἐξαρτῶταν ἀπ' αὐτόν. Ὅταν δὲ γεννήθηκε ὁ Μωυσῆς, στὴ συνέχεια μὲ τὰ ὅσα συνέβαιναν στοὺς Ἰουδαίους, ὁδηγοῦσε τοὺς Αἰγυπτίους στὴ θεογνωσία καθὼς καὶ ἐκείνους ποὺ κατοικοῦσαν στὴν Παλαιστίνη καὶ στὴ συνέχεια καὶ ἐκείνους

καὶ μετὰ ταῦτα τοὺς ἐν Βαβυλῶνι. Οὕτως ὅταν λέγῃ, «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ», τοῦτο λέγει, ὅτι διὰ τοῦτο ἐπαναπαύεται τοῖς ἐκεῖ, ἐπειδὴ πάσης εἰσὶ πονηρίας ἀπηλλαγμένοι. Καὶ σὺ δέ, ἂν μὴ τῇ γῇ προσηλωμένος ἧς, ἀλλ' ἄγγελος γένῃ, ταχέως εἰς τὸν οὐρανὸν καὶ τὸν πατρῷον οἶκον ἀναβήσῃ, καὶ πρὸ τῆς ἀναστάσεως δὲ ἐντεῦθεν ἤδη μετέστης, καὶ τὸ ἀξίωμα ἔχεις. Καθάπερ γὰρ πολλοὶ τῶν εἰς τὴν μεγάλην σύγκλητον τελούντων, καὶ ἐν ἀγρῷ διατρίβοντες τὸ ἀξίωμα ἔχουσι, οὕτω καὶ σὺ ἐὰν βουληθῇς ἐν οὐρανῷ πολιτεύεσθαι, καὶ ἐνταῦθα διατρίβων, ἀπολαύσῃ τῆς ἀξίας ἐκείνης.

Οὐχὶ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος». Νεκροὺς οὐ τοὺς τετελευτηκότας φησίν, ἀλλὰ τοὺς ἐν ἀσεβείαις ἐναποθανόντας, ἢ τοὺς ἐν ἁμαρτήμασι κατασαπέντας. Ἐπεὶ καὶ Ἀβραὰμ τετελευτηκὼς ἦν, καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἀλλ' ὅμως οὕτως ἔζων, ὡς τὴν ἐκείνων μνήμην ποιεῖσθαι τοὺς ζῶντας. Ὁ γοῦν Μωϋσῆς ὑπὲρ τοῦ ὑπ' αὐτοῦ δημαγωγουμένου λαοῦ προσευχόμενος, δι' αὐτῶν δυσωπεῖ τὸν Θεόν, εἰς ἱκετηρίαν αὐτοὺς προσλαβών. Καὶ οἱ τρεῖς δὲ παῖδες διὰ τούτους ἀξιοῦσι σώζεσθαι· διὸ καὶ λέγουσι· «Μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, δι' Ἀβραὰμ τὸν ἠγαπημένον ἀπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου». Εἰ δὲ τοσαύτην εἶχον ἰσχύν, πῶς ἦσαν νεκροί; Καὶ πάλιν ὁ Χριστός· «Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς». Διὰ τοῦτο Παῦλος τοὺς ἀποθανόντας, οὐ νεκροὺς καλεῖ, ἀλλὰ τοὺς κοιμηθέντας, γράφων· «Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων». Ὁ γὰρ δίκαιος κἂν τελευτήσῃ, οὐ τέθνηκεν, ἀλλὰ καθεύδει. Ὁ γὰρ μέλλων εἰς ζωὴν βελτίονα παραπέμπε-

---

39. Ἐξ. 32, 13.
40. Δαν. Ὕμνος τριῶν παίδων 3, 11.
41. Ματθ. 8, 22.
42. Α' Θεσ. 4, 13.

πού κατοικοῦσαν στὴ Βαβυλώνα. Ἔτσι, ὅταν λέγει, «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ», ἐννοεῖ αὐτό, ὅτι γι' αὐτὸ ἐπαναπαύεται ἐκεῖ, ἐπειδὴ εἶναι ἀπαλλαγμένοι ἀπὸ κάθε κακία. Καὶ σὺ δέ, ἂν δὲν εἶσαι προσκολλημένος στὴ γῆ, ἀλλὰ γίνεις ἄγγελος ἀμέσως θ' ἀνεβεῖς στὸν οὐρανὸ καὶ τὸν πατρικὸ οἶκο, καὶ πρὶν ἀπὸ τὴν ἀνάσταση δὲ μετατέθηκες ἤδη ἀπὸ τὴν ἐδῶ ζωὴ στὴν ἐκεῖ καὶ ἔχεις τὴν τιμή. Διότι, ὅπως ἀκριβῶς πολλοὶ ἀπὸ ἐκείνους ποὺ κατέχουν ἀξίωμα στὴ μεγάλη σύγκλητο, ἔχουν τὸ ἀξίωμα καὶ ὅταν βρίσκονται στὸν ἀγρό, ἔτσι καὶ σύ, ἂν θελήσεις νὰ ζεῖς στὸν οὐρανό, καὶ ἐδῶ ζώντας, θ' ἀπολαύσεις ἐκείνη τὴν ἀξία.

«Δὲν θὰ σὲ ὑμνήσουν οἱ νεκροί, Κύριε, οὔτε ὅλοι ἐκεῖνοι ποὺ κατεβαίνουν στὸν ἅδη. Ἀλλ' ἐμεῖς οἱ ζωντανοὶ θὰ εὐλογήσουμε τὸν Κύριο ἀπὸ τώρα καὶ μέχρι τέλους τοῦ αἰώνα». Νεκροὺς δὲν ὀνομάζει τοὺς πεθαμένους, ἀλλ' ἐκείνους ποὺ πέθαναν μέσα στὶς ἀσέβειες ἢ ἐκείνους ποὺ σάπησαν μέσα στ' ἁμαρτήματα. Διότι καὶ ὁ Ἀβραὰμ ἦταν νεκρὸς καὶ ὁ Ἰσαὰκ καὶ ὁ Ἰακώβ, ἀλλ' ὅμως ἔτσι ζοῦσαν, ὥστε νὰ τοὺς θυμοῦνται οἱ ζωντανοί. Ὁ Μωυσῆς λοιπὸν προσευχόμενος ὑπὲρ τοῦ λαοῦ ποὺ ἦταν κάτω ἀπὸ τὴν καθοδήγησή του, μέσω αὐτῶν παρακαλεῖ τὸ Θεό, λαμβάνοντας αὐτοὺς βοηθοὺς στὴν προσευχή του[30]. Καὶ τὰ τρία παιδιὰ γιὰ χάρη αὐτῶν ζητοῦν νὰ σωθοῦν· γι' αὐτὸ καὶ λέγουν· «Μὴ ἀπομακρύνεις τὸ ἔλεός σου ἀπὸ μᾶς πρὸς χάρη τοῦ Ἀβραὰμ τοῦ ἀγαπημένου σου, καὶ πρὸς χάρη τοῦ Ἰσαὰκ τοῦ δούλου σου καὶ τοῦ Ἰσραὴλ τοῦ ἁγίου σου»[10]. Ἂν δὲ εἶχαν τόση δύναμη, πῶς ἦταν νεκροί; Καὶ πάλι ὁ Χριστός· «Ἄφησε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους»[11]. Γι' αὐτὸ ὁ Παῦλος τοὺς πεθαμένους, δὲν τοὺς ὀνομάζει νεκρούς, ἀλλὰ κοιμηθέντας, γράφοντας· «Δὲν θέλω ἀδελφοί, ν' ἀγνοεῖτε σεῖς ἐκείνους ποὺ ἔχουν κοιμηθεῖ»[12]. Διότι ὁ δίκαιος καὶ ἂν ἀκόμη πεθάνει, δὲν πέθανε, ἀλλὰ κοιμᾶται. Καθόσον ἐκεῖνος, ποὺ

*σθαι, καθεύδει· ὁ δὲ μέλλων εἰς θάνατον ἀθάνατον ἀπάγεσθαι, καὶ ζῶν τετελεύτηκε καὶ νεκρός ἐστιν. Ἐκεῖνοι εἰς ᾅδην καταβαίνουσιν, οὗτοι εἰς οὐρανὸν ἀναβήσονται, καὶ μετὰ Χριστοῦ ἔσονται. Διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὐχ ἁπλῶς εἶπεν, οἱ ζῶντες, ἀλλ', «Ἡμεῖς οἱ ζῶντες», καὶ τὸ καθ' ἑαυτὸν θείς.*

*Καὶ διὰ τί μὴ εἶπεν, 'οἱ ζῶντες', ἀλλὰ προσέθηκεν, «Ἡμεῖς»; Ὅτι καὶ Παῦλος οὕτως εἶπεν, ὅτι «Ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, οὐ μὴ φθάσομεν εἰς τὴν παρουσίαν τοῦ Κυρίου». Καθάπερ ἐκεῖ τό, «Ἡμεῖς», προσκείμενον, οὐκ ἀφίησι τὸ εἰρημένον περὶ πάντων λέγεσθαι, ἀλλὰ περὶ τῶν πιστῶν, καὶ ἐκείνῳ κατὰ τὴν πολιτείαν ἐοικότων, οὕτω καὶ ἐνταῦθα τό, «Ἡμεῖς οἱ ζῶντες», τοὺς κατὰ τὸν Δαυὶδ λέγει, καὶ τοὺς ἐν ἀρετῇ ζῶντας. «Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος». Ὁρᾷς καὶ τὴν ἐπαγωγὴν τοῦτο δηλοῦσαν; Τοῦτο; ποῖον; Ὅτι περὶ τῶν κατ' ἀρετὴν ζώντων λέγει. Οὐδεὶς γοῦν τὸν αἰῶνα ζῇ τὴν ζωὴν ταύτην, ἀλλ' ἐκεῖνοι μόνοι, οἳ καὶ διαπαντὸς ζῶσι τὴν μετὰ δόξης ζωήν. Καὶ γὰρ καὶ οἱ ἁμαρτωλοὶ ζῶσιν, ἀλλ' ἐν κολάσει καὶ τιμωρίᾳ, καὶ τῷ βρύχειν τοὺς ὀδόντας, οὗτοι δὲ ἐν λαμπρότητι καὶ περιφανείᾳ, ἔργον ἔχοντες τὸ μετὰ τῶν ἀσωμάτων δυνάμεων τοὺς μυστικοὺς ἀναφέρειν τῷ Θεῷ ὕμνους.*

*Ἵνα οὖν καὶ ἡμεῖς ταύτης ἀπολαύσωμεν τῆς χαρᾶς, ταύτην διώξωμεν τὴν ζωήν, ἵνα καὶ ἐπ' ἐκείνην ἔλθωμεν τὴν λῆξιν, ἣν οὔτε λόγος, οὔτε νοῦς, οὔτε ἕτερον οὐδὲν παραστῆσαι δυνήσεται, ἀλλ' αὐτὴ μόνη ἡ πεῖρα δείκνυσιν αὐτῆς τὴν μακαριότητα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

43. Α΄ Θεσ. 4, 15.

πρόκειται νὰ μεταφερθεῖ σὲ καλύτερη ζωή, κοιμᾶται, ἐνῶ ἐκεῖνος πού πρόκειται νά ὁδηγηθεῖ σὲ ἀθάνατο θάνατο, καὶ ζώντας ἀκόμη ἔχει πεθάνει καὶ εἶναι νεκρός. Ἐκεῖνοι κατεβαίνουν στὸν ἅδη, ἐνῶ αὐτοὶ θὰ ἀνεβοῦν στὸν οὐρανὸ καὶ θὰ εἶναι μαζὶ μὲ τὸ Χριστό. Γι' αὐτὸ λοιπὸν καὶ ὁ προφήτης δὲν εἶπε ἁπλῶς, 'οἱ ζωντανοί', ἀλλὰ «Ἐμεῖς οἱ ζωντανοί», ἀναφέροντας καὶ τὸν ἑαυτό του μαζί.

Καὶ γιατί δὲν εἶπε, 'οἱ ζωντανοί', ἀλλά πρόσθεσε, «Ἐμεῖς»; Διότι καὶ ὁ Παῦλος ἔτσι εἶπε, ὅτι «Ἐμεῖς οἱ ζωντανοί, ποὺ θὰ παραμείνουμε μέχρι τὸν ἐρχομὸ τοῦ Κυρίου, δὲν θὰ προφθάσουμε κατὰ τὴν παρουσία του ἐκείνους πού κοιμήθηκαν»[43]. Ὅπως ἀκριβῶς ἐκεῖ τὸ «Ἐμεῖς», ἀναφερόμενο, δὲν ἀφήνει αὐτὸ πού λέχθηκε ν' ἀναφέρεται σ' ὅλους, ἀλλά λέγεται γιά τούς πιστούς πού μοιάζουν ἐκεῖνον στὸν τρόπο ζωῆς, ἔτσι καὶ ἐδῶ τό, «Ἐμεῖς οἱ ζωντανοί», ἐννοεῖ ἐκείνους πού ζοῦν ὅπως καὶ ὁ Δαυίδ, ἐκείνους πού ζοῦν ἐνάρετα. «Ἀπό τώρα καὶ μέχρι τέλους τοῦ αἰῶνα». Βλέπεις καὶ αὐτό ποὺ προσθέτει ὅτι αὐτό δηλώνει; Αὐτό; Ποιό; Ὅτι ἐννοεῖ ἐκείνους πού ζοῦν ἐνάρετα. Κανένας λοιπὸν δὲν ζεῖ τὴ ζωὴ αὐτὴ αἰώνια, ἀλλ' ἐκεῖνοι μόνοι, ποὺ ζοῦν διαρκῶς τὴν γεμάτη ἀπὸ δόξα ζωή. Καθόσον καὶ οἱ ἁμαρτωλοὶ ζοῦν, ἀλλὰ μέσα στὴν κόλαση καὶ τὴν τιμωρία καὶ τὸ τρίξιμο τῶν δοντιῶν, ἐνῶ αὐτοὶ ζοῦν μὲ λαμπρότητα καὶ περιφάνεια, ἔχοντας γιὰ ἔργο τό ν' ἀναπέμπουν μυστικούς ὕμνους στό Θεὸ μαζὶ μὲ τὶς ἀσώματες δυνάμεις.

Γιὰ ν' ἀπολαύσουμε λοιπόν καὶ ἐμεῖς αὐτὴ τὴ χαρά, ἂς ἐπιδιώξουμε αὐτὴ τὴ ζωή, ὥστε νὰ ἔλθουμε καὶ πρὸς ἐκείνη τὴ ζωή, τὴν ὁποία οὔτε λόγος, οὔτε νοῦς, οὔτε τίποτε ἄλλο δὲν μπορεῖ νά περιγράψει, ἀλλ' αὐτὴ μόνη ἡ δοκιμὴ αὐτῆς δείχνει τὴν μακαριότητα αὐτῆς, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
## ΕΙΣ ΤΟΝΝ ΡΙΔ΄ ΨΑΛΜΟΝ

*«Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου».*

*1. Καὶ τίς οὐκ ἀγαπᾷ ἀκουόμενος; φησί. Πολλοὶ τῶν βιωτικῶν ἀνθρώπων. Οὐ γὰρ δὴ βούλονται ταῦτα ἀκοῦσαι, ἃ αὐτοῖς συμφέρει, ἀλλ' ἀξιοῦσι μὲν τὰ μὴ συμφέροντα αὐτοῖς γίνεσθαι· εἶτα ἐπειδὰν γένηται, ἀλύουσι καὶ δυσανασχετοῦσι. Τὰ γὰρ συμφέροντα ἐκεῖνά εἰσιν, ἃ ὁ Θεὸς οἶδε καὶ ἐπίσταται εἶναι συμφέροντα ἡμῖν, κἂν πενίαν εἴπῃς, κἂν λιμόν, κἂν νόσον, κἂν ὁτιοῦν ἕτερον τοιοῦτον. Ἃ δὲ Θεὸς δοκιμάσῃ συμφέροντα εἶναι καὶ δῷ, ταῦτά ἐστι τὰ λυσιτελῆ. Ἐπεὶ καὶ Παύλῳ ἄκουσον τί φησιν· «Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Τοῦτο γὰρ ἦν αὐτῷ συμφέρον, διωγμοί, καὶ θλίψεις, καὶ στενοχωρίαι. Ἀκούσας δέ, ὅτι τοῦτο συνέφερεν, ἔλεγε· «Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς». Ὥστε οὐ τῶν τυχόντων ἐστὶ χαίρειν, ὅταν ὁ Θεὸς αὐτῶν ἐπακούῃ, τὰ συμφέροντα παρέχων. Πολλοὶ γοῦν τὰ ἀσύμφορα βούλονται, καὶ τούτοις ἐνευφραίνονται· ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ τί; Ἠγάπησεν, ὅτι εἰσήκουσεν αὐτοῦ ὁ Θεός, τὰ συμφέροντα διδούς.*

*«Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί». Πάλιν ἀνθρωπίνοις ῥήμασι τοῦ Θεοῦ τὸ νεῦμα παρίστησι. Καὶ ἕτερον δέ τι αἰνίττεται διὰ τοῦ ῥήματος τούτου, λέγων, ὅτι οὐκ ἐγὼ ἄξιος ἀ-*

---

1. Σ' αὐτὸ τὸν ψαλμό, ποὺ εἶναι ἄγνωστος ὁ συγγραφέας του, περιγράφεται ἡ ἀγάπη αὐτοῦ πρὸς τὸν Κύριο, διότι καταφεύγει σ' αὐτὸν διότι κινδυνεύει καὶ εἶναι σίγουρος ὅτι θὰ εἰσακουσθεῖ ἡ ἐπίκλησή του. Στὴ συνέχεια ἐκφράζει τὴν εὐγνωμοσύνη του πρὸς τὸν Κύριο, διότι πράγματι εἰσακούσθηκε ἡ δέησή του.

2. Β΄ Κορ. 12, 9.

3. Β΄ Κορ. 12, 10.

## Ο Μ Ι Λ Ι Α
## ΣΤΟΝ ΡΙΔ΄ ΨΑΛΜΟ[1]

«Ἀγάπησα τὸν Κύριο, διότι εἰσάκουσε καὶ θὰ εἰσακούσει τὴ φωνὴ τῆς δεήσεώς μου».

1. Καὶ ποιός δὲν ἀγαπᾶ, λέγει, ὅταν εἰσακούεται; Πολλοὶ ἀπὸ τοὺς κοσμικοὺς ἀνθρώπους. Διότι δὲν θέλουν νὰ εἰσακουσθοῦν αὐτὰ ποὺ τοὺς συμφέρουν, ἀλλ' ἔχουν τὴν ἀξίωση νὰ γίνουν σ' αὐτοὺς ἐκεῖνα ποὺ δὲν τοὺς συμφέρουν, ἔπειτα ὅμως, ὅταν συμβοῦν, στενοχωροῦνται καὶ δυσαναστετοῦν. Διότι τὰ συμφέροντα εἶναι ἐκεῖνα ποὺ τὰ γνωρίζει ὁ Θεὸς καὶ ποὺ εἶναι βέβαιος ὅτι μᾶς συμφέρουν, εἴτε ἀναφέρεις τὴ φτώχεια, εἴτε τὴν πείνα, εἴτε τὴν ἀσθένεια, εἴτε ὁτιδήποτε ἄλλο παρόμοιο. Ἐκεῖνα δὲ ποὺ θὰ θεωρήσει ὁ Θεός ὅτι μᾶς συμφέρουν καὶ θὰ μᾶς δώσει, αὐτὰ εἶναι τὰ ὠφέλιμα. Διότι ἄκουσε τί λέγει στὸν Παῦλο· «Σοῦ ἀρκεῖ ἡ χάρη μου· διότι ἡ δύναμή μου ἀποδεικνύεται τέλεια ἐκεῖ ποὺ ὑπάρχει ἀσθένεια»[2]. Διότι αὐτὸ ἦταν τὸ συμφέρον του, διωγμοί, θλίψεις καὶ στενοχώριες. Ὅταν δὲ ἄκουσε, ὅτι αὐτὸ τὸν συνέφερε, ἔλεγε· «Γι' αὐτὸ χαίρομαι ποὺ ὑπομένω ἀσθένειες, ὕβρεις καὶ διωγμούς»[3]. Ὥστε δὲν εἶναι τυχαῖο πράγμα τὸ νὰ χαίρονται, ὅταν ὁ Θεὸς εἰσακούει αὐτοὺς καὶ τοὺς δίνει ἐκεῖνα ποὺ τοὺς συμφέρουν. Πολλοὶ βέβαια ζητοῦν ἀσύμφορα πράγματα καὶ μὲ αὐτὰ χαίρονται, ὁ προφήτης ὅμως δὲν ἐνεργεῖ ἔτσι, ἀλλὰ πῶς; Ἀγάπησε τὸν Κύριο, διότι εἰσάκουσε αὐτὸν ὁ Θεὸς καὶ τοῦ ἔδωσε τὰ συμφέροντα.

«Διότι ἔκλινε τό αὐτί του πρὸς ἐμένα». Πάλι μὲ ἀνθρώπινα λόγια παριστάνει τὸ νεῦμα τοῦ Θεοῦ. Ἀλλὰ καὶ κάτι ἄλλο ὑπαινίσσεται μὲ αὐτὰ τά λόγια, λέγοντας, ὅτι

*κουσθῆναι, ἀλλ' αὐτὸς κατέβη πρός με. «Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι». Τί ἐστιν, «Ἐν ταῖς ἡμέραις μου»; Οὐκ ἐπειδή, φησίν, ἠκούσθην, ἀποπηδήσω καὶ ῥαθυμότερος ἔσομαι, ἀλλὰ τὰς ἡμέρας μου πάσας τοῦτο ἔργον ποιήσομαι. «Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με. Θλῖψιν καὶ ὀδύνην εὗρον· καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην». Εἶδες ὅπλον ἰσχυρόν; εἶδες παραμυθίαν πάντα λύουσαν τὰ δεινά; εἶδες ψυχὴν διαθερμαινομένην τῷ πόθῳ τοῦ Δεσπότου; Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἤρκεσέ μοι εἰς ἀπαλλαγὴν τῶν περιεχόντων κακῶν τὸ καλέσαι τὸν Θεόν. Τί οὖν ἡμεῖς καλοῦμεν πολλάκις, καὶ οὐκ ἀπαλλαττόμεθα τῶν δεινῶν; Ὅτι οὐ καλοῦμεν ὡς καλεῖν δεῖ. Ὅτι γὰρ αὐτὸς ἕτοιμος ἀεὶ παρέχειν, ἄκουσον τί φησιν ἐν τοῖς εὐαγγελίοις· «Τίς ἐστιν ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ· ἢ ἰχθὺν ἐὰν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ δὲ ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ τοῖς τέκνοις ὑμῶν διδόναι, πολλῷ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν». Ὁρᾷς πόση αὐτοῦ ἡ ἀγαθότης, ὅταν ἡ ἡμετέρα πρὸς ἐκείνην συγκρινομένη πονηρία φαίνηται;*

*Ἐπεὶ οὖν τοιοῦτος ὁ ἡμέτερος Δεσπότης, πρὸς αὐτὸν ἀεὶ καταφεύγωμεν, καὶ βοηθὸν μόνον τοῦτον καλῶμεν, καὶ ἕτοιμον εἰς τὸ σώζειν εὑρήσομεν. Εἰ γὰρ οἱ ναυαγίῳ περιπεσόντες, καὶ ἐπὶ σανίδος φερόμενοι, τοὺς πόρρωθεν ἐξ εὐθείας καλοῦντες πείθουσι φιλανθρωπεύεσθαι, καίτοι γε οὐδὲν κοινὸν πρὸς αὐτοὺς ἔχοντας, ἀλλ' ἀπὸ τῆς συμφορᾶς γνω-*

---

4. Ματθ. 7, 9 - 11.

δὲν εἶμαι ἐγὼ ἄξιος νὰ εἰσακουσθῶ, ἀλλ' αὐτὸς κατέβηκε πρὸς ἐμένα. «Καὶ θὰ τὸν ἐπικαλοῦμαι σ' ὅλες τὶς ἡμέρες τῆς ζωῆς μου». Τί σημαίνει «Ἐν ταῖς ἡμέραις μου»; Ὄχι, λέγει, ἐπειδὴ εἰσακούσθηκα θὰ φύγω ἀπὸ κοντά του καὶ θὰ γίνω πιὸ ἀδιάφορος, ἀλλ' ὅλες τὶς ἡμέρες τῆς ζωῆς μου αὐτὸ θὰ κάνω ἔργο μου. «Μὲ κύκλωσαν τρομεροὶ φόβοι θανάτου, κίνδυνοι ποὺ μ' ἀπειλοῦν νὰ μὲ στείλουν στὸν ἅδη· θλίψη καὶ πόνος μὲ βρῆκαν· ἀλλ' ἐγὼ ἐπικαλέσθηκα τὸ ὄνομα τοῦ Κυρίου». Εἶδες ὅπλο ἰσχυρό; εἶδες παρηγοριά, ποὺ ἀπομακρύνει ὅλα τὰ δεινά; εἶδες ψυχὴ ποὺ κατακαίγεται ἀπὸ τὸν πόθο γιὰ τὸν Κύριο; Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· Μοῦ ἦταν ἀρκετό, γιὰ ν' ἀπαλλαγῶ ἀπὸ τὰ κακὰ ποὺ μὲ περικύκλωσαν, τὸ νὰ ἐπικαλεσθῶ τὸ Θεό. Γιατί λοιπὸν ἐμεῖς πολλὲς φορὲς τὸν ἐπικαλούμαστε καὶ δὲν ἀπαλλαγόμαστε ἀπὸ τὰ δεινά; Διότι δὲν τὸν ἐπικαλούμαστε ὅπως πρέπει νὰ τὸν ἐπικαλούμαστε. Διότι, τὸ ὅτι αὐτὸς εἶναι ἕτοιμος πάντοτε νὰ μᾶς δώσει αὐτὸ ποὺ ζητοῦμε, ἄκουσε τί λέγει στὰ εὐαγγέλια· «Ποιὸς ἀπὸ σᾶς εἶναι ἐκεῖνος, ποὺ θὰ δώσει στὸ παιδί του πέτρα, ἂν τοῦ ζητήσει ψωμί, ἢ θὰ τοῦ δώσει φίδι, ἂν τοῦ ζητήσει ψάρι; Ἂν δὲ σεῖς, ποὺ εἶσθε γεμάτοι ἀπὸ κακία, γνωρίζετε νὰ δίνετε ὠφέλιμα πράγματα στὰ παιδιά σας, πολὺ περισσότερο ὁ Πατέρας σας ὁ οὐράνιος θὰ δώσει ὠφέλιμα πράγματα σ' αὐτοὺς ποὺ τὸν παρακαλοῦν»[4]. Βλέπεις πόση εἶναι ἡ ἀγαθότητά του, ὅταν φαίνεται ἡ δική μας κακία συγκρινόμενη πρὸς ἐκείνη;

Ἐπειδὴ λοιπὸν εἶναι τέτοιος ὁ Κύριός μας, ἂς καταφεύγουμε πάντοτε πρὸς αὐτὸν καὶ ἂς ἐπικαλούμαστε αὐτὸν μόνο γιὰ βοηθὸ καὶ θὰ τὸν βροῦμε ἕτοιμο γιὰ νὰ μᾶς σώσει. Διότι, ἂν ἐκεῖνοι ποὺ ναυάγησαν καὶ φέρονται ἐπάνω σὲ σανίδα, ζητώντας ἀμέσως τὴ βοήθεια ἐκείνων ποὺ βρίσκονται μακριά, τοὺς πείθουν νὰ δείξουν τὴ φιλανθρωπία τους, ἂν καὶ βέβαια δὲν ἔχουν τίποτε τὸ κοινὸ μὲ ἐκείνους, ἀλλὰ γνωρίζονται μόνον ἀπὸ

ριζόμενοι μόνον πολλῷ μᾶλλον ὁ φιλάνθρωπος, καὶ φυσικὴν τὴν χρηστότητα ἔχων τοὺς ἐν συμφοραῖς ὄντας ἐξελεῖται, εἰ μόνον ἐπ' αὐτὸν καταφεύγειν βουληθῶσι, καὶ γνησίᾳ καλεῖν αὐτὸν διανοίᾳ, τὰς ἀνθρωπίνας ἀφέντες ἐλπίδας. Ὅταν τοίνυν ἀδοκήτῳ τινὶ περιπέσῃς κακῷ, μὴ καταπέσῃς, ἀλλ' εὐθέως ἀνάστησόν σου τὸ φρόνημα, καὶ πρὸς τὸν ἀκύμαντον κατέδραμε λιμένα καὶ τὸν ἀχείρωτον πύργον, τὴν τοῦ Θεοῦ βοήθειαν. Διὰ τοῦτο γάρ σε εἴασε περιπεσεῖν, ἵνα αὐτὸν καλέσῃς. Ἀλλ' οἱ πολλοὶ τότε μάλιστα ἀναπεσόντες καὶ τὴν οὖσαν εὐλάβειαν ἐκβάλλουσι, δέον τοὐναντίον ποιεῖν. Ἐπειδὴ γὰρ σφόδρα ἡμᾶς φιλεῖ, διὰ τοῦτο ἀφίησι θλίβεσθαι, ἵνα ἀκριβέστερον αὐτῷ συναπτώμεθα. Ἐπεὶ καὶ μητέρες τὰ ἀφηνιῶντα παιδία προσωπείοις διαφόροις ἐκδειματοῦσαι ἀναγκάζουσιν εἰς τοὺς οἰκείους καταφεύγειν κόλπους, οὐ λυπῆσαι αὐτὰ βουλόμεναι, ἀλλὰ τὴν προσεδρείαν αὐτῶν σοφιζόμεναι· οὕτω καὶ ὁ Θεὸς ἀεὶ βουλόμενος ἡμᾶς ἑαυτῷ συνάπτειν, καθάπερ τις ἐραστὴς σφοδρός, μᾶλλον δὲ παντὸς ἐραστοῦ σφοδρότερος ὤν, εἰς χρείας ἀφίησί σε τοιαύτας καταστῆναι, ἵνα διηνεκῶς εὐχῇ σχολάζῃς, καὶ διηνεκῶς αὐτὸν καλῇς, καὶ τῶν ἄλλων ἀφέμενος τὰ αὐτοῦ μεριμνᾷς.

«Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου». Ἕτερος ἑρμηνευτής· «Ἀξιῶ δή, Κύριε, ἐξελοῦ τὴν ψυχήν μου». Ἄλλος, «Ὦ δὴ Κύριε, περίσωσον τὴν ψυχήν μου». Εἶδες φιλόσοφον ψυχήν; πῶς τὰ βιωτικὰ πάντα ἀφείς, ἓν μόνον ζητεῖ, τὸ τὴν ψυχὴν διαμεῖναι ἀσινῆ καὶ μηδὲν παθεῖν τῶν παραβλαπτόντων αὐτήν; Ταύτης γὰρ εὖ διακειμένης, τὰ λοιπὰ πάντα ἕψεται, ὅσ-

τὴ συμφορά, πολὺ περισσότερο ὁ φιλάνθρωπος Κύριος, καὶ ποὺ ἔχει ἐκ φύσεως τὴν ἀγαθότητα, θὰ ἐλευθερώσει ἐκείνους ποὺ βρίσκονται μέσα στὶς συμφορές, ἂν θελήσουν μόνον νὰ καταφύγουν πρὸς αὐτὸν καὶ νὰ τὸν καλέσουν μὲ καθαρὴ καρδιά, ἀφήνοντας κατὰ μέρος τὶς ἀνθρώπινες ἐλπίδες. Ὅταν λοιπὸν περιπέσεις σὲ κάποιο ἀπροσδόκητο κακό, μὴ χάσεις τὸ θάρρος σου, ἀλλ' ἀμέσως ἀνύψωσε τὴ σκέψη σου καὶ τρέξε πρὸς τὸ ἀκύμαντο λιμάνι καὶ τὸν ἀπόρθητο πύργο, τὴ βοήθεια τοῦ Θεοῦ. Διότι γι' αὐτὸ σὲ ἄφησε νά περιπέσεις στὴ συμφορά, γιὰ νὰ καλέσεις αὐτόν. Ἀλλ' οἱ πολλοί, ὅταν ἐκπέσουν σὲ συμφορά, ἀποβάλλουν τότε καὶ τὴν εὐλάβεια ποὺ ὑπάρχει, ἐνῶ πρέπει νὰ κάμνουν τὸ ἀντίθετο. Ἐπειδὴ δηλαδὴ μᾶς ἀγαπᾶ πάρα πολύ, γι' αὐτὸ μᾶς ἀφήνει νὰ θλιβόμαστε, ὥστε ἡ σύνδεσή μας μ' αὐτὸν νὰ γίνεται πιὸ τέλεια. Διότι καὶ οἱ μητέρες τὰ ἀνυπάκουα παιδιά, φοβερίζοντάς τα μὲ διάφορα προσωπεῖα, τὰ ἀναγκάζουν νὰ καταφεύγουν στὴν ἀγκαλιά τους, ὄχι ἐπειδὴ θέλουν νὰ τά στενοχωρήσουν, ἀλλ' ἐπινοοῦν τρόπους γιὰ νὰ τὰ κρατοῦν κοντά τους· ἔτσι καὶ ὁ Θεὸς θέλοντας πάντοτε νὰ μᾶς ἔχει ἑνωμένους μαζί του, σὰν κάποιος ἀκριβῶς σφοδρὸς ἐραστής, μᾶλλον δὲ ἐπειδὴ εἶναι ὁρμητικότερος ἀπὸ ὁποιοδήποτε ἐραστή, σ' ἀφήνει νὰ περιέλθεις σὲ τέτοιες ἀνάγκες, ὥστε ν' ἀσχολεῖσαι συνέχεια μὲ τὴν προσευχὴ καὶ διαρκῶς νὰ καλεῖς αὐτόν, καί, ἀφήνοντας τὰ ἄλλα, νὰ φροντίζεις γιὰ τὰ τοῦ Θεοῦ.

«Κύριε, σῶσε τὴν ψυχή μου». Ἄλλος ἑρμηνευτής· «Τὸ ἀπαιτῶ, Κύριε, λύτρωσε τὴν ψυχή μου». Ἄλλος· «Σῶσε λοιπόν, Κύριε, τὴν ψυχή μου». Εἶδες ψυχὴ γεμάτη ἀπὸ φιλοσοφικότητα; πῶς, ἀφήνοντας ὅλα τὰ κοσμικά, ἕνα μόνο ζητεῖ, τὸ νὰ μείνει ἡ ψυχή του ἀβλαβὴς καὶ νὰ μὴ πάθει τίποτε ἀπὸ αὐτὰ ποὺ τὴ βλάπτουν; Διότι, ὅταν αὐτὴ εἶναι σὲ καλὴ κατάσταση, ὅλα τὰ ὑπόλοιπα θ' ἀκολουθήσουν, ὅπως ἀκριβῶς πάλι ὅταν δὲν εἶναι σὲ καλὴ

περ οὖν οὐκ εὖ ἐχούσης, τῆς λοιπῆς ἡμῖν οὐδὲν ὄφελος εὐημερίας. Διὸ πάντα δεῖ καὶ ποιεῖν καὶ λέγειν, ὥστε ταύτην διασώζεσθαι. Τοῦτο γάρ ἐστιν ὃ αἰνίττεται λέγων· «Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις». Καθάπερ γὰρ ἐκεῖνος τὸ λοιπὸν σῶμα προΐεται, ὥστε τὴν κεφαλὴν διασῶσαι, οὕτω καὶ σὲ τὰ ἄλλα πάντα ἐκδιδόναι χρὴ ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς. Οὐδὲ γὰρ πενία, οὐ νόσος, οὐκ αὐτὸ τὸ πάντων κεφάλαιον δοκοῦν εἶναι τῶν δεινῶν, ὁ θάνατος, παραβλάψαι δυνήσεται τὸν ἐμπεσόντα, σωζομένης ἐκείνης· ὥσπερ οὐδὲ ἀπὸ τῆς ζωῆς πλέον τι ἕξεις, ἀπολωλυίας καὶ διεφθαρμένης. Διὰ δὴ τοῦτο τὸν ὑπὲρ ταύτης ποιεῖται λόγον, πάντα τὰ ἄλλα ἀφείς, καὶ ἀξιοῖ ἡμέρους αὐτῇ γενέσθαι τὰς εὐθύνας, καὶ τῶν ἀφορήτων ἀπαλλαγῆναι κολάσεων.

«2. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ». Εἶδες πῶς παιδεύει τὸν ἀκροατὴν μήτε ἀπογινώσκειν, μήτε ἀναπεπτωκέναι; Μονονουχὶ γὰρ τοῦτο λέγει· μήτε ἀπογνῷς· ἐλεήμων γὰρ ὁ Θεός· μήτε ἀναπέσῃς, καὶ γὰρ καὶ δίκαιος. Τούτου μὲν οὖν τὴν ῥαθυμίαν ἐκκόπτει· ἐκείνου δὲ τὴν ἀπόγνωσιν ἀναιρεῖ, ἑκατέρωθεν τὴν σωτηρίαν ἡμῶν πραγματευόμενος. Εἶτα δεικνὺς τὸ πρὸς τὴν φιλανθρωπίαν ἐπιρρεπέστερον, ἐπάγει πάλιν λέγων· «Καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. Καὶ καλῶς εἶπεν, «Ὁ Θεὸς ἡμῶν», πρὸς ἀντιδιαστολὴν τῶν θεῶν, ὧν πρώην ἐμνήσθη. Ἐκείνοις μὲν γὰρ τὸ σφάζειν καὶ ἀναιρεῖν καὶ ἀκήρυκτα πολεμεῖν ἔργον, τούτῳ δὲ τὸ φιλανθρωπεύεσθαι καὶ συγγινώσκειν καὶ κινδύνων ἐξαρπάζειν διηνεκῶς. ἃ δὴ μάλιστα μετὰ τῶν ἄλλων δείκνυσι τοὺς μὲν δαίμονας ὄντας καὶ ἀλιτηρίους, τὸν δὲ κηδεμόνα καὶ προστάτην καὶ Θεὸν ἀληθινόν.

---

5. Ματθ. 10, 16.

κατάσταση, σὲ τίποτε δὲν μᾶς ὠφελεῖ ἡ ὑπόλοιπη εὐτυχία. Γι' αὐτὸ πρέπει νὰ κάμνουμε τὸ κάθε τι καὶ νὰ λέμε, ὥστε νὰ σώζουμε αὐτήν. Διότι αὐτὸ εἶναι ἐκεῖνο ποὺ ὑπαινίσσεται μὲ τὰ λόγια· «Γίνεσθε φρόνιμοι σὰν τὰ φίδια»[5]. Ὅπως δηλαδὴ ἐκεῖνο ἐκθέτει τὸ ὑπόλοιπο σῶμα του γιὰ νὰ σώσει τὸ κεφάλι του, ἔτσι καὶ σὺ πρέπει ὅλα τὰ ἄλλα νὰ τ' ἀπορρίψεις γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου. Διότι οὔτε ἡ φτώχεια, οὔτε ἡ ἀσθένεια, οὔτε ὁ θάνατος, ποὺ θεωρεῖται τὸ ἀποκορύφωμα ὅλων τῶν κακῶν, θὰ μπορέσει νὰ βλάψει ἐκεῖνον ποὺ ἔπεσε σ' αὐτά, ὅταν σώζεται ἡ ψυχή· ὅπως ἀκριβῶς οὔτε ἀπὸ τὴ ζωὴ θὰ κερδίσεις τίποτε περισσότερο, ὅταν ἡ ψυχὴ καταστραφεῖ καὶ διαφθαρεῖ. Γι' αὐτὸ λοιπὸν ὁμιλεῖ γι' αὐτήν, ἀφήνοντας ὅλα τὰ ἄλλα, καὶ ἀπαιτεῖ νὰ ζητοῦνται μὲ ἤπιο τρόπο οἱ εὐθύνες της, γιὰ ν' ἀπαλλαγεῖ ἀπὸ τὶς ἀνυπόφορες τιμωρίες.

2. «Ὁ Κύριος εἶναι ἐλεήμων καὶ δίκαιος· ὁ Θεὸς μας εἶναι εὐσπλαχνικός». Εἶδες πῶς διδάσκει τὸν ἀκροατὴ οὔτε νὰ κυριεύεται ἀπὸ ἀπόγνωση, οὔτε νὰ χάνει τὸ θάρρος του; Διότι εἶναι σὰν νὰ λέγει αὐτό· Μὴ ἀπελπισθεῖς· διότι ὁ Θεὸς εἶναι ἐλεήμων· οὔτε νὰ χάσεις τὸ θάρρος σου, καθόσον εἶναι καὶ δίκαιος. Τοῦ ἑνὸς δηλαδὴ ἀπομακρύνει τὴν ἀδιαφορία, τοῦ ἄλλου δὲ ἀφαιρεῖ τὴν ἀπελπισία, φροντίζοντας καὶ μὲ τοὺς δυὸ αὐτοὺς τρόπους γιὰ τὴ σωτηρία μας. Ἔπειτα γιὰ νὰ δείξει τὴν κλίση του πρὸς τὴ φιλανθρωπία, προσθέτει πάλι τὰ ἑξῆς· «Ὁ Θεὸς μας εἶναι εὐσπλαχνικός». Καὶ καλὰ εἶπε, «Ὁ Θεὸς μας», γιὰ νὰ τὸν ξεχωρίσει ἀπὸ τοὺς θεοὺς ποὺ ἀνέφερε προηγουμένως. Διότι ἔργο ἐκείνων εἶναι τὸ νὰ σφάζουν, νὰ καταστρέφουν καὶ νὰ πολεμοῦν ἀπροειδοποίητα, ἐνῶ αὐτοῦ εἶναι νὰ δείχνει φιλανθρωπία, νὰ συγχωρεῖ, καὶ νὰ σώζει διαρκῶς ἀπὸ τοὺς κινδύνους, πράγματα βέβαια ποὺ κατ' ἐξοχὴ δείχνουν μαζὶ μὲ τὰ ἄλλα τοὺς μὲν δαίμονες ὅτι εἶναι καὶ πανοῦργοι, αὐτὸν δὲ ὅτι εἶναι κηδεμόνας, προστάτης καὶ Θεὸς ἀληθινός.

«Φυλάσσων τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην, καὶ ἔσωσέ με». Ἐνταῦθα μέγιστον εἶδος προνοίας αὐτοῦ ἀνακινεῖ. Ἐπειδὴ γὰρ εἶπεν, «Ἐλεήμων καὶ δίκαιος, καὶ ἐλεεῖ», μεγίστης αὐτοῦ φιλανθρωπίας ἔργον δείκνυσι. Ποῖον δὴ τοῦτο; Τὸ τῶν νηπίων. Ἡμεῖς μὲν γὰρ καὶ λόγον ἔχομεν τὰ μὲν φυλάττεσθαι, τὰ δὲ ἑλέσθαι παιδεύοντα, καὶ τὰ ἐπερχόμενα διακρούεσθαι κακά, καὶ τὰ παρόντα διαλῦσαι, καὶ ἰσχὺν κεκτήμεθα καὶ τέχνας ἐπιστάμεθα, τὰ δὲ παιδία τούτων ἔρημα πάντων, ὡς ἀπροστάτευτα· ἀλλὰ διὰ πάντων ἔχει τοῦ Θεοῦ τὴν πρόνοιαν, ἧς εἰ μὴ συνεχῶς ἀπήλαυον, πάντα ἂν ἀπολώλει. Καὶ γὰρ καὶ ὄφις ἂν ἠφάνισεν ἐν σπαργάνοις ἔτι ὂν τὸ παιδίον, καὶ κατοικίδιος ὄρνις, καὶ πολλὰ τῶν ἑρπόντων ἕτερα τῶν κατὰ τὰς οἰκίας. Οὐδὲ γὰρ ἀρκεῖ οὔτε τροφός, οὔτε μήτηρ, οὔτε ἕτερος οὐδεὶς ἀπηρτισμένην ἐπιδείκνυσθαι περὶ αὐτὰ πρόνοιαν, ἂν μὴ τῆς ἄνωθεν ἀπολαύῃ ῥοπῆς. Τινὲς δέ φασι καὶ περὶ τῶν ἐμβρύων καὶ μήπω τῆς γαστρὸς ἐξελθόντων τοῦτον εἰρῆσθαι τὸν λόγον.

«Ἐταπεινώθην, καὶ ἔσωσέ με». Οὐκ εἶπεν, 'οὐκ εἴασεν εἰς κινδύνους ἐμπεσεῖν', ἀλλά, μετὰ τὸ ἐμπεσεῖν διέσωσεν. Ἐπειδὴ γὰρ εἶπε τὴν καθόλου αὐτοῦ πρόνοιαν, καὶ ἐπὶ τοῦ οἰκείου προσώπου προάγει τὸν λόγον, ὅπερ ἔθος αὐτῷ ἀπό τε τῶν καθολικῶν, ἀπό τε τῶν μερικῶν ταῦτα συνιστᾶν. Μὴ τοίνυν μηδὲ σὺ ζήτει τὸν ἀδείας γέμοντα βίον· οὐ γάρ ἐστί σοι λυσιτελές. Εἰ γὰρ τοῖς προφήταις οὐκ ἦν συμφέρον, πολλῷ μᾶλλον σοί. Ὅτι γὰρ οὐκ ἦν συμφέρον, ἄκουσον τί φησιν· «Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου». Διπλῆ ἡ εὐχαριστία ἐνταῦθα, ὅτι εἴασεν ἐμπεσεῖν εἰς κινδύνους, καὶ ὅτι ἐμπεσόντα οὐ κατέλιπεν. Ἀμφότερα δέ πως εὐεργεσίας εἶδος, καὶ τοῦ δευτέρου τὸ πρότερον οὐκ

---

6. Ψαλμ. 118, 71.

«Ὁ Κύριος προφυλάσσει τὰ νήπια· ταπεινώθηκα καὶ μὲ ἔσωσε». Ἐδῶ κάμνει λόγο γιὰ ἕνα πάρα πολὺ μεγάλο εἶδος τῆς πρόνοιάς του. Ἐπειδὴ δηλαδὴ εἶπε, ὅτι «εἶναι ἐλεήμων καὶ δίκαιος καὶ εὐσπλαχνικός», δείχνει τὸ ἔργο τῆς πιὸ μεγάλης φιλανθρωπίας του. Ποιὸ λοιπὸν εἶναι αὐτό; Τὸ ἔργο τῶν νηπίων. Διότι ἐμεῖς καὶ λογικὸ ἔχουμε, ὥστε ἀπὸ ἄλλα μὲν νὰ προφυλαγόμαστε, ἄλλα δὲ ποὺ διδάσκουν νὰ τὰ προτιμοῦμε, γιὰ ν' ἀποκρούουμε καὶ τὰ κακὰ ποὺ μᾶς ἔρχονται καὶ νὰ διαλύουμε τὰ ὑπάρχοντα, καὶ δύναμη ἔχουμε καὶ τέχνες γνωρίζουμε, ἐνῶ τὰ παιδιὰ εἶναι γυμνὰ ἀπ' ὅλα αὐτά, ὥστε νὰ εἶναι ἀπροστάτευτα· ἀλλ' ὅμως παντοῦ ἔχουν τὴν πρόνοια τοῦ Θεοῦ, τὴν ὁποία ἂν δὲν ἀπολάμβαναν, ὅλα θὰ χάνονταν. Καθόσον καὶ φίδι θὰ μποροῦσε νὰ ἐξαφανίσει τὸ παιδὶ ἐνῶ ἀκόμα βρίσκεται στὰ σπάργανα, καὶ ἡ κατοικίδια ὄρνιθα, καθὼς καὶ πολλὰ ἄλλα ἑρπετὰ τῶν οἰκιῶν. Οὔτε βέβαια ἐπαρκεῖ ἡ τροφός, οὔτε ἡ μητέρα, οὔτε κανεὶς ἄλλος νὰ φροντίσει ὅπως πρέπει αὐτά, ἂν δὲν ἀπολαμβάνουν τὴν οὐράνια βοήθεια. Μερικοὶ δὲ λέγουν ὅτι αὐτὰ τὰ λόγια λέχθηκαν καὶ γιὰ τὰ ἔμβρυα ποὺ δὲν βγῆκαν ἀκόμη ἀπὸ τὴν κοιλιά.

«Ταπεινώθηκα καὶ μὲ ἔσωσε». Δὲν εἶπε, 'δὲν μ' ἄφησε νὰ πέσω σὲ κινδύνους', ἀλλὰ μὲ ἔσωσε, ἀφοῦ ἔπεσα σὲ κινδύνους. Ἐπειδὴ δηλαδὴ μίλησε γιὰ τὴν γενικὴ πρόνοιά του, ὁδηγεῖ τὸ λόγο στὸν ἑαυτό του, πράγμα ποὺ συνηθίζει νὰ κάμνει καὶ νὰ διδάσκει καὶ ἀπὸ τὰ γενικὰ καὶ ἀπὸ τὰ ἐπὶ μέρους. Μὴ λοιπὸν ἐπιδιώκεις καὶ σὺ τὴν ἄνετη ζωή· καθόσον δὲν εἶναι πρὸς ὄφελός σου. Διότι ἂν δὲν ἦταν συμφέρουσα στοὺς προφῆτες, πολὺ περισσότερο σὲ σένα. Τὸ ὅτι βέβαια δὲν ἦταν συμφέρουσα, ἄκουσε τί λέγει· «Πολὺ καλὸ ἦταν γιὰ μένα τὸ ὅτι μὲ ταπείνωσες, γιὰ νὰ μπορέσω νὰ γνωρίσω τὶς ἐντολές σου»[6]. Ἐδῶ εἶναι διπλὴ ἡ εὐχαριστία, καὶ διότι τὸν ἄφησε νὰ πέσει στοὺς κινδύνους, καὶ διότι δὲν τὸν ἐγκατέλειψε ὅταν ἔπεσε. Καὶ τὰ δυὸ εἶναι μιὰ κάποια μορφὴ εὐεργεσίας, καὶ τὸ πρῶτο δὲν

ἔλαττον, ἀλλ', εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, καὶ μεῖζον. Τὸ μὲν γὰρ κινδύνους διέλυσε, τὸ δὲ τὴν ψυχὴν φιλοσοφωτέραν εἰργάσατο.

«Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε». Ὅτι ἐρρύσατο τὴν ψυχήν μου ἀπὸ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων». Ὁ μὲν τῆς ἱστορίας λόγος δεινὴν ἀπαλλαγήν φησι καὶ ἄνεσίν τινα καὶ ἐλευθερίαν, εἰ δέ τις κατὰ ἀναγωγὴν αὐτὸν ἐκλάβοι, δυνήσεται τὴν ἐντεῦθεν ἀποδημίαν λύτρωσιν λέγειν, καὶ ἀνάπαυσιν ταύτην καλεῖν. Ἀπαλλαγὴ γάρ ἐστι πάντων τῶν ἀδοκήτων δεινῶν, καὶ οὐκ ἔτι τῇ ἀδηλίᾳ λοιπὸν ὑπόκειται, ἐν ἀσφαλείᾳ γεγονώς, ὁ μετὰ χρηστῆς καταλύσας ἐλπίδος. Εἰ γὰρ καὶ ἐξ ἁμαρτίας ὁ θάνατος εἰσενήνεκται, ἀλλ' ὅμως εἰς εὐεργεσίαν ἡμῶν αὐτῷ ὁ Θεὸς ἐχρήσατο. Διὰ δὴ τοῦτο οὐκ αὐτῷ μόνον ἠρκέσθη, ἀλλὰ καὶ τὸν βίον ἐπίμοχθον ἐποίησεν, ἵνα μάθῃς, ὅτι οὐδὲ τὸ πρότερον συνεχώρησεν ἄν, εἰ μὴ σφόδρα χρήσιμον ἦν παρὰ τὴν αὐτοῦ σοφίαν τοῦτο γενόμενον. Διὰ δὴ τοῦτο εἰπών, «Ἧ ἂν ἡμέρᾳ φάγῃ, θανάτῳ ἀποθανῇ», οὐκ ἠρκέσθη τῷ ἐπιτιμίῳ· τὸ γὰρ ἐπιτίμιον τοῦτο ἦν, «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ»· νῦν δὲ καὶ ἕτερον δείκνυσι λέγων· «Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου. Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· ἐν λύπαις φάγῃ αὐτήν. Καὶ τῇ γυναικὶ εἶπε· Πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου. Ἐν λύπαις τέξῃ τέκνα». Οὐ γὰρ ἱκανὸν ἦν ἐκεῖνο αὐτοὺς σωφρονίσαι.

Πολλοὺς γοῦν ὁρῶμεν ταύτῃ μάλιστα γινομένους βελτίους. Ὁ γὰρ θάνατος ἀναισθησίᾳ παραδίδωσιν, ἐπειδὰν ἐπέλ-

---

7. Γεν. 2, 17.
8. Γεν. 3, 19.
9. Γεν. 16, 19.

εἶναι κατώτερο ἀπὸ τὸ δεύτερο, ἀλλ', ἂν πρέπει νὰ ποῦμε καὶ κάτι τὸ ἀξιοθαύμαστο, εἶναι καὶ σπουδαιότερο. Διότι τὸ μὲν δεύτερο διέλυσε τοὺς κινδύνους, ἐνῶ τὸ πρῶτο ἔκανε τὴν ψυχὴ πιὸ εὐσεβή.

«Γύρισε, ψυχή μου, στὴν ἀνάπαυσή σου, διότι ὁ Κύριος σὲ εὐεργέτησε. Διότι ἔσωσε τὴν ψυχή μου ἀπὸ τὸ θάνατο, τὰ μάτια μου ἀπὸ τὰ δάκρυα, καὶ τὰ πόδια μου ἀπὸ τὸ γλίστρημα. Γι' αὐτὸ θὰ ζῶ εὐχάριστα κοντὰ στὸν Κύριο στὴ χώρα τῶν ζώντων». Ἡ μὲν ἱστορικὴ διήγηση ὁμιλεῖ γιὰ μιὰ πολὺ μεγάλη ἀπαλλαγή, γιὰ μιὰ κάποια ἄνεση καὶ ἐλευθερία, ἂν ὅμως ἐξετάσει κανεὶς αὐτὴν ἀλληγορικά, θὰ μπορέσει νὰ ὀνομάσει τὴν ἀναχώρηση ἀπ' αὐτὴ τὴ ζωὴ λύτρωση καὶ ἀνάπαυση. Καθόσον ἀποτελεῖ ἀπαλλαγὴ ἀπὸ ὅλα τὰ ἀπροσδόκητα κακά, καὶ δὲν ζεῖ πλέον στὴν ἀβεβαιότητα, ἐκεῖνος ποὺ τερμάτισε τὴ ζωή του μὲ καλὴ ἐλπίδα, ἀλλ' εἶναι ἀσφαλής. Διότι ἂν καὶ ὁ θάνατος εἰσῆλθε στὸν κόσμο ἐξ αἰτίας τῆς ἁμαρτίας, ἀλλ' ὅμως χρησιμοποίησε ὁ Θεὸς αὐτὸν πρὸς εὐεργεσία μας. Γι' αὐτὸ λοιπὸν δὲν ἀρκέσθηκε μόνο σ' αὐτό, ἀλλ' ἔκαμε καὶ τὴ ζωὴ κοπιαστική, γιὰ νὰ μάθεις, ὅτι οὔτε αὐτὸ θὰ ἦταν δυνατὸ νὰ ἐπιτρέψει στὴν ἀρχή, ἂν δὲν ἦταν πάρα πολὺ χρήσιμο καὶ ποὺ εἶχε γίνει μὲ τὴ σοφία του. Γι' αὐτὸ λοιπόν, ἀφοῦ εἶπε, «Τὴν ἡμέρα ἐκείνη ποὺ θὰ φάγεις, θὰ πεθάνεις σωματικά»[7], δὲν ἀρκέσθηκε στὸ ἐπιτίμιο, διότι τὸ ἐπιτίμιο ἦταν αὐτό, «χῶμα εἶσαι καὶ στὸ χῶμα θὰ ἐπιστρέψεις»[8]· τώρα ὅμως προσθέτει καὶ ἄλλο ἐπιτίμιο, λέγοντας· «Μὲ τὸν ἱδρώτα τοῦ προσώπου σου θὰ φάγεις τὸ ψωμί σου. Ἀγκάθια καὶ τριβόλια θὰ σοῦ φυτρώνει· μὲ λύπη θὰ βρίσκεις τὴν τροφή σου. Καὶ στὴ γυναίκα εἶπε· Θὰ αὐξήσω πάρα πολὺ τὶς λύπες σου καὶ τοὺς στεναγμούς σου. Μὲ λύπες θὰ γεννᾶς τὰ τέκνα σου»[9]. Ἀλλ' ὅμως δὲν ἦταν ἱκανὸ ἐκεῖνο νὰ τοὺς σωφρονίσει.

Βέβαια πολλοὺς βλέπουμε νὰ γίνονται ἔτσι καλύτεροι. Διότι ὁ θάνατος, ὅταν ἔλθει, παραδίνει στὴν ἀναισθησία·

*θῃ· ταῦτα δὲ ζῶντας βελτίους ἐργάζεται. Εἰ δὲ φοβερὸν τὸ πρᾶγμα εἶναι δοκεῖ, παρὰ τὴν ἀσθένειαν τῶν οὕτω διακειμένων. Ὅτι γὰρ τῆς ἀσθενείας ἦν ὁ φόβος ἄκουσον Παύλου καὶ εὐχομένου τοῦτο καὶ χαίροντος, ὡς ὅταν λέγῃ· «Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖττον»· καὶ πάλιν, «Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι»· ἐπὶ δὲ τοῖς ἐναντίοις ἀλγοῦντος»· «Οὐ μόνον» γάρ, φησίν, «ἀλλὰ καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἐκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν»· καὶ πάλιν, «Οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ, στενάζομεν βαρούμενοι».*

*3. Εἶδες πόσον ἐστὶ φιλοσοφία καλόν; Ἃ τοῖς ἄλλοις ἄξια δακρύων εἶναι δοκεῖ, ταῦτα τούτῳ εὐχῆς· καὶ ἃ τοῖς ἄλλοις ἄξια εὐφροσύνης καὶ ἡδονῆς, ταῦτα τούτῳ στεναγμῶν. Ἢ οὐκ ἄξια στεναγμῶν τὸ ἐπ' ἀλλοτρίας εἶναι, καὶ πόρρωθεν τῆς ἡμετέρας ἀπῳκίσθαι πατρίδος; Ἢ οὐκ ἄξιον εὐφροσύνης τὸ ταχέως καταδραμεῖν ἐπὶ τὸν εὔδιον λιμένα καὶ ἀπολαβεῖν τὴν ἄνω πόλιν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός; Καὶ τί πρὸς ἐμέ, φησί, τὸν ἁμαρτωλόν; Ὁρᾷς ὅτι οὐχ ὁ θάνατός ἐστιν ὁ ποιῶν τὴν λύπην, ἀλλὰ τὸ πονηρὸν συνειδός; Παῦσαι οὖν τοῦ εἶναι ἁμαρτωλός, καὶ ἔσται σοι ποθεινὸς ὁ θάνατος.*

*«Τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων». Εἰκότως οὕτως εἶπεν· οὐ γάρ ἐστιν ἐκεῖ λύπη, οὐδὲ ἀθυμία, οὐδὲ θρῆνος. «Καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος». Τοῦτο τοῦ προτέρου μεῖζον. Πῶς Ὅτι οὐ μόνον λύπης ἐσμὲν ἀπηλλαγμένοι, ἀλλὰ*

---

10. Φιλ. 1, 23.
11. Φιλ. 2, 17 - 18
12. Ρωμ. 8, 23.
13. Β΄ Κορ. 5, 4.

ὅμως αὐτὰ κάμνουν τοὺς ἀνθρώπους ποὺ βρίσκονται στὴ ζωὴ καλύτερους. Ἂν δὲ τὸ πράγμα θεωρεῖται φοβερό, ὀφείλεται στὴν ἀδυναμία ἐκείνων ποὺ τὸ ἀντιμετωπίζουν ἔτσι. Διότι τὸ ὅτι εἶναι ὁ φόβος ἀποτέλεσμα ἀδυναμίας, ἄκουσε τὸν Παῦλο, ποὺ καὶ εὔχεται νὰ τοῦ συμβεῖ αὐτὸ καὶ χαίρεται, ὅπως ὅταν λέγει˙ «Τὸ νὰ πεθάνω καὶ νὰ εἶμαι μαζὶ μὲ τὸ Χριστὸ εἶναι πολὺ πιὸ καλύτερο»[10]˙ καὶ πάλι˙ «Χαίρομαι καὶ μετέχω στὴ χαρὰ ὅλων σας καὶ ἀκριβῶς γι' αὐτὸ νὰ χαίρεσθε καὶ σεῖς καὶ νὰ μετέχετε στὴ δική μου χαρά»[11]˙ γιὰ τὰ ἀντίθετα ὅμως λυπεῖται˙ διότι λέγει˙ «Ὄχι μόνο ἡ κτίση, ἀλλὰ καὶ ἐμεῖς οἱ ἴδιοι στενάζουμε μέσα ἀπὸ τὴν καρδιά μας, περιμένοντας τὴν υἱοθεσία, τὴν ἀπολύτρωση τοῦ σώματός μας»[12]˙ καὶ πάλι˙ «Ἐμεῖς, ποὺ βρισκόμαστε μέσα σ' αὐτὸ τὸ σῶμα, στενάζουμε, πιεζόμενοι σὰν ἀπὸ κάποιο φορτίο»[13].

3. Εἶδες πόσο καλὸ πράγμα εἶναι ἡ ἀντιμετώπιση τῆς ζωῆς μὲ τέτοια φιλοσοφικότητα; Ἐκεῖνα ποὺ θεωροῦνται ἀπὸ τοὺς ἄλλους ἄξια γιὰ δάκρυα, αὐτὰ γι' αὐτὸν εἶναι ἄξια προσευχῆς, καὶ ἐκεῖνα ποὺ θεωροῦνται ἀπὸ τοὺς ἄλλους ἄξια εὐφροσύνης καὶ χαρᾶς, αὐτὰ γι' αὐτὸν εἶναι ἄξια γιὰ στεναγμούς. Ἢ δὲν εἶναι ἄξια γιὰ στεναγμούς, τὸ νὰ ζοῦμε σὲ ξένη πατρίδα καὶ νὰ κατοικοῦμε μακριὰ ἀπὸ τὴ δική μας; Ἢ δὲν εἶναι ἄξια χαρᾶς τὸ νὰ μεταβοῦμε γρήγορα στὸ γαλήνιο λιμάνι καὶ ν' ἀπολαύσουμε τὴν οὐράνια πόλη, ἀπὸ τὴν ὁποία ἔφυγε ὁ πόνος, ἡ λύπη καὶ ὁ στεναγμός; Καὶ ποιὰ σχέση, λέγει, ἔχουν αὐτὰ μὲ ἐμένα τὸν ἁμαρτωλό; Βλέπεις ὅτι δὲν εἶναι ὁ θάνατος ἐκεῖνος ποὺ δημιουργεῖ τὴ λύπη, ἀλλ' ἡ πονηρὴ συνείδηση; Σταμάτησε λοιπὸν νὰ εἶσαι ἁμαρτωλός, καὶ θὰ σοῦ γίνει ποθητὸς ὁ θάνατος.

«Τὰ μάτια μου ἀπὸ τὰ δάκρυα». Πολὺ καλὰ εἶπε αὐτὰ τὰ λόγια˙ Διότι δὲν ὑπάρχει ἐκεῖ λύπη, οὔτε στενοχώρια, οὔτε θρῆνος. «Καὶ τὰ πόδια μου ἀπὸ τὸ γλίστρημα». Αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ τὸ προηγούμενο. Πῶς; Διότι

καὶ τοῦ ὑποσκελίζεσθαι καὶ ἐπιβουλεύεσθαι. Ἐπὶ τῆς πέτρας ἕστηκε γὰρ ὁ ἀπελθὼν μετὰ κατορθωμάτων· τοῦ λιμένος ἐπείληπται· πάντα ἀνῄρηται τὰ κωλύματα λοιπόν· οὐδαμοῦ θόρυβος, οὐδὲ ταραχή, ἀλλ' ἐν εὐδοκιμήσει διηνεκεῖ μένει ὁ οὕτως ἐντεῦθεν ἀναχωρήσας.

«Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων». Ἕτερος, «Ἔμπροσθεν Κυρίου». Ἄλλος, «Ἐμπεριπατήσω». Τοῦτο καὶ ὁ Παῦλος δείκνυσι λέγων· «Καὶ ἡμεῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα». Καὶ καλῶς εἶπεν, «Ἐν χώρᾳ ζώντων». Ἐκείνη γὰρ ὄντως ζωή, ἀπηλλαγμένη θανάτου, ἀμιγῆ τὰ ἀγαθὰ ἔχουσα. «Ὅταν καταργήσῃ», φησί, «πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν, ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος». Τούτων δὲ καταργηθέντων, οὐδὲν τῶν λυπηρῶν μένει, οὐ φροντίς, οὐ πόνος· ὥστε πάντα χαρά, πάντα εἰρήνη, πάντα ἀγάπη, πάντα εὐθυμία, καὶ πάντα εὐφροσύνη, πάντα ἀληθῆ καὶ εἰλικρινῆ καὶ πεπηγότα· οὐδὲν γάρ ἐστιν ἐκεῖ τῶν τοιούτων ὀλισθημάτων, οὐ θυμός, οὐ λύπη, οὐ χρημάτων ἔρως, οὐ σωμάτων πόθος, οὐ πενία, οὐ πλοῦτος, οὐκ ἀτιμία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν.

Ταύτης τοίνυν καὶ ἡμεῖς ἐπιθυμῶμεν τῆς ζωῆς, καὶ πάντα πρὸς τοῦτο πράττωμεν. Διὰ γὰρ τοῦτο καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν, «Ἐλθέτω ἡ βασιλεία σου», ἵνα ἀεὶ πρὸς ἐκείνην βλέπωμεν τὴν ἡμέραν. Ὁ γὰρ ἐκείνῳ τῷ ἔρωτι κατεχόμενος καὶ ταῖς ἐλπίσι τῶν ἀγαθῶν τρεφόμενος ἐκείνων, οὐδενὶ τῶν παρόντων βαπτίζεται δεινῶν, ὑπ' οὐδενὸς τῶν

14. Α΄ Θεσ. 4, 17.
15. Α΄ Κορ. 15, 24· 26.
16. Ματθ. 6, 10.

ὄχι μόνο εἴμαστε ἀπαλλαγμένοι ἀπὸ λύπη, ἀλλὰ καὶ ἀπὸ τὴν πτώση καὶ τὴν ἐπιβουλή. Διότι ἐκεῖνος ποὺ ἔφυγε ἀπὸ τὴ ζωὴ μὲ καλὰ ἔργα, στάθηκε ἐπάνω στὴν πέτρα, ἔχει φθάσει στὸ λιμάνι καὶ ἐξαφανίσθηκαν πλέον ὅλα τὰ ἐμπόδια· πουθενὰ οὔτε θόρυβος οὔτε ταραχή, ἀλλὰ παραμένει σὲ αἰώνια εὐτυχία ἐκεῖνος ποὺ ἀναχώρησε ἔτσι ἀπ' αὐτὴ τὴ ζωή.

«Γι' αὐτὸ θὰ ζῶ εὐχάριστα κοντὰ στὸν Κύριο στὴ χώρα τῶν ζώντων». Ἄλλος, «Μπροστὰ στὸν Κύριο». Ἄλλος, «Θὰ περπατῶ μαζί του». Αὐτὸ φανερώνει καὶ ὁ Παῦλος, λέγοντας· «Καὶ ἐμεῖς θ' ἁρπαχθοῦμε μέσα σὲ νεφέλες γιὰ νὰ συναντήσουμε τὸν Κύριο στὸν ἀέρα, καὶ ἔτσι θὰ εἴμαστε πάντοτε μαζὶ μὲ τὸν Κύριο»[14]. Καὶ καλὰ εἶπε, «Στὴ χώρα τῶν ζώντων». Διότι ἐκείνη εἶναι ἡ πραγματικὴ ζωή, ποὺ εἶναι ἀπαλλαγμένη ἀπὸ τὸ θάνατο, καὶ ἔχει καθαρὰ τὰ ἀγαθά. Διότι λέγει, «Ὅταν θὰ καταργήσει κάθε ἀρχὴ καὶ κάθε ἐξουσία καὶ δύναμη, σὰν τελευταῖος ἐχθρὸς θὰ καταργηθεῖ ὁ θάνατος»[15]. Ὅταν δὲ αὐτὰ καταργηθοῦν, δὲν μένει κανένα ἀπὸ τὰ λυπηρά, οὔτε φροντίδα, οὔτε πόνος· ὥστε ὅλα ἐκεῖνα εἶναι γεμάτα ἀπὸ χαρά, ὅλα γεμάτα ἀπὸ εἰρήνη, ὅλα γεμάτα ἀπὸ ἀγάπη, ὅλα γεμάτα ἀπὸ εὐθυμία, ὅλα γεμάτα ἀπὸ εὐφροσύνη, ὅλα ἀληθινὰ καὶ εἰλικρινὰ καὶ σταθερά· διότι ἐκεῖ δὲν ὑπάρχει κανένα ἀπὸ τὰ ἁμαρτήματα, οὔτε θυμός, οὔτε λύπη, οὔτε ἔρωτας χρημάτων, οὔτε πόθος σωμάτων, οὔτε φτώχεια, οὔτε πλοῦτος, οὔτε ἀτιμία, οὔτε κανένα ἄλλο παρόμοιο.

Αὐτὴ λοιπὸν τὴ ζωὴ καὶ ἐμεῖς ἂς ἐπιθυμοῦμε καὶ ὅλα νὰ τὰ κάμνουμε μὲ αὐτὸ τὸ σκοπό. Διότι γι' αὐτὸ καὶ στὴν προσευχὴ προτρεπόμαστε νὰ λέμε, «Ἂς ἔλθει ἡ βασιλεία σου[16], γιὰ νὰ ἔχουμε στραμμένη τὴν προσοχή μας πάντοτε πρὸς ἐκείνη τὴν ἡμέρα. Διότι ἐκεῖνος ποὺ εἶναι κυριευμένος ἀπὸ ἐκεῖνο τὸν ἔρωτα καὶ τρέφεται ἀπὸ τὶς ἐλπίδες ἐκείνων τῶν ἀγαθῶν, δὲν καταποντίζεται σὲ κανένα ἀπὸ τὰ κακὰ τῆς παρούσας ζωῆς, δὲν παρασύρεται ἀπὸ

*ἐνταῦθα καθέλκεται λυπηρῶν· ἀλλ' ὥσπερ οἱ πρὸς πόλιν βασιλικὴν ὁδεύοντες οὐδενὶ τῶν παρὰ τὴν ὁδὸν κατέχονται, οὔτε λειμῶσιν, οὔτε παραδείσοις, οὔτε φάραγξιν, οὔτε ἐρημίαις, ἀλλ' ἑκατέρων ἀλογοῦντες πρὸς ἓν μόνον ὁρῶσι τὴν ἐκδεξομένην αὐτοὺς πατρίδα, οὕτω καὶ ὁ καθ' ἑκάστην τὴν ἡμέραν ἐκείνην ἀναπλάττων ἑαυτῷ τὴν πόλιν, καὶ τὸν πόθον αὐτῆς τρέφων, οὐδὲν τῶν δεινῶν ἡγήσεται δεινόν, οὐδὲ τῶν φαιδρῶν καὶ περιφανῶν φαιδρὸν καὶ περιφανές. Τί λέγω, οὐχ ἡγήσεται; Ἀλλ' οὐδὲ ὄψεται ταῦτα, ἑτέρους κτώμενος ὀφθαλμούς· τοιούτους, οἵους ὁ Παῦλος ἐκέλευε, λέγων· «Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια. Εἶδες τὴν ὁδὸν πῶς ἑτέρᾳ λέξει παρέστησεν;*

*Ἐκείνων τοίνυν ἀντεχώμεθα, ἵνα αὐτῶν ἐπιτύχωμεν, καὶ τῆς ἀκηράτου ζωῆς ἀπολαύσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

17. Β' Κορ. 4, 18

κανένα δυσάρεστο τῆς ἐδῶ ζωῆς, ἀλλ' ὅπως ἀκριβῶς ἐκεῖνοι πού βαδίζουν πρὸς βασιλική πόλη, δὲν ἀποσπᾶται ἡ προσοχή τους ἀπὸ κανένα ἀπὸ ἐκεῖνα πού βρίσκονται κοντὰ στὸ δρόμο, οὔτε ἀπὸ λειβάδια, οὔτε ἀπὸ κήπους, οὔτε ἀπὸ φαράγγια, οὔτε ἀπὸ ἐρημιές, ἀλλ' ἀδιαφορώντας γιὰ ὅλα αὐτά, πρὸς ἕνα μόνο ἀποβλέπουν, τὴν πατρίδα πού θὰ τούς ὑποδεχθεῖ, ἔτσι καὶ ἐκεῖνος πού σκέπτεται καθημερινὰ ἐκείνη τὴν πόλη, καὶ τρέφει τὸν πόθο του γιὰ ἐκείνη, δὲν θὰ θεωρήσει σὰν κακὸ κανένα ἀπὸ τὰ κακά, οὔτε σὰν χαρωπὸ καὶ περήφανο κανένα ἀπὸ ἐκεῖνα πού θεωροῦνται χαρωπὰ καὶ περίφημα. Καὶ γιατί λέγω δὲν θὰ θεωρήσει; Ἀλλ' οὔτε κἂν θὰ προσέξει αὐτά, διότι θ' ἀποκτήσει ἄλλα μάτια, τέτοια, πού εἶναι ὅμοια μὲ ἐκεῖνα πού συμβούλευε ὁ Παῦλος, λέγοντας· «Θέτοντας σὰν σκοπό, ὄχι ἐκεῖνα πού βλέπονται, ἀλλ' ἐκεῖνα πού δὲν βλέπονται· διότι ἐκεῖνα πού βλέπονται εἶναι πρόσκαιρα, ἐνῶ ἐκεῖνα πού δὲν βλέπονται εἶναι αἰώνια»[17]. Εἶδες πῶς παρουσίασε τὸ δρόμο μὲ ἄλλη λέξη;

Ἂς προσηλωνόμαστε λοιπὸν σ' ἐκεῖνα, γιὰ νὰ ἐπιτύχουμε αὐτὰ καὶ ν' ἀπολαύσουμε τὴν καθαρὴ ἐκείνη ζωή, τὴν ὁποία εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΙΕ΄ ΨΑΛΜΟΝ

*«Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα».*

*1. Ταύτης μνησθεὶς τῆς ῥήσεως καὶ ὁ μακάριος Παῦλος, οὕτω πώς φησιν· «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· «Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν». Ἀναγκαῖον τοίνυν πρῶτον εἰπεῖν πῶς ὁ ἀπόστολος αὐτῇ ἐχρήσατο, καὶ περὶ τίνος ὁ λόγος ἦν αὐτῷ. Οὕτω γὰρ ἀπὸ τούτου καὶ τὸ προφητικὸν ἔσται δῆλον ἡμῖν. Ἄλλως δὲ καὶ διδασκαλία αὕτη ἀρίστη, μὴ τὴν συνάφειαν περικόπτειν τοῦ λόγου, μηδὲ μέρος λαβόντας προσκαθῆσθαι ἐκείνῳ, ἀλλ' ἄνωθεν τοῦ διηγήματος ποιεῖσθαι τὴν ἀρχήν.*

*Περὶ τίνος τοίνυν διαλεγόμενος ὁ Παῦλος ταύτης ἐμνήσθη τῆς προφητικῆς φωνῆς; Περὶ ἀναστάσεως, καὶ τῆς τῶν μελλόντων ἀγαθῶν ἀπολαύσεως, ἃ καὶ λόγον ὑπερβαίνει πάντα, καὶ νοῦν καὶ διάνοιαν. Ἐπεὶ οὖν λόγον ὑπερέβαινε πάντα, καὶ ἑρμηνευθῆναι ταῦτα οὐχ οἷόν τε ἦν, πίστεως δὲ πρὸς τὸ παραδέχεσθαι χρεία· ἵνα μὴ ταράττηται ὁ Ἰουδαῖος, μηδὲ ἀπατᾶσθαι νομίζῃ, ὡς ψυχραῖς φυσώμενος ἐλπίσι, προφητικῇ ῥήσει τὴν ἀγνωμοσύνην αὐτοῦ διορθοῦται μονονουχὶ λέγων, ὅτι οὐ καινόν τι πρᾶγμα ἐπιζητῶ, πίστιν, ἀλλὰ παλαιὸν ἀγαθόν. Καὶ γὰρ ὁ Παῦλος οὕτως· ὁ δὲ προφήτης μέλλων καὶ αὐτὸς περί τινων ἀγαθῶν ἐν τῷ παρόντι προφητεύειν τοῖς Ἰουδαίοις συμβησομένων καὶ τὴν ἀνθρωπίνην ἀκολουθίαν*

---

1. Στὶς στροφὲς τοῦ ψαλμοῦ αὐτοῦ διατυπώνονται ζωηρὰ τὰ συναισθήματα εὐγνωμοσύνης τοῦ ψαλμωδοῦ πρὸς τὸν Κύριο καὶ παρέχονται οἱ ὑποσχέσεις του ὅτι θὰ ἐκτελέσει τὶς εὐχὲς ποὺ ἔκαμε κατὰ τὶς ὧρες τῶν κινδύνων.

2. Β΄ Κορ. 4, 13.

## Ο Μ Ι Λ Ι Α
## ΣΤΟΝ ΡΙΕ΄ ΨΑΛΜΟ[1]

«Πίστευσα καὶ γι' αὐτὸ μίλησα· ἐγὼ δὲ ταπεινώθηκα πάρα πολύ».

1. Ὅταν καὶ ὁ μακάριος Παῦλος θυμήθηκε αὐτὰ τὰ λόγια, εἶπε τὰ ἑξῆς· «Ἐπειδὴ ἔχουμε τὸ ἴδιο Πνεῦμα πίστεως σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ· πίστευσα καὶ γι' αὐτὸ μίλησα· καὶ ἐμεῖς πιστεύομε καὶ γι' αὐτὸ μιλοῦμε»[2]. Ἀνάγκη λοιπὸν πρῶτα νὰ ποῦμε πῶς ὁ ἀπόστολος χρησιμοποίησε αὐτὴ τὴ ρήση, καὶ γιὰ ποιὸ πράγμα μίλησε. Διότι ἔτσι ἀπ' αὐτὸ θὰ γίνει φανερὸ καὶ γιὰ ποιὸ πράγμα μίλησε καὶ ὁ προφήτης. Ἄλλωστε δὲ καὶ ἄριστη διδασκαλία αὐτὸ εἶναι, τὸ νὰ μὴ διακόπτουμε τὴ συνέχεια τοῦ λόγου, οὔτε παίρνοντας ἕνα μέρος νὰ ἐπιμένουμε σ' ἐκεῖνο, ἀλλὰ ν' ἀρχίζουμε τὴ διήγηση ἀπὸ τὴν ἀρχή.

Γιὰ ποιὸ πράγμα λοιπὸν μιλώντας ὁ Παῦλος θυμήθηκε αὐτὰ τὰ προφητικὰ λόγια; Γιὰ τὴν ἀνάσταση καὶ τὴν ἀπόλαυση τῶν μελλοντικῶν ἀγαθῶν, ποὺ ὑπερβαίνουν καὶ κάθε λόγο, καὶ νοῦ καὶ σκέψη. Ἐπειδὴ δηλαδὴ αὐτὰ ὑπερέβαιναν κάθε ἀνθρώπινο λόγο καὶ δὲν ἦταν δυνατὸ νὰ ἑρμηνευθοῦν, χρειαζόταν πίστη γιὰ νὰ γίνουν παραδεκτά· γιὰ νὰ μὴ ταράσσεται ὁ Ἰουδαῖος, οὔτε νὰ νομίζει ὅτι ἐξαπατᾶται, ἐπειδὴ ὑπερηφανευόταν γιὰ ἐλπίδες χωρὶς νόημα, διορθώνει τὴν ἀγνωμοσύνη του μὲ τὰ προφητικὰ λόγια, καὶ εἶναι σὰν νὰ τοῦ λέγει· δὲν ζητῶ κάποιο καινούριο πράγμα, δηλαδὴ τὴν πίστη, ἀλλὰ παλιὸ ἀγαθό. Καὶ ὁ μὲν Παῦλος λοιπὸν μὲ αὐτὸ τὸ νόημα μίλησε, ὁ προφήτης ὅμως θέλοντας τὴ στιγμὴ ἐκείνη νὰ προφητεύσει στοὺς Ἰουδαίους ὁρισμένα ἀγαθὰ ποὺ θὰ συμβοῦν καὶ ποὺ ὑπερβαίνουν τὴν ἀνθρώπινη λογική, γιὰ νὰ μὴ μπορεῖ κανεὶς

ὑπερβαινόντων, ἵνα μηδεὶς ἀπιστεῖν ἔχῃ, οὕτως ἀπήρξατο τοῦ ψαλμοῦ λέγων· «Ἐπίστευσα, διὸ ἐλάλησα».

Ἐπειδὴ γὰρ ἀπολώλει τὰ Ἱεροσόλυμα, καὶ ἐρείπιον ὁ ναὸς ἐγεγόνει, καὶ πάντες αἰχμάλωτοι γενόμενοι καὶ δεθέντες εἰς τὴν ἀλλοτρίαν ἀπήχθησαν, βάρβαροι δὲ τὴν ἐκείνων γῆν ἀντ᾽ ἐκείνων κατέσχον, καὶ ἐκελεύσθησαν ἀμπέλους φυτεῦσαι, καὶ οἰκίας οἰκοδομῆσαι, καὶ γάμους ἐπιτελέσαι, ταῦτα εἰς ἀπόγνωσιν τοὺς Ἰουδαίους ἐνέβαλε, καὶ λοιπὸν ἐλογίζοντο πρὸς ἑαυτούς, ὅτι εἰ πόλιν ἔχοντες, καὶ ὅπλα, καὶ πύργους, καὶ χρημάτων περιουσίαν τοσαύτην, καὶ ναόν, καὶ βωμόν, καὶ ἁγιστείαν, καὶ λατρείαν, καὶ τὴν ἄλλην ἅπασαν πολιτείαν, παρεδόθημεν, ἐγενόμεθα αἰχμάλωτοι, εἰς δουλείαν ἀπαγόμεθα· νῦν ἐν ἀλλοτρίᾳ ὄντες καὶ πάντων ἠρημωμένοι, γυμνοί τε καὶ δοῦλοι γενόμενοι, πῶς δυνησόμεθα τὴν οἰκείαν ἀπολαβεῖν; Ἐπεὶ οὖν πολλοὶ τῶν ἀσθενεστέρων ταῦτα ἀναλογιζόμενοι ἐθορυβοῦντο καὶ ἐταράττοντο, καὶ τοῖς προφήταις οὐ προσεῖχον τὴν ἐπάνοδον λέγουσι· διὰ τοῦτο οὕτως εἶπε, δεικνὺς πᾶσιν ἐντεῦθεν, ὅτι πίστεως χρεία εἰς τὰ παρὰ τοῦ Θεοῦ λεγόμενα.

Διαλέγονται μὲν οὖν αὐτοῖς καὶ ἑτέρως ἕτεροι, οἷον ὁ Ἡσαΐας οὕτω λέγων· «Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε». Καὶ πάλιν· «Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν καὶ ἡγίασα καὶ ἐπλήθυνα αὐτόν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐχὶ βάρβαρος ἦν ὁ Ἀβραάμ; οὐχὶ ἄγονος καὶ τῇ ἡλικίᾳ προβεβηκώς; οὐχὶ γυναῖκα εἶχε καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν φύσιν πρὸς παιδογονίαν ἄχρηστον; οὐ πανταχόθεν ἀπέγνωστο τὰ κατ᾽ αὐτόν; Τί οὖν; οὐχὶ ἀπ᾽ ἐκείνου τοῦ ἑνός, τοῦ ἀγόνου, τοῦ γεγηρακότος τὴν οἰ-

3. Ἠσ. 51, 1.
4. Ἠσ. 51, 2.

ν' ἀπιστήσει, ἔτσι ἄρχισε τὸν ψαλμό, λέγοντας· «Πίστευσα καὶ γι' αὐτὸ μίλησα».

Ὅταν δηλαδὴ καταστράφηκαν τὰ Ἱεροσόλυμα καὶ εἶχε γίνει ἐρείπια ὁ ναὸς καὶ ὅλοι αἰχμαλωτίσθηκαν καί, ἀφοῦ δέθηκαν, ὁδηγήθηκαν στὴν ξένη χώρα, βάρβαροι δὲ καὶ ὄχι ἐκεῖνοι κατεῖχαν τὴ γῆ τους, καὶ διατάχθηκαν νὰ φυτεύσουν ἀμπέλια, νὰ οἰκοδομήσουν οἰκίες καὶ νὰ κάμουν γάμους, αὐτὰ ὁδήγησαν σὲ ἀπόγνωση τοὺς Ἰουδαίους καὶ σκέπτονταν πλέον μέσα τους καὶ ἔλεγαν, ὅτι ἂν καὶ εἴχαμε πόλη καὶ ὅπλα καὶ πύργους καὶ πάρα πολὺ μεγάλη ἀφθονία χρημάτων καὶ ναὸ καὶ βωμὸ καὶ ἱεροτελεστίες καὶ λατρεία καὶ ὅλους τοὺς ἄλλους τρόπους ζωῆς, ὅμως παραδοθήκαμε, γίναμε αἰχμάλωτοι καὶ ὁδηγηθήκαμε στὴ δουλεία· τώρα ὅμως ζώντας σὲ ξένη χώρα καὶ στερημένοι ὅλα, καὶ ἐνῶ εἴμαστε γυμνοὶ καὶ δοῦλοι, πῶς θὰ μπορέσουμε ν' ἀποκτήσουμε ξανὰ τὴ χώρα μας; Ἐπειδὴ λοιπὸν πολλοὶ ἀπὸ τοὺς πνευματικὰ κατωτέρους, σκεπτόμενοι αὐτὰ θορυβοῦνταν καὶ ταράσσονταν, καὶ δὲν πρόσεχαν τοὺς προφῆτες ποὺ προφήτευαν τὴν ἐπιστροφή, γι' αὐτὸ μίλησε ἔτσι, γιὰ νὰ δείξει μ' αὐτὰ σ' ὅλους, ὅτι χρειάζεται πίστη στὰ λόγια τοῦ Θεοῦ.

Ὁμιλοῦν βέβαια πρὸς αὐτοὺς καὶ ἄλλοι μὲ ἄλλο τρόπο, ὅπως ὁ Ἡσαΐας ποὺ λέγει τὰ ἑξῆς· «Προσέξτε τὴ στερεὰ πέτρα, ἀπὸ τὴν ὁποία κοπήκατε, καὶ τὴν κοιλότητα τοῦ λάκκου, ἀπὸ τὸν ὁποῖο βγήκατε»[3]. Καὶ πάλι· «Ἐξετάστε τὸν Ἀβραὰμ τὸν πατέρα σας καὶ τὴ Σάρρα ποὺ σᾶς γέννησε, ὅτι αὐτὸς ἦταν ἕνας καὶ τὸν κάλεσα ἐδῶ καὶ τὸν ἁγίασα καὶ πλήθυνα τοὺς ἀπογόνους του»[4] Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲν ἦταν βάρβαρος ὁ Ἀβραάμ; δὲν ἦταν ἄτεκνος καὶ προχωρημένης ἡλικίας; δὲν εἶχε γυναίκα ποὺ ἦταν ἄχρηστη γιὰ παιδοποιΐα καὶ ἐξ αἰτίας τῆς ἡλικίας καὶ ἐξ αἰτίας τῆς φύσεώς της; δὲν ἦταν ἀπὸ παντοῦ κομμένες οἱ ἐλπίδες του; Τί λοιπόν; δὲν γέμισα ὅλη τὴν οἰκουμένη ἀπὸ ἐκεῖνον τὸν ἕνα, τὸν ἄτεκνο, τὸν

*κουμένην ἐπλήρωσα πᾶσαν; Τί τοίνυν θορυβεῖσθε; Εἰ γὰρ ἐκ τοῦ ἑνὸς δυνατὸς ἐγενόμην τὴν οἰκουμένην πληρῶσαι, πολλῷ μᾶλλον ἐξ ὑμῶν τῶν ὀλίγων τὰ Ἱεροσόλυμα πληρώσω. Διὰ τοῦτό φησιν· «Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε», τὸν Ἀβραὰμ οὕτω καλῶν, «καὶ τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε», τὴν Σάρραν οὕτως ὀνομάζων. Καθάπερ γὰρ ὁ λάκκος οἴκοθεν οὐκ ἔχει βρύον ὕδωρ, ἀλλ' ἐκ τῶν ἄνωθεν ὑετῶν δέχεται, οὕτω καὶ ἐκείνη αὐτὴ ἔρημος οὖσα δυνάμεως γεννητικῆς, ἄνωθεν τὴν ἐπιτηδειότητα ταύτην ἔλαβε· καὶ ὥσπερ ἡ πέτρα καρπὸν οὐκ ἤνεγκέ ποτε, οὕτως οὔτε ὁ Ἀβραὰμ οἷός τε ἦν, ἀλλ' ἐγὼ ὑμᾶς ἐκεῖθεν ἐξεκόλαψα, καὶ ἀπὸ τοῦ ἑνὸς τοσαύτας ἐνέπλησα χώρας. Διὰ τοῦτο καὶ τὸν Ἰεζεκιὴλ εἰς τὸ πεδίον ἐξάγει, καὶ δείκνυσιν αὐτῷ σωρὸν ὀστῶν, καὶ προφητεύων ἀνίστησι, τὰ ὀστᾶ δεικνὺς αὐτοῖς, καὶ λέγων, ὅτι «Εἰ τοὺς νεκροὺς ἐγεῖραι δύναμαι, πολλῷ μᾶλλον ὑμᾶς τοὺς ζῶντας ἀναγαγεῖν».*

*Ἐκεῖνοι μὲν οὕτως· ὁ δὲ προφήτης οὗτος πῶς; «Ἐπίστευσα, διὸ ἐλάλησα». Τουτέστι· πίστεως χρεία πρὸς τὰ ἐπαγγελλόμενα· καὶ γὰρ ἐγὼ ταῦτα ἐννοῶν καὶ ἀναλογιζόμενος καὶ τὴν πίστιν εἰσαγαγών, πάντα θόρυβον ἐξήγαγον. Ὁ τοίνυν Παῦλος τοῦτό φησιν, ὅτι καὶ ἐν τοῖς ἡμετέροις τοῖς αἰσθητοῖς καὶ ὁρωμένοις ἀγαθοῖς πίστεως χρεία. Εἰ δὲ ἐν τοῖς αἰσθητοῖς, πολλῷ μᾶλλον ἐν τοῖς νοεροῖς. Εἰ γὰρ ἵνα καταδέξωνται, ὅτι τὴν πόλιν ἀπολήψονται τὴν αὐτῶν, πίστεως αὐτοῖς ἐδέησε· πολλῷ μᾶλλον ἡμῖν τοῖς τὸν οὐρανὸν ἀναμένουσιν. Ὅταν γὰρ μέγα τι ᾖ καὶ τὴν διάνοιαν ὑπερβαῖνον καὶ λογισμῶν ἀνώτερον, ταύτην δεῖ παραλαμβάνειν, ἀλλὰ μὴ τῇ ἀνθρωπίνῃ ἀκολουθίᾳ τὰ πράγματα ἐξετάζειν. Ἡ γὰρ τοῦ*

---

5. Πρβλ. Ἰεζ. 37, 13.

γέρο; Τί λοιπὸν ἀνησυχεῖτε; Διότι, ἂν ἀπὸ τὸν ἕνα εἶχα τὴ δύναμη νὰ γεμίσω τὴν οἰκουμένη μὲ ἀνθρώπους, πολὺ περισσότερο μπορῶ ἀπὸ σᾶς τοὺς ὀλίγους νὰ γεμίσω τὰ Ἱεροσόλυμα. Γι' αὐτὸ λέγει· «Προσέξτε τὴ στερεὰ πέτρα, ἀπὸ τὴν ὁποία κοπήκατε», ὀνομάζοντας ἔτσι τὸν Ἀβραάμ, «Καὶ τὴν κοιλότητα τοῦ λάκκου, ἀπὸ τὸν ὁποῖο βγήκατε», ὀνομάζοντας ἔτσι τὴ Σάρρα. Διότι, ὅπως ἀκριβῶς ὁ λάκκος δὲν ἔχει ἀπὸ μόνος του νερὸ ν' ἀναβλύζει, ἀλλὰ δέχεται αὐτὸ ἀπὸ τὶς οὐράνιες βροχές, ἔτσι καὶ ἐκείνη, ἐνῶ ἦταν ἡ ἴδια στερημένη γεννητικῆς δυνάμεως, ἔλαβε τὴν ἱκανότητα αὐτὴ ἀπὸ τὸν οὐρανό· καὶ ὅπως ἀκριβῶς ἡ πέτρα δὲν καρποφόρησε ποτέ, ἔτσι οὔτε ὁ Ἀβραὰμ ἦταν ἱκανός, ἀλλ' ἐγὼ σᾶς ἐκόλαψα ἀπὸ ἐκεῖνον καὶ ἀπὸ τὸν ἕνα γέμισα τόσες πολλὲς χῶρες. Γι' αὐτὸ καὶ τὸν Ἰεζεκιὴλ τὸν ὁδηγεῖ στὴν πεδιάδα καὶ τοῦ δείχνει τὸ σωρὸ τῶν ὀστῶν καὶ προφητεύοντας τὰ ἀνασταίνει, δείχνοντας σ' αὐτοὺς τὰ ὀστᾶ καὶ λέγοντας, «Ἂν ἔχω τὴ δύναμη ν' ἀναστήσω τοὺς νεκρούς, πολὺ περισσότερο μπορῶ ν' ἀνεβάσω πρὸς τὰ ὕψη ἐσᾶς τοὺς ζωντανούς»[5].

Καὶ ἐκεῖνοι μὲν μίλησαν ἔτσι, ἐνῶ αὐτὸς ὁ προφήτης πῶς; «Πίστευσα καὶ γι' αὐτὸ μίλησα». Δηλαδή, χρειάζεται πίστη στὶς ὑποσχέσεις· καθόσον ἐγώ, σκεπτόμενος καὶ ἀναλογιζόμενος αὐτὰ καὶ εἰσάγοντας καὶ τὴν πίστη, ἀπομάκρυνα κάθε ἀνησυχία. Καὶ ὁ Παῦλος βέβαια αὐτὸ λέγει, ὅτι καὶ στὰ δικά μας αἰσθητὰ καὶ ὁρατὰ ἀγαθὰ χρειάζεται πίστη. Ἂν δὲ στὰ αἰσθητά, πολὺ περισσότερο στὰ πνευματικά. Διότι, ἂν γιὰ ν' ἀποδεχθοῦν ὅτι θὰ ξαναποκτήσουν τὴν πόλη τους, χρειάσθηκαν πίστη, πολὺ περισσότερο χρειαζόμαστε ἐμεῖς ποὺ ἀναμένουμε ν' ἀποκτήσουμε τὸν οὐρανό. Ὅταν λοιπὸν ὑπάρχει κάτι τὸ σπουδαῖο, ποὺ ὑπερβαίνει τὴν ἀνθρώπινη διάνοια καὶ εἶναι ἀνώτερο ἀπὸ τὶς ἀνθρώπινες σκέψεις, πρέπει αὐτὴν νὰ μεταχειριζόμαστε, καὶ νὰ μὴ ἐξετάζουμε τὰ πράγματα μὲ τὴν ἀνθρώπινη λογική. Διότι ἡ θαυματουργία τοῦ Θεοῦ εἶναι ἀνώτερη ἀπὸ

*Θεοῦ θαυματουργία πάντων τούτων ἀνωτέρα. Ὥστε καὶ διὰ τοῦτο ἐπιστομίζοντας τοὺς λογισμοὺς πρὸς τὴν πίστιν ἀνατρέχειν δεῖ καὶ δοξάζειν τὸν Θεόν. Ὁ γὰρ λογισμοῖς φιλονεικῶν τὰ ἐκείνου εὑρίσκειν, οὐ δοξάζει αὐτόν, τῇ τῶν οἰκείων λογισμῶν ταπεινότητι τὰς ἀφάτους οἰκονομίας αὐτοῦ ὑποβαλεῖν βουλόμενος.*

*2. Διὸ περὶ τοῦ Ἀβραὰμ διαλεγόμενος ὁ Παῦλος, ἐπειδὴ μὴ τοῦτο ἐποίησεν, ἀλλ' ἐπιτιμήσας τοῖς λογισμοῖς, πρὸς τὴν δύναμιν εἶδε τοῦ ἐπαγγειλαμένου, ὅτι τοῦτο μάλιστα ἐδόξασε τὸν Θεόν, λέγει· «Εἰς γὰρ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθείς, ὅτι ὃ ἐπήγγειλατο, δυνατός ἐστι καὶ ποιῆσαι». Τί δέ ἐστιν, «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· «Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν»; Μέγα τι μυστήριον ἡμῖν ἐνταῦθα ἀποκαλύπτει. Ποῖον δὴ τοῦτο; Ὅτι τοῦ αὐτοῦ Πνεύματος ἡ Καινὴ καὶ ἡ Παλαιά, καὶ τὸ αὐτὸ Πνεῦμα, τὸ ἐν ἐκείνῃ φθεγξάμενον, καὶ ἐνταῦθα ἐλάλησε, καὶ ὅτι ἡ πίστις πάντων ἐστὶ διδάσκαλος, καὶ ταύτης ἄνευ οὐδὲ λαλῆσαί τι δυνάμεθα. «Καὶ ἡμεῖς» γάρ, φησί, «πιστεύομεν, διὸ καὶ λαλοῦμεν». Ἂν γὰρ ταύτην ἀνέλῃς, οὐδὲ διανοῖξαι τὸ στόμα δυνατόν. Καὶ διὰ τί μὴ εἶπεν, "ἔχοντες δὲ τὴν αὐτὴν πίστιν", ἀλλ', «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως»; Ταῦτά τε τὰ εἰρημένα δηλῶν, καὶ δεικνύς, ὅτι τῆς τοῦ Πνεύματος χρεία χορηγίας εἰς τὸ ἀναβῆναι πρὸς τὸ ὕψος τῆς πίστεως καὶ τῶν λογισμῶν τὴν ἀσθένειαν ἀτιμάσαι. Διὸ καὶ ἀλλαχοῦ ὁ αὐτός φησιν· «Ἑκάστῳ δὲ ἡ φανέρωσις δίδοται τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύ-*

6. Ρωμ. 4, 20 - 21.
7. Β΄ Κορ. 4, 13.

ὅλα αὐτά. Ὥστε καὶ γι' αὐτὸ πρέπει, ὅταν ἀποκλείονται οἱ σκέψεις, νὰ ἀνατρέχουμε πρὸς τὴν πίστη καὶ νὰ δοξάζουμε τὸ Θεό. Διότι ἐκεῖνος ποὺ λογομαχεῖ μὲ συλλογισμοὺς γιὰ νὰ βρεῖ τὰ σχετικὰ μὲ ἐκεῖνον, δὲν δοξάζει αὐτόν, θέλοντας νὰ θέσει κάτω ἀπὸ τὴν ταπεινότητα τῶν συλλογισμῶν του τοὺς ἀπερίγραπτους τρόπους τῆς οἰκονομίας του.

2. Γι' αὐτὸ μιλώντας ὁ Παῦλος γιὰ τὸν Ἀβραάμ, ἐπειδὴ δὲν τὸ ἔκαμε αὐτό, ἀλλ', ἀφοῦ κατέκρινε τὰς σκέψεις, ἔστρεψε τὴν προσοχή του πρὸς τὴ δύναμη ἐκείνου ποὺ ἔδωσε τὶς ὑποσχέσεις, διότι αὐτὸ πρὸ πάντων δόξασε τὸ Θεό, λέγει· «Στὴν ὑπόσχεση βέβαια τοῦ Θεοῦ δὲν ταλαντεύθηκε ἀπὸ ἀπελπισία, ἀλλὰ δυναμώθηκε ἀπὸ τὴν πίστη, δίνοντας δόξα στὸ Θεό, καὶ ἦταν ἀπόλυτα βέβαιος, ὅτι ἐκεῖνο ποὺ εἶχε ὑποσχεθεῖ ὁ Θεός, ἔχει τὴ δύναμη καὶ νὰ τὸ ἐκτελέσει»[6]. Τί σημαίνει δέ, «Ἔχοντας δὲ τὸ ἴδιο Πνεῦμα τῆς πίστεως σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ· Πίστευσα, γι' αὐτὸ δὲ καὶ μίλησα· καὶ ἐμεῖς πιστεύομε, γι' αὐτὸ καὶ ὁμιλοῦμε»[7]; Ἐδῶ μᾶς φανερώνει κάποιο μεγάλο μυστήριο. Ποιὸ λοιπὸν εἶναι αὐτό; Ὅτι τοῦ ἰδίου Πνεύματος εἶναι ἡ Καινὴ καὶ ἡ Παλαιὰ Διαθήκη, καὶ τὸ ἴδιο Πνεῦμα, ποὺ μίλησε σ' ἐκείνη, μίλησε καὶ ἐδῶ, καὶ ὅτι ἡ πίστη εἶναι διδάσκαλος ὅλων, καὶ χωρὶς αὐτὴν δὲν μποροῦμε νὰ ποῦμε τίποτε. Καθόσον, λέγει, «καὶ ἐμεῖς πιστεύομε, γι' αὐτὸ καὶ ὁμιλοῦμε». Διότι, ἂν ἀφαιρέσεις αὐτήν, δὲν εἶναι δυνατὸ οὔτε τὸ στόμα σου ν' ἀνοίξεις. Καὶ γιατί δὲν εἶπε, 'ἔχοντας τὴν ἴδια πίστη', ἀλλ' εἶπε, «Ἔχοντας δὲ τὸ ἴδιο Πνεῦμα τῆς πίστεως»; Γιὰ νὰ δηλώσει καὶ αὐτὰ ποὺ ἔχουν λεχθεῖ καὶ νὰ δείξει, ὅτι χρειάζεται ἡ χορήγηση τοῦ ἁγίου Πνεύματος γιὰ ν' ἀνεβεῖ κανεὶς πρὸς τὸ ὕψος τῆς πίστεως καὶ νὰ περιφρονήσει τὴν ἀδυναμία τῶν ἀνθρωπίνων σκέψεων. Γι' αὐτὸ καὶ ἀλλοῦ ὁ ἴδιος λέγει· «Στὸν καθένα δὲ δίνεται ἡ φανέρωση τοῦ Πνεύματος πρὸς κάποια ὠφέλεια. Σ' ἄλλον μὲν δίνεται

ματος δίδοται λόγος σοφίας, ἑτέρῳ δὲ λόγος γνώσεως, ἄλλῳ δὲ πίστις, ἄλλῳ χαρίσματα ἰαμάτων».

Ἀλλ' ἴσως εἴποι τις ἄν, ὅπερ οὖν καὶ ἀληθές ἐστιν, ὅτι ἑτέραν πίστιν φησί, δι' ἧς θαύματα ἐγίνετο. Οἶδα καὶ ἐγώ, ὅτι ἑτέρα ἐκείνη, περὶ ἧς καὶ οἱ ἀπόστολοι ἔλεγον «Πρόσθες ἡμῖν πίστιν», ἑτέρα δὲ αὕτη, καθ' ἣν πάντες ἐσμὲν πιστοί, σημεῖα μὲν οὐ ποιοῦντες, τὴν δὲ γνῶσιν ἔχοντες τῆς εὐσεβείας· ἀλλὰ καὶ ἐνταῦθα τῆς τοῦ Πνεύματος χρεία βοηθείας. Καὶ γὰρ περί τινος ὁ Λουκᾶς γράφει, ὅτι «Διήνοιξε τὴν καρδίαν αὐτῆς, τοῦ προσέχειν τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου». Καὶ ὁ Χριστός «Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν». Οὐκοῦν εἰ τοῦ Θεοῦ ἐστι τοῦτο, τί ἁμαρτάνουσιν οἱ ἀπιστοῦντες, μήτε τοῦ Πνεύματος βοηθοῦντος, μήτε τοῦ Πατρὸς ἕλκοντος, μήτε τοῦ Υἱοῦ ὁδηγοῦντος; Καὶ γὰρ περὶ ἑαυτοῦ φησιν· «Ἐγώ εἰμι ἡ ὁδός». Τοῦτο δὲ λέγει δεικνύς, ὅτι αὐτοῦ χρεία εἰς τὸ προσαχθῆναι τῷ Πατρί. Εἰ τοίνυν ὁ Πατὴρ ἕλκει, ὁ Υἱὸς χειραγωγεῖ, τὸ Πνεῦμα φωτίζει. τί ἁμαρτάνουσιν οἱ μήτε ἑλκυσθέντες, μήτε χειραγωγηθέντες, μήτε φωτισθέντες; Ὅτι μὴ παρέχουσιν ἀξίους ἑαυτοὺς τοῦ ταύτην δέξασθαι τὴν ἔλλαμψιν.

Ὅρα γοῦν ἐπὶ τοῦ Κορνηλίου τοῦτο συμβάν· οὐ γὰρ οἴκοθεν ἐκεῖνος τοῦτο εὗρεν, ἀλλ' ὁ Θεὸς αὐτὸν ἐκάλεσεν, ἐπειδὴ προλαβών, ἑαυτὸν ἄξιον παρεσκεύασε. Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος περὶ πίστεως διαλεγόμενος ἔλεγε· «Καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον». Οὐ μὴν ἔρημόν σε καταλιμπάνει κατορθωμάτων. Εἰ γὰρ αὐτοῦ ἐστι τὸ ἑλκύσαι καὶ ἐπαγαγέσθαι, ἀλλ' ὅμως καὶ ψυχὴν εὐπειθῆ ἐπιζητεῖ, καὶ τότε τὴν παρ' ἑαυτοῦ συμμαχίαν εἰσάγει. Διὸ καὶ ἀλλαχοῦ φησι Παῦλος·

---

8. Α΄ Κορ. 12, 7 - 9.
9. Λουκᾶ 17, 5.
10. Πράξ. 16, 14.
11. Ἰω. 6, 44.
12. Ἰω. 14, 6.
13. Ἐφ. 2, 8.

μὲ τὸ Πνεῦμα λόγος σοφίας, σ' ἄλλον δὲ λόγος γνώσεως, σ' ἄλλον πίστη, σ' ἄλλον χαρίσματα θεραπειῶν»[8].

'Αλλ' ἴσως θὰ μποροῦσε νὰ πεῖ κάποιος, πράγμα βέβαια ποὺ εἶναι καὶ ἀληθινό, ὅτι ἐννοεῖ ἄλλη πίστη, μὲ τὴν ὁποία γίνονταν θαύματα. Γνωρίζω καὶ ἐγώ, ὅτι ἄλλη ἦταν ἐκείνη, γιὰ τὴν ὁποία καὶ οἱ ἀπόστολοι ἔλεγαν, «Πρόσθεσε σ' ἐμᾶς πίστη»[9], καὶ ἄλλη αὐτή, κατὰ τὴν ὁποία ὅλοι εἴμαστε πιστοί, θαύματα μὲν μὴ κάμνοντας, ἔχοντας ὅμως τὴ γνώση τῆς εὐσέβειας· ἀλλὰ καὶ ἐδῶ χρειαζόμαστε τὴ βοήθεια τοῦ Πνεύματος. Καθόσον ὁ Λουκᾶς γράφει γιὰ κάποια, ὅτι «Ἄνοιξε τὴν καρδιά της, γιὰ νὰ προσέχει στὰ λεγόμενα τοῦ Παύλου»[10]. Καὶ ὁ Χριστός· «Κανεὶς δὲν ἔρχεται πρὸς ἐμένα, ἂν ὁ Πατέρας δὲν τὸν προσελκύσει»[11]. Λοιπόν, ἂν αὐτὸ ἐξαρτᾶται ἀπὸ τὸ Θεό, γιατὶ ἁμαρτάνουν ἐκεῖνοι ποὺ δὲν πιστεύουν καὶ λέγουν ὅτι οὔτε τὸ Πνεῦμα βοηθεῖ, οὔτε ὁ Πατέρας προσελκύει, οὔτε ὁ Υἱὸς ὁδηγεῖ; Καθόσον γιὰ τὸν ἑαυτό του λέγει· «Ἐγὼ εἶμαι ἡ ὁδός»[12]. Αὐτὸ τὸ λέγει γιὰ νὰ δείξει, ὅτι χρειαζόμαστε αὐτὸν γιὰ νὰ ὁδηγηθοῦμε στὸν Πατέρα. Ἂν λοιπὸν ὁ Πατέρας προσελκύει, ὁ Υἱὸς καθοδηγεῖ, καὶ τὸ Πνεῦμα φωτίζει, γιατὶ ἁμαρτάνουν ἐκεῖνοι ποὺ οὔτε προσελκύσθηκαν, οὔτε καθοδηγήθηκαν, οὔτε φωτίσθηκαν; Διότι δὲν καθιστοῦν τοὺς ἑαυτούς τους ἀξίους γιὰ νὰ δεχθοῦν αὐτὸν τὸν θεῖο φωτισμό.

Πρόσεχε λοιπὸν αὐτὸ νὰ συμβαίνει στὴν περίπτωση τοῦ Κορνηλίου· διότι ἐκεῖνος δὲν τὸ βρῆκε αὐτὸ ἀπὸ μόνος του, ἀλλ' ὁ Θεὸς τὸν κάλεσε, ἐπειδὴ πρόλαβε καὶ ἑτοίμασε τὸν ἑαυτό του ἄξιο. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος μιλώντας γιὰ πίστη, ἔλεγε· «Καὶ αὐτὸ δὲν προέρχεται ἀπὸ ἐμᾶς, ἀλλ' εἶναι δῶρο τοῦ Θεοῦ»[13]. 'Αλλ' ὅμως δὲν σ' ἀφήνει γυμνὸ ἀπὸ κατορθώματα. Διότι, ἂν καὶ εἶναι ἔργο αὐτοῦ τὸ νὰ προσελκύσει κάποιον καὶ νὰ τὸν καθοδηγήσει, ἀλλ' ὅμως ἐπιζητεῖ καὶ ψυχὴ ὑπάκουη καὶ τότε παρέχει καὶ τὴ δική του βοήθεια. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει ὁ

«Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν». Οὐ γὰρ δὴ ἠναγκάσθη τὰ τῆς ἀρετῆς καὶ τῆς σωτηρίας ἡμῶν. Ἀλλ' εἰ καὶ τὸ πλέον αὐτοῦ ἐστι, σχεδὸν δὲ καὶ τὸ πᾶν, ὅμως ἀφῆκέ τι καὶ ἡμῖν μικρόν, ὥστε καὶ εὐπρόσωπον γενέσθαι τῶν στεφάνων τὴν πρόφασιν. Διὰ δὴ τοῦτο Παῦλος εἰπών, «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως», τουτέστι, τὸ καὶ ἐν τῇ Παλαιᾷ λαλῆσαν, ἐπήγαγε· «Καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν». Πολλῷ γὰρ μᾶλλον ἐνταῦθα πίστεως χρεία, ἢ ἐκεῖ, διά τε τὴν φύσιν τῶν ἐπαγγελιῶν ἀόρατόν τε οὖσαν καὶ νοεράν, διά τε τὴν τάξιν τῶν καιρῶν. Οὐ γὰρ ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἐν τῷ μέλλοντι ἦν τὰ ἔπαθλα. Μᾶλλον δὲ καὶ ὑπὲρ τῶν παρόντων πίστεως χρεία· καὶ γὰρ αὐτὰ τὰ διδόμενα πίστεως χρεία· καὶ γὰρ αὐτὰ τὰ διδόμενα πίστεως ἐδεῖτο καὶ ἐν τῷ δίδοσθαι, ἥ τε τῶν μυστηρίων κοινωνία, τοῦ τε βαπτίσματος ἡ δωρεά. Οὕτω πάντα λόγον ὑπερέβαινε τῶν ἀγαθῶν ἡ δύναμις. Εἰ τοίνυν ἐν τοῖς παχυτάτοις ἐκείνοις καὶ αἰσθητοῖς πίστεως ἔδει, πολλῷ μᾶλλον ἐνταῦθα.

Ἀλλ' ἡ μὲν ἀποστολικὴ λέξις τὴν προσήκουσαν ἑρμηνείαν εἴληφεν· ὥρα λοιπὸν πάλιν καὶ ἐπὶ τὴν προφητικὴν ἐλθεῖν, καὶ εἰπεῖν τί φησιν ὁ μακάριος οὗτος. Τί οὖν φησιν; «Ἐπίστευσα, διὸ ἐλάλησα». Καίτοι οὐδὲν ἐλάλησεν οὐδέπω, ἀλλὰ τὸ ἤδη λαληθὲν λέγει κατὰ διάνοιαν αὐτῷ. Τί ἐστι τὸ ἤδη λαληθέν; Ἐννοήσας, φησί, τὴν συμφοράν, καὶ τὴν τραγῳδίαν τὴν Ἰουδαϊκήν, καὶ τὴν πανωλεθρίαν ἐκείνην, καὶ τὴν εἰς τέλος ἐρήμωσιν, οὐκ ἀπέγνων τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς, ἀλλὰ καὶ ἤλπισα ταύτην, καὶ ἀπήγγειλα αὐτήν, καὶ ἐλάλησα. Καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν ψαλμοῖς πολλὰ περὶ αὐτῆς διελέχθην· ἐλάλησα δὲ καὶ ἀπήγγειλα ἀπὸ τῆς πίστεως παιδευόμενος.

3. Ἕτερος γοῦν οὐ σφόδρα ταύτην πεπαιδευμένος ὅρα

14. Ρωμ. 8, 28.
15. Β' Κορ. 4, 13α.
16. Β' Κορ. 4, 13β.

Παῦλος· «Γιὰ ἐκείνους ποὺ κλήθηκαν σύμφωνα μὲ τὴν ἀπόφαση τοῦ Θεοῦ»[14]. Διότι πράγματι δὲν ἐξαναγκάσθηκε νὰ προσφέρει τὰ τῆς ἀρετῆς καὶ σωτηρίας μας. Ἀλλ' ἂν καὶ τὸ περισσότερο ἀνήκει σ' αὐτόν, σχεδὸν δὲ καὶ τὸ πᾶν, ὅμως ἄφησε κάτι μικρό καὶ σὲ ἐμᾶς, ὥστε νὰ εἶναι πιστευτὴ ἡ δικαιολογία τῆς χορηγίας τῶν στεφάνων. Γι' αὐτὸ λοιπὸν ὁ Παῦλος, ἀφοῦ εἶπε, «Ἔχοντας δὲ τὸ ἴδιο Πνεῦμα τῆς πίστεως»[15], δηλαδὴ αὐτὸ ποὺ μίλησε καὶ στὴν παλαιά Διαθήκη, πρόσθεσε· «Καὶ ἐμεῖς πιστεύομε γι' αὐτὸ καὶ ὁμιλοῦμε»[16]. Διότι πολὺ περισσότερη πίστη χρειάζεται ἐδῶ, παρὰ ἐκεῖ, καὶ ἐπειδὴ ἡ φύση τῶν ὑποσχέσεων εἶναι ἀόρατη καὶ πνευματική, καὶ ἐξ αἰτίας τῆς καταστάσεως τῶν καιρῶν. Διότι τὰ ἔπαθλα δὲν εἶναι γιὰ τὴν παρούσα ζωή, ἀλλὰ γιὰ τὴ μέλλουσα. Μᾶλλον δὲ καὶ γιὰ τὰ παρόντα χρειάζεται πίστη· καθόσον καὶ αὐτά ποὺ δίνονται χρειάζονται πίστη καὶ ὅταν δίνονται, καὶ ἡ συμμετοχὴ στὰ μυστήρια καὶ ἡ δωρεὰ τοῦ βαπτίσματος. Ἔτσι ὑπερέβαινε κάθε λόγο ἡ δύναμη τῶν ἀγαθῶν. Ἂν λοιπόν χρειαζόταν πίστη στά ὑλικότερα ἐκεῖνα καὶ αἰσθητά, πολὺ περισσότερο χρειάζεται ἐδῶ.

Ἀλλ' ἡ μὲν ἀποστολικὴ λέξη ἔλαβε τὴν πρέπουσα ἑρμηνεία· καιρὸς λοιπὸν πάλι νὰ ἔλθουμε στὴν προφητικὴ λέξη καὶ νὰ ποῦμε τί ἐννοεῖ αὐτὸς ὁ μακάριος. Τί λοιπὸν ἐννοεῖ; «Πίστευσα, γι' αὐτὸ καὶ λάλησα». Μολονότι βέβαια δὲ εἶπε ποτὲ κάτι, ἀλλὰ λέγει μέσα στὴ σκέψη του ἐκεῖνο ποὺ ἤδη λέχθηκε. Ποιὸ εἶναι ἐκεῖνο ποὺ ἤδη λέχθηκε; Ἀφοῦ ἔφερα στὴ σκέψη μου, λέγει, τὴ συμφορά, τὴν ἰουδαϊκὴ τραγωδία, τὴν πανωλεθρία ἐκείνη καὶ τὴν ὁλοκληρωτικὴ ἐρήμωση, δὲν ἔχασα τὴν ἐλπίδα μου γιά τὴ μεταβολὴ πρός τὸ καλύτερο, ἀλλὰ καὶ ἔλπισα σ' αὐτὴν καὶ διακήρυξα αὐτὴν καὶ μίλησα γι' αὐτήν. Καθόσον στοὺς προηγουμένους ψαλμοὺς πολλὰ εἶπε γι' αὐτήν· μίλησα καὶ διακήρυξα αὐτὴν διδασκόμενος ἀπὸ τὴν πίστη.

3. Ἄλλος βέβαια ποὺ δὲν ἔχει ἀσκηθεῖ πάρα πολὺ

*πῶς χωλεύει καὶ θορυβεῖται. Εἰ γὰρ Δαυῒδ λέγει τὸν ψαλμὸν ἐκεῖνον, ἀλλ᾽ οὐκ ἐξ οἰκείου προσώπου, ἀλλὰ τῶν χωλευόντων τὰ πάθη διηγούμενος οὕτως ἔλεγεν· «Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου»· οὐ περὶ ποδῶν λέγων καὶ διαβημάτων, ἀλλὰ περὶ λογισμῶν χωλευόντων. Καὶ τὴν αἰτίαν ἐπάγει, λέγων· «Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις», τουτέστι, τοὺς βαρβάρους εὐδοκιμοῦντας ὁρῶν, τὰ δὲ Ἰουδαίων τεταπεινωμένα. Καὶ τί τῆς χωλείας λέγει τὸ εἶδος; Καὶ εἶπον· ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου». Καὶ πόθεν τοιαῦτα προήχθη εἰπεῖν, λέγει «Ὅτι ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλούτου». Εἶτα ὅρα πῶς ἑαυτὸν ἀνακτᾶται. «Εἰ ἔλεγον, διηγήσομαι οὕτω· τοῦτο κόπος», φησίν, «ἐστὶν ἐνώπιόν μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐκοπούμην, ἐταλαιπωρούμην ἐν τοῖς λογισμοῖς. Τοιοῦτον γὰρ ὁ λογισμός. Εἶτα ἐλογιζόμην, ὅτι πρᾶγμα ἐπίπονον ποιῶ. Ταῦτα ἀναζητῶν, οὐδὲν δυνήσομαι σαφῶς εἰδέναι, ἕως ἂν ἀπολάβω πατρίδα.*

*Ὁρᾷς ὅσον κακόν ἐστι λογισμοῖς ἐπιτρέπειν τὰ πράγματα τῆς πίστεως, καὶ μὴ τῇ πίστει; Εἰ γὰρ ἐκεῖνος ἦν πεπηγὼς ἐν τῇ πίστει, οὐκ ἂν ταῦτα ἐφθέγξατο, οὐκ ἂν ἐθορυβήθη, οὐκ ἂν ἐταράχθη, οὐκ ἂν ἐσαλεύθησαν οἱ πόδες αὐτοῦ, οὐκ ἂν παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματα αὐτοῦ. Ἀλλ᾽ οὐχ ὁ*

---

17. Ψαλμ. 72, 1 - 2.
18. Ψαλμ. 72, 3.
19. Ψαλμ. 72, 13.
20. Ψαλμ. 72, 12.
21. Ψαλμ. 72, 15 - 17.

μ' αὐτήν, πρόσεχε πῶς χωλαίνει καὶ ἀνησυχεῖ. Ἂν καὶ ὁ Δαυῒδ λέγει ἐκεῖνον τὸν ψαλμό, ὅμως τόν λέγει ὄχι γιὰ τὸν ἑαυτό του, ἀλλὰ διηγούμενος τὰ πάθη ἐκείνων ποὺ εἶναι ἀτελεῖς στὴν πίστη ἔλεγε τὰ ἑξῆς· «Πόσο ἀγαθὸς εἶναι ὁ Θεὸς στοὺς Ἰσραηλίτες καὶ ἰδίως σ' ἐκείνους ποὺ ἔχουν καθαρὴ καρδιά. Σχετικὰ μὲ ἐμένα σχεδὸν κλονίσθηκαν τὰ πόδια μου, καὶ παρ' ὀλίγο νὰ ἐκτραποῦν τὰ βήματά μου»[17]· δὲν ὁμιλεῖ βέβαια γιὰ πόδια καὶ βήματα, ἀλλὰ γιὰ σκέψεις ἀνθρώπων ποὺ ἔχουν ἀτελὴ πίστη. Προσθέτει δὲ καὶ τὴν αἰτία, λέγοντας· «Διότι κυριεύθηκα ἀπὸ ζήλεια ἐξ αἰτίας τῶν παρανόμων»[18], δηλαδὴ βλέποντας τοὺς βαρβάρους νὰ εὐημεροῦν, ἐνῶ τοὺς Ἰουδαίους νὰ ταπεινώνονται. Καὶ ποιὸ εἶναι, λέγει, τὸ εἶδος τῆς ἀτελείας; «Καὶ εἶπα· Ἄρα ἄδικα φύλαξα δίκαια τὴν καρδιά μου καὶ ἔνιψα μαζὶ μὲ τοὺς ἀθώους τὰ χέρια μου»[19]. Καὶ γιὰ νὰ δείξει ἀπὸ ποῦ ὁδηγήθηκε στὸ νὰ πεῖ αὐτά, λέγει· «Διότι νά, αὐτοὶ ἂν καὶ εἶναι ἁμαρτωλοί, ὅμως εὐημεροῦν καὶ ὁ πλοῦτος τους αὐξάνει συνέχεια καὶ ἀσταμάτητα»[20]. Ἔπειτα πρόσεχε πῶς ξαναβρίσκει τὸν ἑαυτό του. «Ἂν ἔλεγα· Θὰ τὰ πῶ αὐτά, ποὺ συμβαίνουν, στοὺς ἄλλους, ἀλλ' ὅμως αὐτό», λέγει, «εἶναι κόπος μάταιος γιά μένα, μέχρι ποὺ εἰσῆλθα στὸ θυσιαστήριο τοῦ Θεοῦ καὶ ἀντιλήφθηκα μέ τὸ φωτισμό του τὸ τέλος τους»[21]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Κόπιαζα καὶ ταλαιπωρούμουν μὲ τὶς σκέψεις μου αὐτές. Διότι τέτοιος εἶναι ὁ λογισμός. Ἔπειτα σκεπτόμουν, ὅτι αὐτὸ ποὺ κάμνω εἶναι πράγμα πολὺ κοπιαστικό. Ἀναζητώντας αὐτά, δὲν θὰ μπορέσω τίποτε νὰ γνωρίσω μὲ ἀκρίβεια, μέχρι ποὺ ν' ἀποκτήσω τὴν πατρίδα μου.

Βλέπεις πόσο κακὸ πράγμα εἶναι νὰ ἐμπιστευόμαστε τὰ πράγματα τῆς πίστεως στοὺς λογισμοὺς καὶ ὄχι στὴν πίστη; Διότι, ἂν ἐκεῖνος ἦταν σταθερὸς στὴν πίστη, δὲν θὰ ἦταν δυνατὸ νὰ πεῖ αὐτά, δὲν θὰ ἀνησυχοῦσε, δὲν θὰ ταρασσόταν, δὲν θὰ κλονίζονταν τὰ πόδια του, δὲν θὰ ἐξέκλιναν παρ' ὀλίγο τὰ βήματά του. Ὅμως δὲν συνέβη-

προφήτης οὕτως. ἀλλ' ἐπὶ τῆς πέτρας ἑστηκὼς οὐκ ἐθορυβεῖτο, οὐκ ἐταράττετο, ἀλλ' ὁρῶν τὰ μὲν τῶν Ἰουδαίων οὕτω διακείμενα, τὰ δὲ τῶν βαρβάρων ἐναντίως, καὶ περὶ τῆς ἐπανόδου λαμπρᾷ τῇ φωνῇ καὶ πεπληροφορημένῃ διανοίᾳ ἐκήρυττε συνεχῶς καὶ ἐν πολλοῖς τοῖς ψαλμοῖς, καὶ σφόδρα ἐθάρρει, οὔτε τῇ δυνάμει τῶν βαρβάρων προσέχων, οὔτε τῇ εὐτελείᾳ τῇ Ἰουδαϊκῇ, ἀλλὰ τῇ δυνάμει τοῦ ταῦτα ἐπαγγειλαμένου Θεοῦ. Διό φησιν· «Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα». Ἕτερός φησιν, «Ἐγὼ μέντοι ἐκακώθην σφόδρα».

«Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης». Ἕτερος, «Καὶ εἶπον ἀδημονῶν, πᾶς ἄνθρωπος διαψεύδεται». Ἐντεῦθεν πάλιν τὰ τῆς πίστεως λαμπρὰ δείκνυται, ὅτι οὐδὲ τὸ μέγεθος τῆς συμφορᾶς εἰς ἀπόγνωσιν αὐτὸν ἐνέβαλε. Τοιοῦτον γὰρ ἡ πίστις· ἱερά τίς ἐστιν ἄγκυρα, πάντοθεν ἀνέχουσα τὴν ἔχουσαν αὐτὴν διάνοιαν, καὶ τότε μάλιστα διαδείκνυται, ὅταν ἐκ τῶν ἀπόρων ἀναπείθῃ τὸν ἔχοντα αὐτὴν χρηστὰς ἀναμένειν ἐλπίδας, τῶν λογισμῶν ἐκβάλλουσα τὸν θόρυβον. Ὅπερ καὶ αὐτὸς δηλῶν ἔλεγεν· «Ἐγὼ δὲ ἐκακώθην σφόδρα», φησί· τουτέστιν, ἐκακώθην, ἀλλ' οὐκ ἀπέγνων, οὐδὲ ἀνέπεσον. Εἶτα δεικνύς, ὅτι οὐχ ἁπλῶς ἐκακώθη, καὶ τὴν ἐπίτασιν προστίθησι λέγων· «Ἐγὼ δὲ εἶπον ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης». Τί ἐστιν, «Ἐν τῇ ἐκστάσει μου»; Ἐν τῇ ὑπερβολῇ τῆς συμφορᾶς, φησίν, ἐν τῷ μεγέθει τῶν κακῶν. Τοσοῦτος γὰρ ἐπῆλθεν ἡμῖν πειρασμός, ὡς καὶ ἔκστασιν καὶ κάρον ἐνθεῖναι. Ἔκστασιν γὰρ ἐνταῦθα τὴν ἀναισθησίαν τὴν ἐκ τῶν κακῶν γινομένην λέγει.

κε τὸ ἴδιο μὲ τὸν προφήτη, ἀλλά παραμένοντας ἀκλόνητος ἐπάνω στὴν πέτρα, δὲν ἀνησυχοῦσε, δὲν ταρασσόταν, ἀλλά βλέποντας τὰ μὲν ἰουδαϊκὰ πράγματα νὰ βρίσκονται σ' αὐτὴν τὴν κατάσταση, τῶν δὲ βαρβάρων στὴν ἀντίθετη, καὶ μὲ λαμπρὴ φωνὴ καὶ ἀπόλυτα πεπεισμένη διάνοια κήρυττε συνέχεια τὴν ἐπιστροφή τους καὶ μάλιστα σὲ πολλοὺς ψαλμούς, καὶ εἶχε πάρα πολὺ μεγάλη πεποίθηση στὸ Θεό, μὴ προσέχοντας οὔτε στὴ δύναμη τῶν βαρβάρων, οὔτε στὴν ἰουδαϊκὴ ἐλεεινότητα, ἀλλά στὴ δύναμη τοῦ Θεοῦ ποὺ ὑποσχέθηκε αὐτά. Γι' αὐτὸ λέγει· «Πίστευσα καὶ γι' αὐτὸ μίλησα· ἐγὼ ὅμως ταπεινώθηκα πάρα πολύ». Ἄλλος λέγει. «Ἐγὼ ὅμως περιῆλθα σὲ πολὺ ἄθλια κατάσταση».

«Ἐγὼ ὅμως εἶπα μέσα στὴν ἔκστασή μου· κάθε ἄνθρωπος πλανιέται». Ἄλλος· «Καὶ εἶπα λυπημένος, κάθε ἄνθρωπος πλανιέται». Ἀπὸ ἐδῶ πάλι δείχνει τὰ λαμπρὰ τῆς πίστεως, ὅτι δηλαδὴ οὔτε τὸ μέγεθος τῆς συμφορᾶς τὸν ἔκανε ν' ἀπελπισθεῖ. Διότι τέτοια εἶναι ἡ πίστη· εἶναι σὰν κάποια ἱερὴ ἄγκυρα, ποὺ συγκρατεῖ ἀπὸ παντοῦ τὴ διάνοια ποὺ τὴν ἔχει, καὶ τότε πρὸ πάντων γίνεται φανερὴ ἡ δύναμή της, ὅταν πείθει ἐκεῖνον ποὺ τὴν ἔχει νὰ περιμένει, μέσα ἀπὸ τὶς ἀντιξοότητες, καλὲς ἐλπίδες, ἀπομακρύνοντας τὴν ἀνησυχία τῶν σκέψεων. Πράγμα ποὺ γιὰ νὰ δείξει καὶ αὐτός, ἔλεγε· «Ἐγὼ ὅμως», λέγει, «περιῆλθα σὲ πάρα πολὺ ἄθλια κατάσταση»· δηλαδὴ περιῆλθα σὲ ἄθλια κατάσταση, ἀλλὰ δὲν ἀπελπίσθηκα οὔτε ἔχασα τὸ θάρρος μου. Ἔπειτα γιὰ νὰ δείξει, ὅτι δὲν περιῆλθε ἁπλῶς σὲ ἄθλια κατάτσαση, προσθέτει καὶ τὴν ἔνταση τῆς ἀθλιότητάς του· «Ἐγὼ δὲ εἶπα μέσα στὴν ἔκστασή μου, κάθε ἄνθρωπος πλανιέται». Τί σημαίνει, «Ἐν τῇ ἐκστάσει μου»; Μέσα στὸ ὑπερβολικὸ μέγεθος τῆς συμφορᾶς μου, λέγει, μέσα στὸ μέγεθος τῶν κακῶν. Διότι τόσο μεγάλη ἦταν ἡ δοκιμασία ποὺ μὲ κυρίευσε, ὥστε νὰ μοῦ προκαλέσει καὶ ἀναισθησία καὶ νάρκωση. Καθόσον ἔκταση ἐδῶ ὀνομάζει

*Ἐπεὶ καὶ ἐπὶ τοῦ Ἀδάμ, ὅταν λέγῃ, ὅτι ἐπέβαλεν ἐπ' αὐτὸν ἔκστασιν, ἀναισθησίαν τινὰ λέγει. Καὶ γὰρ ἔκστασις λέγεται τὸ ἔξω αὐτοῦ γενέσθαι. Ἐπεβέβλητο δὲ αὐτῷ τότε, ὥστε μὴ αἰσθάνεσθαι τῆς πλευρᾶς ἀφαιρουμένης, μηδὲ ἀλγῆσαι τῷ γενομένῳ. Οὕτω κλέπτων ὁ Θεὸς τῆς ὀδύνης τὴν αἴσθησιν, ἵνα μὴ μισήσῃ τὸ ἐξ αὐτοῦ γινόμενον, ἅτε ἀλγήσας, ἐπέβαλεν ἐπ' αὐτὸν ἔκστασιν. Καὶ ἀλλαχοῦ πάλιν, «Ἔπεσεν ἐπ' αὐτοὺς ἔκστασις», φησί. Κάρον τινὰ καὶ ἐκεῖ δηλοῖ, καὶ τὸ ἔξω αἰσθήσεως γενέσθαι. Καὶ πανταχοῦ ἡ ἔκστασις τοῦτο ἐμφαίνει. Γίνεται δὲ ἢ τοῦ Θεοῦ ἐργαζομένου, ἢ τῆς ὑπερβολῆς τῶν κακῶν κάρον ἐμποιούσης. Οἶδε γὰρ καὶ συμφορὰ ποιεῖν ἔκστασιν καὶ κάρον. Ἐνταῦθα οὖν ἔκστασιν λέγει, τὸ μέγεθος τῶν κακῶν τῶν κατειληφότων.*

*Τί δέ ἐστιν ὅ φησι, «Πᾶς ἄνθρωπος ψεύστης»; Οὐδεὶς οὖν ἀληθής; Πῶς οὖν ὁ Ἰὼβ ἀναγέγραπται «Ἄνθρωπος ἀληθινός, δίκαιος, θεοσεβής»; Τί δὲ καὶ περὶ τῶν προφητῶν ἐροῦμεν; Εἰ γὰρ καὶ ἐκεῖνοι ψεῦσται, καὶ ἐψεύσαντο ἃ εἰρήκασι, πάντα οἴχεται. Τί δὲ ὁ Ἀβραάμ; τί δὲ οἱ δίκαιοι πάντες; Ὁρᾷς ὅσον ἐστὶ κακὸν τὴν λέξιν ἁπλῶς ἐκδέχεσθαι, καὶ μὴ τὰ νοήματα περισκοπεῖν; Τί οὖν ἐστιν ὅ φησι, «Πᾶς ἄνθρωπος ψεύστης»; Ὃ ἀλλαχοῦ φησιν, «Ἄνθρωπος ματαιότητι ὡμοιώθη». Ὃ καὶ ἕτερος προφήτης εἶπε, «Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου» τουτέστιν, εὐτελέστερον πρᾶγμα, παραρρέον, σκιᾷ ἐοικός, ὀνείρατι, εἰκόνι τινί.*

*4. Καὶ ἵνα μάθῃς, ὅτι οὐχ ἁπλῶς εἰκάζων ταῦτα λέγω, ἕτερος ἑρμηνευτὴς εἶπε, «Διάψευσμα», καὶ ἄλλος, «Διαψεύ-*

22. Γέν. 2, 21.
23. Πράξ. 10, 10.
24. Ἰὼβ 1, 1.
25. Ψαλμ. 143, 4.
26. Ἡσ. 40, 6.

τὴν ἀναισθησία ποὺ τοῦ δημιουργήθηκε ἀπὸ τίς συμφορές. Διότι καὶ στὴν περίπτωση τοῦ Ἀδάμ, ὅταν λέγει, ὅτι ἐπέβαλε σ' αὐτὸν ἔκσταση, ἐννοεῖ κάποια ἀναισθησία. Καθόσον ἔκσταση ὀνομάζεται τὸ νὰ περιέλθει κανεὶς ἐκτὸς ἑαυτοῦ. Τοῦ δημιουργήθηκε τότε αὐτὴ ἡ κατάσταση, ὥστε νὰ μὴ αἰσθανθεῖ τὴν ἀφαίρεση τῆς πλευρᾶς, οὔτε νὰ πονέσει μὲ ἐκεῖνο ποὺ τοῦ γινόταν[22]. Ἔτσι κλέπτοντας ὁ Θεὸς τὴν αἴσθηση τοῦ πόνου, γιὰ νὰ μὴ μισήσει αὐτὸ ποὺ γινόταν ἀπ' αὐτόν, ἐπειδὴ θὰ πονοῦσε, δημιούργησε σ' αὐτὸν ἀναισθησία. Καὶ ἀλλοῦ πάλι λέγει· «Περιέπεσαν σὲ ἔκσταση»[23]. Κάποια νάρκωση καὶ ἐκεῖ ἐννοεῖ καὶ ὅτι περιῆλθαν σὲ ἀναισθησία. Καὶ *παντοῦ ἡ ἔκσταση αὐτὸ* δηλώνει. Συμβαίνει δὲ ἢ μὲ τὴν ἐπέμβαση τοῦ Θεοῦ, ἢ τὸ ὑπερβολικὸ μέγεθος τῶν κακῶν δημιουργεῖ τὴ νάρκωση. Διότι βέβαια καὶ ἡ συμφορά προκαλεῖ ἔκταση καὶ νάρκωση. Ἐδῶ λοιπὸν ἔκταση ὀνομάζει τὸ μέγεθος τῶν κακῶν ποὺ τὸν κυρίευσαν.

Τί σημαίνει δὲ αὐτὸ ποὺ λέγει, «Κάθε ἄνθρωπος εἶναι ψεύστης; Κανένας λοιπὸν δὲν εἶναι ἀληθινός; Πῶς λοιπὸν ἔχει γραφεῖ ὅτι ὁ Ἰὼβ ἦταν «Ἄνθρωπος ἀληθινός, δίκαιος, θεοσεβής»[24]; Τί δὲ θὰ ποῦμε γιὰ τοὺς προφῆτες; Διότι, ἂν καὶ ἐκεῖνος ἦταν ψεύστης καὶ ἦταν ψέματα ἐκεῖνα ποὺ ἔχουν πεῖ, ὅλα χάθηκαν. Τί δὲ ὁ Ἀβραάμ; τί δὲ ὅλοι οἱ δίκαιοι; Βλέπεις πόσο μεγάλο κακὸ εἶναι τὸ νὰ δεχόμαστε ἔτσι ἁπλὰ τὴ λέξη καὶ νὰ μὴ ἐξετάζουμε τὰ νοήματα ποὺ περιέχει; Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγει, «Ὁ κάθε ἄνθρωπος εἶναι ψεύστης»; Αὐτὸ ποὺ λέγει σὲ ἄλλο μέρος, «Ὁ ἄνθρωπος εἶναι ὅμοιος μὲ τὴ ματαιότητα»[25]. Πράγμα *ποὺ* καὶ *ἄλλος προφήτης* εἶπε, «Κάθε *σάρσα* εἶναι χόρτο καὶ κάθε δόξα ἀνθρώπου εἶναι σὰν τὸ ἄνθος τοῦ χόρτου»[26]· δηλαδή, εἶναι πάρα πολὺ εὐτελὲς πράγμα, ποὺ φεύγει καὶ χάνεται, μοιάζει μὲ σκιά, μὲ ὄνειρο, μὲ κάποια εἰκόνα.

4. Καὶ γιὰ νὰ μάθεις, ὅτι αὐτὰ δὲν τὰ λέγω ἁπλῶς συμπεραίνοντας, ἄλλος ἑρμηνευτὴς εἶπε· «Διάψευσμα»,

*δεται», καὶ ἕτερος, «Ἐκλείπει». Πολὺ δὲ τοῦτο ἐκείνου διέστηκε. Τὸ μὲν γὰρ ψεύδεσθαι κακίας ἐστὶ τῆς κατὰ ψυχήν, τὸ δὲ ἐκλείπειν καὶ διαρρεῖν, καὶ παραρρεῖν, καὶ ὄναρ εἶναι καὶ ἄνθος καὶ σκιάν, τῆς κατὰ φύσιν εὐτελείας. Ταὐτὸν γὰρ λέγει, ὡς ὅταν εἴπῃ· «Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός»· καὶ πάλιν, «Τί ὑπερηφανεύεται γῆ καὶ σποδός;»· καὶ πάλιν ὡς ὅταν λέγῃ οὗτος ὁ προφήτης, «Τί ἐστιν ἄνθρωπος, ὅτι ἐμνήσθης αὐτοῦ», πανταχοῦ τῆς φύσεως τὸ εὐτελὲς δηλῶν, τὸ οὐδαμινόν. Καὶ γὰρ ἐπὶ ληΐων λέγομεν· τὰ λήια διεψεύσατο, τουτέστιν οὐδὲν ἐκόμισεν ἄξιον τῆς ἐλπίδος· καὶ ὁ ἐνιαυτὸς διεψεύσατο, ταὐτὸ δὴ πάλιν δηλοῦντες. Ἐπεὶ οὖν καὶ ὁ ἄνθρωπος πρᾶγμα οὐδαμινὸν καὶ εὐτελές, μάλιστα δὲ καὶ ἐπὶ τῆς συμφορᾶς τὰ τοιαῦτα φιλοσοφεῖν εἰώθαμεν, καὶ τῆς φύσεως τὴν ἀσθένειαν ἐπισκέπτεσθαι, διὰ δὴ τοῦτο καὶ οὗτος ἐν ἀθυμίᾳ γενόμενος καὶ τὴν φύσιν ὁρῶν ἐλεγχομένην, καὶ τὴν εὐτέλειαν καὶ οὐδένειαν αὐτῆς πανταχόθεν διαδεικνυμένην, «Πᾶς ἄνθρωπος ψεύστης», φησί· τουτέστιν, οὐδὲν ἄνθρωπος. Διὸ καὶ ἀλλαχοῦ ἔλεγε· «Μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος».*

*«Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;». Ὅρα πῶς δείκνυσι τὴν εὐεργεσίαν μεγάλην οὐκ ἀπὸ τῶν γεγενημένων, ἀλλὰ καὶ ἀπὸ τοῦ εἰς τοιοῦτον γεγενῆσθαι, ἑτέροις μὲν ῥήμασι, τοῖς δὲ αὐτοῖς νοήμασι τὰ ἐν τῷ ψαλμῷ διηγούμενος. Καθάπερ γὰρ καὶ ἐκεῖ ἔλεγε, «Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;» οὕτω καὶ ἐνταῦθα. Τότε διπλᾶ τὰ τῆς εὐ-*

27. Γέν. 18, 27.
28. Σοφ. Σειρ. 10, 9.
29. Ψολμ. 8, 5.
30. Ψαλμ. 38, 7.
31. Ψαλμ. 8, 5.

ἄλλος, «Διαψεύδεται», καὶ ἄλλος «Ἐκλείπει». Πολὺ δὲ αὐτὸ διαφέρει ἀπὸ ἐκεῖνο. Διότι τὸ νὰ λέγει κανεὶς ψέματα εἶναι γνώρισμα τῆς κακίας τῆς ψυχῆς, ἐνῶ τὸ ὅτι χάνεται, τὸ ὅτι ἐξαφανίζεται, τὸ ὅτι παρέρχεται, τὸ ὅτι εἶναι ὄνειρο καὶ ἄνθος καὶ σκιά, εἶναι γνώριαμα τῆς φυσικῆς εὐτέλειάς του. Καθόσον τὸ ἴδιο ἐννοεῖ καὶ αὐτὸ ποὺ λέγει· «Ἐγῶ δὲ εἶμαι χῶμα καὶ στάχτη»[27]· καὶ πάλι, «Γιατὶ ὑπερηφανεύεται τὸ χῶμα καὶ ἡ στάχτη;»[28]· καὶ πάλι ὅπως ὅταν λέγει αὐτὸς ὁ ἴδιος ὁ προφήτης, «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ τὸν θυμᾶσαι;»[29], παντοῦ δηλώνοντας τὴν εὐτέλεια τῆς φύσεως καὶ τὴν μηδαμινότητα. Διότι καὶ στὴν περίπτωση τῶν σπαρτῶν λέμε· 'τὰ σπαρτὰ μᾶς διέψευσαν', δηλαδὴ δὲν μᾶς ἔδωσαν τίποτε ἀντάξιο τῆς ἐλπίδας μας· καὶ ὁ χρόνος μᾶς διέψευσε, δηλώνοντας πάλι βέβαια τὸ ἴδιο. Ἐπειδὴ λοιπὸν ὁ ἄνθρωπος, εἶναι πράγμα μηδαμινὸ καὶ εὐτελὲς καὶ συνηθίζομε πρὸ πάντων στὶς ὧρες τῆς συμφορᾶς νὰ κάμνουμε παρόμοιες φιλοσοφικὲς σκέψεις καὶ νὰ σκεπτόμαστε τὴν ἀδυναμία τῆς φύσεώς μας, γι' αὐτὸ λοιπὸν καὶ αὐτός, ἐπειδὴ κυριεύθηκε ἀπὸ λύπη καὶ βλέποντας τὴν ἀνθρώπινη φύση νὰ δοκιμάζεται καὶ τὴν εὐτέλεια καὶ μηδαμινότητά της νὰ γίνεται φανερὴ ἀπὸ παντοῦ, λέγει, «Ὁ κάθε ἄνθρωπος εἶναι ψεύστης»· δηλαδὴ τίποτε δὲν εἶναι ὁ ἄνθρωπος. Γι' αὐτό καὶ ἀλλοῦ ἔλεγε· «Πράγματι ὁ ἄνθρωπος βαδίζει μέσα ἀπ' αὐτὸν τὸν κόσμο σὰν φάντασμα»[30].

«Τί ν' ἀνταποδώσω στὸν Κύριο γιὰ ὅλα τὰ ἀγαθὰ ποὺ μοῦ ἔδωσε;». Πρόσεχε πῶς δείχνει τὴν εὐεργεσία μεγάλη ὄχι ἀπὸ τὸ ὅτι ἔχουν συμβεῖ, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι συνέβηκαν σ' ἕναν ἄνθρωπο σὰν καὶ αὐτόν, περιγράφοντας μὲ ἄλλα μὲν λόγια, μὲ τὰ ἴδια ὅμως νοήματα τὰ ὅσα λέγει σ' ἐκεῖνον τὸν ψαλμό. Διότι, ὅπως ἀκριβῶς καὶ ἐκεῖ ἔλεγε· «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ τὸν θυμᾶσαι, ἢ ὁ υἱὸς τοῦ ἀνθρώπου, ὥστε νὰ φροντίζεις γι' αὐτόν;»[31], ἔτσι

*εργεσίας δείκνυται, ὅταν καὶ φύσει μεγάλα ᾖ, καὶ εἰς οὐδαμινόν τινα γίνηται, ὅπερ εὐεργεσίας καὶ χάριτος ἐπίτασις. Τοῦτο οὖν αὐτὸ βουλόμενος παραστῆσαι, φησί, «Τί ἀνταποδώσω τῷ Κυρίῳ;» δηλῶν ὅτι τὸν ἄνθρωπον, τὸν ὄντα διάψευσμα, τὸν οὐδαμινόν, τὸν εὐτελῆ τοσαύτης ἠξίωσε δωρεᾶς. «Περὶ πάντων ὧν ἀνταπέδωκέ μοι». Τοῦτο εὐχαρίστου γνώμης τὸ περιέρχεσθαι καὶ ζητεῖν, ἀνθ' ὧν εὖ ἔπαθεν ἀποδοῦναί τι τῷ εὐεργέτῃ, καὶ τὸ πάντα καταβαλόντα μηδὲν ἄξιον νομίζειν διδόναι. Ὅπερ ἐκ προοιμίων τῆς ἀντιδόσεως αἰνιξάμενος, καταθήσειν προϊὼν ἐπαγγέλλεται. Διπλῆν γὰρ τὴν εὐχαριστίαν ἐνδείκνυται, τῷ τε δοῦναι ἅπερ οἷός τε ἦν, καὶ τῷ ταῦτα διδοὺς μηδὲν ἄξιον νομίζειν διδόναι.*

*Τί οὖν ἐστιν, ὅπερ μέλλει διδόναι; Ἄκουε αὐτοῦ λέγοντος· ἐπάγει γάρ· «Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι». Οἱ μὲν οὖν κατὰ ἀναγωγὴν τὸ εἰρημένον ἐκλαμβάνοντες, τῶν μυστηρίων τὴν κοινωνίαν φασίν. Ἡμεῖς δὲ τῆς ἱστορίας τέως ἐχόμενοι, σπονδὰς αὐτὸν λέγειν ἐνταῦθα, καὶ θυσίας καὶ εὐχαριστηρίους ὕμνους λέγομεν. Καὶ γὰρ διάφοροι τὸ παλαιὸν ἦσαν θυσίαι· θυσία γὰρ αἰνέσεως ἦν, ὑπὲρ ἁμαρτημάτων, καὶ ὁλοκαυτώματα, ὑπὲρ σωτηρίας, καὶ εἰρηνικαί, καὶ ἕτεραι πλείους. Ὃ οὖν λέγει τοῦτό ἐστιν· οὐκ ἔχω μὲν ἄξιόν τι καταθεῖναι, ὃ δὲ ἔχω τίθημι. Θυσίαν γὰρ εὐχαριστήριον τῷ Θεῷ προσοίσω, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτὸν ἀνυμνήσω.*

*«Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ». Ἐνταῦθα τὰς ἐπαγγελίας, εὐχὰς λέγει, τὰς*

καὶ ἐδῶ. Τότε ἀποδεικνύονται διπλὰ τὰ τῆς εὐεργεσίας, ὅταν καὶ ἐκ φύσεως εἶναι μεγάλα καὶ συμβαίνουν σὲ κάποιον ἀσήμαντο, πράγμα ποὺ αὐξάνει τὴν εὐεργεσία καὶ τὴ χάρη. Αὐτὸ ἀκριβῶς λοιπὸν θέλοντας νὰ παραστήσει, λέγει, «Τί ν' ἀνταποδώσω στὸν Κύριο;», δηλώνοντας ὅτι τὸν ἄνθρωπο, ποὺ εἶναι ἀσήμαντο, μηδαμινὸς καὶ εὐτελής, τὸν ἀξίωσε μὲ τόσο μεγάλη δωρεά· «Γιὰ ὅλα ἐκεῖνα ποὺ μοῦ ἔδωσε». Αὐτὸ εἶναι δεῖγμα διαθέσεως γεμάτης ἀπὸ εὐγνωμοσύνη, τὸ νὰ περιφέρεται καὶ νὰ θέλει ν' ἀποδώσει στὸν εὐεργέτη κάτι γιὰ τὶς εὐεργεσίες ποὺ ἔλαβε, καὶ νὰ νομίζει, ἂν καὶ τὶς ξεπλήρωσε ὅλες, ὅτι δὲν ἔδωσε τίποτε τὸ ἀντάξιο. Αὐτὸ ἀκριβῶς, ἀφοῦ τὸ ὑπαινίχθηκε ἀπὸ τὴν ἀρχὴ ὅτι θὰ τὸ ἀνταποδώσει, ὑπόσχεται στὴ συνέχεια ὅτι θὰ τὸ προσφέρει. Παρουσιάζει λοιπὸν διπλὴ τὴν εὐχαριστία, καὶ μὲ τὸ ὅτι ἔδωσε αὐτὰ ποὺ μποροῦσε, καὶ μὲ τὸ ὅτι, ἂν καὶ ἔδωσε αὐτά, ὅμως νομίζει ὅτι δὲν δίνει τίποτε τὸ ἀντάξιο.

Ποιὸ λοιπὸν εἶναι ἐκεῖνο ποὺ πρόκειται νὰ δώσει; Ἄκουε αὐτὸν ποὺ λέγει· διότι προσθέτει· «Θὰ λάβω τὸ ποτήρι τῆς σωτηρίας καὶ θὰ ἐπικαλεσθῶ τὸ ὄνομα τοῦ Κυρίου». Ἐκεῖνοι λοιπὸν ποὺ ἐξηγοῦν τὰ λόγια αὐτὰ ἀλληγορικά, λέγουν ὅτι ἐννοεῖ τὴν κοινωνία τῶν μυστηρίων, ἐμεῖς ὅμως ἐξετάζοντας πρῶτα τὴν ἱστορία, λέγομε, ὅτι αὐτὸς ἐδῶ ἐννοεῖ τὶς σπονδές, τὶς θυσίες καὶ τοὺς εὐχαριστηρίους ὕμνους. Καθόσον τὴν παλιὰ ἐποχὴ ὑπῆρχαν διάφορες θυσίες· ὑπῆρχε θυσία αἰνέσεως γιὰ τὰ ἁμαρτήματα, ὑπῆρχαν ὁλοκαυτώματα γιὰ τὴ σωτηρία, ὑπῆρχαν εἰρηνικὲς θυσίες καὶ ἄλλες πολλές. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲν ἔχω μὲν κάτι τὸ ἀντάξιο νὰ προσφέρω, ἐκεῖνο ὅμως ποὺ ἔχω τὸ προσφέρω. Θὰ προσφέρω δηλαδὴ θυσία εὐχαριστήρια στὸ Θεὸ καὶ θὰ τὸν δοξολογήσω γιὰ τὴ σωτηρία μου.

«Τὶς ὑποσχέσεις ποὺ ἔδωσα στὸν Κύριο μὲ τὶς προσευχές μου θὰ τὶς ἐκπληρώσω μπροστὰ σ' ὅλο τὸ λαό του».

ὑποσχέσεις. Καὶ γὰρ ἐν τοῖς δεινοῖς τούτοις ἐπὶ τὸν Θεὸν κατέφευγε, καὶ ὀφειλέτην ἑαυτὸν καθίστη ἐπαγγελλόμενος, εἰ διαφύγοι τὰ δεινά, ταύτας καταβαλεῖν τὰς θυσίας. Ἐπεὶ οὖν λέλυται, φησίν, ἡ συμφορά, «Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ἕτερος, «Ἔντιμος». Καὶ ποία αὕτη ἀκολουθία; τί δὲ τοῖς ἔμπροσθεν ἔχει συνῳδόν; Εἴ τις μετὰ ἀκριβείας ἐξετάσειε, πολὺ τοῦτο εὑρήσει. Ἐπειδὴ γὰρ εἶπε, «Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;» δεικνὺς αὐτοῦ τὰς εὐεργεσίας, φησίν, ὅτι οὐχ ἡ ζωὴ μόνον, ἀλλὰ καὶ ὁ θάνατος τῶν ὁσίων τῷ Θεῷ περισπούδαστος, οὐχ ἁπλῶς νόμῳ φύσεως παραγινόμενος, ἀλλὰ καὶ κατὰ γνώμην αὐτοῦ πολλαχοῦ γινόμενος. Ἢ οὐκ ἀκούεις Παύλου λέγοντος, «Τὸ δὴ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, καὶ τούτῳ πεποιθὼς οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν»; Καὶ τί θαυμάζεις, εἰ καὶ ὁ θάνατος, ὅπου οὔτε ἡ γέννησις ἐνίων νόμῳ φύσεως γίνεται, ὡς ἡ τοῦ Ἰσαάκ, ὡς ἡ τοῦ Σαμουήλ; Διόπερ οὐδὲ τέκνα σαρκὸς αὐτοὺς καλεῖ, ἀλλὰ τέκνα ἐπαγγελίας. Οὕτω καὶ Μωϋσῆς οὐχ ἁπλῶς ἀπέθνησκεν, ἀλλὰ τοῦ Θεοῦ προστάξαντος· οὐδὲ Ἰωάννης, ἀλλ' αὐτοῦ συγχωρήσαντος. Καίτοι γε μισθὸς ἐγένετο πόρνης, ἀλλὰ καὶ οὕτω τίμιος γέγονε. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ οὕτω τελευτήσας ἔντιμος ἦν· ὑπὲρ γὰρ ἀληθείας κατέλυσε τὸν βίον, καὶ οὕτως ἦν ἔντι-

---

32. Φιλ 1, 24 - 25.

Ἐδῶ εὐχὲς ὀνομάζει τὶς ἐπαγγελίες, τὶς ὑποσχέσεις. Καθόσον μέσα σ' αὐτὲς τὶς συμφορὲς κατέφευγε στὸ Θεὸ καὶ καταστοῦσε ὀφειλέτη τὸν ἑαυτό του, ὑποσχόμενος, ἂν ἤθελε διαφύγει τὶς συμφορές, νὰ προσφέρει αὐτὲς τὶς θυσίες. Ἐπειδὴ λοιπόν, λέγει, διαλύθηκε ἡ συμφορά, «Θὰ ἐκπληρώσω τὶς ὑποσχέσεις ποὺ ἔδωσα στὸν Κύριο μὲ τὶς προσευχές μου μπροστὰ σ' ὅλο τὸ λαό του. Μεγάλης ἀξίας εἶναι γιὰ τὸν Κύριο ὁ θάνατος τῶν ὁσίων του». Ἄλλος λέγει, «Ἔντιμος». Καὶ ποιὰ συμφωνία ὑπάρχει ἐδῶ; ποιὰ ἁρμονικὴ σχέση ἔχει μὲ τὰ προηγούμενα; Ἂν κανεὶς ἤθελε ἐξετάσει αὐτὸ μὲ προσοχή, θὰ βρεῖ νὰ ἔχει μεγάλη συμφωνία. Διότι, ἐπειδὴ εἶπε, «Τί ν' ἀνταποδώσω στὸν Κύριο γιὰ ὅλα ἐκεῖνα ποὺ μοῦ πρόσφερε», καὶ ἔδειξε τὶς εὐεργεσίες του, λέγει, ὅτι ὄχι μόνο ἡ ζωή, ἀλλὰ καὶ ὁ θάνατος τῶν ἁγίων εἶναι πάρα πολὺ ποθητὸς ἀπὸ τὸ Θεό, καὶ ὄχι ἁπλῶς ἐκεῖνος ποὺ συμβαίνει μὲ φυσικὸ τρόπο, ἀλλὰ πολλὲς φορὲς καὶ ἐκεῖνος ποὺ συμβαίνει σύμφωνα μὲ τὴν ἐπιθυμία του. Ἢ δὲν ἀκούεις τὸν Παῦλο ποὺ λέγει, «Τὸ νὰ παραμένω ὅμως ατὸ σῶμα εἶναι ἀναγκαιότερο γιὰ σᾶς, καί, ἐπειδὴ ἔχω ἀπόλυτη πεποίθηση σ' αὐτό, γνωρίζω πολὺ καλὰ ὅτι θὰ μείνω στὴ ζωὴ καὶ θὰ εἶμαι μαζὶ μὲ ὅλους σας»[*]; Καὶ γιατὶ θαυμάζεις ἂν καὶ ὁ θάνατος συμβαίνει ἔτσι, τὴ στιγμὴ ποὺ οὔτε ἡ γέννηση μερικῶν γίνεται σύμφωνα μὲ τοὺς νόμους τῆς φύσεως, ὅπως ἡ γέννηση τοῦ Ἰσαάκ, ὅπως τοῦ Σαμουήλ; Καὶ γι' αὐτὸ ἀκριβῶς δὲν τοὺς ὀνομάζει αὐτοὺς τέκνα τῆς σάρκας, ἀλλὰ τέκνα ἐπαγγελίας. Ἔτσι καὶ ὁ Μωϋσῆς δὲν πέθαινε μὲ φυσικὸ τρόπο, ἀλλὰ μὲ προσταγὴ τοῦ Θεοῦ· οὔτε ὁ Ἰωάννης ὁ Πρόδρομος, ἀλλὰ κατόπιν παραχωρήσεως τοῦ Θεοῦ. Μολονότι βέβαια ἔγινε ἀμοιβὴ πόρνης, ἀλλὰ καὶ ἔτσι ὑπῆρξε τίμιος. Καὶ τὸ ἀξιοθαύμαστο βέβαια αὐτὸ εἶναι ὅτι, ἂν καὶ πέθανε κατ' αὐτὸν τὸν τρόπο, ἦταν ἔντιμος ὁ θάνατός του· διότι τερμάτισε τὴ ζωή του γιὰ τὴν ἀλήθεια, καὶ ἦταν τόσο πολὺ ἔντιμος ὁ θάνατός του ὥστε φοβό-

*μος, ὅτι καὶ αὐτὸς ὁ φονεύσας ἐδεδοίκει αὐτόν. Ὅτι δὲ ἐδεδοίκει αὐτόν, ἄκουε τοῦ εὐαγγελιστοῦ τί φησι περὶ τοῦ Ἡρώδου· «Ἔλεγε» γάρ, «ὅτι αὐτὸς ἀνέστη ἐκ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ».*

*5. Ὅρα πῶς καὶ ἐπὶ τοῦ Ἄβελ τίμιος ἦν ὁ θάνατος. Ποῦ Ἄβελ ὁ ἀδελφός σου; Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με». Σκόπει καὶ ἐπὶ τοῦ Λαζάρου, πῶς μετὰ τελευτὴν ἄγγελοι αὐτοῦ προηγοῦντο. Σκόπει καὶ πρὸς τῶν μαρτύρων τοὺς τάφους τὰς πόλεις συντρεχούσας, τοὺς δήμους ἀναπτομένους τῷ πόθῳ. Τοῦτο οὖν ἐστιν, ὅ φησιν, ὅτι πολὺς λόγος, καὶ πολλὴ σπουδὴ τῷ Θεῷ καὶ ἐπὶ τῇ τελευτῇ τῶν ὁσίων. Οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε τελευτῶσιν, ἀλλ' ὅταν αὐτὸς συγχωρήσῃ οἰκονομικῶς. Διὰ τοῦτο ἔλεγεν, «Ἐναντίον Κυρίου», τοῦτο ἐμφῆναι βουλόμενος.*

*«Ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου». Οὐ τὴν κοινὴν λέγει δουλείαν, ἀλλὰ τὴν κατὰ πολλὴν διάθεσιν καὶ στοργήν, διαθερμαινόμενος τῷ πόθῳ, ὅπερ ἐστὶ μέγιστος στέφανος, καὶ διαδήματος παντὸς λαμπρότερον. Διὸ καὶ ὁ Θεὸς ἀντὶ μεγίστης εὐφημίας τίθησι, λέγων· «Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε». «Καὶ υἱὸς τῆς παιδίσκης σου». Τουτέστιν, ἄνωθεν καὶ ἐκ προγόνων ἀνακείμεθά σου τῇ δουλείᾳ. Ὅπερ αὐτὸ ἀντὶ μεγίστου τέθεικε κόσμου καὶ ὁ Παῦλος ἐπὶ τοῦ Τιμοθέου, λέγων· «Ὑπόμνησιν ἔχων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητέρι σου Εὐνείκῃ. Πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας». Καὶ πάλιν περὶ ἑαυτοῦ· «Ἑβραῖος ἐξ Ἑβραίων».*

---

33. Μάρκ. 6, 14.
34. Γεν. 4, 9· 10.
35. Ἰησ. Ναυῆ 1, 2.
36. Β΄ Τιμ. 1, 5 καὶ 3, 15.
37. Φιλ. 3, 5

ταν αὐτὸν καὶ αὐτὸς ὁ ἴδιος ποὺ τὸν φόνευσε. Τὸ ὅτι δὲ τὸν φοβόταν, ἄκουε τὸν εὐαγγελιστὴ τί λέγει γιὰ τὸν Ἡρώδη· διότι «ἔλεγε, ὅτι αὐτὸς ἀναστήθηκε ἀπὸ τοὺς νεκροὺς καὶ γι' αὐτὸ ἐνεργοῦν οἱ δυνάμεις σ' αὐτόν»[33].

5. Πρόσεχε πῶς καὶ στὴν περίπτωση τοῦ Ἄβελ ἦταν τίμιος ὁ θάνατός του. «Ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου; Ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου φωνάζει πρὸς ἐμένα»[34]. Πρόσεχε δὲ καὶ στὴν περίπτωση τοῦ Λαζάρου, πῶς μετὰ τὸ θάνατό του προηγοῦνταν μπροστὰ ἀπ' αὐτὸν ἄγγελοι. Πρόσεχε καὶ τοὺς ἀνθρώπους τῶν πόλεων ποὺ τρέχουν πρὸς τοὺς τάφους τῶν μαρτύρων, τὰ πλήθη τῶν λαῶν ποὺ καταφλέγονται ἀπὸ τὸν πόθο. Αὐτὸ λοιπὸν εἶναι ἐκεῖνο ποὺ λέγει, ὅτι ἐπαινεῖ πολὺ καὶ φροντίζει πάρα πολὺ ὁ Θεὸς γιὰ τὸ θάνατο τῶν ἁγίων. Διότι δὲν πεθαίνουν ἔτσι ἁπλά, οὔτε στὴν τύχη, ἀλλ' ὅταν κατ' οἰκονομία τὸ ἐπιτρέψει ὁ Θεός. Γι' αὐτὸ ἔλεγε, «Ἐνώπιον τοῦ Κυρίου», θέλοντας νὰ φανερώσει αὐτό.

«Κύριε, ἐγὼ εἶμαι δοῦλος σου, ἐγὼ εἶμαι δοῦλος σου καὶ υἱὸς τῆς δούλης σου». Δὲν ἐννοεῖ τὴν κοινὴ δουλεία, ἀλλ' ἐκείνην ποὺ γίνεται μὲ πολλὰ διάθεση καὶ ἀγάπη, καὶ ποὺ καταφλεγόμενος ἀπὸ τὸ πόθο του γι' αὐτόν, πράγμα ποὺ εἶναι μέγιστος στέφανος καὶ λαμπρότερο ἀπὸ ὁποιαδήποτε βασιλικὸ στέμμα. Γι' αὐτὸ καὶ ὁ Θεὸς θέλει αὐτὸν ἀντὶ τῆς πιὸ μεγάλης εὐφημίας, λέγοντας, «Ὁ Μωυσῆς ὁ δοῦλος μου ἔχει πεθάνει»[35]. «Καὶ υἱὸς τῆς δούλης σου». Δηλαδή, ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τοὺς προγόνους εἴμαστε κάτω ἀπὸ τὴ δουλεία σου. Αὐτὸ ἀκριβῶς εἶχε θέσει καὶ ὁ Παῦλος σὰν τὸ πιὸ μεγάλο κόσμημα γιὰ τὸν Τιμόθεο, λέγοντας· «Φέρνω στὴ μνήμη μου τὴν χωρὶς ὑποκρισία πίστη σου, ποὺ κατοίκησε πρῶτα στὴ γιαγιά σου Λωΐδα καὶ στὴ μητέρα σου Εὐνείκη. Εἶμαι δὲ ἀπόλυτα βέβαιος ὅτι κατοίκησε καὶ σένα, καὶ ὅτι ἀπὸ τὴ βρεφικὴ ἡλικία γνωρίζεις τὰ ἱερὰ γράμματα»[36]. Καὶ πάλι γιὰ τὸν ἑαυτό του· «Εἶμαι ἑβραῖος ἀπὸ γονεῖς ἑβραίους»[37]. Καὶ πάλι·

*Καὶ πάλιν· «Ἑβραῖοί εἰσι; κἀγώ. Ἰσραηλῖταί εἰσι; κἀγώ». Εἶχον γάρ τι πλέον τῶν προσηλύτων οἱ ἐκ προγόνων καὶ ἄνωθεν τοῦτο ὄντες. Διὰ τοῦτο καὶ οὗτός φησι, «Καὶ υἱὸς τῆς παιδίσκης σου».*

*«Διέρρηξας τοὺς δεσμούς μου». Οὐκ εἶπεν, ἐσάλευσας, ἀλλ', «ἔρρηξας», δηλῶν ὅτι οὕτως, ὡς καὶ ἀχρήστους γενέσθαι. Ἐνταῦθα δεσμοὺς τὰς θλίψεις φησί, τοὺς πειρασμούς, τοὺς κινδύνους. Ἔστι γὰρ καὶ δεσμὸς καλός, ὃν ἐπισφίγγεσθαι βέλτιον, ὡς ὅταν λέγῃ· «Ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης», καί, «Ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος». Ἔστι καὶ ἀπεναντίας τούτου σύνδεσμος, ὡς ὅταν λέγῃ· «Σειραῖς τῶν ἁμαρτιῶν αὐτοῦ ἕκαστος σφίγγεται». Τοῦτο καὶ ὁ Χριστὸς αἰνιττόμενος, «Ἀβραὰμ θυγατέρα οὖσαν», ἔλεγε, «ταύτην οὕτως ὑπὸ τοῦ σατανᾶ δεδεμένην οὐκ ἔδει λυθῆναι;». Καὶ ὁ Ἡσαΐας περὶ τοῦ Χριστοῦ, «Δέδωκά σε εἰς διαθήκην ἐθνῶν, λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε. Τούτους τοίνυν διέρρηξε τοὺς δεσμούς, οὐκ ἔλυσε· πλέον γὰρ τούτου ἐκεῖνο. Εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν βούλοιτο ἐκλαβεῖν, τοὺς τῶν ἁμαρτιῶν δεσμοὺς τούτους λέγων, οὐχ ἁμαρτήσεται τοῦ προσήκοντος, καὶ πάντα τὸν παλαιὸν ἄνθρωπον. Ἔστι καὶ ἕτερος δεσμὸς κάλλιστος, ὃν ἀεὶ ὁ Παῦλος περιφέρων ἔλεγε· «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ». Καὶ πάλιν, «Ὑπὲρ οὗ καὶ δέδεμαι ἐν ἁλύσει».*

*«Σοὶ θύσω θυσίαν αἰνέσεως». Ὅρα πῶς ἄνω, καὶ κάτω καὶ πανταχοῦ ταύτην τίθησι τὴν ἀντίδοσιν τῷ Θεῷ· ἄνω λέγων, «Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι», ἐνταῦθα, «Σοὶ θύσω θυσίαν αἰνέσεως», τουτέστιν, εὐχαριστήσω, ὑμνήσω. «Καὶ ἐν ὀνόματι Κυρίου*

---

38. Β΄ Κορ. 11, 22.
39. Ἐφ. 4, 3.
40. Κολ. 3, 14.
41. Παροιμ. 5, 22.
42. Λουκᾶ 13, 16.
43. Ἡσ. 49΄ 8΄ 9.
44. Ἐφ. 3, 1.
45. Ἐφ. 6. 20.

«ἑβραῖοι εἶναι ἐκεῖνοι; Καὶ ἐγὼ εἶμαι ἑβραῖος. Ἰσραηλῖτες εἶναι ἐκεῖνοι; ἰσραηλίτης εἶμαι καὶ ἐγώ»[38]. Διότι εἶχαν κάτι περισσότερο ἀπὸ τοὺς προσηλύτους ἐκεῖνοι ποὺ ἦταν τέτοιοι ἀπὸ τοὺς προγόνους τους καὶ ἀπὸ τὴν ἀρχή. Γι' αὐτὸ καὶ αὐτὸς λέγει, «Καὶ υἱὸς τῆς δούλης σου».

«Διέσπασες τὰ δεσμά μου». Δὲν εἶπε 'ἐσάλευσες', ἀλλά, «διέσπασες», γιὰ νὰ δείξει, ὅτι ἔτσι τὰ ἔσπασε, ὥστε νὰ γίνουν ἄχρηστα. Ἐδῶ δεσμὰ ὀνομάζει τὶς θλίψεις, τὶς δοκιμασίες, τοὺς κινδύνους. Ὑπάρχουν βέβαια καὶ καλὰ δεσμά, μὲ τὰ ὁποῖα εἶναι προτιμότερο νὰ περισφίγγεται κανείς, ὅπως ὅταν λέγει· «Μὲ τὸν σύνδεσμο τῆς ἀγάπης»[39], καί, «Ἡ ὁποία εἶναι σύνδεσμος τῆς τελειότητας»[40]. Ὑπάρχουν καὶ δεσμὰ ἀντίθετα ἀπ' αὐτά, ὅπως ὅταν λέγει· «Ὁ καθένας περισφίγγεται μὲ τὰ σχοινιὰ τῶν ἁμαρτιῶν του»[41]. Αὐτὸ ὑπαινισσόμενος καὶ ὁ Χριστός, ἔλεγε· «Αὐτὴ ποὺ εἶναι θυγατέρα τοῦ Ἀβραάμ, αὐτὴ ποὺ εἶχε δοθεῖ ἔτσι ἀπὸ τὸ σατανά, δὲν ἔπρεπε νὰ λυθεῖ;»[42]. Καὶ ὁ Ἡσαΐας ἔλεγε γιὰ τὸ Χριστό, «Σ' ἔδωσα σὰν νέα διαθήκη μὲ τὰ ἔθνη, γιὰ νὰ λέγεις σ' αὐτοὺς ποὺ εἶναι κάτω ἀπὸ τὰ δεσμά, ἐξέλθετε»[43]. Αὐτὰ λοιπὸν τὰ δεσμὰ τὰ διέσπασε καὶ ὄχι ἁπλῶς τὰ ἔλυσε· διότι ἐκεῖνο εἶναι μεγαλύτερο ἀπὸ αὐτό. Ἀλλ' ἂν κανεὶς ἤθελε ἐκλάβει αὐτὸ καὶ ἀλληγορικά, ὀνομάζοντας αὐτὰ τὰ δεσμὰ δεσμὰ τῶν ἁμαρτιῶν, καθὼς καὶ ὅλον τὸ παλιὸ ἄνθρωπο, δὲν θὰ σφάλει καὶ δὲν θ' ἀπομακρυνθεῖ ἀπὸ τὸ ὀρθό. Ὑπάρχουν καὶ ἄλλα δεσμά, τὰ πιὸ ὑπέροχα, ποὺ φέροντάς τα πάντοτε ὁ Παῦλος, ἔλεγε· «Παῦλος ὁ δέσμιος τοῦ Ἰησοῦ Χριστοῦ»[44]. Καὶ πάλι, «Γιὰ χάρη τοῦ ὁποίου εἶμαι δεμένος μὲ ἁλυσίδες»[45].

«Σὲ σένα θὰ προσφέρω θυσία εὐχαριστήρια». Πρόσεχε πῶς συνέχεια καὶ παντοῦ ἀναφέρει αὐτὴν τὴν ἀνταπόδοση στὸ Θεό· προηγουμένως λέγοντας «Θὰ λάβω τὸ ποτήρι τῆς σωτηρίας καὶ θὰ ἐπικαλεσθῶ τὸ ὄνομα τοῦ Κυρίου», ἐνῶ ἐδῶ, «Σὲ σένα θὰ προσφέρω θυσία αἰνέσεως», δηλαδή, θὰ σὲ εὐχαριστήσω, θὰ σὲ ἐξυμνήσω. «Καὶ θὰ

ἐπικαλέσομαι». Εἶδες πῶς ἐστι θυσία αἰνέσεως; «Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἱερουσαλήμ». Τοῦτο δὲ ἐποίει, οὐκ ἐπίδειξιν ποιούμενος, οὐδὲ πρὸς φιλοτιμίαν βλέπων, ἀλλὰ πάντας εἰς τὸν οἰκεῖον ἄγων ζῆλον, καὶ κοινωνοὺς λαβεῖν τῆς εὐχαριστίας βουλόμενος. Ὃ δὴ πάντες οἱ ἅγιοι ποιοῦσιν, οὐ τοὺς ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὴν κτίσιν αὐτὴν ἅπασαν, ἡνίκα ἄν τι πάθωσι χρηστόν, πρὸς τὴν κοινωνίαν τῆς εὐφημίας καλοῦντες. Οὐδὲν γὰρ οὕτω τῷ Θεῷ περισπούδαστον, ὡς τὸ εὐχαρίστους εἶναι, καὶ μὴ μόνον ἐν ταῖς εὐημερίαις, ἀλλὰ καὶ τῶν πραγμάτων ἐναντίως διακειμένων. Τοῦτο μάλιστα θυσία, τοῦτο μεγίστη προσφορά. Οὕτως ὁ Ἰὼβ ἀνεκηρύττετο, οὕτως ὁ Παῦλος, οὕτως ὁ Ἰακώβ, οὕτως ἕκαστος τῶν δικαίων τὴν εὐγνωμοσύνην αὐτοῦ, καὶ τὴν εἰς Θεὸν εὐχαριστίαν ἐν τῇ δυσκολίᾳ τῶν καιρῶν μάλιστα ἐπιδεικνύμενος.

Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ διαπαντὸς μένωμεν εὐχαριστοῦντες, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐπικαλεσθῶ τὸ ὄνομα τοῦ Κυρίου». Εἶδες πῶς εἶναι θυσία εὐχαριστήρια; «Τὰ ὅσα ὑποσχέθηκα στὸν Κύριο μὲ τὶς προσευχές μου θὰ τὰ ἀνταποδώσω παρουσία ὁλοκλήρου τοῦ λαοῦ του, προσφέροντας τὶς θυσίες στὶς αὐλὲς τοῦ οἴκου τοῦ Κυρίου, στὸ μέσο σου, Ἱερουσαλήμ». Αὐτὸ δὲ τὸ ἔκαμνε, ὄχι γιὰ νὰ ἐπιδειχθεῖ, οὔτε ἀποβλέποντας σὲ φιλοδοξία, ἀλλὰ γιὰ νὰ ὁδηγήσει ὅλους στὸ δικό του ζῆλο καὶ ἐπειδὴ θέλει νὰ λάβουν μέρος στὴν εὐχαριστήρια θυσία του. Αὐτὸ ἀκριβῶς κάμνουν ὅλοι οἱ ἅγιοι, ὅταν τοὺς συμβεῖ κάτι τὸ καλὸ, προσκαλώντας νὰ λάβουν μέρος στὴν ἐξύμνηση, ὄχι μόνο τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ὁλόκληρη τὴν κτίση τὴν ἴδια. Διότι τίποτε ἄλλο δὲν εἶναι τόσο πολὺ ἐπιθυμητὸ ἀπὸ τὸ Θεό, ὅσο τὸ νὰ εἴμαστε εὐγνώμονες, καὶ ὄχι μόνο κατὰ τὸν καιρό τῆς εὐημερίας, ἀλλὰ καὶ ὅταν τὰ πράγματα εἶναι ἀντίθετα. Αὐτὸ πρὸ πάντων εἶναι θυσία, αὐτό εἶναι ἡ πιὸ μεγαλύτερη προσφορά. Ἔτσι ἀναγνωριζόταν ἀπὸ τὸ Θεό ὁ Ἰώβ, ἔτσι ὁ Παῦλος, ἔτσι ὁ Ἰακώβ, ἔτσι ὁ καθένας ἀπὸ τοὺς δικαίους, δείχνοντας τὴν εὐγνωμοσύνη του καὶ τὴν εὐχαριστία του πρὸς τὸ Θεὸ πρὸ πάντων στὶς δύσκολες περιστάσεις.

Αὐτὸ λοιπὸν ἂς κάμνουμε καὶ ἐμεῖς, καὶ πάντοτε ἂς εὐχαριστοῦμε αὐτόν, ὥστε νὰ ἐπιτύχουμε καὶ τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
## ΕΙΣ ΤΟΝ ΡΙΣ' ΨΑΛΜΟΝ

«Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα».

Παντί που δῆλον, ὅτι ἡ προφητεία ἐστὶ τῆς Ἐκκλησίας τῶν πιστευόντων τὰ εἰρημένα, καὶ τοῦ κηρύγματος προαναφώνησις τοῦ τὴν οἰκουμένην κατειληφότος ἅπασαν. Οὐ γὰρ ἓν καὶ δύο καὶ τρία μόνον ἔθνη, ἀλλὰ γῆν καὶ θάλασσαν ἅπασαν ὁ ψαλμὸς καλεῖ. Ὅπερ δὴ γέγονεν, ὅτε ἡ τοῦ Χριστοῦ παρουσία ἐπέλαμψεν. Εἶτα καὶ τὴν αἰτίαν φησὶ τῆς σωτηρίας, ὅτι οὐκ ἐξ οἰκείων κατορθωμάτων, οὔτε ἀπὸ βίου καὶ παρρησίας, ἀλλ' ἀπὸ φιλανθρωπίας μόνης ἐσώθησαν. «Ἐκραταιώθη» γάρ, φησί, «τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς»· τουτέστιν, ἐπάγη, ἰσχυρὸν γέγονε, πέτρας στερρότερον. Καὶ γὰρ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν. «Καὶ ἡ ἀλήθεια αὐτοῦ μένει εἰς τὸν αἰῶνα». Τότε γὰρ μάλιστα τὰ τῆς ἀληθείας ἔλαμψε. Διὸ καὶ οὕτως εἶπεν, ἐπειδὴ τὰ τῆς Παλαιᾶς τύπος ἦν καὶ σκιά. Τοῦτο καὶ ὁ εὐαγγελιστὴς δηλῶν, ἔλεγεν· «Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο».

1. Εἶναι ὁ πιό μικρός ἀπό ὅλους τούς ψαλμούς. Ἀπευθύνεται πρός ὅλα τὰ ἔθνη καί καλεῖ αὐτὰ νὰ ὑμνήσουν τόν Κύριο γιὰ τὰ ἐλέη του καὶ τὴ φιλανθρωπία του. Εἶναι προφητικός ψαλμός, προλέγει τὴν κλήση καὶ ἐπιστροφή ὅλων τῶν λαῶν στό Θεό. Ὁ συγγραφέας τοῦ ψαλμοῦ εἶναι ἄγνωστος.

2. Ἰω. 1, 17.

# Ο Μ Ι Λ Ι Α

## ΣΤΟΝ ΡΙϚ΄ ΨΑΛΜΟ[1]

«Αἰνεῖτε τὸν Κύριο ὅλα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν ὅλοι οἱ λαοί. Διότι ἡ εὐσπλαχνία του πρὸς ἐμᾶς ἀποδείχθηκε πολὺ μεγάλη καὶ ἰσχυρὴ καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει στὸν αἰώνα».

1. Στὸν καθένα βέβαια εἶναι φανερό, ὅτι τὰ λόγια αὐτὰ εἶναι προφητεία γιὰ τὴν ἐκκλησία τῶν πιστῶν καὶ προδιακήρυξη τοῦ κηρύγματος ποὺ κατέλαβε ὅλη τὴν οἰκουμένη. Διότι ὁ ψαλμὸς δὲν προσκαλεῖ μόνο ἕνα, δύο ἢ τρία ἔθνη, ἀλλ' ὅλη τὴ γῆ καὶ τὴ θάλασσα. Πράγμα βέβαια ποὺ συνέβηκε, ὅταν διέλαμψε ἡ παρουσία τοῦ Χριστοῦ. Ἔπειτα ἀναφέρει καὶ τὴν αἰτία τῆς σωτηρίας, ὅτι δηλαδὴ δὲν σώθηκαν ἀπὸ τὰ δικά τους κατορθώματα, οὔτε μὲ τὸν τρόπο ζωῆς τους καὶ μὲ τὴν παρρησία τους, ἀλλὰ μόνο ἀπὸ τὴ φιλανθρωπία τοῦ Θεοῦ. Διότι λέγει, «Ἡ εὐσπλαχνία του ἀποδείχθηκε γιὰ ἐμᾶς πολὺ μεγάλη καὶ ἰσχυρή»· δηλαδή, ἔγινε στερεά, ἰσχυρὴ καὶ πιὸ στερεὰ ἀπὸ τὴν πέτρα. Καθόσον καθημερινὴ εἶναι ἡ προσφορά της. «Καὶ ἡ ἀλήθειά του μένει στὸν αἰώνα». Διότι τότε πρὸ πάντων διέλαμψαν τὰ τῆς ἀληθείας. Γι' αὐτὸ καὶ μίλησε ἔτσι, ἐπειδὴ τὰ πράγματα τῆς Παλαιᾶς Διαθήκης ἦταν τύπος καὶ σκιά. Αὐτὸ γιὰ νὰ δηλώσει καὶ ὁ εὐαγγελιστής, ἔλεγε· «Ὁ νόμος δόθηκε μὲ τὸν Μωυσῆ, ἐνῶ ἡ χάρη καὶ ἡ ἀλήθεια δόθηκαν μὲ τὸν Ἰησοῦ Χριστό»[1].

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΙΖ΄ ΨΑΛΜΟΝ

*«Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ».*

*1. Ἡ μὲν ῥῆσις τοῦ ψαλμοῦ, ἣν ὑποψάλλειν ὁ λαὸς εἴωθε, τοιαύτη τίς ἐστιν, «Αὕτη ἐστὶν ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ», καὶ πολλοὺς διανίστησι, καὶ κατὰ τὴν πανήγυριν ἐκείνην τὴν πνευματικὴν καὶ κατὰ τὴν οὐράνιον ἑορτὴν μάλιστα τοῦτο ὑπηχεῖν ὁ λαὸς εἴωθεν. Ἡμεῖς δέ, εἰ βούλεσθε, ἄνωθεν καὶ ἐξ ἀρχῆς ἅπαντα ἐπέλθωμεν τὸν ψαλμόν, οὐκ ἀπὸ τοῦ στίχου τῆς ὑπηχήσεως, ἀλλὰ ἀπ᾿ αὐτοῦ τοῦ προοιμίου τὴν ἐξήγησιν ποιούμενοι. Τὸν μὲν γὰρ στίχον οἱ πατέρες, ἅτε ἦχον ὄντα καί τι ὑψηλὸν ἔχοντα δόγμα, τὸ πλῆθος ὑπηχεῖν ἐνομοθέτησαν, ἐπειδὴ τὸν ἅπαντα ἠγνόουν ψαλμόν, ἵνα κἂν ἐντεῦθεν ἀπηρτισμένην λάβωσι διδασκαλίαν. Ἡμᾶς δὲ ἅπαντα αὐτὸν ἐπελθεῖν ἀνάγκη, εἰ καὶ τὰ μέσα αὐτοῦ πολλὴν ἔχει τὴν προφητείαν. Ἐνταῦθα γὰρ εἴρηται· «Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας». Ὅπερ καὶ ὁ Χριστὸς ἔλεγε τοῖς Ἰουδαίοις, αἰνιγματωδέστερον μὲν (ἔτι γὰρ ἔζεον τῷ θυμῷ καὶ οὐκ ἐβούλετο αὐτὸν ἀνάψαι· «Κάλαμον γὰρ συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει»), εἶπε δ᾿ οὖν ὅμως. Ἀλλ᾿ ἀπὸ τῶν προοιμίων ἡμεῖς ἀψώμεθα τοῦ ψαλμοῦ, καθάπερ ἔφθημεν εἰπόντες.*

---

1. Εἶναι ποίημα ἀγνώστου συγγραφέα, λειτουργικὸ καὶ καλοῦνται οἱ Ἰσραηλῖτες νὰ ὑμνήσουν καὶ δοξολογήσουν τὸν Κύριο ποὺ τοὺς λύτρωσε ἀπὸ τοὺς μεγάλους κινδύνους. Περιέχει καὶ πολλὰ μεσσιακὰ τμήματα. Τοὺς στίχους 25 καὶ 26 ἔψαλλε ὁ λαὸς κατὰ τὴν θριαμβευτικὴ εἴσοδο τοῦ Ἰησοῦ στὸ Ἱεροσόλυμα.

2. Ψαλμ. 117, 24.

3. Ψαλμ. 117, 22.

4. Ἡσ. 42, 3.

## ΟΜΙΛΙΑ ΣΤΟΝ ΡΙΖ΄ ΨΑΛΜΟ[1]

«Δοξολογεῖτε τὸν Κύριο, διότι εἶναι ἀγαθὸς καὶ διότι ἡ εὐσπλαχνία του εἶναι αἰώνια».

1. Ὁ μὲν στίχος τοῦ ψαλμοῦ, ποὺ συνήθιζε ὁ λαὸς νὰ ψάλλει χαμηλόφωνα, εἶναι αὐτός, «Αὐτὴ εἶναι ἡ ἡμέρα ποὺ τὴν ἔκαμε ὁ Κύριος· ἂς χαροῦμε καὶ ἂς εὐφρανθοῦμε τὴν ἡμέρα αὐτή»[2], ὁ ὁποῖος καὶ ἀνυψώνει πολλοὺς πνευματικὰ καὶ συνήθιζε ὁ λαὸς νὰ ψάλλει χαμηλόφωνα αὐτὸν πρὸ πάντων κατὰ τὴν ἡμέρα ἐκείνη τὴν πνευματικὴ καὶ οὐράνιο, ἐμεῖς ὅμως, ἂν θέλετε, ἂς ἐξετάσουμε ὅλο τὸν ψαλμό ἀπὸ τὴν ἀρχή, ὄχι ἀπὸ τὸν στίχο ποὺ ἔψαλλαν χαμηλόφωνα, ἀλλ' ἂς προχωρήσουμε στὴν ἐξήγηση ἀπὸ αὐτὸ τὸ προοίμιο. Διότι, τὸν μὲν στίχο οἱ πατέρες, ἐπειδὴ ὑπηχεῖ ὅλο τὸ περιεχόμενο τοῦ ψαλμοῦ καὶ ἔχει κάποια ὑψηλὴ ἀλήθεια, ἔδωσαν ἐντολὴ νὰ ψάλλει χαμηλόφωνα τὸ πλῆθος, ἐπειδὴ ἀγνοοῦσαν ὁλόκληρο τὸν ψαλμό, ὥστε ἔστω καὶ μὲ τὸν τρόπο αὐτὸ νὰ ἔχει μιὰ ὁλοκληρωμένη διδασκαλία, ἐμεῖς ὅμως πρέπει νὰ ἐξετάσουμε ὅλον αὐτὸν τὸν ψαλμό, ἂν καὶ στὰ μέσα αὐτοῦ περιέχει πολλὲς προφητεῖες. Διότι ἐδῶ ἔχει λεχθεῖ· «Λίθο ποὺ τὸν ἀπέρριψαν οἱ οἰκοδομοῦντες, αὐτὸς ἔγινε ὁ ἀκρογωνιαῖος λίθος»[3]. Αὐτὸ ἀκριβῶς ἔλεγε καὶ ὁ Χριστὸς στοὺς Ἰουδαίους, πιὸ αἰνιγματικὰ μὲν (διότι ἀκόμα ἔβραζαν ἀπὸ τὸ θυμὸ καὶ δὲν ἤθελε νὰ τὸν ἀνάψει· διότι «Καλάμι σπασμένο δὲν θὰ τὸ συντρίψει, καὶ λινάρι ποὺ καπνίζει δὲν θὰ τὸ σβήσει»)[4], ὁπωσδήποτε ὅμως τὸ εἶπε[5]. Ἀλλ' ἐμεῖς ἂς ἐπιχειρήσουμε τὴν ἐξέταση τοῦ ψαλμοῦ ἀπὸ τὸ προοίμιο, ὅπως προαναφέραμε. Ποιὸ λοιπὸν εἶναι τὸ προοίμιο;

---

5. Ματθ. 21, 42.
6. Ματθ. 15, 24.

*Τί τοίνυν ἐστὶ τὸ προοίμιον; «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Ἐννοήσας γὰρ τὴν εὐεργεσίαν τῆς οἰκουμένης ὁ προφήτης, καὶ τὴν φιλανθρωπίαν τὴν διαρκῆ, ἣν διὰ πάντων ἐπεδείξατο, πάντας εἰς τὴν κοινωνίαν τῆς εὐχαριστίας καλεῖ, τὸ μέγιστον κεφάλαιον τῶν ἀγαθῶν αὐτοῦ προτιθεὶς εἰς μέσον. «Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Τί λέγεις; Οἶκος Ἰσραήλ, ὁ μυρίας αἰχμαλωσίας ὑπομείνας, ὁ ἐν Αἰγύπτῳ δουλεύσας, ὁ πρὸς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἀπαχθείς, ὁ ἐν Παλαιστίνῃ μυρία ταλαιπωρήσας; Ναί, φησίν. Οὗτοι γὰρ μάλιστα μάρτυρές εἰσι τῶν ἀγαθῶν αὐτοῦ, καὶ πλειόνων ἀπήλαυσαν, ἢ ἕτεροι. Καὶ αὐτὸ δὲ τοῦτο, ὅπερ ἔπαθον πολλῆς εὐεργεσίας τεκμήριον. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ὑπὲρ τῆς παρουσίας αὐτῆς τοῦ Χριστοῦ μάλιστα αὐτοὺς εὐχαριστεῖν. Εἰ γὰρ καὶ τὰ ἐναντία ὑπέμειναν, ἀλλ' οὐ παρὰ τὸν παραγενόμενον, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην. Αὐτὸς μὲν γὰρ πρὸς αὐτοὺς ἀφικνεῖτο καὶ συνεχῶς ἔλεγεν· «Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· καὶ τοῖς μαθηταῖς· «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ»· καὶ πρὸς τὴν Χαναναίαν· «Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ δοῦναι αὐτὸν τοῖς κυναρίοις». Καὶ γὰρ πάντα ἐποίει καὶ ἐπραγματεύετο ὑπὲρ τῆς ἐκείνων σωτηρίας. Εἰ δὲ ἀνάξιοι τῆς εὐεργεσίας ἐφάνησαν, ταῖς ἑαυτῶν λογιζέσθωσαν παρανομίαις καὶ τῇ τῆς ἀγνωμοσύνης ὑπερβολῇ.*

*«Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Ἐνταῦθα κεχωρισμένως τοὺς ἱερέας εἰς ὑ-*

7. Ματθ. 10, 5-6.
8. Ματθ. 15, 26.

«Δοξολογεῖτε τὸν Κύριο, διότι εἶναι ἀγαθὸς καὶ διότι ἡ εὐσπλαχνία του μένει αἰώνια». Διότι, σκεπτόμενος ὁ προφήτης τὴν εὐεργεσία τῆς οἰκουμένης καὶ τὴν συνεχὴ φιλανθρωπία τοῦ Κυρίου, τὴν ὁποία ἔδειξε μὲ κάθε τρόπο, καλεῖ ὅλους νὰ πάρουν μέρος στὴν εὐχαριστία, ἀναφέροντας τὸ πιὸ μεγάλο καὶ τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν τοῦ Κυρίου. «Ἂς πεῖ λοιπὸν ὁ οἶκος τοῦ Ἰσραήλ, ὅτι ὁ Κύριος εἶναι ἀγαθός, ὅτι ἡ εὐσπλαχνία του εἶναι αἰώνια». Τί λέγεις; Ὁ οἶκος τοῦ Ἰσραήλ, ποὺ ὑπέμεινε ἀμέτρητες αἰχμαλωσίες, ποὺ ἔζησε σὰν δοῦλος στὴν Αἴγυπτο, ποὺ ὁδηγήθηκε πρὸς τὰ πιὸ ἀπομακρυσμένα μέρη τῆς οἰκουμένης, ποὺ ταλαιπωρήθηκε ἀφάνταστα στὴν Παλαιστίνη; Ναί, λέγει. Διότι αὐτοὶ πρὸ πάντων εἶναι μάρτυρες τῶν ἀγαθῶν του, καὶ αὐτοὶ ἀπόλαυσαν περισσότερα, παρὰ οἱ ἄλλοι. Καὶ αὐτὸ ἀκριβῶς ποὺ ἔπαθαν, εἶναι ἀπόδειξη μεγάλης εὐεργεσίας. Ἂν δὲ κανεὶς ἤθελε ἐξετάσει μὲ ἀκρίβεια, πρέπει αὐτοὺς πρὸ πάντων νὰ εὐχαριστεῖ καὶ γι' αὐτὴν ἀκόμα τὴν παρουσία τοῦ Χριστοῦ. Διότι ἂν καὶ ὑπέμειναν τὰ ἀντίθετα, αὐτὸ συνέβηκε ὄχι ἐξ αἰτίας ἐκείνου ποὺ ἦλθε, ἀλλ' ἐξ αἰτίας τῆς δικῆς τους ἀγνωμοσύνης. Καθόσον αὐτὸς μὲν ἐπισκεπτόταν αὐτοὺς καὶ συνέχεια ἔλεγε· «Δὲν στάλθηκα στὸν κόσμο γιὰ τίποτε ἄλλο, παρὰ γιὰ νὰ σώσω τὰ χαμένα πρόβατα τοῦ οἴκου Ἰσραήλ»[6]· καὶ στοὺς μαθητές του· «Μὴ βαδίσετε σὲ δρόμο ποὺ ὁδηγεῖ πρὸς τοὺς ἐθνικούς· πηγαίνετε μᾶλλον πρὸς τὰ χαμένα πρόβατα τοῦ οἴκου Ἰσραήλ»[7]· καὶ πρὸς τὴ Χαναναία· «Δὲν εἶναι ὀρθὸ νὰ πάρει κανεὶς τὸν ἄρτο τῶν τέκνων καὶ νὰ τὸν δώσει στὰ σκυλάκια»[8]. Καὶ πράγματι ἔκαμνε τὰ πάντα καὶ μεταχειριζόταν μὲ σκοπὸ τὴ σωτηρία ἐκείνων. Ἂν δὲ φάνηκαν ἀνάξιοι τῆς εὐεργεσίας, ἂς σκέπτονται ὅτι αἰτία ὑπῆρξαν οἱ παρανομίες τους καὶ ἡ ὑπερβολικὴ ἀγνωμοσύνη τους.

«Ἂς διακηρύξει λοιπὸν ὁ οἶκος τοῦ Ἀαρών, ὅτι εἶναι ἀγαθὸς ὁ Κύριος καὶ ὅτι ἡ εὐσπλαχνία του εἶναι αἰώνια».

*μνῳδίαν καλεῖ, δεικνὺς ὅση τίς ἐστιν ὑπερέχουσα ἡ ἱερωσύνη. Καὶ γὰρ ὅσῳ μείζους ἦσαν οὗτοι τῶν ἄλλων, τοσούτῳ καὶ πλείονος ἀπήλαυον τῆς τιμῆς παρὰ τοῦ Θεοῦ, οὐ μόνον κατὰ τὸν τῆς ἱερωσύνης λόγον, ἀλλὰ καὶ κατὰ τὰ ἄλλα πάντα. Καὶ γὰρ ἡνίκα πῦρ κατηνέχθη, δι' αὐτοὺς κατηνέχθη, καὶ γῆ ἠνοίχθη, καὶ ῥάβδος ἐβλάστησε, καὶ μυρία ἕτερα γέγονε δι' αὐτούς, μᾶλλον δὲ ὑπὲρ αὐτῶν θαύματα. «Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Μάλιστα γὰρ οὗτοί εἰσιν οἱ δυνάμενοι τὴν φιλανθρωπίαν ἰδεῖν τὴν αὐτοῦ, καὶ διὰ πάντων τὴν ἀγαθότητα καταμανθάνειν. Τί δέ ἐστιν, «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ»; Διηνεκές, φησίν, οὐ διακοπτόμενον, ἀλλὰ διὰ πάντων λάμπον καὶ διαδεικνύμενον. Εἰ δὲ μὴ πολλοὶ βλέπουσι, διὰ τὴν ἀσθένειαν τῶν οἰκείων οὐ βλέπουσι λογισμῶν. Ἐπεὶ καὶ τὸν ἥλιον οἱ τὰς ὄψεις νοσοῦντες διὰ τοῦτο μάλιστα οὐχ ὁρῶσιν· ὥσπερ οὐδὲ οἱ ὑγιαίνοντες ἀεὶ δύνανται πρὸς αὐτὸν ἀτενίζειν, διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος· οὕτως οὐδὲ τοῦ Θεοῦ μαθεῖν δυνατὸν πᾶσαν μετὰ ἀκριβείας τὴν πρόνοιαν, διὰ τὸ σφόδρα ὑπερβαίνειν τῶν ἀνθρωπίνων λογισμῶν τὸ μέγεθος τῆς συνέσεως αὐτοῦ καὶ τῆς σοφίας.*

*Ἔστι δὲ καὶ πάθη τὰ πολλὰ τοῖς ἀνοήτοις ἐπισκοτοῦντα πρὸς τὸ μηδ' ὅλως αὐτὴν ἰδεῖν. Πρῶτον μὲν τὸ φιλήδονον· διόπερ καὶ τὰ πᾶσι σαφῆ παρατρέχουσι. Μετὰ τούτων δεύτερον ἡ ἄνοια καὶ τὸ διεστραμμένον τῆς γνώμης. Πῶς γὰρ οὐκ ἄτοπον πατέρα μὲν ὁρῶντα τύπτοντα παιδίον ἀποδέχεσθαι καὶ ἐπαινεῖν καὶ ταύτῃ μάλιστα πατέρα νομίζειν, πρὸς δὲ τὸν Θεόν, εἰ βουληθείη δίκην ἀπαιτῆσαι τῶν πεπραγμένων, δυσ-*

---

9. Λευιτ. 10, 2.
10. Ἀριθμ. 16, 32.
11. Ἀριθμ. 17, 23.

Ἐδῶ ξεχωριστὰ προσκαλεῖ τοὺς ἱερεῖς γιὰ ἐξύμνηση, γιὰ νὰ δείξει πόσο ὑπερέχει ἡ ἱερωσύνη. Καθόσον ὅσο ἀνώτεροι ἦταν αὐτοὶ ἀπὸ τοὺς ἄλλους, τόσο περισσότερο καὶ μεγαλύτερη τιμὴ ἀπολάμβαναν ἀπὸ τὸ Θεό, ὄχι μόνο ἐξ αἰτίας τῆς ἱερωσύνης, ἀλλὰ καὶ γιὰ ὅλα τὰ ἄλλα. Καὶ πράγματι, ὅταν κατέβηκε φωνὴ ἀπὸ τὸν οὐρανό, γι' αὐτοὺς κατέβηκε[9], καὶ γῆ ἄνοιξε[10], καὶ ράβδος βλάστησε[11], καὶ πάρα πολλὰ ἄλλα ἔγιναν γι' αὐτούς, μᾶλλον δὲ ὑπὲρ αὐτῶν. «Ἂς διακηρύξουν ἐπίσης καὶ ὅλοι ἐκεῖνοι ποὺ φοβοῦνται τὸ Θεό, ὅτι εἶναι ἀγαθὸς καὶ ὅτι εἶναι αἰώνιο τὸ ἔλεός του. Διότι αὐτοὶ πρὸ πάντων εἶναι ἐκεῖνοι ποὺ μποροῦν νὰ δοῦν τὴ φιλανθρωπία αὐτοῦ καὶ νὰ διαπιστώσουν ἀπὸ ὅλα τὴν ἀγαθότητά του. Τί σημαίνει ὅμως, «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ»; Εἶναι συνεχόμενο, λέγει, δὲν διακόπτεται, ἀλλὰ λάμπει καὶ ἀποδεικνύεται ἀνάμεσα ἀπὸ ὅλα. Ἂν δὲ δὲν τὸ βλέπουν πολλοὶ δὲν τὸ βλέπουν ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς σκέψεώς τους. Διότι καὶ τὸν ἥλιο γι' αὐτὸ φυσικὰ δὲν τὸν βλέπουν ἐκεῖνοι ποὺ ἔχουν ἀσθενικὴ ὅραση· ὅπως ἀκριβῶς βέβαια οὔτε αὐτοὶ ποὺ ἔχουν ὑγιὴ ὅραση μποροῦν νὰ βλέπουν πρὸς αὐτὸν συνέχεια, ἐξ αἰτίας τῆς ὑπερβολικῆς λαμπρότητας· ἔτσι οὔτε ὅλη τὴν πρόνοια τοῦ Θεοῦ εἶναι δυνατὸ νὰ γνωρίσουμε μὲ ἀκρίβεια, ἐπειδὴ ὑπερβαίνει πάρα πολὺ τὶς ἀνθρώπινες σκέψεις ἡ σύνεση αὐτοῦ καὶ ἡ σοφία.

Ὑπάρχουν δὲ καὶ πολλὰ πάθη ποὺ ἐπισκοτίζουν τοὺς ἀνοήτους, ὥστε νὰ μὴ βλέπουν αὐτὴν καθόλου. Καὶ πρῶτο πάθος εἶναι ἡ φιληδονία· γι' αὐτὸ ἀκριβῶς καὶ παραβλέπουν ἐκεῖνα ποὺ εἶναι ξεκάθαρα σ' ὅλους. Μαζὶ μὲ αὐτὸ δεύτερο πάθος εἶναι ἡ μωρία καὶ ἡ διεστραμμένη σκέψη. Διότι πῶς δὲν εἶναι παράλογο, βλέποντας κανεὶς κάποιο πατέρα νὰ χτυπᾶ τὸ παιδί του, νὰ ἀποδέχεται αὐτὸ καὶ νὰ τὸ ἐπαινεῖ, καὶ νὰ τὸν θεωρεῖ γι' αὐτὸ πρὸ πάντων πατέρα, πρὸς δὲ τὸ Θεό, ἂν συμβεῖ νὰ θελήσει νὰ τιμωρήσει τὶς πράξεις, νὰ δυσανασχετεῖ καὶ νὰ στενο-

*χεραίνειν καὶ ἀλύειν; Τί δὲ τῆς διαστροφῆς ταύτης χεῖρον γένοιτ' ἄν, οἳ καὶ ἐπὶ τοῖς ἐναντίοις δυσχεραίνουσι, νῦν μὲν ἀλύοντες, ὅτι μὴ ἐπεξέρχεται, νῦν δὲ ὅτι ἐπεξέρχεται; Ὅταν μὲν γὰρ ἴδωσιν ἁρπάζοντας καὶ πλεονεκτοῦντάς τινας, βούλονται δίκας αὐτοὺς διδόναι, ὅταν δὲ ἑαυτοὺς ἁμαρτάνοντας, οὐδ' ὅλως, ὅπερ ἐστὶ διεφθαρμένης γνώμης. Τρίτον πρὸς τούτοις, τὸ μηδὲ εἰδέναι αὐτούς, τί ποτε καλόν, καὶ τί ποτε κακόν, ἀλλ' ἐσφάλθαι περὶ τὴν τῶν πραγμάτων κρίσιν, διὰ τὸ φιλοπόνηρον, καὶ πρὸς κακίαν ἐπιρρεπές. Τέταρτον, τὸ μηδὲ λογίζεσθαι τὰ οἰκεῖα ἁμαρτήματα. Πέμπτον, τὸ ἄφατον εἶναι καὶ πολὺ τὸ μέσον Θεοῦ καὶ ἀνθρώπων. Ἕκτον, τὸ μὴ βούλεσθαι τὸν Θεὸν ἅπαντα ἁπανταχοῦ ἐπιδείκνυσθαι, ὡς ἀρκούντων καὶ τῶν ἐκ μέρους γινομένων. Δεῖ τοίνυν ἐν ἅπασι μὲν μὴ φιλονεικεῖν μανθάνειν τοῦ Θεοῦ τὴν διοίκησιν (ἀμηχάνοις γὰρ φιλονεικοῦμεν πράγμασι καὶ σφόδρα ὑπερβαίνουσι πᾶσαν φύσιν κτιστήν), τοὺς δὲ μέλλοντας ἐκ μέρους αὐτὴν εἰδέναι, τῶν παθῶν ἀπηλλάχθαι χρὴ τῶν προειρημένων, καὶ ἡλίου φανοτέραν αὐτὴν ὄψονται, εἰ καὶ μὴ πᾶσαν, καὶ μαθόντες ἀπὸ τοῦ μέρους, καὶ ὑπὲρ ἁπάσης εὐχαριστήσουσιν.*

*2. «Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν». Εἶδες ἀγαθότητα καὶ φιλανθρωπίαν; Οὐκ εἶπεν, 'ὅτι ἄξιος ἤμην', οὐκ εἶπεν, 'ὅτι κατορθώματα ἐπεδειξάμην', ἀλλ' ὅτι, «Ἐπεκαλεσάμην», μόνον, καὶ ἤρκεσεν ἡ εὐχὴ λῦσαι τὴν συμφοράν, ὅπερ καὶ ἐπ' Αἰγυπτίων φησίν· «Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς». Οὐκ εἶπεν, ὅτι εἶδον τὴν ἀρετὴν τοῦ λαοῦ μου,*

12. Ἔξ. 3, 7-8.

χωρεῖται. Τί δὲ θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπὸ αὐτὴ τὴ διαστροφὴ ὅταν, ἐκεῖνοι ποὺ δυσανασχετοῦν γιὰ τὰ ἀντίθετα, ἄλλοτε μὲν στενοχωροῦνται ἐπειδὴ δὲν τιμωρεῖ, ἄλλοτε δὲ ἐπειδὴ τιμωρεῖ; Διότι, ὅταν δοῦν μερικοὺς ν' ἁρπάζουν καὶ νὰ εἶναι πλεονέκτες, θέλουν νὰ τιμωροῦνται αὐτοί, ὅταν δὲ οἱ ἴδιοι ἁμαρτάνουν, δὲν τὸ θέλουν καθόλου, πράγμα ποὺ εἶναι δεῖγμα διεστραμμένης σκέψεως. Τρίτο πάθος, μαζὶ μὲ αὐτά, εἶναι, τὸ ὅτι δὲν γνωρίζουν αὐτοί, τί τέλος πάντων εἶναι καλὸ καὶ τί εἶναι κακό, ἀλλ' εἶναι ἐσφαλμένη ἡ γνώμη τους στὴ διάκριση τῶν πραγμάτων, ἐξ αἰτίας τῆς φιλοπονηρίας τους καὶ τῆς ροπῆς τους πρὸς τὴν κακία. Τέταρτο, τὸ ὅτι δὲν σκέπτονται τὰ ἁμαρτήματά τους. Πέμπτο, τὸ ὅτι εἶναι ἀπερίγραπτη καὶ μεγάλη ἡ ἀπόσταση μεταξὺ Θεοῦ καὶ ἀνθρώπων. Ἕκτο, τὸ ὅτι δὲν θέλει ὁ Θεὸς ὅλα νὰ τὰ παρουσιάζει παντοῦ, ἐπειδὴ εἶναι ἀρκετὰ καὶ τὰ *ἐπὶ μέρους γινόμενα*. Πρέπει λοιπὸν νὰ μὴ φιλονεικοῦμε μὲν σ' ὅλα γιὰ νὰ μαθαίνουμε τὸν τρόπο διακυβερνήσεως τοῦ Θεοῦ (διότι φιλονεικοῦμε γιὰ πράγματα ἀδύνατα καὶ ποὺ ὑπερβαίνουν πάρα πολὺ κάθε κτιστὴ φύση), ἐνῶ ἐκεῖνοι ποὺ θέλουν νὰ γνωρίσουν αὐτὰ ἐπὶ μέρους, πρέπει νὰ ἔχουν ἀπαλλαγεῖ ἀπὸ τὰ προαναφερθέντα πάθη, καὶ θὰ τὴν δοῦν λαμπρότερη καὶ ἀπὸ τὸν ἥλιο, ἂν καὶ ὄχι ὅλη, καὶ ἀφοῦ γνωρίσουν αὐτὴν ἀπὸ τὰ ἐπὶ μέρους, ἂς τὸν εὐχαριστήσουν καὶ γιὰ ὅλη.

2. *«Μέσα στὴ θλίψη μου κάλεσα σὲ βοήθεια τὸν Κύριο καὶ ἄκουσε τὴν προσευχή μου καὶ μ' ἀνακούφισε σὲ ὑπερβολικὸ βαθμό»*. Εἶδες ἀγαθότητα καὶ φιλανθρωπία; Δὲν εἶπε, 'ὅτι ἤμουν ἄξιος', δὲν εἶπε, 'ὅτι ἐπέδειξα κατορθώματα', ἀλλὰ μόνο ὅτι «ἐπικαλέσθηκα τὴ βοήθειά του», καὶ ἦταν ἀρκετὴ ἡ προσευχὴ νὰ σταματήσει τὴ συμφορά, πράγμα ποὺ λέγει καὶ στὴν περίπτωση τῶν Αἰγυπτίων· «Γνώρισα πολὺ καλὰ τὰ κακοπαθήματα τοῦ λαοῦ μου καὶ κατέβηκα νὰ τοὺς ἐλευθερώσω»[12]. Δὲν εἶπε, ὅτι εἶδα τὴν

οὔτε τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, ἀλλά, τὴν θλῖψιν, καὶ τῆς κραυγῆς αὐτῶν ἤκουσα. Ὁρᾷς πατέρα εὔσπλαγχνον ἀπὸ τῶν συμφορῶν βοηθοῦντα μόνον; Καὶ μὴν οὐχ ἅπας ὁ ἐν θλίψει καὶ σώζεσθαι ἄξιος οὐδὲ παρὰ ἀνθρώποις. Πολλοὺς γοῦν τῶν οἰκετῶν μαστιζομένους ὁρῶντες καὶ ὀδυνωμένους, οὐκ ἀνίεμεν, τὸ τῶν ἁμαρτημάτων μέγεθος ἐννοοῦντες, ὁ δὲ Θεὸς ἀπὸ τῆς θλίψεως μόνον ἀνῆκεν· οὐ τῆς θλίψεως δὲ μόνον ἀνῆκεν, ἀλλὰ καὶ ἀδείας πολλῆς μετέδωκεν. «Ἐπήκουσε γάρ μου», φησίν, «εἰς πλατυσμόν». Καὶ ἡ θλῖψις δὲ διὰ τοῦτο συνεχωρήθη, ὥστε ἀκριβεστέρους ποιῆσαι τοὺς θλιβομένους καὶ φιλοσοφωτέρους.

«Ὁ Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος». Εἶδες ὕψωμα διανοίας; εἶδες φρόνημα οὕτως ὑπὲρ τὴν ἀνθρωπίνην ἀναβαῖνον ἀσθένειαν, ὡς ἁπάσης ὑπεριδεῖν τῆς φύσεως; Ταῦτα μὴ μόνον ὑποψάλλωμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδειξώμεθα. Οὐκ εἶπεν, 'οὐδὲν πείσομαι', ἀλλ', «Οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος». Τουτέστι, κἂν πάθω, οὐ δέδοικα· ὅπερ καὶ ὁ Παῦλός φησιν· «Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;». Καὶ μὴν μυρίοι ἦσαν οἱ κατ' αὐτῶν· ἀλλ' οὐδὲν αὐτοὺς ἠδίκει. Πῶς γὰρ οὐκ ἐσχάτης ἂν ᾖ μικροψυχίας τὸν Δεσπότην ἔχοντας εὐμενῆ δεδοικέναι τοὺς συνδούλους; Ἀλλ' οὐχ οὗτος τοιοῦτος, ἀλλ' ἀνώτερος καὶ ὑψηλότερος πάντῃ τῶν τοιούτων φόβων. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, μηδὲ ἀποστερῶμεν τῆς τοῦ Δεσπότου συμμαχίας ἑαυτοὺς τῷ δεδοικέναι τὰ ἀνθρώπινα. Τοῦτο γὰρ ὑβριζόν-

13. Ρωμ. 8, 31.

ἀρετὴ τοῦ λαοῦ μου, οὔτε τὴ μεταβολή τους πρὸς τὸ καλύτερο, ἀλλὰ τὴ θλίψη τους, καὶ ἄκουσα τὴν κραυγή τους. Βλέπεις πατέρα εὐσπλαχνικό, ποὺ βοηθεῖ μόνο ἀπὸ τὶς συμφορὲς ποὺ βλέπει; Καὶ ὅμως δὲν θεωρεῖται ἄξιος νὰ σωθεῖ ἀπὸ τοὺς ἀνθρώπους ὁ καθένας ποὺ βρίσκεται μέσα στὴ θλίψη. Βλέποντας λοιπὸν πολλοὺς ἀπὸ τοὺς δούλους νὰ μαστιγώνονται καὶ νὰ ὑποφέρουν, δὲν τοὺς ἀφήνουμε ἐλευθέρους, σκεπτόμενοι τὸ μέγεθος τῶν σφαλμάτων τους, ὁ Θεὸς ὅμως τοὺς ἐλευθέρωσε καὶ μόνο βλέποντάς τους νὰ εἶναι μέσα στὴ θλίψη· καὶ δὲν τοὺς ἀπάλλαξε μόνο ἀπὸ τὴ θλίψη, ἀλλὰ καὶ τοὺς πρόσφερε καὶ μεγάλη ἀσφάλεια. Διότι λέγει «Εἰσάκουσε τὴν προσευχή μου καὶ μὲ ἀνακούφισε σὲ μεγάλο βαθμό». Καὶ ἡ θλίψη δὲ γι' αὐτὸ τὸ λόγο ἐπιτράπηκε, γιὰ νὰ κάνει τοὺς θλιβομένους πιὸ προσεκτικοὺς καὶ πιὸ εὐσεβεῖς.

«Ὁ Κύριος εἶναι βοηθός μου καὶ δὲν θὰ φοβηθῶ ὅ,τι καὶ ἂν μοῦ κάνει ὁ ἄνθρωπος». Εἶδες ὕψος διανοίας; εἶδες φρόνημα ποὺ ἀνεβαίνει τόσο ψηλὰ πάνω ἀπὸ τὴν ἀνθρώπινη ἀδυναμία, ὥστε νὰ παραβλέπει ὁλόκληρη τὴ φύση; Αὐτὰ ἂς μὴ τὰ ψάλλουμε μόνο χαμηλόφωνα, ἀλλὰ ἂς τὰ δείξουμε καὶ μὲ τὰ ἔργα μας. Δὲν εἶπε, 'δὲν θὰ πάθω τίποτε', ἀλλά, «Δὲν θὰ φοβηθῶ ὅ,τι καὶ ἂν μοῦ κάνει ὁ ἄνθρωπος». Δηλαδή, καὶ ἂν ἀκόμα κακοπαθήσω, δὲν φοβᾶμαι, πράγμα ποὺ λέγει καὶ ὁ Παῦλος· «Ἂν ὁ Θεὸς εἶναι μαζί μας, ποιὸς μπορεῖ νὰ εἶναι ἐναντίον μας;»[12]. Καὶ πράγματι ἀμέτρητοι ἦταν ἐκεῖνοι ποὺ ἦταν ἐναντίον τους, ἀλλ' ὅμως σὲ τίποτε δὲν τοὺς ἔβλαπτε αὐτό. Διότι πῶς δὲν θὰ ἦταν ἡ πιὸ μεγαλύτερη μικροψυχία τὸ νὰ ἔχουν τὸν Κύριο μὲ τὸ μέρος τους καὶ νὰ φοβοῦνται τοὺς συνδούλους τους; Ἀλλ' αὐτὸς δὲν ἦταν τέτοιος, ἀλλὰ βρισκόταν ἐξ ὁλοκλήρου πάνω καὶ ψηλότερα ἀπὸ τέτοιους φόβους. Αὐτὸ λοιπὸν ἂς κάμνουμε καὶ ἐμεῖς καὶ ἂς μὴ στεροῦμε τοὺς ἑαυτούς μας ἀπὸ τὴ βοήθεια τοῦ Κυρίου, ὥστε νὰ φοβόμαστε τὰ ἀνθρώπινα. Διότι αὐ-

*των ἐστὶν εἰς τὴν τοῦ Θεοῦ βοήθειαν. Διὸ λέγεται καὶ ὁ Ἐζεκίας παθεῖν, ἅπερ ἔπαθεν, ἐπειδὴ τοῦ ἡλίου ἀναποδίσαντος, καὶ πάλιν ἀναβάντος οὓς κατέβη ἀναβαθμούς, καὶ σημείου γενομένου ἱκανοῦ πάντας ἐκπλῆξαι ἐλθόντας τοὺς ταῦτα μαθεῖν βουλομένους, οὐκ ἀπὸ τῶν παρὰ τοῦ Θεοῦ συμβάντων, ἀλλ' ἀπὸ τῶν ἀνθρωπίνων καταπλῆξαι ἐβούλετο, δεδοικὼς αὐτῶν τὴν ἔφοδον· διὸ καὶ τοὺς θησαυροὺς αὐτοῖς ἐδείκνυεν, ἐν τοῖς θησαυροῖς τὰς ἐλπίδας ἔχων. Διὸ δὴ καὶ ὁ Θεὸς παροξυνθείς φησι, «Λήψονται ταῦτα πάντα»· τουτέστι, παρ' οἷς ἤλπισας, οἷς θαρρεῖς. Τοῦτο καὶ ὁ Ἰσραὴλ ἐγκαλεῖται, ὅτι δὴ χρήμασι ἐθάρρουν καὶ ἵπποις. Διὸ καὶ παρῄνει αὐτοῖς ὁ προφήτης, τοῖς ἐναντίοις ἐξιλεοῦσθαι τὸν Θεόν, καὶ λέγειν· «Ἐφ' ἵπποις οὐκ ἀναβησόμεθα». Ὁ Θεός σε τιμᾷ, καὶ σὺ σαυτὸν ἀτιμάζεις; ὁ Θεός σε τιμᾷ, τὴν παρ' αὐτοῦ συμμαχίαν ὑπισχνούμενος, καὶ σὺ πρὸς ἀνθρωπίνας καταφεύγεις ἐλπίδας, καὶ ἀψύχῳ ὕλῃ τοῖς χρήμασι τὴν ἐλπίδα σου τῆς σωτηρίας πιστεύεις; Οὐ γὰρ δὴ σῶσαι ζητεῖ μόνον, ἀλλὰ καὶ ἐντίμως τοῦτο ποιῆσαι. Σφόδρα σε φιλεῖ καὶ διὰ τοῦτό σε πάντων ἀπάγων, ἑαυτῷ προσηλοῖ, καὶ πάντα περικόπτων, πρὸς ἑαυτὸν ἄγει, μονονουχὶ τοῦτο λέγων δι' ὧν ποιεῖ, ἐν ἐμοὶ τὰς ἐλπίδας ἔχε, καὶ ἐμοὶ πρόσεχε διηνεκῶς.*

*«Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου». Ὁρᾷς οὐκ αὐτὸν ἀμυνόμενον, οὐδὲ ἐπεξελθόντα, ἀλλὰ τῷ Θεῷ ἀμύνασθαι παραχωροῦντα τοὺς ἐχθρούς; «Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐ-*

---

14. Δ΄ Βασ. 20, 1 - 18.
15. Δ΄ Βασ. 20, 17.
16. Ὠσηὲ 14, 4

τὸ ἀποτελεῖ περιφρόνηση τῆς βοήθειας τοῦ Θεοῦ. Γι' αὐτὸ λέγεται, ὅτι καὶ ὁ 'Εζεκίας ἔπαθε ἐκεῖνα ποὺ ἔπαθε, ἐπειδή, ἐνῷ ὁ ἥλιος γύρισε πίσω καὶ πάλι ἀνέβηκε τὸ ὕψος ποὺ κατέβηκε, καὶ τὸ θαῦμα ποὺ ἔγινε ἦταν ἱκανὸ νὰ καταπλήξει ὅλους ἐκείνους ποὺ ἦλθαν καὶ ἤθελαν νὰ μάθουν αὐτά, αὐτὸς ἤθελε νὰ τοὺς καταπλήξει ὄχι ἀπὸ ἐκεῖνα ποὺ συνέβαιναν ἀπὸ τὸ Θεό, ἀλλ' ἀπὸ τὰ ἀνθρώπινα, φοβούμενος τὴν ἔφοδο αὐτῶν[14]· γι' αὐτὸ καὶ τοὺς θησαυρούς του τοὺς ἔδειχνε, στηρίζοντας τὴν ἐλπίδα του στοὺς θησαυρούς. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Θεός, ἐπειδὴ ὀργίσθηκε, λέγει, «Ὅλα αὐτὰ θὰ τὰ πάρουν»[15]· δηλαδὴ αὐτὰ στὰ ὁποῖα στήριξες τὴν ἐλπίδα σου, στὰ ὁποῖα ἐμπιστεύεσαι τὴ σωτηρία σου. Γι' αὐτὸ κατηγορεῖται καὶ ὁ Ἰσραήλ, διότι δηλαδὴ ἔδειχναν ἐμπιστοσύνη στὰ χρήματα καὶ τοὺς ἵππους. Γι' αὐτὸ καὶ προέτρεπε αὐτοὺς ὁ προφήτης, νὰ ἐξευμενίζουν τὸ Θεὸ μὲ τὰ ἀντίθετα καὶ λέγει· «Ἐπάνω σὲ ἵππους δὲν θ' ἀνεβοῦμε»[16]. Ὁ Θεὸς σὲ τιμᾶ, καὶ σὺ ἀτιμάζεις τὸν ἑαυτό σου; ὁ Θεὸς σὲ τιμᾶ, ὑποσχόμενος τὴ βοήθειά του, καὶ σὺ καταφεύγεις σὲ ἀνθρώπινες ἐλπίδες, καὶ ἐμπιστεύεσαι τὴν ἐλπίδα τῆς σωτηρίας σου σὲ ἄψυχη ὕλη καὶ στὰ χρήματα; Διότι δὲν θέλει βέβαια μόνο νὰ σὲ σώσει, ἀλλὰ καὶ νὰ τὸ κάνει μὲ τρόπο ἔντιμο. Σὲ ἀγαπᾶ πάρα πολὺ καὶ γι' αὐτό, ἀπομακρύνοντάς σε ἀπὸ ὅλα, σὲ προσκολλᾶ στὸν ἑαυτό του, καί, ἀφαιρώντας ὅλα ἀπὸ γύρω σου, σὲ ὁδηγεῖ πρὸς τὸν ἑαυτό του, καὶ εἶναι, μὲ ὅλα αὐτὰ ποὺ κάμνει, σὰν νὰ σοῦ λέγει, 'σὲ μένα στήριζε τὶς ἐλπίδες σου καὶ σὲ μένα πρόσεχε διαρκῶς'.

«Ὁ Κύριος εἶναι βοηθός μου καὶ ἐγὼ θὰ δῶ τοὺς ἐχθρούς μου μπροστά μου κατανικημένους». Βλέπεις ὅτι δὲν ὑπερασπίζεται μόνος τὸν ἑαυτό του, οὔτε ἐπιτίθεται ὁ ἴδιος, ἀλλὰ παραχωρεῖ στὸ Θεὸ τὴν ἄμυνά του πρὸς τοὺς ἐχθρούς του; «Εἶναι προτιμότερο νὰ στηρίζεις τὴν ἐμπιστοσύνη σου στὸν Κύριο, παρὰ νὰ δείχνεις ἐμπιστοσύνη στοὺς ἀνθρώπους. Εἶναι προτιμότερο νὰ ἐλπίζεις

*πὶ Κύριον, ἢ ἐλπίζειν ἐπ᾽ ἄρχουσιν». Οὐ κατὰ σύγκρισιν ταῦτα προάγει, ἀλλ᾽ ἔθος τῇ Γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ καὶ ἐπὶ τῶν ἀσυγκρίτων διὰ τὴν ἀσθένειαν τῶν τότε ἀκουόντων. Οὐκ ἄρα συγκρίνων τοῦτό φησιν, ἀλλὰ συγκαταβαίνων ἐκείνοις. Διὰ δὴ τοῦτο καὶ ἕτερος προφήτης ἔλεγεν· «Ἐπικατάρατος πᾶς ὁ ἐλπίζων ἐπ᾽ ἄνθρωπον»· οὐδὲν γὰρ ταύτης εὐτελέστερον τῆς ἐλπίδος· καὶ γὰρ καὶ αὐτῆς τῆς ἀράχνης εὐτελεστέρα ἐστί· μᾶλλον δὲ οὐκ ἀσθενὴς μόνον, ἀλλὰ καὶ ἐπισφαλής. Καὶ ἴσασιν ὅσοι πολλάκις ἐπ᾽ ἀνθρώποις θαρρήσαντες, αὐτοῖς ἐκείνοις συγκατηνέχθησαν. Ἡ δὲ εἰς τὸν Θεὸν ἐλπὶς οὐκ ἰσχυρὰ μόνον ἐστί, ἀλλὰ καὶ ἀσφαλής, οὐκ ἔχουσά τινα μεταβολήν. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Ἕτερος δέ τις σοφός, «Ἐμβλέψατε», φησίν, «εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη;». Ἀλλ᾽ ἐγώ, φησίν, ἤλπισα, καὶ κατῃσχύνθην. Εὐφήμει, ἄνθρωπε, μὴ ἀντιφθέγγου τῇ θείᾳ Γραφῇ, εἰ καὶ κατῃσχύνθης, ἐκ τοῦ μὴ ὡς ἐχρῆν ἐλπίσαι ἐκ τοῦ ἐνδοῦναι, ἐκ τοῦ μὴ ἀναμεῖναι τὸ τέλος, ἐκ τοῦ μικροψυχῆσαι. Ἀλλὰ μὴ τοῦτο ποίει· ἀλλ᾽ ὅταν ἴδῃς τὰ δεινὰ ἐπικείμενα, μὴ καταπέσῃς. Τοῦτο γὰρ μάλιστά ἐστιν ἐλπίσαι, τὸ ἐν μέσῳ ἐμβεβηκότα τοῖς χαλεποῖς ὀρθοῦσθαι.*

*3. Τί τῶν βαρβάρων ἐκείνων τῶν, Νινευιτῶν λέγω, ἀθλιώτερον ἦν; Ἀλλ᾽ ὅμως ἐν αὐτῇ ἑστῶτες τῇ παγίδι καὶ προσδοκῶντες, ὅτι πεσεῖται ἡ πόλις, οὐδὲ οὕτως ἀπέγνωσαν, ἀλλὰ μετάνοιαν ἐπεδείξαντο τὴν ἀκριβῆ· διὸ καὶ τοῦ Θεοῦ τὴν ἀπόφασιν εἰς τὸ πάλιν ὑποστρέψαι παρεσκεύασαν. Εἶδες πόση*

17. Ἱερ. 17, 5.
18. Ρωμ. 5, 5.
19. Σοφ. Σειρὰχ 2, 10.

στὸν Κύριο παρὰ νὰ ἐλπίζεις στοὺς ἄρχοντες». Δὲν παρουσιάζει αὐτὰ κάμνοντας σύγκριση, ἀλλὰ συνηθίζει ἡ Γραφὴ νὰ χρησιμοποιεῖ αὐτὸν τὸν τρόπο καὶ σ᾽ ἐκεῖνα ποὺ δὲν συγκρίνονται, ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας τῶν τότε ἀκροατῶν. Ἑπομένως δὲν τὸ λέγει αὐτὸ κάμνοντας σύγκριση, ἀλλὰ δείχνοντας συγκατάβαση πρὸς ἐκείνους. Γι᾽ αὐτὸ λοιπὸν καὶ ἄλλος προφήτης ἔλεγε· «Καταραμμένος νὰ εἶναι ὁ καθένας ποὺ στηρίζει τὶς ἐλπίδες του σὲ ἄνθρωπος»[17]· διότι δὲν ὑπάρχει τίποτε εὐτελέστερο ἀπὸ αὐτὴν τὴν ἐλπίδα· καθόσον εἶναι εὐτελέστερη καὶ ἀπὸ τὴν ἴδια τὴν ἀράχνη· μᾶλλον δὲ δὲν εἶναι μόνο ἀνίσχυρη, ἀλλὰ καὶ ἀβέβαια. Καὶ τὸ γνωρίζουν αὐτὸ ὅσοι πολλὲς φορὲς στήριξαν τὶς ἐλπίδες τους στοὺς ἀνθρώπους, ποὺ κατέπεσαν μαζὶ μὲ ἐκείνους τοὺς ἴδιους. Ἐνῶ ἡ ἐλπίδα στὸ Θεὸ δὲν εἶναι μόνο ἰσχυρή, ἀλλὰ καὶ ἀσφαλής, χωρὶς νὰ παρουσιάζει καμιὰ μεταβολή. Γι᾽ αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ἡ δὲ ἐλπίδα δὲν ἐντροπιάζει»[18]. Κάποιος ἄλλος δὲ σοφὸς λέγει· «Προσέξτε τὶς ἀρχαῖες γενεὲς καὶ μάθετε, ποιὸς στήριξε τὶς ἐλπίδες του στὸν Κύριο καὶ κατεντροπιάσθηκε;»[19]. Ἀλλ᾽ ἐγώ, λέγει, ἔλπισα καὶ κατεντροπιάσθηκα. Σιώπα, ἄνθρωπε, καὶ μὴ ἀντιλέγεις στὴ θεία Γραφή· καὶ ἂν ἀκόμα κατεντροπιάσθηκες, αὐτὸ συνέβηκε ἐπειδὴ δὲν ἔλπισες ὅπως ἔπρεπε, ἐπειδὴ ὑποχώρησες, ἐπειδὴ δὲν περίμενες τὸ τέλος, ἐπειδὴ ἔδειξες ὀλιγοψυχία. Μὴ κάμνεις λοιπὸν αὐτό, ἀλλ᾽ ὅταν δεῖς τὶς συμφορὲς μπροστά σου, μὴ χάσεις τὸ θάρρος σου. Διότι αὐτὸ πρὸ πάντων ἀποτελεῖ ἐλπίδα, τὸ νὰ παραμένεις ὄρθιος, ἐνῶ βρίσκεσαι μέσα στὶς συμφορές.

3. Τί ὑπῆρξε ἀθλιώτερο ἀπὸ ἐκείνους τοὺς βαρβάρους, ἐννοῶ τοὺς Νινευίτες; Ἀλλ᾽ ὅμως, ἐνῶ βρίσκονταν μέσα στὴν παγίδα καὶ περίμεναν ὅτι θὰ πέσει ἡ πόλη, οὔτε ἔτσι ἀπογοητεύθηκαν, ἀλλ᾽ ἔδειξαν τὴν κατάλληλη μετάνοια· γι᾽ αὐτὸ καὶ ἔκαμαν τὸ Θεὸ νὰ μεταβάλει τὴν ἀπόφασή του. Εἶδες πόση εἶναι ἡ δύναμη τῆς ἐλπίδας;

τῆς ἐλπίδος ἡ ἰσχύς; Τί δὲ αὐτὸς ὁ προφήτης; οὐκ ἐν τῇ κοιλίᾳ τοῦ κήτους ὤν, τοῦ ναοῦ καὶ τῆς εἰς τὰ Ἱεροσόλυμα ἐπανόδου ἐμέμνητο; Καὶ σὺ τοίνυν, κἂν εἰς αὐτὸν ἐμβῇς τὸν θάνατον, καὶ τοσούτῳ ἐπικρεμασθῇ κινδύνων μέγεθος, μὴ ἀπογνῷς. Δυνατὸν γὰρ τῷ Θεῷ καὶ ἐξ ἀπόρων πόρον εὑρεῖν. Διὸ καί τις σοφὸς ἔλεγεν «Ἀπὸ πρωΐ ἕως ὀψὲ μεταβολαὶ πολλαί, καὶ πάντα ταχινὰ ἐνώπιον αὐτοῦ». Οὐκ εἶδες τὸν περιστάτην ἐν ἀφθονίᾳ λιμώττοντα; οὐκ εἶδες τὴν χήραν λιμῷ εὐθηνουμένην; Ὅταν εἰς ἀπορίαν τὰ πράγματα ἐμπέσῃ, τότε μάλιστα ἔλπιζε. Τότε γὰρ μάλιστα ὁ Θεὸς ἐπιδείκνυται τὴν ἑαυτοῦ δύναμιν, οὐκ ἐκ προοιμίων, ἀλλ' ὅταν τὰ παρὰ τῶν ἀνθρώπων ἀπογνωσθῇ. Οὗτος γὰρ τῆς τοῦ Θεοῦ βοηθείας ὁ καιρός. Διὰ δὴ τοῦτο οὔτε τοὺς παῖδας ἐκ προοιμίων ἥρπασεν, ἀλλὰ μετὰ τὴν κάμινον· οὔτε τὸν Δανιὴλ πρὶν ἢ ἐμπεσεῖν, ἀλλὰ μετὰ τὰς ἑπτὰ ἡμέρας.

Μὴ δὴ πρόσεχε τῇ φύσει τῶν πραγμάτων εἰς ἀπόγνωσιν ἐμβαλλόντων, ἀλλὰ τῇ δυνάμει τοῦ Θεοῦ τῇ τὰ ἀπεγνωσμένα εἰς ἐλπίδας ἀγούσῃ χρηστάς. Τοῦτο δὴ καὶ ὁ ψαλμῳδὸς δεικνύς, καὶ τὸ εὔπορον τῆς τοῦ Θεοῦ δυνάμεως παραστῆσαι θέλων, ὅτι καὶ εἰς αὐτὰ τὰ δεινὰ ἐμπεσόντας καὶ καταποθέντας ἀνιμήσασθαι δύναται, οὐκ ἐκ προοιμίων μόνον, ἄκουσον τί ἐπήγαγε· «Πάντα τὰ ἔθνη ἐκύκλωσάν με». Εἶδες ἄφευκτον κίνδυνον; Οὐ γὰρ ἐκ παρατάξεως ἦν ἡ μάχη, οὐδὲ ἐξ εὐθείας ἑστώτων, ἀλλ' ἔνδον ἀπείληπτο, καὶ ὡς σαγήνῃ τινὶ περιεβέβλητο, καὶ ὥσπερ ὑπὸ δικτύων συνείχετο, οὐχ ὑφ' ἑνός,

20. Σοφ. Σειρὰχ 18, 26.
21. Δαν. 3, 26 (Προσευχὴ Ἀζαρίου καὶ ὕμνος τριῶν παίδων).
22. Δαν. 12, 42 (Βὴλ καὶ δράκων).

Τί δὲ ὁ ἴδιος ὁ προφήτης; δὲν ἔφερνε στὴ σκέψη του, ἂν καὶ βρισκόταν μέσα στὴν κοιλιὰ τοῦ κήτους, τὸ ναὸ καὶ τὴν ἐπάνοδο στὰ Ἱεροσόλυμα; Καὶ σὺ λοιπόν, καὶ ἂν ἀκόμα ἀπειληθεῖς ἀπὸ τὸν ἴδιο τὸ θάνατο καὶ παρουσιασθεῖ μπροστά σου τόσο μέγεθος κινδύνων, μὴ ἀπελπισθεῖς. Διότι μπορεῖ ὁ Θεός νὰ βρεῖ διέξοδο καὶ ἐκεῖ ποὺ δὲν ὑπάρχει διέξοδος. Γι' αὐτό καὶ κάποιος σοφός ἔλεγε· «Ἀπό τό πρωὶ μέχρι τὸ βράδυ συμβαίνουν πολλὲς μεταβολὲς καὶ ὅλα περνοῦν ἀπὸ μπροστά του πολὺ γρήγορα»[20]. Δὲν εἶδες αὐτόν ποὺ ζεῖ μέσα στὴν ἀφθονία τοῦ πλούτου καὶ τῆς χλιδῆς νὰ πεινᾶ; δὲν εἶδες τὴ χήρα νὰ εὐτυχεῖ μέσα στὴ φτώχεια της; Ὅταν τὰ πράγματα περιέλθουν σὲ ἀδιέξοδο, τότε πρὸ πάντων ἔλπιζε. Διότι τότε πρὸ πάντων ὁ Θεὸς δείχνει τὴ δύναμή του, ὄχι ἀπὸ τὴν ἀρχή, ἀλλ' ὅταν τὰ τῶν ἀνθρώπων φθάσουν στὴν ἀπελπισία. Διότι αὐτός εἶναι ὁ καιρός τῆς βοήθειας τοῦ Θεοῦ. Γι' αὐτό βέβαια οὔτε τά παιδιὰ τὰ ἅρπαξε ἀπὸ τὴν ἀρχή, ἀλλὰ μὲ τό ἄναμμα τῆς καμίνου[21]· οὔτε τὸν Δανιὴλ πρὶν ριφθεῖ στό λάκκο, ἀλλά μετά τὶς ἑπτὰ ἡμέρες[22].

Μὴ λοιπὸν προσέχεις πρός τὰ φυσικὰ πράγματα, ποὺ ὁδηγοῦν σὲ ἀπόγνωση, ἀλλὰ ἔχε στραμμένη τὴν προσοχή σου πρός τὴ δύναμη τοῦ Θεοῦ, ποὺ ὁδηγεῖ ἀπὸ τὴν κατάσταση τῆς ἀπογνώσεως σὲ καλὲς ἐλπίδες. Αὐτὸ λοιπὸν γιὰ νὰ δείξει καὶ ὁ ψαλμωδὸς καὶ θέλοντας νὰ παρουσιάσει τὴν ἀφθονία τῆς δυνάμεώς του, τὸ ὅτι δηλαδή, ἂν καὶ περιέπεσαν σ' αὐτὲς τὶς συμφορὲς καὶ καταστράφηκαν, μπορεῖ νὰ τοὺς ἀνασύρει μέσα ἀπ' αὐτές, ὄχι μόνο στὴν ἀρχή, ἀλλ' ἄκουσε καὶ τί πρόσθεσε· «Ὅλα τὰ ἔθνη μὲ περικύκλωσαν». Εἶδες κίνδυνο ἀναπόφευκτο; Διότι ἡ μάχη δὲν γινόταν μὲ τὸν ἐχθρό παραταγμένο μπροστά του, οὔτε στεκόταν αὐτός σὲ εὐθεία γραμμὴ μπροστά του, ἀλλ' εἶχε ἀποκλεισθεῖ μέσα καὶ εἶχε περιζωσθεῖ σὰν μὲ κάποια σαγήνη καὶ συγκρατιόταν σὰν μὲ δίχτυα, ὄχι

*καὶ δύο, καὶ τριῶν, ἀλλ' ὑπὸ τῶν ἐθνῶν ἁπάντων· ἀλλ' ὅμως πάντα διεῤῥήγνυτο τὰ δεσμὰ ταῦτα τῇ εἰς Θεὸν ἐλπίδι.*

*«Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς». Εἶδες πῶς διαγράφει τῶν δεινῶν τὸ μέγεθος; Οὐ γὰρ ἁπλῶς εἶπεν, Ἐκύκλωσαν, ἀλλ' «Ὡσεὶ μέλισσαι, καὶ ὡς πῦρ ἐν ἀκάνθαις»· διὰ μὲν τῶν μελισσῶν τὸ σφοδρὸν τῆς προθυμίας, διὰ δὲ τῶν ἀκανθῶν τὸ ἀφόρητον τοῦ θυμοῦ καὶ τὸ ἄσβεστον τῆς ὀργῆς αἰνιττόμενος. Τίς γὰρ ὑφέξει πῦρ ἀκάνθαις ἐμπεσόν; Ἀλλ' ὅμως, φησίν, οὕτω σφοδρῶς, οὕτω ταχέως ἀναφθέντας καὶ ἐν μέσῳ περιλαβόντας οὐ μόνον διέφυγον, ἀλλὰ καὶ ἠμυνάμην. Τοῦτο ὅρα καὶ ἐπὶ τῆς ὕλης αὐτῆς γινόμενον. Καὶ γὰρ πῦρ βάτον ἔκαιε, καὶ οὔτε ἡ βάτος ἐκαίετο, οὔτε ἐκεῖνο ἐσβέννυτο, ἀλλ' ἀμφότερα ἔμεινεν ὁμιλοῦντα ἀλλήλοις, καὶ οὐκ ἀναλισκόμενα. Καίτοι τί σαθρότερον βάτου; τί δὲ πυρὸς καυστικώτερον; Ἀλλ' ὅμως ἡ θαυματουργὸς τοῦ Θεοῦ δύναμις παραδοξοποιοῦσα ἀμφότερα εἴασε μένειν. Τοιοῦτον δέ τι παράδοξον καὶ τότε συνέβαινεν. Ὡς πῦρ γὰρ ἐπέδραμον, ὡς μέλισσαι μετὰ προθυμίας ἐπέθεντο, ἔνδον εἶχον ἀπειλημμένον, καὶ οὐδὲν ποιῆσαι ἴσχυσαν. Τὸ γὰρ ὅπλον τὸ ἀχείρωτον, ἡ συμμαχία ἡ ἀκαταμάχητος, τοῦ Θεοῦ τὸ ὄνομα πάντας αὐτοὺς ἀπήλασεν.*

*«Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου». Εἶπε τὸ μέγεθος τῶν δεινῶν, ἀπὸ τοῦ πλήθους, ἀπὸ τοῦ σχήματος, ἀπὸ τῆς προθυμίας, ἀπὸ τῆς ὀργῆς τῶν ἐπιόν-*

---

23. Ἐξ. 3, 2-3.

ἀπὸ ἕνα ἢ δύο ἢ τρία, ἀλλ' ἀπὸ ὅλα τὰ ἔθνη· ἀλλ' ὅμως ὅλα αὐτὰ τὰ δεσμὰ ἔσπαζαν μὲ τὴν ἐλπίδα στὸ Θεό.

«Καὶ μὲ τὸ ὄνομα τοῦ Κυρίου ἀμύνθηκα ἐναντίον τους. Μὲ περικύκλωσαν κατὰ τρόπο ἀσφυκτικὸ καὶ τοὺς ἀντιμετώπισα ἀφοῦ ἐπικαλέσθηκα τὸ ὄνομα τοῦ Κυρίου. Μὲ περικύκλωσαν ὅπως ἀκριβῶς οἱ μέλισσες τὴν κηρήθρα καὶ ὅπως κατακαίει ἡ φωτιὰ τὰ ἀγκάθια, καὶ ἐγὼ τοὺς ἀντιμετώπισα ἀφοῦ ἐπικαλέσθηκα τὸ ὄνομα τοῦ Κυρίου». Εἶδες πῶς παρουσιάζει τὸ μέγεθος τῶν συμφορῶν; Διότι δὲν εἶπε ἁπλῶς, 'Μὲ κύκλωσαν', ἀλλ' «Ὅπως οἱ μέλισσες καὶ ὅπως ἡ φωτιὰ στ' ἀγκάθια», ὑπαινισσόμενος μὲ τὶς μὲν μέλισσες τὴν ὑπερβολικὴ προθυμία, μὲ τὰ δὲ ἀγκάθια τὸ ἀνυπόφορο τοῦ θυμοῦ καὶ τὸ ἄσβεστο τῆς ὀργῆς. Διότι ποιὸς θὰ ὑποφέρει τὴ φωτιὰ ποὺ ἔπεσε στ' ἀγκάθια; Ἀλλ' ὅμως, λέγει, ἂν καὶ ἄναψαν μὲ τόση σφοδρότητα καὶ τόση ταχύτητα καὶ μὲ περικύκλωσαν ὄχι μόνο διέφυγα, ἀλλὰ καὶ τοὺς ἀντιμετώπισα νικηφόρα. Αὐτὸ πρόσεχε νὰ γίνεται καὶ μὲ τὴν ἴδια τὴν ὕλη. Καθόσον φωτιὰ ἔκαιε τὴ βάτο, καὶ οὔτε ἡ βάτος ἐκαιόταν, οὔτε ἡ φωτιὰ ἔσβηνε, ἀλλὰ καὶ τὰ δυὸ παρέμειναν σὲ ἐπικοινωνία μεταξύ τους καὶ δὲν ἐξαφανίζονταν[23]. Ἂν καὶ βέβαια τί ὑπάρχει σαθρότερο ἀπὸ τὴ βάτο; τί πιὸ καυστικώτερο ἀπὸ τὴ φωτιά; Ἀλλ' ὅμως ἡ θαυματουργὴ δύναμη τοῦ Θεοῦ ἐνεργώντας κατὰ τρόπο θαυμαστό, ἄφησε καὶ τὰ δυὸ νὰ μένουν ἀναλλοίωτα. Κάποιο παρόμοιο παράδοξο συνέβαινε καὶ τότε. Καθόσον σὰν φωτιὰ ὅρμησαν ἐναντίον του, σὰν μέλισσες ἐπιτέθηκαν μὲ ὁρμή, τὸν εἶχαν περικυκλωμένο, καὶ δὲν μπόρεσαν νὰ τὸν βλάψουν σὲ τίποτε. Διότι τὸ ὅπλο τὸ ἀκατάβλητο, ἡ συμμαχία ἡ ἀκαταμάχητη, τὸ ὄνομα τοῦ Θεοῦ, ὅλους αὐτοὺς τοὺς ἀπεμάκρυνε.

«Μὲ ἔσπρωξαν καὶ παρὰ λίγο ν' ἀνατραπῶ καὶ νὰ πέσω, καὶ ὁ Κύριος μὲ βοήθησε». Περιέγραψε τὸ μέγεθος τῶν συμφορῶν, ἀπὸ τὸ πλῆθος καὶ τὴ μορφή, ἀπὸ τὴν ὁρμὴ καὶ ἀπὸ τὴν ὀργὴ τῶν ἐπιτεθέντων, ἀναφέρει δὲ καὶ

*των· λέγει καὶ ἀφ' ὧν αὐτὸς ἔπαθεν. Οὕτω μου ἐπεκράτησε τὰ δεινά, φησίν, ὡς καὶ μικροῦ ἐγγὺς γενέσθαι τοῦ πεσεῖν καὶ κατενεχθῆναι. Οὕτω γὰρ ἀνετράπην ὠσθείς, ὡς μέλλειν καταπίπτειν· ἀλλ' ὅτε λοιπὸν ἔμελλον ἐπὶ γόνυ φέρεσθαι καὶ κατακλίνεσθαι, καὶ πάντα ἐπέγνωστο τὰ ἀνθρώπινα, τότε τὴν ἑαυτοῦ συμμαχίαν ἐπεδείξατο. Ποιεῖ δὲ τοῦτο ὁ Θεός, ἵνα μηδεὶς τὴν ἑαυτοῦ δόξαν νοσφίζηται. Τοῦτο καὶ ἐν τῇ ἱστορίᾳ τῶν Κριτῶν ἐπὶ τοῦ Γεδεὼν ἐποίησε. Διὰ τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου, νυκτὸς οὔσης, τὸ τρόπαιον ἔστησεν. Εἰ γὰρ καὶ μηδὲν συντελέσας εἰς τὴν νίκην ἐκεῖνος καὶ τὸν πόλεμον, ὅμως ἀπενοήθη· εἰ παρέστη μόνον τῇ παρατάξει, εἰ πίπτοντας εἶδε τοὺς ἀναιρουμένους, οὐκ ἂν μειζόνως τοῦτο ἔπαθεν; Ὅταν τοίνυν ἀπογνωσθῇ ἐξ ἀνθρωπίνης ἐλπίδος τὰ πράγματα, τότε ἐπάγει τὴν παρ' ἑαυτοῦ συμμαχίαν. Τοῦτο καὶ ἐπὶ τοῦ Γολιὰθ ἐποίησε· τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς».*

*«Ἰσχύς μου, καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν». Ὡσεὶ ἔλεγε, δύναμίς μου αὐτὸς ἐγένετο καὶ βοήθεια. Τί δέ ἐστιν ὅ φησιν. «Ὕμνησίς σου»; Ἡ δόξα μου, ὁ αἶνός μου, ὁ κόσμος μου, ἡ περιφάνειά μου. Οὐ γὰρ δὴ μόνον ἀπαλλάττει τῶν κινδύνων, ἀλλὰ καὶ λαμπροὺς ποιεῖ καὶ περιφανεῖς· καὶ πανταχοῦ τοῦτό ἐστιν ἰδεῖν, μετὰ δόξης τὴν σωτηρίαν διδομένην. Καὶ ἕτερον δέ τι διὰ τούτου αἰνίττεται. Ποῖον δὲ τοῦτο; Ὅτι τοῦτό μοι, φησί, διηνεκὴς ᾠδή, τοῦτό μοι διηνεκὴς φωνή, ὁ ὕμνος ὁ εἰς αὐτόν, τοῦτό μοι ἔργον, διηνεκῶς αὐτὸν ἀνυμνεῖν. Ἀκουέτωσαν οἱ ταῖς σατανικαῖς*

---

24. Κριτ. κεφ. 7.
25. Δ΄ Βασ. 19, 35.
26. Α΄ Βασ. κεφ. 17.
27. Β΄ Κορ. 1, 9.

ἀπὸ ποιοὺς τὰ ἔπαθε. Ἔτσι, λέγει, μὲ κατακυρίευσαν οἱ συμφορές, ὥστε παρὰ λίγο νὰ πέσω καὶ νὰ κατασυντριβῶ. Διότι τέτοια ἀνατροπὴ δὲχθηκα ἀπὸ τὸ σπρώξιμο, ὥστε νὰ φανεῖ ὅτι καταπίπτω· ἀλλ᾽ ὅταν πλέον ἐπρόκειτο νὰ συρθῶ στὰ γόνατα καὶ νὰ ξαπλωθῶ κάτω καὶ χάθηκαν ὅλες οἱ ἀνθρώπινες ἐλπίδες, τότε φανέρωσε τὴ συμμαχία του. Αὐτὸ δὲ τὸ κάμνει ὁ Θεὸς γιὰ νὰ μὴ σφετερίζεται κανένας τὴ δόξα του. Αὐτὸ ἔκαμε καὶ μὲ τὸ Γεδεὼν ποὺ ἀναφέρεται στὴν ἱστορία τῶν Κριτῶν[24]. Γι᾽ αὐτὸ καὶ στὴν περίπτωση τοῦ Ἐζεκία, ἐνῶ ἦταν νύχτα, ἔστησε τὸ τρόπαιο[25]. Διότι, ἂν καὶ ἐκεῖνος δὲν συνέβαλε καθόλου στὸν πόλεμο ἐκεῖνο καὶ τὴ νίκη, ὅμως περιῆλθε σὲ ἀπόγνωση· ἂν παραβρισκόταν μόνο στὴν παράταξη, ἂν ἔβλεπε τοὺς φονευομένους νὰ πέφτουν, δὲν θὰ τὸ πάθαινε αὐτὸ πολὺ περισσότερο; Ὅταν λοιπὸν τὰ πράγματα φθάσουν, ἀπὸ ἄποψη ἀνθρώπινης ἐλπίδας, σὲ ἀπόγνωση, τότε παρέχει τὴ βοήθειά του. Αὐτὸ ἔκαμε καὶ στὴν περίπτωση τοῦ Γολιάθ[26], αὐτὸ καὶ στὴν περίπτωση τῶν ἀποστόλων. Γι᾽ αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Ἀλλ᾽ ἐμεῖς οἱ ἴδιοι νοιώθουμε ὅτι καταδικασθήκαμε σὲ θάνατο, γιὰ νὰ μὴ στηρίζουμε τὴν πεποίθησή μας στὸν ἑαυτό μας, ἀλλὰ στὸ Θεὸ ποὺ ἀνασταίνει τοὺς νεκρούς»[27].

*«Ὁ Κύριος εἶναι ἡ δύναμή μου καὶ ἡ ἐξύμνησή μου καὶ αὐτὸς ὑπῆρξε ἡ σωτηρία μου».* Σὰν νὰ ἔλεγε, αὐτὸς ὑπῆρξε ἡ δύναμή μου καὶ ἡ βοήθειά μου. Τί σημαίνει δὲ ἡ φράση «Ὕμνησίς μου»; Ἡ δόξα μου, τὸ καύχημά μου, τὸ κόσμημά μου, ἡ περιφάνειά μου. Διότι, ὄχι μόνο μᾶς ἀπαλλάσσει ἀπὸ τοὺς κινδύνους, ἀλλὰ καὶ μᾶς κάμνει λαμπροὺς καὶ ἐνδόξους· καὶ παντοῦ αὐτὸ μπορεῖ νὰ δεῖ κανείς, νὰ δίνει δηλαδὴ τὴ σωτηρία μαζὶ μὲ δόξα. Καὶ κάποιο ἄλλο δὲ ὑπαινίσσεται μὲ αὐτό. Ποιὸ δὲ εἶναι αὐτό; Ὅτι αὐτό, λέγει, εἶναι τὸ διαρκὲς ἆσμά μου, αὐτὸ εἶναι ἡ διαρκὴς φωνή μου, ὁ ὕμνος μου πρὸς αὐτόν, αὐτὸ εἶναι τὸ ἔργο μου, τὸ νὰ ἀνυμνῶ αὐτὸν διαρκῶς. Ἂς ἀκούουν ἐκεῖ-

*ᾠδαῖς κατασηπόμενοι, οἵαν ὑπομένουσι βλάβην, ποίας δ' ἂν καὶ τύχοιεν συγγνώμης, τούτου διηνεκῶς τὸν σωτῆρα ἀνυμνοῦντος, ἐκεῖνοι διηνεκῶς ἐν ταῖς τῶν δαιμόνων ᾠδαῖς ἐγκαλινδούμενοι.*

*4. «Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων». Ὅταν γὰρ ὁ Θεὸς κατορθώσῃ τὸ πᾶν, οἱ τῆς νίκης ἀπολαύοντες χαίρουσι, σκιρτῶσι, διπλῇ γανύμενοι, καὶ τῷ σωθῆναι, καὶ τῷ διὰ Θεοῦ σωθῆναι. Τοῦτο ποιεῖται εὐφροσύνην, ὁ τὸ τρόπαιον στήσας. Εἶτα δεικνὺς καὶ τῆς συμμαχίας τῆς τοιαύτης τὴν ἀφορμήν, ἐπήγαγεν, «Ἐν σκηναῖς δικαίων». Οὐκ εἶπεν, 'ἐν οἰκίαις', ἀλλ', «Ἐν σκηναῖς», τὸ ἐσχεδιασμένον τῆς οἰκήσεως αὐτῶν παραστῆσαι βουλόμενος. Τοιαύτη ἦν ἡ σκηνὴ τοῦ Ἀβραάμ, ὅτε ἐπανῆλθε, τῶν βαρβάρων περιγενόμενος, λαμπρὸς ἀπὸ τῶν κατορθωμάτων γεγονώς. Τοιαύτη ἦν ἡ σκηνὴ τοῦ Παύλου, ὅτε ἐπανῄει τῶν δαιμόνων περιγενόμενος, καὶ τὴν πλάνην καταλύων, καὶ τὰ κατορθώματα διηγούμενος.*

*«Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με». Ὅρα τῆς ἀγαλλιάσεως τὴν ὑπόθεσιν. Τοῦτο γὰρ καὶ νῦν λέγει, ὅπερ ἔμπροσθεν ἔλεγε, δεικνὺς ὅτι ὁ Θεὸς ταῦτα κατώρθωσεν. Ὁρᾷς οὐκ ἐν ἀπαλλαγῇ μόνον τῶν δεινῶν, ἀλλὰ καὶ ἐν κτήσει περιφανείας γινομένην αὐτοῦ τὴν εὐεργεσίαν; Εἰπὼν γάρ, «Δεξιὰ Κυρίου ἐποίησε δύναμιν», ἐπήγαγε, «Δεξιὰ Κυρίου ὕψωσέ με», ἵνα τὴν αὐτῷ γενομένην δόξαν δηλώσῃ. Τὸ γάρ, «Ὕψωσέ με», ἀντὶ τοῦ ἐδόξασέν ἐστιν. Οὐ γὰρ μόνον δυνατοὺς ἐποίησεν, ἀλλὰ καὶ ἐνδόξους.*

*«Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔρ-*

νοι ποὺ κατασαπίζουν μὲ τὰ σατανικὰ ἄσματα, ποιὰ βλάβη δέχονται, ποιὰ συγγνώμη θὰ μποροῦσαν νὰ ἔχουν, τὴ στιγμὴ ποὺ αὐτὸς ἀνυμνεῖ διαρκῶς τὸν Σωτῆρα, ἐνῶ ἐκεῖνοι περνοῦν τὸν καιρὸ τους μέσα στὰ δαιμονικὰ ἄσματα.

4. «Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐπικρατεῖ στὶς σκηνὲς τῶν δικαίων». Ὅταν δηλαδὴ ὁ Θεὸς κατορθώσει τὸ πᾶν, χαίρονται ἐκεῖνοι ποὺ ἀπολαμβάνουν τὴ νίκη, χοροπηδοῦν, καὶ λάμπουν ἀπὸ χαρὰ γιὰ δυὸ λόγους, καὶ ἐπειδὴ σώθηκαν, καὶ ἐπειδὴ σώθηκαν μὲ τὴ βοήθεια τοῦ Θεοῦ. Αὐτὸ δημιουργεῖ εὐφροσύνη, αὐτὸς ποὺ ἔστησε τὸ τρόπαιο τῆς νίκης. Ἔπειτα γιὰ νὰ δείξει καὶ τὴν αἰτία αὐτῆς τῆς συμμαχίας, πρόσθεσε· «Στὶς σκηνὲς τῶν δικαίων». Δὲν εἶπε, 'στὶς οἰκίες', ἀλλὰ «Στὶς σκηνές», θέλοντας νὰ παρουσιάσει τὴν προχειρότητα τῆς κατοικίας τους. Τέτοια ἦταν ἡ σκηνὴ τοῦ Ἀβραάμ, ὅταν ἐπέστρεψε μετὰ τὴ νίκη του πρὸς τοὺς βαρβάρους, καὶ εἶχε γίνει λαμπρὸς ἀπὸ τὰ κατορθώματά του. Τέτοια ἦταν ἡ σκηνὴ τοῦ Παύλου, ὅταν ἐπέστρεψε, ἀφοῦ κατατρόπωσε τοὺς δαίμονες, διέλυσε τὴν πλάνη καὶ διηγοῦνταν τὰ κατορθώματα.

«Ἡ δεξιὰ τοῦ Κυρίου ἐπέτυχε ἔργα θαυμαστά, ἡ δεξιὰ τοῦ Κυρίου μὲ ἀνύψωσε». Πρόσεχε τὴν αἰτία τῆς χαρᾶς. Διότι αὐτὸ λέγει καὶ τώρα, αὐτὸ ἀκριβῶς ποὺ ἔλεγε καὶ προηγουμένως, γιὰ νὰ δείξει ὅτι ὁ Θεὸς τὰ κατόρθωσε αὐτά. Βλέπεις ὅτι ἡ εὐεργεσία του ἐκδηλώνεται ὄχι μόνο στὴν ἀπαλλαγὴ ἀπὸ τὶς συμφορές, ἀλλὰ καὶ στὴν ἀπόκτηση τῆς δόξας; Διότι, ἀφοῦ εἶπε, «Ἡ δεξιὰ τοῦ Κυρίου ἐπέτυχε ἔργα θαυμαστά», πρόσθεσε, «Ἡ δεξιὰ τοῦ Κυρίου μὲ ἐξύψωσε», γιὰ νὰ δείξει τὴ δόξα ποὺ δόθηκε σ' αὐτόν. Διότι τὸ «Ὕψωσέ με», λέγεται ἀντὶ τοῦ 'μὲ δόξασε'. Δὲν τοὺς ἔκαμε δηλαδὴ μόνο δυνατούς, ἀλλὰ καὶ ἐνδόξους.

«Δὲν θὰ πεθάνω, ἀλλὰ θὰ ζήσω καὶ θὰ διηγοῦμαι τὰ

*γα Κυρίου». Οἱ μὲν κίνδυνοι, φησί, θάνατον ἠπείλουν, ἐγὼ δὲ «Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι». Τουτέστι, τοιαύτη ἡ τοῦ Δεσπότου παραδοξοποιία, ὅτι καὶ ἐξ αὐτῶν ἥρπασε τῶν θανάτων, καὶ πρὸ τῆς Καινῆς ἐν τοῖς παραδόξοις κινδύνοις τῆς ἀναστάσεως τὴν εἰκόνα προδιαγράφων. Ἔδωκε γὰρ ἡμῖν καὶ ἐξ ἀρχῆς αἰνίγματα, ὅτε τὸν Ἐνὼχ μετέστησεν. Εἰ γὰρ ἀπιστεῖς, ὅτι οὐ δυνατὸν διαναστῆναι σώματα, ἀπὸ τούτου πίστευε. Πῶς γὰρ ἤρκεσεν εἰς χρόνον τοσοῦτον τὸ σῶμα ἐκεῖνο; Οὐ γάρ ἐστιν ἴσον οἰκίαν διεφθαρμένην ἀναστῆσαι, καὶ τὴν σαθρὰν καὶ παλαιὰν οὖσαν διακρατῆσαι ἐπὶ χρόνον τοσοῦτον. Οὐκ ἐννοεῖς ὅτι οὐκ ὄντα ἐποίησεν; Οὐκοῦν πολλῷ μᾶλλον ἀναστῆσαι δύναται. Ἔχεις καὶ ἑτέραν εἰκόνα τῆς ἀναστάσεως· λέγω τὴν Ἠλίου ἁρπαγήν, ὃς οὐδέπω καὶ τήμερον ἐτελεύτησε. Πάντα ῥάδια καὶ εὔκολα τῷ Θεῷ. «Οὐκ ἀδυνατήσει», φησί, «παρὰ τῷ Θεῷ πᾶν ῥῆμα». Καὶ ὁ προφήτης, «Πάντα ὅσα ἠθέλησεν, ἐποίησεν». Οὐχ ὁρᾷς ὅτι καὶ σοὶ δύσκολα τὰ τοῦ τέκτονος ἔργα; Ἀλλ' ὅμως παραχωρεῖς τῇ τέχνῃ. Εἶτα τῇ μὲν συνδούλου τέχνῃ παραχωρεῖς, τοῦ δὲ Δεσπότου τὴν σοφίαν εὐθύνας ἀπαιτεῖς, καὶ οὐ καταδέχῃ τῇ πίστει τὸ γινόμενον; Καὶ πόσης ταῦτα ἄξια ἀνοίας;*

*«Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι». Εἴ τις καὶ κατὰ ἀναγωγὴν ἐκλάβοι τὸ εἰρημένον, οὐχ ἁμαρτήσεται. Εἰ γὰρ καὶ περὶ τῆς ἀναστάσεως τοῦτο εἴρηται (τὸ γάρ, «Οὐκ ἀποθανοῦμαι», δηλοῦντός ἐστιν, ὅτι οὐδὲ ὁ θάνατος θάνατος), ἀλλ' ὅμως καὶ καθ' ἕτερον τρόπον νοεῖται. Οὐ ἀποθανοῦμαι γάρ, φησί, τὸν ἕτερον θάνατον, ὃν καὶ ὁ Χριστὸς αἰνιττόμενος ἔλεγεν· «Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς*

---

28. Γεν. 5, 24.
29. Δ´ Βασ. 2, 11.
30. Λουκᾶ 1, 37.
31. Ψαλμ. 113, 11.

ἔργα τοῦ Κυρίου». Οἱ μὲν κίνδυνοι, λέγει μὲ ἀπειλοῦσαν μὲ θάνατο, ἐγὼ ὅμως «Δὲν θὰ πεθάνω, ἀλλὰ θὰ ζήσω». Δηλαδὴ τέτοια εἶναι ἡ θαυμαστὴ δύναμη τοῦ Κυρίου, καθόσον τὸν ἅρπαξε καὶ μέσα ἀπὸ τὸν ἴδιο τὸ θάνατο, περιγράφοντας τὴν εἰκόνα τῆς ἀναστάσεως μέσα ἀπὸ τοὺς παραδόξους κινδύνους καὶ πρὶν ἀπὸ τὴν Καινὴ Διαθήκη. Διότι μᾶς ἔδωσε καὶ ἀπὸ τὴν ἀρχὴ πράγματα ὑπονοούμενα, ὅπως ὅταν μετατόπισε τὸν Ἐνώχ[28]. Ἂν βέβαια δὲν πιστεύεις, ὅτι μπορεῖ ν' ἀναστήσει σώματα, πίστευε ἀπ' αὐτό. Διότι πῶς ἄντεξε τὸ σῶμα ἐκεῖνο τόσο πολὺ χρόνο; Καθόσον δὲν εἶναι τὸ ἴδιο πράγμα νὰ ξαναχτίσει κανεὶς καταστραμμένη οἰκία, καὶ νὰ διατηρήσει τόσο πολὺ χρόνο τὴ χαλασμένη καὶ παλιὰ οἰκία. Δὲν σκέπτεσαι ὅτι τὰ δημιούργησε χωρὶς νὰ ὑπάρχουν; Μπορεῖ λοιπὸν πολὺ περισσότερο νὰ τὰ ἀναστήσει. Ἔχεις καὶ ἄλλη εἰκόνα τῆς ἀναστάσεως· ἐννοῶ τὴν ἁρπαγὴ τοῦ Ἠλία[29], ὁ ὁποῖος δὲν πέθανε ἀκόμα καὶ μέχρι σήμερα. Ὅλα εἶναι κατορθωτὰ καὶ εὔκολα στὸ Θεό. Διότι λέγει, «Δὲν εἶναι ἀδύνατο νὰ πραγματοποιηθεῖ κανένας λόγος τοῦ Θεοῦ»[30]. Καὶ ὁ προφήτης λέγει· «Ὅλα, ὅσα θέλησε, τὰ δημιούργησε»[31]. Δὲν βλέπεις ὅτι καὶ γιὰ σένα εἶναι δύσκολα τὰ ἔργα τοῦ ξυλουργοῦ; Ἀλλ' ὅμως τὰ ἐμπιστεύεσαι στὴν τέχνη. Ὕστερα, στὴ μὲν τέχνη τοῦ συνδούλου σου ἔχεις ἐμπιστοσύνη, ἀπὸ δὲ τὴ σοφία τοῦ Θεοῦ ζητεῖς νὰ λογοδοτήσει καὶ δὲν ἀποδέχεσαι μὲ τὴν πίστη αὐτὸ ποὺ γίνεται; Καὶ πόσης ἀνοησίας δὲν εἶναι αὐτὰ ἄξια;

«Δὲν θὰ πεθάνω, ἀλλὰ θὰ ζήσω» Δὲν θὰ σφάλει κανείς, ἂν δεχθεῖ τὰ λόγια αὐτὰ καὶ μὲ ἔννοια ἀλληγορική. Διότι, ἂν καὶ αὐτὸ λέχθηκε καὶ γιὰ τὴν ἀνάσταση (καθόσον τὸ «Δὲν θὰ πεθάνω», φανερώνει, ὅτι οὔτε ὁ θάνατος εἶναι θάνατος), ἀλλ' ὅμως ἔχει καὶ ἄλλη ἔννοια. Διότι, λέγει, δὲν θὰ ὑποστῶ τὸν ἄλλο θάνατο, γιὰ τὸν ὁποῖο ὁ Χριστὸς ἔλεγε μὲ ὑπαινιγμό· «Ἐκεῖνος ποὺ πιστεύει σ' ἐμένα καὶ ἂν ἀκόμα πεθάνει, θὰ ζήσει· καὶ ὁ καθένας

ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ». «Καὶ διηγήσομαι τὰ ἔργα Κυρίου». Τοῦτο μάλιστα ζωή, τὸ καὶ αὐτὸν αἰνεῖν, καὶ εἰς ἅπαντας ἐξαγγέλλειν τὰ θαύματα αὐτοῦ. Ποῖα ἔργα; εἰπέ μοι. Ταῦτα ἃ μέλλει διηγεῖσθαι, ἐπάγων, «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με». Εἶδες τὴν παραδοξοποιίαν; εἶδες τὸ χρήσιμον; Οὐ γὰρ δὴ μόνον ὅτι ἀπηλλάγη εὐχαριστεῖ, ἀλλ' ὅτι καὶ ἐνέπεσε χάριν οἶδε μεγίστην, καὶ λέγει τὸ κέρδος τοῦ πειρασμοῦ. Ποῖον δὴ τοῦτο; «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος», φησί. Τοῦτο τῶν κινδύνων τὸ χρήσιμον, ὅτι βελτίονα εἰργάσατο. Εἶδες ἑκατέρωθεν αὐτοῦ τὴν δύναμιν καὶ τὴν κηδεμονίαν, καὶ τὸ ἀφεῖναι ἐναποληφθῆναι τοῖς δεινοῖς, καὶ τὸ πάλιν ἀπαλλάξαι; Τῷ γὰρ θανάτῳ, φησίν, οὐ παρέδωκέ με. Καὶ καλῶς εἶπεν ἕτερος ἑρμηνευτής, «Τῷ δὲ θανάτῳ οὐκ ἔδωκέ με», ἵνα δηλώσῃ ὅτι ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τὸ πᾶν ἔκειτο. Ὥστε διπλῆν ἐκέρδανε σωτηρίαν, τήν τε τῶν δεινῶν, τήν τε τῆς κακίας ἀπαλλαγήν. Διὸ καὶ Παῦλος ἔλεγε Ἑβραίοις γράφων· «Εἰ δὲ ἐκτός ἐστε παιδείας, ἄρα νόθοι ἐστέ, καὶ οὐχ υἱοί».

5. «Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ». Τοῖς παιδευομένοις αἱ πύλαι ἀνοίγονται, τοῖς ἀποτιθεμένοις τὰ ἁμαρτήματα. Ὁ παιδευθεὶς μετὰ παρρησίας δύναται λέγειν, «Ἀνοίξατέ μοι πύλας δικαιοσύνης». Καὶ γὰρ καὶ κατὰ ἀναγωγὴν ἐκληπτέον τὸ εἰρημένον, καὶ πύλας τὰς τῶν οὐρανῶν νοητέον, αἳ τοῖς πονηροῖς εἰσι κεκλεισμέναι, πρὸς ἃς δεῖ κρούειν διὰ τῆς ἀρετῆς, δι'

---

32. Ἰω. 11, 26.
33. Ἑβρ. 12, 8.

πού ζεῖ καὶ πιστεύει σ' ἐμένα, δὲν θὰ πεθάνει»[32]. «Καὶ θὰ διηγοῦμαι τὰ ἔργα τοῦ Κυρίου». Αὐτὸ πρὸ πάντων εἶναι ζωή, καὶ αὐτὸν νὰ ὑμνεῖ κανεὶς καὶ νὰ διακηρύττει σ' ὅλους τὰ θαυμαστὰ ἔργα αὐτοῦ. Πές μου ποιὰ ἔργα; Αὐτὰ πού πρόκειται νὰ διηγηθεῖ, προσθέτοντας, «Μὲ ἄπειρες δοκιμασίες μὲ παιδαγώγησε ὁ Κύριος, ἀλλ' ὅμως δὲν μὲ παρέδωσε στὸ θάνατο». Εἶδες παράδοξα πράγματα; εἶδες τὴ χρησιμότητα; Διότι εὐχαριστεῖ τὸ Θεὸ ὄχι μόνο πού ἀπαλλάχθηκε ἀπὸ τὴ δοκιμασία, ἀλλὰ καὶ ἐκφράζει εὐγνωμοσύνη μεγάλη καὶ γιὰ τὸ ὅτι περιέπεσε σὲ δοκιμασία καὶ λέγει καὶ τὸ κέρδος ἀπ' αὐτήν. Ποιὸ λοιπὸν εἶναι; «Μὲ ἄπειρες δοκιμασίες μὲ παιδαγώγησε ὁ Κύριος», λέγει. Αὐτὴ εἶναι ἡ ὠφέλεια ἀπὸ τοὺς κινδύνους, τὸ ὅτι τὸν ἔκαμε καλύτερο. Εἶδες τὴ δύναμη καὶ τὴ φροντίδα αὐτοῦ καὶ ἀπὸ τὰ δυὸ μέρη, καὶ μὲ τὸ ὅτι τὸν περιέκλεισε μέσα στὶς συμφορὲς καὶ μὲ τὸ ὅτι τὸν ἀπάλλαξε πάλι; Διότι, λέγει, δὲν μὲ παρέδωσε στὸ θάνατο. Καὶ καλὰ εἶπε ἄλλος ἑρμηνευτής, «Στὸ θάνατο δὲ δὲν μὲ ἔδωσε», γιὰ νὰ δείξει ὅτι τὸ πᾶν ἦταν στὴν ἐξουσία του. Ὥστε κέρδισε διπλὴ σωτηρία, καὶ τὴν ἀπαλλαγὴ ἀπὸ τὰ δεινὰ καὶ τὴν ἀπαλλαγὴ ἀπὸ τὴν κακία. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε γράφοντας στοὺς Ἑβραίους· «Ἂν ὅμως δὲν λάβατε μέσα παιδαγωγίας, τότε εἶστε νόθα καὶ ὄχι γνήσια τέκνα»[33].

5. «Ἀνοῖξτε μου τὶς πύλες τῆς δικαιοσύνης· ἀφοῦ εἰσέλθω ἀπ' αὐτές θὰ ὑμνήσω καὶ θὰ εὐχαριστήσω τὸν Κύριο». Σ' ἐκείνους πού δέχονται δοκιμασίες παιδαγωγικὲς ἀνοίγουν οἱ πύλες, ἐνῶ σ' ἐκείνους πού ἀπομακρύνονται, παρουσιάζονται τὰ ἁμαρτήματα. Ἐκεῖνος πού ἀσκήθηκε μὲ δοκιμασίες μπορεῖ μὲ θάρρος νὰ λέγει, «Ἀνοῖξτε μου τὶς πύλες τῆς δικαιοσύνης». Καθόσον πρέπει νὰ ἐκλάβουμε τὰ λόγια αὐτὰ καὶ μὲ ἀλληγορικὴ ἔννοια, καὶ νὰ ἐννοήσουμε σὰν πύλες τὶς πύλες τῶν οὐρανῶν, πού εἶναι κλεισμένες γιὰ τοὺς κακούς, πρὸς τὶς ὁποῖες

*ἐλεημοσύνης, διὰ δικαιοσύνης. «Αὕτη ἡ πύλη τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ». Εἰσὶ πύλαι θανάτου, εἰσὶ πύλαι ἀπωλείας, εἰσὶ πύλαι ζωῆς, εἰσὶ πύλαι στεναὶ καὶ τεθλιμμέναι. Διὰ δὴ τοῦτο ἐπειδὴ πολλαί, λέγει τὸ παράσημον τῆς τοῦ Κυρίου πύλης, ἐπάγων, «Αὕτη ἡ πύλη τοῦ Κυρίου». Ἐκεῖναι γὰρ οὐχὶ τοῦ Κυρίου. Καὶ τὸ παράσημον ποῖον αὐτῆς; Τὸ δι᾽ αὐτῆς τοὺς παιδευομένους εἰσιέναι, τοὺς θλιβομένους. Στενὴ γάρ ἐστι, καὶ τεθλιμμένη· εἰ δὲ τεθλιμμένη, οἱ θλιβόμενοι δι᾽ αὐτῆς βαδιοῦνται· ὥσπερ ἡ πρὸς ἀπώλειαν πλατεῖα καὶ εὐρύχωρος. «Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μου εἰς σωτηρίαν». Οὐχ ἁπλῶς εἶπεν, «Ἐπήκουσας», ἀλλὰ πρότερον παιδεύσας, καὶ βελτίω ποιήσας. Διὸ καὶ εὐχαριστεῖ, οὐχ ὑπὲρ ὧν ἠκούσθη, ἀλλ᾽ ὑπὲρ ὧν ἐπαιδεύθη. Διὰ γὰρ τοῦτο ἠκούσθη, καὶ πανταχοῦ πολὺ τοῦτο παρ᾽ αὐτῷ τὸ τῆς εὐχαριστίας εἶδος. Ὅπερ γὰρ εἶπον καὶ λέγων οὐ παύσομαι, τοῦτο μάλιστα θυσία καὶ προσφορά.*

*«Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας». Ὅτι μὲν εἰς Χριστὸν τὸ εἰρημένον, παντί που δῆλον. Καὶ γὰρ αὐτὸς ἐν τοῖς εὐαγγελίοις ταύτην παράγει τὴν προφητείαν λέγων· Οὐδέποτε ἀνέγνωτε, «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας;». Εἰ δὲ μὴ δοκεῖ ἐξ αὐτῆς ἠρτῆσθαι τῆς ἱστορίας τὸ εἰρημένον, ἀλλὰ μέσην τὴν ἀκολουθίαν διακόψασα ἡ προφητεία ἐπεισῆλθε, θαυμαστὸν οὐδέν, οὐδὲ καινόν· οὕτω*

34. Ματθ. 21, 42.

πρέπει νὰ χτυποῦμε μὲ τὴν ἀρετή, μὲ τὴν ἐλεημοσύνη καὶ τὴ δικαιοσύνη. «Αὐτὴ εἶναι ἡ πύλη τοῦ Κυρίου, καὶ μόνο οἱ δίκαιοι θὰ εἰσέλθουν ἀπ' αὐτή». Ὑπάρχουν πύλες θανάτου, ὑπάρχουν πύλες ποὺ ὁδηγοῦν στὴν ἀπώλεια καὶ ὑπάρχουν πύλες ζωῆς, ὑπάρχουν πύλες στενὲς καὶ γεμάτες ἀπὸ θλίψη. Γι' αὐτὸ λοιπόν, ἐπειδὴ ὑπάρχουν πολλές, ἀναφέρει τὸ διακριτικὸ γνώρισμα τῆς πύλης τοῦ Κυρίου, προσθέτοντας, «Αὐτὴ εἶναι ἡ πύλη τοῦ Κυρίου». Διότι ἐκεῖνες δὲν εἶναι τοῦ Κυρίου. Καὶ τὸ διακριτικὸ γνώρισμα αὐτῆς ποιὸ εἶναι; Τὸ ὅτι ἀπ' αὐτὴ εἰσέρχονται ἐκεῖνοι ποὺ ἀσκοῦνται μὲ δοκιμασίες, ἐκεῖνοι ποὺ θλίβονται. Διότι εἶναι στενὴ καὶ γεμάτη ἀπὸ θλίψεις· ἂν δὲ εἶναι γεμάτη ἀπὸ θλίψεις, αὐτοὶ ποὺ ὑπομένουν τὶς θλίψεις θὰ βαδίσουν μέσω αὐτῆς· ὅπως εἶναι πλατιὰ καὶ εὐρύχωρη ἐκείνη ποὺ ὁδηγεῖ στὴν ἀπώλεια. «Θὰ σὲ δοξολογήσω, διότι ἄκουσες τὴν προσευχή μου καὶ μοῦ χάρισες τὴ σωτηρία». Δὲν εἶπε ἁπλῶς, «εἰσάκουσες τὴν προσευχή μου», ἀλλὰ προηγουμένως ἀφοῦ μὲ ἄσκησες μὲ δοκιμασίες καὶ μὲ ἔκαμες καλύτερο. Γι' αὐτὸ καὶ εὐχαριστεῖ, ὄχι γιὰ ἐκεῖνα ποὺ εἰσακούσθηκαν ἀπὸ τὸ Θεό, ἀλλὰ γιὰ ἐκεῖνα μὲ τὰ ὁποῖα παιδεύθηκε. Γι' αὐτὸ βέβαια εἰσακούσθηκε καὶ παντοῦ προβάλλεται ἀπ' αὐτὸν σὲ μεγάλο βαθμὸ αὐτὸ τὸ εἶδος τῆς εὐχαριστίας. Αὐτὸ δηλαδὴ ποὺ εἶπα καὶ δὲν θὰ παύσω νὰ τὸ λέγω, αὐτὸ πρὸ πάντων εἶναι θυσία καὶ προσφορά.

«Λίθο ποὺ τὸν ἀπέρριψαν οἱ οἰκοδομοῦντες, αὐτὸς ἔγινε ὁ ἀκρογωνιαῖος λίθος». Τὸ ὅτι τὰ λόγια αὐτὰ ἀναφέρονται στὸ Χριστό, εἶναι φανερὸ βέβαια στὸν καθένα. Καθόσον αὐτὸς στὰ εὐαγγέλια ἀναφέρει αὐτὴν τὴν προφητεία, λέγοντας «Ποτὲ δὲν διαβάσατε ὅτι λίθο ποὺ τὸν ἀπέρριψαν οἱ οἰκοδομοῦντες, αὐτὸς ἔγινε ὁ ἀκρογωνιαῖος λίθος;»[34]. Ἂν δὲ φαίνονται αὐτὰ τὰ λόγια νὰ μὴ συνδέονται μὲ αὐτὴ τὴν ἱστορία, ἀλλ' εἰσῆλθε στὴ μέση ἡ προφητεία καὶ διέκοψε τὴ συνέχεια, δὲν εἶναι καθόλου ἄξιο

*γὰρ αἱ πλείους τῶν προφητειῶν ἐξεφωνήθησαν ἐν τῇ Παλαιᾷ, διὰ τὸ δεῖν αὐτὰς συσκιάζεσθαι τέως, ὥστε μὴ καὶ τὰ βιβλία αὐτὰ ἐξαλειφθῆναι. Ἐπεὶ καὶ ἡ περὶ τῆς γεννήσεως αὐτοῦ προφητεία δοκεῖ μὲν ἀπὸ τῆς ἱστορίας ἠρτῆσθαι, οὐδὲν δὲ κοινὸν ἔχει πρὸς ἐκείνην, οἷον τό, «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός».*

*«Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες». Οἰκοδομοῦντας λέγει τοὺς Ἰουδαίους, τοὺς νομοδιδασκάλους, τοὺς γραμματεῖς, τοὺς Φαρισαίους, ὅτι ἀπεδοκίμαζον αὐτὸν λέγοντες· «Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις»· καὶ πάλιν, «Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον». Ἀλλ' ὅμως οὗτος ὁ ἀποδοκιμασθείς, οὕτως ἐφάνη δόκιμος, ὡς γενέσθαι κεφαλὴν γωνίας. Οὐ γὰρ ἅπας λίθος εἰς γωνίαν ἐπιτήδειος, ἀλλ' ὁ δοκιμώτατος, καὶ ἐξ ἑκατέρας πλευρᾶς τοὺς τοίχους συνδῆσαι δυνάμενος. Ὃ τοίνυν ὁ προφήτης λέγει, τοῦτό ἐστιν, ὅτι ὁ ἀποδοκιμασθεὶς παρὰ τῶν Ἰουδαίων καὶ ἐξουθενηθείς, οὕτως ἐφάνη θαυμαστός, ὥστε μὴ μόνον οἰκοδομὴν ὑφῆναι, ἀλλὰ καὶ δύο συνδῆσαι τοίχους. Ποίας δὴ τοίχους; Τοὺς ἐξ Ἰουδαίων καὶ Ἑλλήνων πιστεύοντας· καθάπερ καὶ ὁ Παῦλος λέγει· «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν, ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον». Καὶ πάλιν «Ἐποικοδομηθέντες τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου Ἰησοῦ Χριστοῦ».*

35. Ἡσ. 7, 14. Ματθ. 1, 23.
36. Ἰω. 8, 48.
37. Ἰω. 7, 12.
38. Ἐφ. 2, 14-15.

θαυμασμοῦ αὐτό, διότι μὲ αὐτὸ τὸν τρόπο λέχθηκαν στὴν Παλαιὰ Διαθήκη οἱ περισσότερες ἀπὸ τὶς προφητεῖες, ἐπειδὴ ἔπρεπε αὐτὲς γιὰ ὁρισμένο χρόνο νὰ εἶναι συσκιασμένες, ὥστε νὰ μὴ ἐξαφανισθοῦν καὶ τὰ ἴδια τὰ βιβλία. Πράγματι καὶ ἡ προφητεία γιὰ τὴ γέννηση αὐτοῦ φαίνεται μὲν νὰ ἐξαρτᾶται ἀπὸ τὴν ἱστορία, ὅμως δὲν ἔχει καμιὰ σχέση μὲ ἐκείνη, ἐπὶ παραδείγματι τὸ «Νὰ ἡ παρθένος θὰ συλλάβει στὴν κοιλιά της καὶ θὰ γεννήσει υἱὸ καὶ θὰ τὸν ὀνομάσουν Ἐμμανουήλ, ποὺ σημαίνει ἑρμηνευόμενο, ὁ Θεὸς εἶναι μαζί μας»[35].

«Λίθο ποὺ τὸν ἀπέρριψαν οἱ οἰκοδομοῦντες». Οἰκοδομοῦντες ὀνομάζει τοὺς Ἰουδαίους, τοὺς νομοδιδασκάλους, τοὺς γραμματεῖς, τοὺς Φαρισαίους, διότι ἀποδοκίμαζαν αὐτόν, λέγοντας· «Σαμαρείτης εἶσαι σὺ καὶ ἔχεις δαιμόνιο»[36]· καὶ πάλι, «Αὐτὸς δὲν εἶναι ἀπὸ τὸ Θεό, ἀλλ' ἐξαπατᾶ τὸ λαό»[37]. Ἀλλ' ὅμως αὐτὸς ποὺ ἀποδοκιμάσθηκε ἔτσι, φάνηκε ἐξαίρετος, ὥστε νὰ γίνει ἀκρογωνιαῖος. Διότι δὲν εἶναι ὁ κάθε λίθος κατάλληλος γιὰ ἀκρογωνιαῖος, ἀλλ' ὁ πιὸ ἐξαίρετος καὶ ἐκεῖνος ποὺ μπορεῖ νὰ συνδέσει τοὺς τίχους καὶ ἀπὸ τὶς δυὸ πλευρές. Αὐτὸ λοιπὸν ποὺ λέγει ὁ προφήτης, σημαίνει τὸ ἑξῆς, ὅτι δηλαδὴ ἐκεῖνος ποὺ ἀποδοκιμάσθηκε ἀπὸ τοὺς Ἰουδαίους καὶ περιφρονήθηκε, φάνηκε τόσο πολὺ θαυμαστός, ὥστε ὄχι μόνο νὰ κατασκευάσει οἰκοδομή, ἀλλὰ καὶ νὰ συνδέσει δυὸ τοίχους. Ποιοὺς λοιπὸν τοίχους; Ἐκείνους ποὺ πίστευσαν σ' αὐτὸν ἀπὸ τοὺς Ἰουδαίους καὶ τοὺς Ἕλληνες, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Παῦλος· «Διότι αὐτὸς εἶναι ἡ εἰρήνη μας, αὐτὸς ποὺ ἕνωσε τὰ δυὸ σ' ἕνα καὶ γκρέμισε τὸ μεσότοιχο τοῦ φραγμοῦ, δηλαδὴ τὴν ἔχθρα, καταργώντας μὲ τὴ σάρκα του τὸ νόμο τῶν ἐντολῶν ποὺ εἶχε δοθεῖ ὑπὸ μορφὴ προσταγμάτων, γιὰ νὰ δημιουργήσει μὲ τοὺς δυὸ ἕνα καινούριο ἄνθρωπο»[38]. Καὶ πάλι· «Ποὺ οἰκοδομηθήκατε ἐπάνω στὸ θεμέλιο τῶν ἀποστόλων καὶ τῶν προφητῶν, τοῦ ὁποίου ἀκρογωνιαῖος λίθος εἶναι ὁ Ἰησοῦς

*Τὸ δὲ εἰρημένον πολλὴ κατηγορία τῶν Ἰουδαίων, ὅτι οἰκοδομοῦντες τὸν ἐπιτήδειον λίθον οὐκ ἔκριναν, ἀλλὰ καὶ ὡς ἀδόκιμον ἔρριψαν, τοιαύτην δυνάμενον οἰκοδομὴν ὑφῆναι. Εἰ δὲ βούλει τοὺς δύο τοίχους μαθεῖν, ἄκουσον καὶ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· «Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν». Τοῦτο καὶ ἄνωθεν ὡς ἐν τύπῳ γέγονεν. Ὁ γὰρ Ἀβραὰμ γέγονεν ἑκατέρων πατριάρχης, τῶν τε ἐν ἀκροβυστίᾳ, τῶν τε ἐν περιτομῇ· ἀλλ' ἐκεῖνο μὲν ὡς ἐν τύπῳ, τοῦτο δὲ ἐν ἀληθείᾳ. Οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· τουτέστι, συνέδησεν ἑκάτερα τὰ ἔθνη.*

*«Παρὰ Κυρίου ἐγένετο αὕτη». Τί ἐστι, «Παρὰ Κυρίου ἐγένετο αὕτη»; Οὐκ ἦν ἀνθρώπινον, φησί, τὸ γενόμενον, οὐκ ἦν ἑνὸς τῶν πολλῶν, οὐκ ἦν ἀγγέλων, οὐκ ἦν ἀρχαγγέλων τὸ τοιαύτην πλέξαι γωνίαν. Οὐδεὶς γοῦ ἴσχυσεν, οὐ δίκαιος, οὐ προφήτης, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, ἀλλὰ τοῦ Θεοῦ τὸ κατόρθωμα μόνον· καὶ γὰρ τοῦτο ἰδικῶς αὐτοῦ τὸ ἔργον. Ἕτερος δὲ ἑρμηνευτής, «Παρὰ Κυρίου ἐγένετο τοῦτο», φησὶ τουτέστι. τὸ ἔργον τὸ θαυμαστὸν καὶ παράδοξον, τὸ τῆς γωνίας. «Καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν». Τίς δέ ἐστι θαυμαστή; Ἡ γωνία, ἡ σύνοδος τῶν δύο ἐθνῶν, ἡ εἰς τὴν εὐσέβειαν. Καὶ γὰρ ἐκ τῶν Ἰουδαίων πολλαὶ μυριάδες ἐπίστευσαν· καὶ οἱ ἀπόστολοι δὲ ἐξ Ἰουδαίων. Καλῶς δὲ εἶπεν, «Ἐν ὀφθαλμοῖς ἡμῶν»· οὐ γὰρ πᾶσίν ἐστι τὸ θαῦμα κατάδηλον. Τίς γὰρ οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειεν, ὅτι ἔνθα ἐσταυρώθη Χριστός, ἐκεῖ προσκυνεῖται Χριστός, καὶ οἱ*

---

39. Ἐφ. 2, 20.
40. Ἰω. 10, 16.

Χριστός»[39]. Τὰ λόγια αὐτὰ ἀποτελοῦν μεγάλη κατηγορία γιὰ τοὺς Ἰουδαίους, διότι οἰκοδομώντας δὲν διέκριναν τὸν κατάλληλο λίθο, ἀλλὰ καὶ τὸν ἀπέρριψαν σὰν ἀκατάλληλο, ἐνῶ μποροῦσε νὰ κατασκευάσει τέτοια οἰκοδομή. Ἂν δὲ θέλεις νὰ μάθεις τοὺς δυὸ τοίχους, ἄκουσε καὶ τὸν ἴδιο τὸ Χριστὸ ποὺ λέγει· «Καὶ ἄλλα πρόβατα ἔχω, ποὺ δὲν εἶναι ἀπὸ αὐτὴ τὴ μάνδρα, ποὺ πρέπει καὶ ἐκεῖνα νὰ τὰ φέρω μέσα σ' αὐτὴν καὶ θὰ γίνει μιὰ ποίμνη καὶ ἕνας ποιμένας»[40]. Αὐτὸ συνέβηκε καὶ στὴν ἀρχὴ ὑπὸ μορφὴ προτυπώσεως. Διότι ὁ Ἀβραὰμ ὑπῆρξε γενάρχης καὶ τῶν δύο, καὶ ἐκείνων ποὺ ἐφάρμοζαν τὴν ἀκροβυστία καὶ ἐκείνων ποὺ περιτέμνονταν, ἀλλ' ἐκεῖνο μὲν ἀποτελοῦσε προτύπωση, ἐνῶ αὐτὸ εἶναι ἡ ἀλήθεια. Αὐτὸς ἔγινε ὁ ἀκρογωνιαῖος λίθος· δηλαδὴ συνένωσε καὶ τὰ δυὸ ἔθνη.

«Παρὰ Κυρίου ἐγένετο αὕτη». Τί σημαίνει «Παρὰ Κυρίου ἐγένετο αὕτη»; Αὐτὸ ποὺ συνέβηκε, λέγει, δὲν ἦταν ἀνθρώπινο, δὲν ἦταν ἔργο κάποιου ἀπὸ τοὺς πολλούς, δὲν ἦταν ἔργο τῶν ἀγγέλων, δὲν μποροῦσαν οἱ ἀρχάγγελοι νὰ κατασκευάσουν μιὰ τέτοια γωνία. Πράγματι κανένας δὲν μπόρεσε, οὔτε δίκαιος, οὔτε προφήτης, οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος, ἀλλ' ἦταν τὸ κατόρθωμα μόνο τοῦ Θεοῦ· αὐτὸ δηλαδὴ ἰδικὰ ἦταν ἔργο αὐτοῦ. Ἄλλος δὲ ἑρμηνευτὴς λέγει, «Ἀπὸ τὸν Κύριο συνέβηκε αὐτό»· δηλαδὴ τὸ ἀξιοθαύμαστο καὶ παράδοξο ἔργο, τὸ ἔργο τῆς γωνίας. «Καὶ εἶναι ἀξιοθαύμαστη μπροστὰ στὰ μάτια μας». Ποιὰ δὲ εἶναι ἀξιοθαύμαστη; Ἡ γωνία, ἡ συγκέντρωση τῶν δύο ἐθνῶν στὴν ἄσκηση τῆς εὐσεβείας. Καθόσον ἀπὸ τοὺς Ἰουδαίους πολλὲς μυριάδες πίστευσαν· καὶ οἱ ἀπόστολοι δὲ ἀπὸ τοὺς Ἰουδαίους προέρχονταν. Καλὰ δὲ εἶπε, «Μπροστὰ στὰ μάτια μας». Καθόσον δὲν εἶναι τὸ θαῦμα φανερὸ σ' ὅλους. Διότι ποιὸς θὰ ἦταν δυνατὸ νὰ μὴ ἐκπλαγεῖ, ποιὸς νὰ μὴ θαυμάσει, διότι ἐκεῖ ποὺ σταυρώθηκε ὁ Χριστός, ἐκεῖ προσκυνεῖται ὁ Χριστός, καὶ ἐκεῖνοι μὲν ποὺ τὸν σταύρωσαν βρίσκονται σὲ

*μὲν σταυρώσαντες ἐν ἀτιμίᾳ, οἱ δὲ προσκυνοῦντες ἐν δόξῃ; Καὶ γὰρ πᾶσαν τὴν οἰκουμένην διέδραμεν ὁ λόγος, συνάπτων τῇ ἀληθείᾳ ἅπαντας. Ἔστι μὲν οὖν καὶ τοῖς ὁπωσοῦν ἐξετάζουσι θαυμαστή, πολλῷ δὲ ἀκριβέστερον καὶ σαφέστερον τοῖς πιστεύουσι. Διὰ τοῦτο εἶπεν, «Ἐν ὀφθαλμοῖς ἡμῶν».*

*6. «Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ». Ἡμέραν ἐνταῦθα οὐχὶ τὸν δρόμον λέγει τὸν ἡλιακόν, ἀλλὰ τὰ κατορθώματα τὰ ἐν αὐτῇ γενόμενα. Ὥσπερ γὰρ ἡμέραν πονηρὰν λέγων, οὐ τὸν δρόμον λέγει τοῦ ἡλίου, ἀλλὰ τὰ ἐν αὐτῇ κακά, οὕτω καὶ ἡμέραν ἀγαθήν, τὰ ἐν αὐτῇ κατορθώματα. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τὰ τοῦ Θεοῦ κατορθώματα, τὰ ἐν αὐτῇ γενόμενα, ὁ Θεὸς ἐποίησε· τῆς γὰρ χειρὸς ἐκείνης μόνης ἦν τὸ τελέσαι τὰ γεγενημένα. Τί τοίνυν τῆς ἡμέρας ταύτης ἴσον γένοιτ' ἄν, ἐν ᾗ καταλλαγὴ Θεοῦ πρὸς ἀνθρώπους ἐγένετο, καὶ χρόνιος κατελύθη πόλεμος, καὶ οὐρανὸς ἀπεδείχθη ἡ γῆ, καὶ οἱ τῆς γῆς ἀνάξιοι ἄνθρωποι τῆς βασιλείας ἐφάνησαν ἄξιοι, καὶ ἡ ἀπαρχὴ τῆς φύσεως τῆς ἡμετέρας ὑπεράνω τῶν οὐρανῶν ἀνηνέχθη, καὶ παράδεισος ἠνοίγη, καὶ τὴν ἀρχαίαν ἀπελάβομεν πατρίδα, καὶ κατάρα ἠφανίσθη, καὶ ἁμαρτία ἐλύθη, καὶ οἱ διὰ τοῦ νόμου κολασθέντες χωρὶς τοῦ νόμου σωτηρίας ἐπέτυχον, καὶ πᾶσα ἡ γῆ καὶ θάλασσα τὸν Δεσπότην ἐπέγνω τὸν ἑαυτῆς, καὶ μυρία ἕτερα γέγονεν, ἅπερ οὐκ ἔστι νῦν ἐπελθεῖν τῷ λόγῳ; Διὰ δὴ τοῦτο ὁ προφήτης ἅπαντα ταῦτα ἐννοήσας, τῷ Θεῷ τὸ πᾶν ἀνατίθησι, δηλῶν, ὅτι τοῦ Θεοῦ ἔργα ἐστὶ τὰ γεγενημένα. «Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ». Εὐφροσύνην ἐνταῦθα λέγει τὴν πνευματικήν, τὴν νοεράν, τὴν τῆς διανοίας. «Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ», ὅτι τοσούτων ἐπετύχομεν ἀγαθῶν. Καὶ γὰρ καὶ*

περιφρόνηση, ἐνῶ ἐκεῖνοι πού τὸν προσκυνοῦν εἶναι ἔνδοξοι; Καθόσον ὅλη τὴν οἰκουμένη διέτρεξε ὁ λόγος, συνενώνοντας ὅλους μὲ τὴν ἀλήθεια. Εἶναι βέβαια ἀξιοθαύμαστη καὶ σ' ἐκείνους ποὺ τὴν ἐξετάζουν κατά κάποιο τρόπο, πολὺ πιὸ ἀκριβέστερα ὅμως καὶ σαφέστερα σ' ἐκείνους ποὺ πιστεύουν. Γι' αὐτὸ εἶπε, «Μπροστὰ στὰ μάτια μας».

6. Αὐτὴ ἡ ἡμέρα εἶναι ἡ ἡμέρα ποὺ τὴν ἔκαμε ὁ Κύριος· ἂς χαροῦμε καὶ ἂς εὐφρανθοῦμε αὐτὴ τὴν ἡμέρα». Ἡμέρα ἐδῶ ὀνομάζει ὄχι τὴν πορεία τοῦ ἡλίου, ἀλλὰ τὰ κατορθώματα πού συνέβηκαν αὐτὴ τὴν ἡμέρα. Διότι, ὅπως ἀκριβῶς λέγοντας πονηρὴ ἡμέρα δὲν ὀνομάζει τὴν πορεία τοῦ ἡλίου, ἀλλὰ τὰ κακά ποὺ συμβαίνουν κατ' αὐτήν, ἔτσι καὶ ἡμέρα ἀγαθὴ ὀνομάζει τὰ κατορθώματα ποὺ συμβαίνουν κατ' αὐτήν. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· τὰ κατορθώματα τοῦ Θεοῦ, πού συνέβηκαν κατ' αὐτήν, τὰ ἔκαμε ὁ Θεός· διότι μόνο ἐκεῖνο τὸ χέρι μποροῦσε νὰ κάμει ἐκεῖνα ποὺ συνέβηκαν. Τί δηλαδὴ θὰ μποροῦσε νά ἐξισωθεῖ μὲ τὴν ἡμέρα αὐτή, κατὰ τὴν ὁποία συνέβηκε ἡ συμφιλίωση τοῦ Θεοῦ μὲ τὸν ἄνθρωπο, τερματίσθηκε ὁ μακροχρόνιος πόλεμος, ἡ γῆ ἔγινε οὐρανός, οἱ ἀνάξιοι ἄνθρωποι τῆς γῆς φάνηκαν ἄξιοι τῆς οὐράνιας βασιλείας, τὸ κάλλιστο μέρος τῆς φύσεώς μας μεταφέρθηκε πιὸ πάνω ἀπὸ τούς οὐρανούς, ὁ παράδεισος ἄνοιξε, ἀποκτήσαμε καὶ πάλι τὴν ἀρχαία πατρίδα, ἡ κατάρα ἐξαφανίσθηκε, ἡ ἁμαρτία καταλύθηκε, ἐκεῖνοι πού τιμωρήθηκαν ἀπὸ τὸ νόμο ἐπέτυχαν τὴ σωτηρία τους χωρὶς τὸ νόμο, ὅλη ἡ γῆ καὶ ἡ θάλασσα γνώρισε τὸν Κύριό της, καὶ συνέβηκαν ἄπειρα ἄλλα, πού δέν μποροῦμε τώρα νὰ τὰ παρουσιάσουμε μὲ τὸ λόγο; Γι' αὐτὸ λοιπὸν καὶ ὁ προφήτης, ἐπειδὴ τὰ ἔφερε στὴ σκέψη του ὅλα αὐτά, ἀναθέτει στὸ Θεὸ τὸ πᾶν, δηλώνοντας, ὅτι τὰ ὅσα συνέβηκαν εἶναι ἔργα τοῦ Θεοῦ. «Ἂς χαροῦμε καὶ ἂς εὐφρανθοῦμε κατ' αὐτήν», διότι ἐπιτύχαμε τόσα μεγάλα ἀγαθά.

*τοῦτο οὐ μικρὸν κατόρθωμα, τὸ χαίρειν ἐπὶ τοῖς ἀγαθοῖς, τὸ σκιρτᾶν, τὸ εὐφραίνεσθαι, τὸ μετὰ ἡδονῆς δέχεσθαι τοῦ Θεοῦ τὰς εὐεργεσίας.*

*«Ὦ Κύριε, σῶσον δή· ὦ Κύριε, εὐόδωσον δή». Ἐπειδὴ εἶδε τῆς οἰκουμένης τὴν εὐημερίαν, καὶ τὴν τῶν πραγμάτων μεταβολήν, καὶ τὴν πρὸς τὸ βέλτιον μετάστασιν, συγχαίρων τοῖς ἀπολαύουσιν εἶπεν· «Ὦ Κύριε, σῶσον δή· ὦ Κύριε, εὐόδωσον δή». Τουτέστι, διάσωσον δὴ τοὺς ἀπολαύοντας, ὥστε καὶ ἐμπλησθῆναι, καὶ καρποὺς ἀξίους ἐπιδείξασθαι τῆς χάριτος· ῥαδίαν αὐτοῖς ποίησον τὴν ὁδόν, ὥστε μετὰ τὸ τυχεῖν μὴ ἐκπεσεῖν τῶν τοιούτων καλῶν. «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου». Οὐ γὰρ δὴ μέχρι τῶν γεγενημένων ἵσταται τὰ ἡμέτερα, ἀλλ' ἐφ' ἕτερα πρόεισι μείζονα, τὴν ἀνάστασιν, τὴν βασιλείαν, τὴν μετὰ Χριστοῦ λῆξιν, ἅπερ ἅπαντα παραστῆσαι βουλόμενος, ἐπήγαγεν· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου». Τοῦτο καὶ ὁ Χριστὸς Ἰουδαίοις ἔλεγεν· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν· οὐ μή με ἴδητε, ἕως ἂν εἴπητε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου». Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο αὐτὸ προεβάλλετο, ὅτι οὐκ ἔστι ἀπὸ τοῦ Θεοῦ, ὅτι ἀντίθεός ἐστι, λέγει αὐτοῖς· ὑμεῖς μοι μαρτυρήσετε, ὅτι οὐκ ἀντίθεος ἐγώ, ὅταν ἴδητε ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, καὶ ταύτην ἀφῆτε τὴν φωνὴν λέγοντες, «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», ἐν εὐφημίας ῥήμασι τῆς ἀπολογίας ἑαυτοὺς ἐκβάλλοντες. Ἡ γὰρ ἐπιφάνεια τῶν γινομένων τότε ταύτην παρασκευάσει τὴν φωνὴν ἀφεῖναι, ὁμοῦ μὲν εὐφημοῦντας, ὁμοῦ δὲ τὴν κατηγορίαν πικροτέραν ποιοῦντας τὴν καθ' ἑαυτῶν.*

---

41. Ματθ. 23, 39.

Καθόσον καὶ αὐτὸ δὲν εἶναι μικρὸ κατόρθωμα, τὸ νὰ χαιρόμαστε γιὰ τὰ ἀγαθά, τὸ νὰ σκιρτᾶμε ἀπὸ χαρά, τὸ νὰ εὐφραινόμαστε, τὸ νὰ δεχόμαστε μὲ εὐχαρίστηση τὶς εὐεργεσίες τοῦ Θεοῦ.

«Κύριε, σῶσε με τώρα· Κύριε, ὁδήγησέ με τώρα σὲ αἴσιο τέρμα». Ἐπειδὴ εἶδε τὴν εὐημερία τῆς οἰκουμένης, τὴ μεταβολὴ τῶν πραγμάτων καὶ τὴ μεταφορὰ πρὸς τὸ καλύτερο, νοιώθοντας χαρὰ μαζὶ μὲ ἐκείνους ποὺ ἀπολαμβάνουν τὰ ἀγαθά, εἶπε· «Κύριε, σῶσε με τώρα· Κύριε, ὁδήγησέ με σὲ αἴσιο τέρμα». Δηλαδὴ σῶσε τώρα αὐτοὺς ποὺ ἀπολαμβάνουν τὰ ἀγαθά, ὥστε καὶ νὰ χορτάσουν ἀπὸ αὐτὰ καὶ νὰ παρουσιάσουν καρποὺς ἀνταξίους τῆς χάριτος· κάμε αὐτοὶ νὰ μὴ ἐκπέσουν ἀπὸ τὰ τέτοιου εἴδους καλά. «Ἂς εἶναι εὐλογημένος ἐκεῖνος ποὺ ἔρχεται στὸ ὄνομα τοῦ Κυρίου». Δὲν σταματοῦν δηλαδὴ τὰ δικά μας στὰ ὅσα μόνο συνέβηκαν, ἀλλὰ προχωρεῖ σ' ἄλλα μεγαλύτερα, τὴν ἀνάσταση, τὴ βασιλεία, τὸ τέλος μαζὶ μὲ τὸ Χριστό, καὶ θέλοντας νὰ παρουσιάσει ὅλα αὐτά, πρόσθεσε· «Ἂς εἶναι εὐλογημένος ποὺ ἔρχεται στό ὄνομα τοῦ Κυρίου». Αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε στοὺς Ἰουδαίους· «Ἀλήθεια, ἀλήθεια σᾶς λέγω· δὲν θὰ μὲ δεῖτε μέχρι ποὺ νὰ πεῖτε, Εὐλογημένος ἂς εἶναι ἐκεῖνος ποὺ ἔρχεται στὸ ὄνομα τοῦ Κυρίου»[41]. Ἐπειδὴ δηλαδὴ αὐτὸ συνέχεια πρόβαλλαν, ὅτι δὲν εἶναι σταλμένος ἀπὸ τὸ Θεό, ὅτι εἶναι ἀντίθεος, λέγει σ' αὐτούς· Σεῖς θὰ τὸ ἐπιβεβαιώσετε, ὅτι δὲν εἶμαι ἀντίθεος, ὅταν θὰ μὲ δεῖτε νὰ ἔρχομαι ἐπάνω ἀπὸ τὰ σύννεφα καὶ θ' ἀφήσετε ν' ἀκουσθεῖ αὐτὴ ἡ φωνὴ λέγοντας, «Εὐλογημένος ἂς εἶναι αὐτὸς ποὺ ἔρχεται στό ὄνομα τοῦ Κυρίου», διατυπώνοντας τὴν ἀπολογία σας μὲ λόγια ἐπαινετικά. Διότι ἡ λαμπρότητα τῶν ὅσων θὰ συμβαίνουν τότε, θὰ κάμει τότε ἐκεῖνοι ν' ἀφήσουν ν' ἀκουσθοῦν αὐτὰ τὰ λόγια, καὶ ἐγκωμιάζοντας αὐτὸν συγχρόνως καὶ κάμνοντας τὴν κατηγορία ἐναντίον τοῦ ἑαυτοῦ τους πικρότερη.

«Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν». Τὸν δῆμον ἅπαντα λέγει τὸν πιστόν, τὸν εὐλογίας ἀπολαύοντα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Καὶ γὰρ πανταχοῦ φαίνονται οἱ προφῆται μακαρίζοντες τοὺς μέλλοντας πιστεύειν. Τίνος ἕνεκεν εὐλογήσατε, καὶ πόθεν ὁ μακαρισμός; Ὅτι ὁ Θεὸς ἐπέφανεν ἡμῖν. «Ἐπεφάνη» γάρ, φησίν, «ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κισμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν, ἀπεκδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἐνταῦθα τοίνυν ὁ προφήτης τὴν σάρκωσιν θαυμάζει, ὅτι Θεὸς ὢν καὶ Κύριος καὶ τῆς οὐσίας ἐκείνης, κατηξίωσεν ἐπιφάνειαν. Ἐπιφάνειαν δὲ εἶπε τὴν οἰκονομίαν, τὸ εἰς μήτραν ἐλθεῖν παρθενικήν, τὸν ἄνθρωπον γενέσθαι, καὶ τοῖς ἀνθρώποις συναναστραφῆναι. Διὰ δὴ τοῦτο, «Εὐλογήκαμεν ὑμᾶς», φησίν, ὅτι τοιαύτης ἀπηλαύσατε δωρεᾶς. Τοῦτο καὶ ὁ Χριστὸς αἰνιττόμενος ἔλεγε «Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ εἴδετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν».

«Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου». Ἕτερος ἑρμηνευτής φησι· «Συνδήσατε ἐν πανηγύρει πυκάσματα». Ἄλλος, «Δήσατε ἑορτὴν ἐν πιμελέσιν». Ἐπὶ τὴν ἱστορίαν ἐξέβη πάλιν ἀπὸ τῆς προφητείας. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἑορτάσατε, πανηγυρίσατε. Τί δέ ἐστι, «Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσι»; Κατὰ μὲν τὸν ἕνα ἑρμηνευτήν, 'Θύσατε θυσίας λιπαράς', κατὰ δὲ τὸν ἕτερον, 'Στεφανώματα καὶ κλάδους ἀνάψατε τῷ ναῷ'. Τὸ δὲ Ἑβραϊκὸν τοῦτο οὕτως εἶπεν, «Ἐσροὺ ἂγ βαὰδ ὀθθίμ». Ἄν τε οὖν τοῦτο, ἄν τε ἐκεῖνο ᾖ, ἑορτὴν δηλοῖ, καὶ φαιδρὰν

---

42. Τιτ. 2, 11 - 13.
43. Ματθ. 13, 17.

«Σᾶς εὐλογήσαμε ἀπὸ τὸν οἶκο τοῦ Κυρίου. Ὁ Θεὸς εἶναι ὁ Κύριός μας καὶ φανερώθηκε σ' ἐμᾶς». Ἐννοεῖ ὅλο τὸν πιστὸ λαό, ποὺ ἀπολαμβάνει εὐλογίες στὸν οἶκο τοῦ Θεοῦ. Καθόσον παντοῦ φαίνονται οἱ προφῆτες νὰ μακαρίζουν ἐκείνους ποὺ ἐπρόκειτο νὰ πιστεύσουν. Ἀπὸ ποιὰ αἰτία μᾶς εὐλογήσατε καὶ ἀπὸ ποιὰ παίρνει ἀφορμὴ γιὰ τὸ μακαρισμό; Διότι ὁ Θαὸς φανερώθηκε σ' ἐμᾶς. Διότι λέγει, «Φανερώθηκε ἡ χάρη τοῦ Θεοῦ ἡ σωτήρια, διδάσκοντας ἐμᾶς ν' ἀρνηθοῦμε τὴν ἀσέβεια καὶ τὶς κοσμικὲς ἐπιθυμίες, καὶ νὰ ζήσουμε μὲ σωφροσύνη, δικαιοσύνη καὶ εὐσέβεια, περιμένοντας τὴν ἐκπλήρωση τῆς μακαρίας ἐλπίδας καὶ τὴ φανέρωση τοῦ μεγάλου Θεοῦ καὶ Σωτήρα μας Ἰησοῦ Χριστοῦ»[42]. Ἐδῶ λοιπὸν ὁ προφήτης θαυμάζει τὴ σάρκωση, διότι, ἐνῶ εἶναι Θεὸς καὶ Κύριος καὶ ἀπὸ τὴν ἴδια ἐκείνη θεία οὐσία, καταδέχθηκε νὰ φανερωθεῖ στὸν κόσμο. Ἐπιφάνεια δὲ ὀνόμασε τὸ ἔργο τῆς οἰκονομίας, τὸ ὅτι εἰσῆλθε στὴν παρθενικὴ μήτρα, τὸ ὅτι ἔγινε ἄνθρωπος καὶ συναναστράφηκε τοὺς ἀνθρώπους. Γι' αὐτὸ λοιπὸν λέγει, «Σᾶς εὐλογήσαμε», διότι ἀπολαύσατε τέτοιου εἴδους δωρεᾶς. Αὐτὸ ὑπαινισσόμενος καὶ ὁ Χριστός, ἔλεγε· «Πολλοὶ προφῆτες καὶ δίκαιοι ἐπιθύμησαν νὰ δοῦν, αὐτὰ ποὺ εἴδατε σεῖς, καὶ δὲν τὰ εἶδαν, καὶ ν' ἀκούσουν, αὐτὰ ποὺ ἀκοῦτε σεῖς, καὶ δὲν τὰ ἄκουσαν»[43].

«Ὀργανῶστε ἑορτὴ μὲ πυκνὰ κλαδιὰ φοινίκων μέχρι τὰ ἄκρα τοῦ θυσιαστηρίου». Ἄλλος ἑρμηνευτὴς λέγει· «Σχηματίστε στὴν πανήγυρη διακοσμήματα». Ἄλλος λέγει, «Ὀργανῶστε ἑορτὴ μὲ παχιὰ ζῶα». Ἀπὸ τὴν προφητεία μεταφέρθηκε πάλι στὴν ἱστορία. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἑορτάστε, πανηγυρίστε. Τί σημαίνει δέ, «Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσι»; Κατὰ μὲν τὸν ἕνα ἑρμηνευτὴ σημαίνει, 'προσφέρτε θυσίες λιπαρές', κατὰ δὲ τὸν ἄλλο, 'κρεμᾶστε στὸ ναὸ στεφάνια καὶ κλαδιά'. Τὸ δὲ ἑβραϊκὸ αὐτὰ τὰ λόγια τὰ λέγει ὡς ἑξῆς· «Ἑσρού ἄγ βαάδ ὀθθίμ». Εἴτε λοιπὸν αὐτὴ ἡ ἑρμηνεία,

*ἡμέραν, καὶ πανήγυριν. Ἀπὸ γὰρ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ μετήγαγε πάλιν τὸν λόγον, καὶ τῆς ἐπανόδου τούτων ἐμνημόνευσε.*

*«Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σύ, καὶ ὑψώσω σε. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν». Ἐνταῦθα δείκνυσιν, ὅτι καὶ χωρὶς τῶν εὐεργεσιῶν δεῖ εὐχαριστεῖν τῷ Θεῷ, καὶ διὰ τοῦτο δοξάζειν αὐτόν, διὰ τὴν μεγαλωσύνην αὐτοῦ, διὰ τὴν ἀπόρρητον δόξαν. Τοῦτο γὰρ αἰνίττεται μετὰ τὸ εἰπεῖν τὰς εὐεργεσίας, ἃς εὐηργετήθη, οὕτως ἐπαγαγών. Λέγει γάρ· καὶ χωρὶς τούτων καὶ εὐχαριστήσω, καὶ ἐξομολογήσομαι, ὅτι τοιοῦτον ἔχω Δεσπότην, οὕτως ὑψηλόν, οὕτω μέγαν, οὕτως ἀόρατον, οὕτως ἀκατάληπτον· τὸ γάρ, «Ὑψώσω», δοξάσω ἐστίν. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Οὐκ αὐτὸς ταύτην ἀναφέρειν τὴν θυσίαν μόνον ἀρκεῖται, ἀλλὰ καὶ κοινωνοὺς πολλοὺς καλεῖ τῆς εὐφημίας καὶ τῆς εὐχαριστίας, καὶ τὴν Θεοῦ φιλανθρωπίαν ἀνακηρύττει, πανταχοῦ τὸ διαρκὲς αὐτῆς ὑμνῶν καὶ τὸ μέγεθος.*

*Ταῦτα δὴ οὖν καὶ ἡμεῖς εἰδότες, μένωμεν διαπαντὸς εὐχαριστοῦντες τῷ φιλανθρώπῳ Θεῷ, καὶ ταύτην ἀναφέρωμεν τὴν θυσίαν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

εἶπε ἐκείνη, ἑορτὴ δηλώνει, χαρούμενη ἡμέρα καὶ πανήγυρη. Διότι ἀπὸ τὰ πνευματικὰ μετέφερε τὸ λόγο πάλι πρὸς τὰ αἰσθητὰ καὶ μίλησε γιὰ τὴν ἐπάνοδο αὐτῶν.

«Εἶσαι ὁ Θεός μου καὶ θὰ σὲ εὐχαριστήσω μὲ ὕμνους˙ εἶσαι ὁ Θεός μου καὶ θὰ διακηρύξω τὸ ὕψος καὶ τὸ μεγαλεῖο σου. Θὰ σὲ εὐχαριστήσω, διότι εἰσάκουσες τὴν προσευχή μου καὶ μοῦ χάρισες τὴ σωτηρία μου». Ἐδῶ δείχνει, ὅτι καὶ χωρὶς τὶς εὐεργεσίες πρέπει νὰ εὐχαριστοῦμε τὸ Θεό, καὶ νὰ δοξολογοῦμε αὐτὸν καὶ γιὰ τὴ μεγαλωσύνη του καὶ γιὰ τὴν ἀπερίγραπτη δόξα του. Διότι αὐτό ὑπαινίσσεται μετὰ τὶς εὐεργεσίες ποὺ ἀνέφερε, μὲ τὶς ὁποῖες εὐεργετήθηκε, προσθέτοντας αὐτὰ τὰ λόγια. Διότι λέγει˙ καὶ χωρὶς αὐτὰ καὶ θὰ σὲ εὐχαριστήσω καὶ θὰ σὲ δοξολογήσω, διότι ἔχω τέτοιον Κύριο, τόσο ὑψηλό, τόσο μέγα, τόσο ἀόρατο, τόσο ἀκατανόητο˙ διότι τὸ «Ὑψώσω», σημαίνει θὰ τὸν δοξάσω. «Εὐχαριστεῖτε τὸν Κύριο, διότι εἶναι ἀγαθός, διότι τὸ ἔλεός του εἶναι αἰώνιο». Δὲν ἀρκεῖται ὁ ἴδιος μόνο νὰ προσφέρει αὐτὴ τὴ θυσία, ἀλλὰ προσκαλεῖ καὶ πολλοὺς ἄλλους νὰ λάβουν μέρος στὴ δοξολογία καὶ στὴν εὐχαριστία, καὶ διακηρύσσει τὴ φιλανθρωπία τοῦ Θεοῦ, παντοῦ ὑμνώντας τὸ μέγεθος καὶ τὴ διάρκειά της.

Γνωρίζοντας λοιπὸν καὶ ἐμεῖς αὐτά, ἂς ἐπιμένουμε νὰ εὐχαριστοῦμε διαρκῶς τὸ φιλάνθρωπο Θεὸ καὶ νὰ προσφέρουμε αὐτὴ τὴ θυσία, ὥστε καὶ τὰ μελλοντικὰ ἀγαθὰ ν' ἀπολαύσουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως δὲ καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΙΘ΄ ΨΑΛΜΟΝ

*«Ὠδὴ τῶν ἀναβαθμῶν». Ἕτερος ἑρμηνευτὴς λέγει, Ὠδὴ τῶν ἀναβάσεων».*

*«Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου».*

*1. Τῶν μὲν ἄλλων ψαλμῶν ἑκάστῳ ἰδία τίς ἐστιν ἐπιγραφή, ἐνταῦθα δὲ ὁμοῦ πολλοὶ συνελθόντες μίαν ἔλαβον προσηγορίαν, «Ὠδὴ τῶν ἀναβαθμῶν», ἢ ὡς ἕτερος εἶπεν ἑρμηνευτής, «Τῶν ἀναβάσεων». Τινὲς δὲ αὐτοὺς καὶ ἀναβαθμοὺς καλοῦσι. Καὶ τίνος, φησίν, ἕνεκεν οὕτως εἰσὶν εἰρημένοι; Κατὰ μὲν τὴν ἱστορίαν, ὅτι δὴ περὶ τῆς ἀνόδου διαλέγονται τῆς ἐκ Βαβυλῶνος, καὶ τῆς αἰχμαλωσίας μνημονεύουσι τῆς ἐκεῖσε, κατὰ δὲ τὴν ἀναγωγήν, ὅτι εἰς τὴν κατ' ἀρετὴν ὁδὸν χειραγωγοῦσι· τινὲς γὰρ οὕτως αὐτοὺς ἐξέλαβον. Καὶ γὰρ ἡ ἐκεῖ φέρουσα ὁδὸς ἀναβαθμοῖς ἔοικε, κατὰ μικρὸν ἀνάγουσα τὸν ἐνάρετον καὶ φιλόσοφον ἄνδρα, καὶ πρὸς τὸν οὐρανὸν αὐτὸν ἱστῶσα τοῦτον. Ἄλλοι δὲ τὴν τοῦ Ἰακὼβ κλίμακα διὰ τούτων αἰνίττεσθαί φασι, τὴν ἀπὸ γῆς ἐστηριγμένην πρὸς οὐρανὸν δειχθεῖσαν αὐτῷ. Οὕτω γὰρ καὶ τὰ ἄβατα τῶν χωρίων καὶ ὑψηλότερα, βατὰ γίνεται, βάθρων καὶ κλιμάκων ὑποτεθειμένων ἡμῖν.*

*Ἀλλ' ἐπειδὴ τοὺς ἀνελθόντας, ἐπειδὰν εἰς ὕψος ἀνενεχθῶσιν, ἀνάγκη ἰλιγγιᾶν, διὰ τοῦτο οὐχὶ ἀναβαίνοντας μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ ἄκρον γινομένους ἀσφαλίζεσθαι χρή. Μία δὲ ἀσφάλεια, ὅταν μὴ ὅσον ἀνέβημεν ἴδωμεν, καὶ ἀπονοηθῶμεν, ἀλλ' ὅσον ἀναβῆναι λείπει κατοπτεύσωμεν, καὶ*

---

1. Ὁ ψαλμὸς αὐτὸς καὶ οἱ 14 στὴ συνέχεια ψαλμοὶ φέρουν τὴν ἐπιγραφή· «Ὠδὴ τῶν ἀναβαθμῶν», στὴν ὁποία ἐπιγραφὴ δόθηκαν διάφορες ἑρμηνεῖες. (Π. Τρεμπέλα, Ὑπόμνημα εἰς τοὺς ψαλμούς, ψαλμ. 119). Στὴν ᾠδὴ αὐτὴ ἐκφράζεται ὁ στεναγμὸς ἐκείνου ποὺ βρίσκεται μακριὰ ἀπὸ τὰ Ἱεροσόλυμα καὶ ὁ πόθος νὰ ἐπιστρέψει στὴν πολυπόθητη πατρίδα του.

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΡΙΘ΄ ΨΑΛΜΟ

«Ὠ δ ὴ τ ῶ ν ἀ ν α β α θ μ ῶ ν». Ἄλλος ἑρμηνευτὴς λέγει, «Ὠ δ ὴ τ ῶ ν ἀ ν α β ά σ ε ω ν»

«Ὅταν βρισκόμουν μέσα στὶς θλίψεις φώναξα δυνατὰ πρὸς τὸν Κύριο καὶ μὲ ἄκουσε».

1. Στὸν καθένα ἀπὸ τοὺς ἄλλους ψαλμοὺς ὑπάρχει κάποια ἰδιαίτερη ἐπιγραφή, ἐδῶ ὅμως ἀφοῦ ἑνώθηκαν πολλοὶ μαζὶ ἔλαβαν μιὰ ὀνομασία, «Ὠδὴ τῶν ἀναβαθμῶν», ἢ ὅπως ἄλλος ἑρμηνευτὴς εἶπε, «Τῶν ἀναβάσεων». Μερικοὶ δὲ ὀνομάζουν αὐτοὺς καὶ ἀναβαθμούς. Καὶ γιὰ ποιὸ λόγο, λέγει, ὀνομάσθηκαν ἔτσι; Σύμφωνα μὲ τὴν ἱστορία, διότι ὁμιλοῦν γιὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴ Βαβυλώνα καὶ μνημονεύουν τὰ σχετικὰ μὲ τὴν ἐκεῖ αἰχμαλωσία, ἀλληγορικὰ δέ, διότι ὁδηγοῦν στὴν ὁδὸ τῆς ἀρετῆς· διότι μερικοὶ μὲ αὐτὴ τὴ σημασία τοὺς ἐξέλαβαν. Καθόσον ἡ ὁδὸς ποὺ ὁδηγεῖ ἐκεῖ ὁμοιάζει μὲ ἀναβαθμούς, ποὺ σιγὰ σιγὰ ὁδηγεῖ ψηλὰ τὸν ἐνάρετο καὶ εὐσεβὴ ἄνθρωπο καὶ τὸν φέρει καὶ τὸν ἐγκαθιστᾶ στὸν οὐρανό. Ἄλλοι δὲ λέγουν ὅτι ὑπαινάσσεται μὲ αὐτοὺς τοὺς ἀναβαθμοὺς τὴν κλίμακα τοῦ Ἰακώβ, ποὺ παρουσιάσθηκε σ' αὐτὸν καὶ ποὺ στηριζόταν στὴ γῆ καὶ ὁδηγοῦσε πρὸς τὸν οὐρανό. Ἔτσι λοιπὸν καὶ οἱ ἀδιάβατοι καὶ ὑψηλότεροι τόποι γίνονται διαβατοὶ μὲ τὴν τοποθέτηση γιὰ μᾶς ὑπόβαθρων καὶ κλιμάκων.

Ἐπειδὴ ὅμως ἐκεῖνοι ποὺ ἀνέβηκαν, ὅταν φθάσουν ψηλά, κατ' ἀνάγκη κυριεύονται ἀπὸ ζάλη, γι' αὐτὸ πρέπει ὄχι μόνο ὅταν ἀνεβαίνουν, ἀλλὰ καὶ ὅταν φθάσουν στὴν κορυφή, νὰ παίρνουν μέτρα ἀσφαλείας. Μιὰ δὲ ἀσφάλεια ὑπάρχει, τὸ νὰ μὴ βλέπουμε τὸ πόσο ἀνεβήκαμε καὶ κυριευθοῦμε ἀπὸ ἀπόγνωση, ἀλλὰ νὰ παρατηροῦμε πόσο ὑπο-

πρὸς ἐκεῖνο τεινώμεθα. Ὃ καὶ Παῦλος δηλῶν ἔλεγε· «Τῶν ὄπισθεν ἐπιλανθανόμενοι, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι». Ἀλλ' ὁ μὲν τῆς ἀναγωγῆς λόγος οὗτος, ἡμεῖς δὲ λοιπόν, εἰ δοκεῖ, ἔλθωμεν ἐπὶ τὴν ἱστορίαν, καὶ ἴδωμεν τοὺς τῆς αἰχμαλωσίας ἀπαλλαγέντας. Πῶς οὖν ἀπηλλάγησαν τῆς αἰχμαλωσίας; Τῷ πόθῳ τῶν Ἱεροσολύμων· ὡς οἵ γε μὴ τοῦτον κατορθώσαντες, οὐδὲν ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος ἐκέρδανον, ἀλλ' ἐναπέμειναν τῇ δουλείᾳ καὶ ἐναπέθανον, οὓς καὶ ἡμεῖς ἂν ζηλώσωμεν, τὸ αὐτὸ πεισόμεθα. Ἂν γὰρ μὴ τῷ τῶν οὐρανίων ἔρωτι κατασχεθῶμεν, καὶ τῷ πόθῳ τῆς ἄνω Ἱερουσαλήμ, ἀλλὰ τῷ παρόντι βίῳ προσηλωθῶμεν διαπαντός, ἐγκαλινδούμενοι τῷ πηλῷ τῶν βιωτικῶν φροντίδων, οὐ δυνησόμεθα τὴν πατρίδα ἀπολαβεῖν.

«Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου». Εἶδες τῆς θλίψεως τὸ κέρδος; εἶδες τῆς φιλανθρωπίας τὸ ἕτοιμον; Τῆς θλίψεως τὸ κέρδος, ὅτι πρὸς εὐχὴν αὐτοὺς ἤγαγε καθαράν, τῆς φιλανθρωπίας τὸ πρόχειρον, ὅτι καλοῦσιν εὐθέως ἐπένευσεν· ὃ καὶ τοῖς ἐν Αἰγύπτῳ ἐποίησε πρότερον. Διὸ καὶ λέγει· «Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς». Καὶ σὺ τοίνυν, ἀγαπητέ, ἐν θλίψει γινόμενος, μὴ ἀπογίνωσκε, μηδὲ ῥάθυμος γίνου, ἀλλὰ τότε μάλιστα διανάστηθι· ἐπειδὴ καὶ τότε καθαρώτεραι αἱ εὐχαί, καὶ πλείων ἡ εὔνοια ἡ παρὰ τοῦ Θεοῦ· καὶ πάντα τὸν βίον οὕτω ζῆθι, ὡς ἐπίπονον εἶναί σοι τὴν ζωήν, εἰδὼς ὅτι «Πάν-

2. Φιλ. 3, 14.
3. Ἐξ. 3, 7-8.

λείπεται γιὰ ν' ἀνεβοῦμε καὶ πρὸς τὰ ἐκεῖ νὰ ἔχουμε στραμμένο τὸ βλέμμα. Αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώσει καὶ ὁ Παῦλος, ἔλεγε· «Λησμονώντας ἐκεῖνα ποὺ ἀφήσαμε πίσω μας καὶ προχωρώντας πρὸς ἐκεῖνα ποὺ βρίσκονται μπροστά μας»[2]. Ἀλλ' ἡ μὲν ἀλληγορικὴ ἑρμηνεία εἶναι αὐτή, ἐμεῖς ὅμως πλέον, ἂν νομίζετε, ἂς ἔλθουμε στὴν ἱστορία καὶ ἂς δοῦμε ἐκείνους ποὺ ἀπαλλάχθηκαν ἀπὸ τὴν αἰχμαλωσία. Πῶς λοιπὸν ἀπαλλάχθηκαν ἀπὸ τὴν αἰχμαλωσία; Μὲ τὸν πόθο τους γιὰ τὰ Ἱεροσόλυμα· ὅπως πάλι βέβαια ἐκεῖνοι ποὺ δὲν ἔδειξαν αὐτὸν τὸν πόθο, δὲν κέρδισαν τίποτε ἀπὸ τὴ χάρη τοῦ Θεοῦ, ἀλλὰ παρέμειναν στὴ δουλεία καὶ πέθαναν ἐκεῖ, καὶ ἂν καὶ ἐμεῖς μιμηθοῦμε αὐτούς, θὰ πάθουμε τὸ ἴδιο. Διότι, ἂν δὲν κυριευθοῦμε ἀπὸ τὸν ἔρωτα τῶν οὐρανίων πραγμάτων καὶ ἀπὸ τὸν πόθο γιὰ τὴν οὐράνια Ἱερουσαλήμ, ἀλλὰ προσηλωθοῦμε γιὰ πάντα στὴν παροῦσα ζωή, κυλιόμενοι μέσα στὸ βοῦρκο τῶν κοσμικῶν φροντίδων, δὲν θὰ μπορέσουμε νὰ κερδίσουμε τὴν πατρίδα μας.

«Ὅταν βρισκόμουν μέσα στὶς θλίψεις φώναξα δυνατὰ πρὸς τὸν Κύριο καὶ μὲ ἄκουσε». Εἶδες τὸ κέρδος τῆς θλίψεως; εἶδες τὴν ἑτοιμότητα τῆς φιλανθρωπίας; Τὸ κέρδος τῆς θλίψεως εἶναι ὅτι ὁδήγησε αὐτοὺς σὲ καθαρὴ προσευχή, τῆς φιλανθρωπίας δὲ ἡ ἑτοιμότητα, διότι ἔδειξε ἀμέσως τὴ συγκατάθεσή του στὴν παράκλησή τους, πράγμα ποὺ ἔκαμε προηγουμένως καὶ σ' ἐκείνους ποὺ ἦταν στὴν Αἴγυπτο. Γι' αὐτὸ λέγει· «Πρόσεξα καὶ εἶδα τὰ κακοπαθήματα τοῦ λαοῦ μου καὶ ἄκουσα τοὺς στεναγμούς τους καὶ κατέβηκα νὰ λυτρώσω αὐτούς»[3]. Καὶ σὺ λοιπόν, ἀγαπητέ, ὅταν βρεθεῖς μέσα σὲ θλίψη, μὴ ἀπελπίζεσαι, οὔτε νὰ δείχνεις ραθυμία, ἀλλὰ τότε πρὸ πάντων ὕψωσε τὸ βλέμμα σου πρὸς τὰ ἐπάνω· ἐπειδὴ τότε καὶ οἱ προσευχὲς εἶναι καθαρώτερες καὶ ἡ ἀγάπη τοῦ Θεοῦ εἶναι μεγαλύτερη· καὶ σ' ὅλη τὴ ζωή σου ζῆσε ἔτσι, ὥστε νὰ εἶναι κοπιαστικὴ ἡ ζωή σου γνωρίζοντας ὅτι «Ὅλοι ὅσοι

*τες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται»· Καὶ ὅτι «Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Μὴ τοίνυν τὸν ὑγρὸν καὶ διαλελυμένον ἀγαπήσῃς βίον, μηδὲ τὴν εὐρύχωρον θελήσῃς βαδίζειν (οὐ γὰρ φέρει αὕτη πρὸς τὸν οὐρανὸν ἡ ὁδός), ἀλλὰ τὴν στενὴν καὶ τεθλιμμένην. Εἰ δὲ βούλει περὶ τὰς ἄνω διατριβὰς καταντῆσαι, φεῦγε τὰς ἡδονάς, καταπάτει τὴν φαντασίαν τοῦ βίου, πλοῦτον καὶ δόξαν καὶ δυναστείαν ἀτίμαζε, πενίαν δὲ καὶ συντριβὴν διανοίας καὶ ἐξομολόγησιν καὶ δακρύων πηγὰς κτῆσαι, καὶ πάντα τὰ σωτηρίαν δυνάμενα προξενεῖν μέτελθε. Ταῦτα γὰρ καὶ ἀσφαλέστερον τὸν κεκτημένον καθίστησι, καὶ τὰς εὐχὰς ὑψηλοτέρας ἐργάζεται. Ἂν οὕτω σεαυτὸν κατασκευάσῃς, καὶ μετὰ τοιαύτης διανοίας καλέσῃ καὶ σὺ τὸν Θεόν, πάντως ἀκούσεταί σου.*

*Διὰ γὰρ τοῦτο καὶ ὁ προφήτης εἶπεν, ὅτι «Ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου», ἵνα μάθῃς ἀναβαίνειν κατὰ μικρόν, καὶ τὰς εὐχὰς ἐπτερωμένας ἐργάζεσθαι, ἵνα μὴ δυσχεραίνῃς, μηδὲ ἀλύῃς ἐν ταῖς θλίψεσιν, ἀλλὰ δρέπῃ τὸ ἀπ' αὐτῶν κέρδος. Εἰ γὰρ ὁ προφήτης Ἐλισσαῖος ἄνθρωπος ὤν, προσιοῦσαν τὴν γυναῖκα οὐκ ἀφίησι τὸν μαθητὴν ἀπώσασθαι, «Ἄφες», λέγων, «αὐτήν, ὅτι κατώδυνός ἐστιν ἡ ψυχὴ αὐτῆς», οὐδὲν ἕτερον ἐμφαίνων ἐκ τούτου, ἢ ὅτι ἀπολογίαν ἔχει μεγάλην, καὶ συνηγορίαν τὴν θλῖψιν, πολλῷ μᾶλλον ὁ Θεὸς οὐ διακρούσεταί σε μετὰ κατωδύνου ψυχῆς προσιόντα. Διὰ τοῦτο καὶ ὁ Χριστὸς μακαρίζει τοὺς πενθοῦντας, καὶ τοὺς γελῶντας ταλανίζει. Διὰ τοῦτο καὶ τῶν μακαρισμῶν ἀρχόμενος, ἐντεῦθεν τὸ προοίμιον ἐποιήσατο, λέγων, «Μακάριοι οἱ πενθοῦντες. Εἰ τοίνυν βούλει τοὺς ἀναβαθμοὺς ἀναβαίνειν*

4. Β΄ Τιμ. 3, 12
5. Πρ. 14, 22.
6. Δ΄ Βασ. 4, 27.
7. Λουκᾶ 6, 25.
8. Ματθ. 5, 4.

θέλουν νὰ ζοῦν μὲ εὐσέβεια στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, θὰ διωχθοῦν»[4]. Καὶ ὅτι «Πρέπει μέσα ἀπὸ πολλὲς θλίψεις νὰ εἰσέλθουμε στὴ βασιλεία τοῦ Θεοῦ»[5]. Μὴ λοιπὸν ἀγαπήσεις τὴ φιλήδονη καὶ καταστρεπτικὴ ζωή, οὔτε νὰ θελήσεις νὰ βαδίζεις τὴν εὐρύχωρη ὁδὸ (διότι αὐτὴ ἡ ὁδὸς δέν ὁδηγεῖ πρὸς τὸν οὐρανό), ἀλλὰ τὴ στενὴ καὶ γεμάτη ἀπὸ θλίψεις. Ἂν δὲ θέλεις νὰ φθάσεις στοὺς οὐράνιους τόπους διαμονῆς, φεῦγε τὶς ἡδονές, περιφρόνα τὴν ἀπατηλὴ ζωή, δεῖχνε ἀδιαφορία γιὰ τόν πλοῦτο, τὴ δόξα καὶ τὴν ἐξουσία, κάμε δὲ κτῆμα σου τὴ φτώχεια, τὴ συντριβὴ καρδίας, τὴν ἐξομολόγηση, τὶς πηγὲς τῶν δακρύων καὶ ἐπιδίωκε ν' ἀσκεῖς ὅλα ἐκεῖνα *ποὺ* μποροῦν νὰ σοῦ χαρίσουν τὴ σωτηρία. Διότι αὐτὰ καὶ κάμνουν ἀσφαλέστερο ἐκεῖνον ποὺ τὰ ἀποκτᾶ καὶ τὶς προσευχὲς κάμνουν πνευματικώτερες. Ἂν ἔτσι ἀσκήσεις τὸν ἑαυτό σου καὶ μὲ τέτοια διάνοια καλέσεις καὶ σὺ τὸ Θεό, ὁπωσδήποτε θὰ σὲ ἀκούσει.

Πράγματι γι' αὐτὸ καὶ ὁ προφήτης εἶπε, «Ὅταν βρισκόμουν μέσα στὶς θλίψεις φώναξα δυνατὰ καὶ μὲ ἄκουσες», γιὰ νὰ μάθεις ν' ἀνεβαίνεις σιγὰ - σιγὰ καὶ νὰ κάμνεις τὶς προσευχὲς ψηλότερες πνευματικά, ὥστε νὰ μὴ δυσανασχετεῖς οὔτε νὰ στενοχωρεῖσαι ἀπὸ τὶς θλίψεις, ἀλλὰ ν' ἀποκομίζεις τὸ κέρδος ἀπ' αὐτές. Διότι, ἂν ὁ προφήτης Ἐλισσαῖος, ἐνῶ ἦταν ἄνθρωπος, δὲν ἄφησε τὸ μαθητή του ν' ἀπομακρύνει τὴ γυναίκα ποὺ προσῆλθε, λέγοντας «Ἄφησέ την, διότι ἡ ψυχή της εἶναι καταλυπημένη»[6], *φανερώνοντας μὲ αὐτὸ τίποτε ἄλλο, παρὰ ὅτι ἔχει* μεγάλο ὑπερασπιστὴ καὶ συνήγορο τὴ θλίψη, πολὺ περισσότερο ὁ Θεὸς δὲν θὰ σὲ ἀπομακρύνει *πλησιάζοντάς* τον μὲ ψυχὴ γεμάτη ἀπὸ λύπη. Γι' αὐτὸ καὶ ὁ Χριστὸς μακαρίζει ἐκείνους ποὺ πενθοῦν καὶ ταλανίζει ἐκείνους ποὺ γελοῦν»[7]. Γι' αὐτὸ καὶ ἀρχίζοντας τοὺς μακαρισμούς, μὲ αὐτὸ ἔκαμε τὴν ἀρχή, λέγοντας, «Μακάριοι ἐκεῖνοι ποὺ πενθοῦν»[8]. Ἂν λοιπὸν θέλεις ν' ἀνεβαίνεις αὐτὰ τὰ σκα-

*τούτους, περίκοψον τὸ διαλελυμένον καὶ χαῦνον τοῦ βίου, σύσφιγξον σεντὸν τῷ ἐπιπόνῳ τῆς πολιτείας, ἀπόστησον τῶν γηΐνων πραγμάτων. Αὕτη πρώτη ἀνάβασις. Οὐ γάρ ἔστιν, οὐκ ἔστιν, ὁμοῦ καὶ κλίμακα ἀναβαίνειν καὶ τῆς γῆς ἔχεσθαι. Ὁρᾷς πόσον τὸ ὕψος τοῦ οὐρανοῦ· οἶσθα τοῦ χρόνου τὴν βραχύτητα· οἶσθα τὸ ἄδηλον τοῦ θανάτου. Μὴ τοίνυν μέλλε, μηδὲ ἀναβάλλου, ἀλλὰ πολλῇ τῇ σφοδρότητι ταύτης ἅψαι τῆς ἀποδημίας, ἵνα ἐν μιᾷ ἡμέρᾳ καὶ δύο καὶ τρεῖς καὶ δέκα καὶ εἴκοσι ἀναβαίνῃς ἀναβαθμούς.*

*2. «Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας». Ὅρα ἐνταῦθα τὸ εὐαγγελικὸν ἐκεῖνο παράγγελμα διαλάμπον· «Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν». Τούτου γὰρ τοῦ πειρασμοῦ οὐδὲν ἴσον, ἀγαπητέ, τοῦ δολερῷ περιπεσεῖν ἀνθρώπῳ· ὁ τοιοῦτος καὶ θηρίου χαλεπώτερος. Τὸ μὲν γὰρ ὅπερ ἐστὶ φαίνεται· οὗτος δὲ παραπετάσματι πολλάκις ἐπιεικείας τὸν ἰὸν ἀπέκρυψεν, ὡς καὶ δυσφώρατον γενέσθαι τὴν ἐνέδραν, καὶ βαράθρῳ περιπεσεῖν ἀφυλάκτως τὸν ἐμπίπτοντα. Διὰ τοῦτο συνεχῶς ἄνω καὶ κάτω τοῦτο παρακαλεῖ τὸν Θεόν, τῶν τοιούτων ἐπιβούλων ἀπαλλάττεσθαι. Εἰ δὲ τοὺς δολεροὺς δεῖ φεύγειν καὶ ὑπούλους, πολλῷ μᾶλλον τοὺς ἀπατεῶνας καὶ πονηρὰ δόγματα ἐνιέντας. Μάλιστα δὲ ἄδικα εἴποι τις ἂν χείλη ἐκεῖνα, τὰ περὶ τὴν ἀρετὴν βλάπτοντα, τὰ πρὸς κακίαν ἀπάγοντα. Διὰ δὴ ταῦτα καὶ ὁ προφήτης οὗτος τὴν ψυχὴν αὐτοῦ ἀξιοῖ ῥυσθῆναι· ἐκεῖ γὰρ ἐνίησι τὰ βέλη.*

*«Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;». Ἕτερος ἑρμηνευτής φησι· «Τί παρέξει σοι, ἢ τί*

9. Λουκᾶ 22, 46.

λοπάτια, κατάργησε τὴν καταστρεπτικὴ καὶ ἀποχαυνωμένη ζωή, σύσφιξε τὸν ἑαυτό σου μὲ τὸν κοπιαστικὸ τρόπο ζωῆς, ἀπομακρύνσου ἀπὸ τὰ γήϊνα πράγματα. Αὐτὴ εἶναι ἡ πρώτη ἀνάβαση. Διότι δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατό, συγχρόνως καὶ κλίμακα ν' ἀνεβαίνεις καὶ νὰ εἶσαι προσκολλημένος στὴ γῆ. Βλέπεις πόσο τὸ ὕψος τοῦ οὐρανοῦ· γνωρίζεις τὴ συντομία τοῦ χρόνου· γνωρίζεις τὸ ἄγνωστο τοῦ θανάτου. Μὴ λοιπὸν χρονοτριβεῖς, μὴ ἀναβάλλεις, ἀλλὰ μὲ μεγάλη ὁρμὴ καὶ ταχύτητα ἄρχισε αὐτὴ τὴν ἀποδημία, ὥστε σὲ μιὰ ἡμέρα ν' ἀνεβαίνεις δυό, τρεῖς, δέκα, καὶ εἴκοσι ἀναβαθμούς.

2. «Κύριε, λύτρωσε τὴν ψυχή μου ἀπὸ χείλη ἄδικα καὶ ἀπὸ γλώσσα γεμάτη ἀπὸ δόλο». Πρόσεχε ἐδῶ ποὺ διαλάμπει ἐκεῖνο τὸ εὐαγγελικὸ παράγγελμα· «Νὰ προσεύχεσθε νὰ μὴ ὑποπέσετε σὲ πειρασμό»[*]. Διότι, ἀγαπητέ, τίποτε δὲν μπορεῖ νὰ ἐξισωθεῖ μὲ αὐτὸν τὸν πειρασμό, τὸ νὰ πέσεις δηλαδὴ σὲ ἄνθρωπο δολερό· διότι ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους εἶναι φοβερώτερος ἀπὸ θηρίο. Διότι τὸ μὲν θηρίο φαίνεται αὐτὸ ποὺ εἶναι, ἐνῶ αὐτὸς πολλὲς φορὲς ἀπέκρυψε τὸ δηλητήριο μὲ τὸ προκάλυμμα τῆς καλωσύνης, ὥστε νὰ γίνεται δύσκολο τὸ στήσιμο τῆς ἐνέδρας, γιὰ νὰ πέσει ἔτσι στὸ βάραθρο τελείως ἀφύλακτα ἐκεῖνος ποὺ πέφτει μέσα. Γι' αὐτὸ συνέχεια καὶ σὲ κάθε περίπτωση αὐτὸ παρακαλεῖ τὸ Θεό, νὰ τὸν ἀπαλλάσσει ἀπὸ τοὺς τέτοιου εἴδους ἐπιβούλους. Ἂν δὲ πρέπει ν' ἀποφεύγει κανεὶς τοὺς γεμάτους ἀπὸ δόλο καὶ ὑπουλία, πολὺ περισσότερο πρέπει ν' ἀποφεύγει τοὺς ἀπατεῶνες καὶ ἐκείνους ποὺ κηρύττουν πονηρὲς διδασκαλίες. Θὰ μποροῦσε δὲ κανεὶς νὰ ὀνομάσει ἄδικα χείλη πρὸ πάντων ἐκεῖνα, ποὺ βλάπτουν στὴν ἄσκηση τῆς ἀρετῆς καὶ ὁδηγοῦν πρὸς τὴν κακία. Γι' αὐτὸ λοιπὸν καὶ αὐτὸς ὁ προφήτης ζητεῖ νὰ σωθεῖ ἡ ψυχή του, διότι ἐκεῖ ρίχνει τὰ βέλη.

«Τί θὰ μποροῦσε νὰ σοῦ δοθεῖ καὶ τί νὰ σοῦ προστεθεῖ γιὸ τὴ γεμάτη ἀπὸ δολιότητα γλώσσα σου;». Ἄλλος

*προσθήσει γλῶσσα δολία;». Ὁ δὲ ἕτερος· «Τί δῴη σοι, ἢ τί προσθείη σοι γλῶσσα κατ' ἐπιθέσεως;». Οὐδὲν οὖν ἕτερον παρίστησι τὸ εἰρημένον, ἢ ὅτι μεγάλη αὕτη ἡ πονηρία, καὶ χαλεπὸν τῆς κακίας τὸ εἶδος. Διὰ δὴ τοῦτο ὁρᾶς καὶ τὸν προφήτην θυμούμενον, ὀργιζόμενον, καὶ λέγοντα· «Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;». Ὃ δὲ λέγει, τοῦτό ἐστι· ποία ἂν εὑρεθείη τῆς κακίας ταύτης ἀξία τιμωρία; Ὅπερ καὶ Ἰουδαίοις Ἠσαΐας ἔλεγε· «Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν;» τοῦτο δὴ καὶ αὐτός· «Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;». Ἢ τοῦτο τοίνυν φησίν, ἢ ὅτι καὶ αὐτὸ τοῦτο τιμωρία, καὶ πρὸ τῆς δίκης σαυτὸν ἀπαιτεῖς δίκην, οἴκοθεν τὴν κακίαν τίκτων. Μεγίστη γὰρ ψυχῆς τιμωρία κακία, καὶ πρὸ τῆς δίκης. Τίς οὖν ἂν γένοιτο ἀξία τῷ τοιούτῳ δίκη; Ἐνταῦθα μὲν οὐδεμία, ἡ δὲ παρὰ τοῦ Θεοῦ πληγή. Ἄνθρωπος μὲν γὰρ οὐκ ἂν κατ' ἀξίαν ἀμύναιτο, ὑπερβαίνει γὰρ πᾶσα τιμωρίαν ἡ πονηρία, ὁ Θεὸς δὲ ἐπάξει τὴν πληγήν. Διὸ καὶ ἐμφαίνων τοῦτο, ταχέως ἐπήγαγε λέγων· «Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς».*

*Πάλιν βέλη ἐνταῦθα τὰς τιμωρίας καλεῖ. Ὁ δὲ ἕτερος ἑρμηνευτής, «Τὰ βέλη τοῦ δυνατοῦ ἠκόνηται», εἶπε, «μετὰ ἀνθράκων ἐστοιβασμένων». Καὶ ἕτερος δέ, «Σὺν ἀθρακίαις ἀρκυθίναις», τῇ μεταφορᾷ τῶν ὀνομάτων αὔξων τῆς τιμωρίας τὸν φόβον. Τό τε γάρ, «Ἐστοιβασμένων», τό τε,*

10. Ἠσ. 1, 5.

ἑρμηνευτὴς λέγει· «Τί θὰ σοῦ δώσει ἢ τί θὰ σοῦ προσθέσει ἡ δολία γλώσσα;». Ἄλλος δὲ λέγει· «Τί θὰ ἦταν δυνατὸ νὰ σοῦ δώσει ἢ νὰ σοῦ προσθέτει γλώσσα ἐπιθετική;». Τίποτε ἄλλο λοιπὸν δὲν φανερώνουν τὰ λόγια αὐτά, παρὰ ὅτι εἶναι μεγάλη αὐτὴ ἡ πονηρία καὶ ὅτι εἶναι φοβερὸ αὐτὸ τὸ εἶδος τῆς κακίας. Γι' αὐτὸ λοιπὸν βλέπεις καὶ τὸν προφήτη, νὰ θυμώνει, νὰ ὀργίζεται καὶ νὰ λέγει· «Τί θὰ μποροῦσε νὰ σοῦ δοθεῖ καὶ τί νὰ σοῦ προστεθεῖ γιὰ τὴ γεμάτη ἀπὸ δολιότητα γλώσσα σου;». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· ποιὰ τιμωρία θὰ μποροῦσε νὰ βρεθεῖ ἀντάξια αὐτῆς τῆς κακίας; Αὐτὸ ἀκριβῶς ποὺ ἔλεγε καὶ ὁ Ἡσαΐας στοὺς Ἰουδαίους, «Γιατί ἐξακολουθεῖτε νὰ πληγώνεσθε προσθέτοντας ἀνομία;»[10] αὐτὸ λοιπὸν λέγει καὶ αὐτός· «Τί θὰ μποροῦσε νὰ σοῦ δοθεῖ καὶ τί νὰ σοῦ προστεθεῖ γιὰ τὴ δολία γλώσσα σου;». Ἢ αὐτὸ λοιπὸν ἐννοεῖ, ἢ ὅτι καὶ αὐτὸ τὸ ἴδιο ἀποτελεῖ τιμωρία, καὶ πρὶν ἀπὸ τὴ μέλλουσα δίκη τιμωρεῖς τὸν ἑαυτό σου, γεννώντας μέσα σου τὴν κακία. Διότι ἡ πιὸ μεγαλύτερη τιμωρία τῆς ψυχῆς εἶναι ἡ κακία καὶ πρὶν ἀπὸ τὴ μέλλουσα δίκη. Ποιὰ λοιπὸν ἐπάξια καταδικαστικὴ ἀπόφαση θὰ μποροῦσε νὰ ὑπάρξει γιὰ τὸν ἄνθρωπο αὐτοῦ τοῦ εἴδους; Ἐδῶ μὲν καμιά, ἐνῶ ἡ ἐκ μέρους τοῦ Θεοῦ θὰ εἶναι πλῆγμα φοβερό. Διότι ὁ μὲν ἄνθρωπος δὲν θὰ μποροῦσε ἐπάξια νὰ προφυλάξει τὸν ἑαυτό του, καθόσον ἡ κακία ὑπερβαίνει κάθε τιμωρία. Κι' ἔται ὁ Θεὸς θὰ δώσει τὸ φοβερὸ πλῆγμα. Γι' αὐτό, θέλοντας νὰ δηλώσει αὐτό, πρόσθεσε ἀμέσως τὰ λόγια· «Τὰ ἀκονισμένα βέλη τοῦ ἰσχυροῦ μαζὶ μὲ τὰ καταστρεπτικὰ ἀναμμένα κάρβουνα».

Πάλι ἐδῶ βέλη ὀνομάζει τὶς τιμωρίες. Ὁ δὲ ἄλλος ἑρμηνευτὴς ἑρμήνευσε, «Τὰ βέλη τοῦ δυνατοῦ ἔχουν ἀκονισθεῖ μαζὶ μὲ τὰ στοιβαγμένα κάρβουνα». Καὶ ἄλλος δὲ ἑρμήνευσε, «Μὲ κάρβουνα κέδρινα», αὐξάνοντας μὲ τὴ μεταφορικὴ σημασία τῶν λέξεων τὸ φόβο τῆς τιμωρίας. Διότι καὶ τὸ «Στοιβαγμένα» καὶ τὸ «κέδρινα» ἔχουν τὴν

«Ἀρκευθίναις», τὴν αὐτὴν ἔχει ἔννοιαν. Ἐκεῖ μὲν τὸ πλῆθος παρίστησιν, ἐνταῦθα δὲ τὴν ποιότητα καὶ τὴν σφοδρότητα τῆς τιμωρίας. Ὅπερ οὖν καὶ οἱ ἑβδομήκοντα δηλοῦντες, «Σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς», ἐξέδωκαν, τουτέστιν, ἐρημοεἰς τὴν ζωήν». Καὶ γὰρ τοῦτο ἀρίστη διδασκαλία μάλιστα καὶ μὴν φοβερῶν ὑλῶν καὶ τοῦ Θεοῦ τὰς τιμωρίας σχηματίζουσιν αἱ Γραφαί, βέλη καὶ πῦρ αὐτὰς καλοῦσαι. Ἐνταῦθα δέ μοι τοὺς βαρβάρους αἰνίττεσθαι δοκεῖ. Διό, καὶ τοῦτο δηλῶν ἕτερος ἑρμηνευτής, ἔλεγε· «Ρῦσαι τὴν ψυχήν μου ἀπὸ ποιοῖς, δαπανῶσι, καταναλίσκουσιν. Ἀπὸ γὰρ τῶν παρ' ἡοἱ δόλοι καὶ αἱ ἐπιβουλαί, πλάνης γέμοντα ἅπαντα καὶ πολτῆς τῆς κακίας.

«Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ». Ἕτερος ἑρμηνευτής φησιν· χείλους ψευδοῦς. Τοιαῦτα γὰρ αὐτῶν τὰ ῥήματα, τοιοῦτοι λύτευσα ἐν μακρυσμῷ». Ταῦτα μὲν οὖν οὗτοι θρηνοῦσιν ὑπὲρ τῆς αἰχμαλωσίας τῆς ἐν Βαβυλῶνι, ὁ δὲ Παῦλος ὑπὲρ τῆς ἐνταῦθα διατριβῆς λέγων· «Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ, στενάζομεν βαρούμενοι». Καί, «Οὐ μόνον δέ, ἀλλὰ «Οἴμοι ὅτι παροικῶν παρείλκυσα». Ἄλλος, «Ὦ ἐμοί, προσηἑαυτοῖς στενάζομεν». Καὶ γὰρ παροικία ὁ παρὼν βίος. Καὶ τί λέγω παροικίαν, ὅπου γε καὶ τῆς παροικίας ἐστὶν εὐτελέστερον πρᾶγμα; Ὅθεν αὐτὴν καὶ ὁδὸν ἐκάλεσεν ὁ Χριστός, λέγων· «Στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἐπάγουσα καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, καὶ αὐτοὶ ἐν ἡ πρώτη, τὸ εἰδέναι ὅτι πάροικοί ἐσμεν κατὰ τὸν παρόντα βί-

---

11. Β΄ Κορ. 5, 4.
12. Ρωμ. 8, 23.
13. Ματθ. 7, 14.

ἴδια σημασία. Στὴν πρώτη μὲν περίπτωση παριστάνουν τὸ πλῆθος, ἐνῶ στὴ δεύτερη τὴν ποιότητα καὶ τὴν σφοδρότητα τῆς τιμωρίας. Αὐτὸ ἀκριβῶς γιά νά δηλώσουν οἱ ἑβδομήκοντα μετέφρασαν «Μαζὶ μὲ τά ἐρημικά κάρβουνα», δηλαδὴ μὲ τὰ κάρβουνα ποὺ ἐρημώνουν, κατατρώγουν καὶ καταστρέφουν τὰ πάντα. Διότι οἱ Γραφὲς παριστάνουν τὶς τιμωρίες τοῦ Θεοῦ μὲ τὶς φοβερὲς ὕλες ποὺ χρησιμοποιοῦμε ἐμεῖς, ὀνομάζοντας αὐτές βέλη καὶ φωτιά. Ἐδῶ δὲ μοῦ φαίνεται ὅτι ὑπονοεῖ τοὺς βαρβάρους. Γι' αὐτό, γιά νά δηλώσει καὶ αὐτὸ ἄλλος ἑρμηνευτής, ἔλεγε· «Σῶσε τὴν ψυχή μου ἀπὸ χείλη πού εἶναι γεμάτα ἀπὸ ψεῦδος». Διότι τέτοια εἶναι τὰ λόγια αὐτῶν, τέτοιοι οἱ δόλοι καὶ οἱ ἐπιβουλές, ὅλα εἶναι γεμάτα ἀπὸ πλάνη καὶ πολλὴ κακία.

«Ἀλλοίμονο, διότι τὸ ξενίτευμά μου παρατάθηκε, καὶ ἔστησα τὴ σκηνή μου μαζὶ μὲ τὶς σκηνὲς τῶν Κηδαρινῶν». Ἄλλος ἑρμηνευτὴς λέγει· «Ἀλλοίμονο, διότι μακρύνθηκε τὸ ξενίτευμά μου». Ἄλλος, «Ἀλλοίμονό μου, κατοίκησα στὴν ξενιτειὰ ἐπὶ μακρό χρόνο». Αὐτοὺς βέβαια τοὺς θρήνους τοὺς κάμνουν αὐτοὶ γιά τὴν αἰχμαλωσία τους στὴ Βαβυλώνα, ὁ Παῦλος ὅμως τὸ λέγει αὐτὸ γιὰ τὴ ζωή μας σ' αὐτὸν τὸν κόσμο. «Διότι ἐμεῖς ποὺ βρισκόμαστε μέσα σ' αὐτό τὸ σῶμα, στενάζουμε πιεζόμενοι ἀπὸ τὸ βάρος του»[11]. Καὶ «Ὄχι μόνο ἡ κτίση, ἀλλά καὶ ἐμεῖς οἱ ἴδιοι, ποὺ λάβαμε τὶς ἀρχικὲς δωρεὲς τοῦ Πνεύματος, στενάζουμε μέσα μας»[12]. Καθόσον ἡ παροῦσα ζωὴ εἶναι προσωρινή. Καὶ γιατί λέγω προσωρινή, τὴ στιγμὴ ποὺ εἶναι πιό εὐτελὲς πράγμα καὶ ἀπὸ τὴ προσωρινὴ διαμονὴ κάπου; Γι' αὐτὸ καὶ ὁ Χριστὸς ὀνόμασε αὐτὴν ὁδό, λέγοντας· «Εἶναι στενὴ ἡ πύλη καὶ γεμάτη ἀπὸ θλίψεις ἡ ὁδός ποὺ ὁδηγεῖ στὴ ζωή»[13]. Καθόσον αὐτὸ πρό πάντων εἶναι ἡ ἄριστη καὶ πρώτη διδασκαλία, τὸ νὰ γνωρίζουμε ὅτι εἶναι προσωρινὴ ἡ διαμονή μας στὴν παροῦσα ζωή. Γι' αὐτὸ

*ον. Διὸ καὶ οἱ παλαιοὶ τοῦτο ὡμολόγουν, καὶ διὰ τοῦτο μάλιστα ἐθαυμάσθησαν.*

*Τοῦτο καὶ Παῦλος δηλῶν, ἔλεγε γράφων· «Διὰ ταύτην τὴν αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς αὐτῶν καλεῖσθαι». Ποίαν αἰτίαν; εἰπέ μοι. Ὅτι ὡμολόγησαν ξένοι καὶ παρεπίδημοι εἶναι. Τοῦτο ἀρετῆς ἁπάσης ρίζα καὶ ὑπόθεσις. Ὁ γὰρ ἐνταῦθα ξένος τῶν ἄνω πολίτης ἔσται. Ὁ τῶν ἐνταῦθα ξένος οὐκ ἐμφιλοχωρήσει τοῖς παροῦσιν· οὐκ οἰκίας ἐπιμελήσεται, οὐ χρημάτων, οὐ τροφῆς, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός· ἀλλ' ὥσπερ οἱ ἐν ἀλλοτρίᾳ διατρίβοντες, πάντα ποιοῦσι καὶ πραγματεύονται πρὸς τὴν ἐπὶ τῇ πατρίδι ἀποκατάστασιν, καὶ καθ' ἑκάστην ἐπείγονται τὴν ἡμέραν τὴν ἐνεγκοῦσαν ἰδεῖν, οὕτω καὶ ὁ τῶν μελλόντων ἐρῶν, οὔτε τοῖς λυπηροῖς ταπεινωθήσεται παροῦσιν, οὔτε τοῖς χρηστοῖς ἐπαρθήσεται, ἀλλ' ἑκάτερα παραδραμεῖται, καθάπερ ὁδὸν βαδίζων. Διά τοι τοῦτο καὶ ἐν τῇ προσευχῇ κελευόμεθα λέγειν, «Ἐλθέτω ἡ βασιλεία σου», ἵνα τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς ἡμέρας ἐκείνης στρέφοντες, καὶ πρὸ ὀφθαλμῶν αὐτὴν ἔχοντες, μηδὲ ὁρῶμεν τὰ παρόντα. Εἰ γὰρ Ἰουδαῖοι τῶν Ἱεροσολύμων ἐπιθυμοῦντες θρηνοῦσι τὰ παρελθόντα καὶ μετὰ τὸ ἀπαλλαγῆναι, τίνα ἂν σχοίημεν ἡμεῖς συγγνώμην, ποίαν δὲ ἀπολογίαν, μὴ σφοδρῷ κατεχόμενοι τῷ πόθῳ τῆς ἄνω Ἱερουσαλήμ;*

*3. Ὅρα γοῦν πῶς δὲ οὗτοι θρηνοῦσι τὴν μετ' ἐκείνων διατριβήν, «Κατεσκήνωσα», λέγοντες, «μετὰ τῶν σκηνωμάτων Κηδάρ· πολλὰ παρῴκησεν ἡ ψυχή μου». Ἐνταῦθα γὰρ οὐ τὴν ἐν ἀλλοτρίᾳ διατριβὴν θρηνοῦσι μόνον, ἀλλὰ καὶ τὴν μετὰ βαρβάρων διαγωγήν. Ὃ δὴ καὶ ἄλλοι προφῆται ἐποίουν*

---

14. Ἑβρ. 11, 16.
15. Ματθ. 6, 10.
16. Ματθ. 6, 10.

καὶ οἱ παλαιοὶ τὴν ἀναγνώριζαν αὐτὴν τὴν ἀλήθεια καὶ γι᾽ αὐτὸ πρὸ πάντων ἔγιναν θαυμαστοί.

Αὐτὸ γιὰ νὰ δηλώσει καὶ ὁ Παῦλος, ἔλεγε γράφοντας· «Γι᾽ αὐτὸ τὸ λόγο δὲν ντρέπεται ὁ Θεὸς νὰ ὀνομάζεται Θεός τους»[44]. Γιὰ ποιὸ λόγο; πές μου. Διότι πίστεψαν ὅτι εἶναι ξένοι καὶ περαστικοί. Αὐτὸ εἶναι ἡ ρίζα καὶ ἡ βάση ὅλης τῆς ἀρετῆς. Διότι ἐκεῖνος ποὺ εἶναι ξένος σ᾽ αὐτὴ τὴ ζωή, θὰ εἶναι πολίτης τῆς οὐράνιας ζωῆς. Ἐκεῖνος ποὺ εἶναι ξένος σ᾽ αὐτὴ τὴ ζωὴ δὲν θὰ ἀσχοληθεῖ μὲ τὰ παρόντα πράγματα· δὲν θὰ φροντίσει γιὰ οἰκία, οὔτε γιὰ χρήματα, οὔτε γιὰ τροφή, οὔτε γιὰ τίποτε ἄλλο παρόμοιο, ἀλλ᾽ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ζοῦν σὲ ξένη χώρα, κάμνουν τὰ πάντα καὶ φροντίζουν γιὰ τὴν ἐπιστροφὴ στὴν πατρίδα τους, καὶ καθημερινὰ ἀνυπομονοῦν νὰ δοῦν τὴν ἡμέρα ποὺ θὰ τοὺς ὁδηγήσει ἐκεῖ, ἔτσι καὶ ἐκεῖνος ποὺ ἐπιθυμεῖ τὰ μελλοντικὰ πράγματα, οὔτε ἀπὸ τὰ δυσάρεστα τῆς παρούσας ζωῆς θὰ ταπεινωθεῖ, οὔτε ἀπὸ τὰ εὐχάριστα θὰ γίνει ὑπερήφανος, ἀλλὰ καὶ τὰ δυὸ θὰ τὰ παραβλέψει, σὰν νὰ βαδίζει σὲ ὁδό. Γι᾽ αὐτὸ καὶ στὴν προσευχὴ προτρεπόμαστε νὰ λέμε, «Ἂς ἔλθει ἡ βασιλεία σου»[45], ὥστε αὐξάνοντας μέσα μας τὸν πόθο καὶ τὴν ἐπιθυμία τῆς ἡμέρας ἐκείνης καὶ ἔχοντας μπροστὰ στὰ μάτια μας αὐτήν, οὔτε κἂν νὰ βλέπουμε τὰ παρόντα. Διότι οἱ Ἰουδαῖοι, ποὺ ἐπιθυμοῦσαν τὰ Ἱεροσόλυμα, θρηνοῦν γιὰ τὰ περασμένα, καὶ μετὰ ἀπὸ τὴν ἀπαλλαγή τους, ποιὰ συγγνώμη θὰ μπορούσαμε ἐμεῖς νὰ ἔχουμε, ποιὰ ἀπολογία, ποὺ δὲν διακατεχόμαστε ἀπὸ σφοδρὸ πόθο γιὰ τὴν οὐράνια Ἱερουσαλήμ;

3. Πρόσεχε λοιπὸν πῶς αὐτοὶ θρηνοῦν τὴ ζωή τους μαζὶ μὲ ἐκείνους, λέγοντας, «Ἔστησα τὶς σκηνὲς μαζὶ μὲ τὶς σκηνὲς τῶν Κηδαρινῶν· πολὺ χρόνο ἔμεινε ἡ ψυχή μου στὴν ξενιτειά». Ἐδῶ βέβαια δὲν θρηνοῦν μόνο τὴ διαμονή τους στὴν ξένη χώρα, ἀλλὰ καὶ τὴ συναναστροφή τους μὲ τοὺς βαρβάρους. Πράγμα δηλαδὴ ποὺ ἔκαμναν

*ὑπὲρ τοῦ παρόντος βίου θρηνοῦντες, καὶ λέγοντες, «Οἴμοι ὅτι ἀπόλωλεν ἀπὸ τῆς γῆς εὐλαβής, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐκ ἔστι, καὶ αὐτὸς δὲ οὗτος, λέγων, «Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος». Οὐ γὰρ ταύτῃ μόνον ἐπίπονος ὁ βίος, ὅτι πολλὴν ἔχει τὴν ματαιότητα καὶ ἀκαίρους φροντίδας, ἀλλ' ὅτι καὶ πολλὴ τῶν πονηρῶν ἡ φορά. Οὐδὲν δὲ ἐπαχθέστερον καὶ δυσκολώτερον τῆς πρὸς τοὺς τοιούτους ὁμιλίας. Οὐ γὰρ οὕτω καπνὸς καὶ αὐχμὸς βαρύνειν τοὺς ὀφθαλμοὺς εἴωθεν, ὡς ἡ τῶν πονηρῶν ὁμιλία τὰς ψυχὰς ἀλύειν παρασκευάζει. Οὐχ ὁρᾷς καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸ δυσχερὲς ἐνδεικνύμενον τῆς τοιαύτης διαγωγῆς; Καὶ γὰρ ὅταν λέγῃ, «Ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν;»· τοῦτο αἰνιττόμενος λέγει, «Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ». Βάρβαρον τοῦτο τὸ γένος ἐστί, θηριωδέστερον πρὸς τοὺς κεκρατημένους διακεῖσθαι, σκηναῖς καὶ καλύβαις κεχρημένων καὶ πρὸς τὴν τῶν θηρίων ἀγριότητα ἐκπεπτωκότων. Ἀλλὰ τούτων πολλῷ χαλεπώτεροι οἱ ἅρπαγες, οἱ πλεονέκται, οἱ ἐν ἀσελγείαις, οἱ ἐν τρυφαῖς ζῶντες.*

*«Πολλὰ παρῴκησεν ἡ ψυχή μου». Καὶ μὴν οὐ πολλά· ἑβδομήκοντα γὰρ ἔτη μόνον ἦν· ἀλλ' οὐ τῷ πλήθει αὐτὰ πολλὰ καλεῖ, ἀλλὰ τῇ δυσκολίᾳ τῶν πραγμάτων. Κἂν γὰρ ὀλίγα ᾖ, πολλὰ τοῖς θλιβομένοις φαίνεται. Οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρή, κἂν ὀλίγα ἔτη ζήσωμεν ἐνταῦθα, πολλὰ νομίζειν αὐτὰ τῇ ἐπιθυμίᾳ τῶν μελλόντων. Ταῦτα λέγων οὐ τῆς παρούσης ζωῆς κατηγορῶ, μὴ γένοιτο, καὶ γὰρ τοῦτο ἔργον*

---

17. Μιχ. 7, 2.
16. Ψαλμ. 11, 2.
19. Ματθ. 17, 17.

καὶ ἄλλοι προφῆτες, θρηνώντας γιὰ τὴν παρούσα ζωὴ καὶ λέγοντας: «Ἀλλοίμονο, διότι χάθηκε ὁ εὐσεβὴς ἀπὸ τὴ γῆ καὶ δὲν ὑπάρχει ἀνάμεσα στοὺς ἀνθρώπους κάποιος ποὺ νὰ πράττει καλὰ ἔργα»[17], καὶ αὐτὸς ὁ ἴδιος δὲ λέγοντας, «Σῶσε με Κύριε, διότι χάθηκε ὁ εὐσεβής»[18]. Διότι ἡ ζωὴ εἶναι κοπιαστικὴ ὄχι μόνο γι' αὐτὸ τὸ λόγο, ἐπειδὴ ἔχει πολλὴ ματαιότητα καὶ ἀνυπόφορες φροντίδες, ἀλλὰ καὶ διότι εἶναι μεγάλο τὸ πλῆθος τῶν κακῶν ἀνθρώπων. Δὲν ὑπάρχει δὲ τίποτε πιὸ ἀβάσταχτο καὶ πιὸ δύσκολο ἀπὸ τὴ συναναστροφὴ μὲ ἀνθρώπους τέτοιου εἴδους. Διότι συνήθως δὲν ἐνοχλεῖ τόσο πολὺ τὰ μάτια ὁ καπνὸς καὶ ἡ ἀκαθαρσία, ὅσο στενοχωρεῖ τὶς ψυχὲς ἡ συναναστροφὴ τῶν κακῶν ἀνθρώπων. Δὲν βλέπεις καὶ τὸν Κύριό μας τὸν Ἰησοῦ Χριστό, ποὺ παρουσιάζει τὴ δυσαρέσκειά του ἀπὸ τὴν τέτοιου εἴδους συναναστροφή; Καθόσον, ὅταν λέγει, «Μέχρι πότε θὰ εἶμαι μαζί σας; μέχρι πότε θὰ σᾶς ἀνέχομαι;»[19], τὸ λέγει ὑπονοώντας αὐτό, «Ἔστησα τὴ σκηνή μου μαζὶ μὲ τὶς σκηνὲς τῶν Κιδαρινῶν». Αὐτὸ τὸ ἔθνος εἶναι βάρβαρο, συμπεριφέρεται μὲ μεγαλύτερη ἀγριότητα πρὸς ἐκείνους ποὺ ἔχει ὑπὸ τὴν ἐξουσία του, χρησιμοποιεῖ σκηνὲς καὶ καλύβες καὶ παρεκτράπηκε πρὸς τὴν ἀγριότητα τῶν θηρίων. Ἀλλ' εἶναι φοβερώτεοοι ἀπὸ αὐτοὺς οἱ ἅρπαγες, οἱ πλεονέκτες, αὐτοὶ ποὺ ζοῦν μέσα στὴν ἀκολασία καὶ τὶς ἀπολαύσεις.

«Πολὺ χρόνο ἔμεινε ἡ ψυχή μου στὴν ξενιτειά». Καὶ ὅμως δὲν ἦταν πολλὰ χρόνια· διότι ἑβδομήντα χρόνια μόνο ἦταν· ὅμως ὀνομάζει αὐτὰ πολλὰ ὄχι ὡς πρὸς τὸ πλῆθος, ἀλλ' ὡς πρὸς τὴ δυσκολία τῶν πραγμάτων. Διότι καὶ ἂν ἀκόμα εἶναι λίγα, φαίνονται πολλὰ σ' ἐκείνους ποὺ ζοῦν μέσα στὶς θλίψεις. Ἔτσι πρέπει νὰ ἐνεργοῦμε καὶ ἐμεῖς, καὶ ἂν ἀκόμα ζήσουμε λίγα χρόνια ἐδῶ στὸν κόσμο, νὰ τὰ θεωροῦμε πολλά, ἐξ αἰτίας τῆς ἐπιθυμίας τῶν μελλοντικῶν ἀγαθῶν. Λέγοντας αὐτὰ δὲν κατηγορῶ τὴν παρούσα ζωή, μὴ γένοιτο, καθόσον αὐτὴ εἶναι ἔργο τοῦ

*Θεοῦ, ἀλλὰ πρὸς τὸν ἔρωτα τῶν μελλόντων ἡμᾶς ἀλείφων, καὶ ὥστε μὴ ἐμφιλοχωρεῖν τοῖς παροῦσι, μηδὲ προσηλῶσθαι τῷ σώματι, μηδὲ κατὰ τοὺς μικροψύχους τῶν πολλῶν διακεῖσθαι, οἳ κἂν μυρία ζήσωσιν ἔτη, ὀλίγα ταῦτα εἶναί φασιν. Ὧν τί γένοιτ' ἂν ἀλογώτερον; τί δὲ παχύτερον, εἰ οὐρανοῦ προκειμένου καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν, «Ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε», πρὸς τὰς σκιὰς κεχήνασι καὶ τὸν εὔριπον τοῦ παρόντος διαπερᾶν βούλονται βίου, κύμασι διηνεκέσι καὶ χειμῶνι καὶ ναυαγίοις ἐγκαλινδούμενοι; Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ἔσπευδε καὶ ἠπείγετο, καὶ ἓν αὐτὸν μόνον κατεῖχεν, ἡ τῶν ἀνθρώπων σωτηρία.*

*Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν». Εἶδες πῶς δείκνυσι τὸ φορτικὸν τῆς ἐκεῖ διατριβῆς; Οὐ γὰρ εἶπε, 'μετὰ τῶν οὐκ ἐχόντων εἰρήνην', ἀλλά, «Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός». Εἶδες τῆς θλίψεως τὸ κέρδος; εἶδες τῆς αἰχμαλωσίας τὸν καρπόν; Ἀλλὰ νῦν, τίς ἡμῶν δυνήσεται τοῦτο εἰπεῖν; Ἀγαπητὸν γὰρ μετὰ τῶν εἰρηνικῶν εἰρηνικὸν εἶναι, οὗτος δὲ καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἦν εἰρηνικός. Πῶς οὖν τοῦτο καὶ ἡμεῖς κατορθώσομεν; Ἂν ὡς πάροικοι διατρίβωμεν (πάλιν γὰρ ἐπὶ τὴν αὐτὴν ὑπόθεσιν ἄγω τὸν λόγον) ἂν ὡς ξένοι, ἂν μηδενὶ τῶν παρόντων ὦμεν κατεχόμενοι. Οὐδὲν γὰρ οὕτω ποιεῖ μάχην καὶ πόλεμον, ὡς ὁ τῶν παρόντων ἔρως, ὡς ἢ δόξης, ἢ χρημάτων, ἢ τρυφῆς ἐπιθυμία. Ὅταν δὲ καὶ πάντα διακόψῃς τὰ σχοινία ταῦτα, καὶ μηδενὶ τούτων περιίδῃς τὴν ψυχὴν κατε-*

---

20. Α΄ Κορ. 2, 9.
21. Φιλ. 1, 23 - 25.
22. Ματθ. 10, 16.

Θεοῦ, ἀλλὰ σᾶς ἀσκῶ στὸ ν' ἀγαπήσετε τὰ μελλοντικὰ πράγματα καὶ νὰ μὴ ἀσχολεῖστε μὲ τὰ παρόντα, οὔτε νὰ προσηλώνεστε στὸ σῶμα, οὔτε νὰ συμπεριφέρεσθε ὅπως πολλοὶ ἀπὸ τοὺς ὀλιγόψυχους, οἱ ὁποῖοι, καὶ ἂν ἀκόμα ζήσουν ἀμέτρητα χρόνια, λένε ὅτι αὐτὰ εἶναι λίγα. Τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἀνόητο ἀπ' αὐτούς, τί δὲ πιὸ ἀναίσθητο, ὅταν, ἐνῶ ὁ οὐρανὸς βρίσκεται μπροστά τους, καθὼς καὶ τὰ οὐράνια ἀγαθά, «Τὰ ὁποῖα οὔτε μάτι ἀνθρώπου τὰ εἶδε, οὔτε αὐτὶ τὰ ἄκουσε»[20], αὐτοὶ ἔχουν ἀποχαυνωθεῖ ἀπὸ τὶς σκιὲς καὶ θέλουν νὰ διασχίζουν τὴν γεμάτη ἀπὸ ἀστάθεια παροῦσα ζωή, περιφερόμενοι μέσα στὰ συνεχὴ κύματα, τὴν κακοκαιρία καὶ τὰ ναυάγια; Ὅμως δὲν ἦταν τέτοιος ὁ Παῦλος, ἀλλ' ἀγωνιζόταν καὶ βιαζόταν καὶ ἕνα πράγμα μόνο τὸν ἐνδιέφερε, ἡ σωτηρία τῶν ἀνθρώπων[21].

«Μὲ ἐκείνους ποὺ μισοῦν τὴν εἰρήνη ἤμουν εἰρηνικός· ὅταν μιλοῦσα μ' αὐτούς, ἐκεῖνοι μὲ πολεμοῦσαν χωρὶς λόγο». Εἶδες πῶς δείχνει τὸ ἀνυπόφορο τῆς ἐκεῖ ζωῆς; Διότι δὲν εἶπε 'Μὲ ἐκείνους, ποὺ δὲν ἔχουν εἰρήνη', ἀλλά, «Μὲ ἐκείνους ποὺ μισοῦν τὴν εἰρήνη ἤμουν εἰρηνικός». Εἶδες τὸ κέρδος ἀπὸ τὴ θλίψη; εἶδες τὸν καρπὸ τῆς αἰχμαλωσίας; Ἀλλὰ τώρα ποιὸς θὰ μπορέσει νὰ τὸ πεῖ αὐτό; Βέβαια ἀγαπᾶ κανεὶς νὰ εἶναι εἰρηνικὸς μὲ τοὺς εἰρηνικούς, αὐτὸς ὅμως καὶ μὲ ἐκείνους ποὺ μισοῦν τὴν εἰρήνη ἦταν εἰρηνικός. Πῶς λοιπὸν θὰ τὸ κατορθώσουμε καὶ ἐμεῖς αὐτό; Ἂν ζοῦμε σὰν περαστικοὶ ἀπ' αὐτὴ τὴ ζωὴ (διότι πάλι φέρω τὸ λόγο στὸ ἴδιο θέμα), ἂν σὰν ξένοι, ἂν δὲν εἴμαστε προσκολλημένοι σὲ κανένα ἀπὸ τὰ πράγματα τῆς παρούσας ζωῆς. Διότι τίποτε δὲν προξενεῖ τόσο πολὺ μάχη καὶ πόλεμο, ὅσο ὁ πόθος γιὰ τὰ παρόντα πράγματα, ὅσο ἡ ἐπιθυμία γιὰ δόξα, χρήματα καὶ ἀπολαύσεις. Ὅταν ὅμως κόψεις ὅλα αὐτὰ τὰ σχοινιά, καὶ δὲν ἀνεχθεῖς νὰ εἶναι κυριευμένη ἡ ψυχὴ μὲ κανένα ἀπ' αὐτά,

χομένην, τότε ὄψει πόθεν ὁ πόλεμος ἔχει τὴν ἀρχήν, πόθεν ἡ ἀρετὴ ὑπόθεσιν λήψεται.

Διὰ τοῦτο μεταξὺ λύκων πρόβατα εἶναι κελεύει, ἵνα μὴ λέγῃς, τὰ καὶ τὰ ἔπαθον, καὶ διὰ τοῦτο ἠγριώθην. Κἂν μυρία, φησί, πάθῃς, μένε πρόβατον ὄν, καὶ οὕτω περιέσῃ τῶν λύκων. Πονηρός ἐστιν ὁ δεῖνα καὶ διεφθαρμένος, ἀλλ' ἔχεις τοσαύτην δύναμιν, ὡς καὶ πονηρῶν περιγενέσθαι. Τί προβάτου ἡμερώτερον; τί δὲ λύκου ἀγριώτερον; Ἀλλ' ὅμως τοῦτο ἐκείνου περιέσται· καὶ τοῦτο ἐπὶ τῶν ἀποστόλων ἐδείχθη. Οὐδὲν γὰρ πραότητος δυνατώτερον, οὐδὲν μακροθυμίας εὐτονώτερον. Διά τοι τοῦτο ὁ Χριστὸς κελεύει πρόβατα εἶναι μεταξὺ λύκων. Εἶτα οὕτως εἰπών, ὥσπερ οὐκ ἀρκούσης τῆς ἡμερότητος ταύτης, τῆς τοῦ προβάτου λέγω, ὃν βούλεται μαθητὴν δεῖξαι, καὶ ἕτερόν τι προστίθησιν, «Ἔσεσθε ἀκέραιοι ὡς αἱ περιστεραί»· δύο ζώων ἡμέρων καὶ ἀφελῶς διακειμένων μίξας πραότητα· τοσαύτην ἡμᾶς ἀπαιτεῖ τὴν ἐπιείκειαν, ὅταν μεταξὺ ἀγρίων ὦμεν. Καὶ μή μοι λέγε, πονηρός ἐστι καὶ οὐ δύναμαι φέρειν. Τότε γὰρ μάλιστα ἐπιδείκνυσθαι χρὴ τὴν πραότητα, ὅταν πρὸς ἀγρίους ἔχωμεν, ὅταν πρὸς ἀνημέρους· τότε αὐτῆς ἡ ἰσχὺς δείκνυται, τότε αὐτῆς τὸ ἔργον καὶ τὸ κατόρθωμα καὶ ὁ καρπὸς διαλάμπει.

«Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν». Ἕτερος δὲ ἑρμηνευτής φησι, «Καὶ ὅτε ἐλάλουν αὐτοῖς, ἐπολέμουν»· ἢ τοῦτο αἰνιττόμενος, «Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός», ἢ ὅτι, «ἐπεὶ ἐλάλου αὐτοῖς, αὐτοὶ ἐπολέμουν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐν αὐτῷ τῷ καιρῷ τῆς διαλέξεως, ὅτε μάλιστα τὴν ἀγάπην ἐνεδεικνύμην, φησίν, ὅτε μά-

23. Ματθ. 10, 16.

τότε θ' ἀντιληφθεῖς ἀπὸ ποῦ ἔχει τὴν ἀρχή του ὁ πόλεμος, ἀπὸ ποῦ ἡ ἀρετὴ θὰ λάβει τὴν ἀρχή της.

Γι' αὐτὸ μᾶς παραγγέλλει νὰ ζοῦμε σὰν πρόβατα ἀνάμεσα σὲ λύκους, γιά νὰ μὴ λέγεις, αὐτὰ καὶ αὐτὰ ἔπαθα καὶ γι' αὐτὸ ἐξαγριώθηκα. Καὶ ἂν ἀκόμα, λέγει, πάθεις ἀμέτρητα κακά, ἐξακολούθα νὰ εἶσαι πρόβατο, καὶ ἔτσι θὰ ὑπερισχύσεις τῶν λύκων. Ὁ τάδε εἶναι κακὸς καὶ διεφθαρμένος, ἀλλ' ἔχεις τόσο μεγάλη δύναμη, ὥστε καὶ τοὺς κακοὺς νὰ νικήσεις. Τί ὑπάρχει πιὸ ἥμερο ἀπὸ τὸ πρόβατο; τί δὲ πιὸ ἄγριο ἀπὸ τὸ λύκο; Ἀλλ, ὅμως τὸ πρόβατο θὰ ὑπερισχύσει τοῦ λύκου· καὶ αὐτὸ ἀποδείχθηκε μὲ τοὺς ἀποστόλους. Διότι τίποτε δὲν ὑπάρχει δυνατότερο ἀπὸ τὴν πραότητα, τίποτε ἰσχυρότερο ἀπὸ τὴ μακροθυμία. Γι' αὐτὸ καὶ ὁ Χριστὸς παραγγέλλει νὰ ζοῦμε σὰν πρόβατα ἀνάμεσα σὲ λύκους. Στὴ συνέχεια, ἀφοῦ εἶπε αὐτά, σὰν νὰ μὴ ἦταν ἀρκετὴ αὐτὴ ἡ ἡμερότητα, ἐννοῶ τοῦ προβάτου, γιὰ ἐκεῖνον ποὺ θέλει νὰ τὸν παρουσιάσει γιὰ μαθητή του, προσθέτει καὶ κάτι ἄλλο, «νὰ εἶστε ἄκακοι ὅπως τὰ περιστέρια»,[23], ἀναμειγνύοντας τὴν ἡμερότητα δύο ἡμέρων καὶ ἄκακων ζώων· τόσο μεγάλη ζητεῖ νὰ εἶναι ἡ ἡμερότητά μας ὅταν ζοῦμε ἀνάμεσα σὲ ἀγρίους. Καὶ μὴ μοῦ λέγεις, κακὸς εἶναι καὶ δὲν μπορῶ νὰ τὸν ὑποφέρω. Διότι τότε πρὸ πάντων πρέπει νὰ δίχνουμε τὴν πραότητά μας, ὅταν συναναστρεφόμαστε ἀγρίους, ὅταν ζοῦμε μὲ ἀνήμερους· τότε γίνεται φανερὴ ἡ δύναμη τῆς πραότητας, τότε διαλάμπει τὸ ἔργο, τὸ κατόρθωμα καὶ ὁ καρπός αὐτῆς.

«Ὅταν μιλοῦσα μὲ αὐτούς, μὲ πολεμοῦσαν χωρὶς νὰ ὑπάρχει λόγος». Ἄλλος δὲ ἑρμηνευτὴς λέγει, «Καὶ ὅταν μιλοῦσα μὲ αὐτούς, μὲ πολεμοῦσαν»· ἢ ὑπαινίσσεται αὐτό, ὅτι «Μὲ ἐκείνους ποὺ μισοῦν τὴν εἰρήνη ἤμουν εἰρηνικός», ἢ ὅτι «Ὅταν μιλοῦσα μὲ αὐτούς, αὐτοὶ μὲ πολεμοῦσαν». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· Κατὰ τὸν χρόνο τῆς συνομιλίας μου μαζί τους, ὅταν, λέγει, τότε πρὸ πάντων ἔδειχνα τὴν ἀγάπη μου, ὅταν καὶ λόγια φιλικὰ

*λιστα καὶ ῥήματα φιλικὰ ἱέμην, τότε ἠγρίαινον, τότε δόλους ἔρραπτον, καὶ οὐδὲν αὐτῶν ἐκράτει· ἀλλ' ὅμως ἐγὼ τὴν οἰκείαν ἐπεδεικνύμην ἀρετήν, καὶ ἐκείνων ταύτῃ διακειμένων.*

*Οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρή, κἂν βάλλωσι, κἂν παίωσι φιλοῦντας, κἂν ἐπιβουλεύωσι, τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθαι, ἐκείνης τῆς παραβολῆς μεμνημένους τῆς κελευούσης, ὡς πρόβατα καὶ περιστερὰς εἶναι ἐν μέσῳ λύκων, ἵν' ἐκείνους τε βελτίους ἐργασώμεθα, καὶ αὐτοὶ τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἀπολαύσωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

τοὺς ἀπηύθυνα, τότε ἀγρίευαν, τότε μηχανεύονταν δολιότητες, καὶ τίποτε δὲν τοὺς συγκρατοῦσε· ἀλλ' ὅμως ἐγὼ φανέρωνα τὴν ἀρετή μου, ἔστω καὶ ἂν ἐκεῖνοι συμπεριφέρονταν ἔτσι.

Ἔτσι πρέπει καὶ ἐμεῖς νὰ συμπεριφερόμαστε, καὶ ἂν ἀκόμα μᾶς πληγώνουν, καὶ ἂν ἀκόμα μᾶς χτυποῦν, ἐνῶ ἐμεῖς τοὺς ἀγαποῦμε, καὶ ἂν ἀκόμα σκέπτονται κακὰ ἐναντίον μας, νὰ κάμνουμε ὅ,τι ἐξαρτᾶται ἀπὸ ἐμᾶς, ἐνθυμούμενοι ἐκείνη τὴν παραβολὴ ποὺ παραγγέλλει νὰ εἴμαστε σὰν πρόβατα καὶ σὰν περιστέρια ἀνάμεσα στοὺς λύκους, γιὰ νὰ κάνουμε καὶ ἐκείνους καλυτέρους καὶ ἐμεῖς οἱ ἴδιοι ν' ἀπολαύσουμε τὰ οὐράνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΚ΄ ΨΑΛΜΟΝ

*«Ὠδὴ τῶν ἀναβαθμῶν». Ἄλλος, «Ἆσμα εἰς τὰς ἀναβάσεις».*

*«Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου». Ἕτερος, «Αἴρω ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου».*

*1.* Ὅρα ψυχὴν ἀπορουμένην καὶ ἀμηχανοῦσαν, ὡς ἐν τοῖς κακοῖς οὖσαν, καὶ βουλομένην τυχεῖν παραμυθίας πρὸς τὸν Θεὸν ἀφορῶσαν. Τοῦτο πάλιν κατόρθωμα τῶν πειρασμῶν, καὶ κέρδος πτεροῦν αὐτὴν καὶ διεγεῖρον, καὶ τὴν ἄνωθεν ποιοῦν ἐπιζητεῖν ῥοπήν, καὶ τῶν βιωτικῶν ἀποτέμνον ἁπάντων. Εἰ γὰρ Ἰουδαῖοι, οἱ παχεῖς καὶ τῇ γῇ προσηλωμένοι, ἀπὸ τῆς ἐν αἰχμαλωσίᾳ ταλαιπωρίας οὕτως ἐγίνοντο σπουδαῖοι, καὶ πρὸς τὸν οὐρανὸν ἔβλεπον, πολλῷ μᾶλλον ἡμεῖς δίκαιοι ἂν εἴημεν τοῦτο ποιεῖν ἐν ταῖς περιστάσεσι, καὶ πρὸς τὸν Θεὸν καταφεύγειν, οἱ πλείονα ἐκείνων ἀκρίβεια ἀπαιτούμενοι. Ἐπειδὴ γὰρ ἐκεῖνοι τότε ἐν μέσοις ἦσαν ἀπειλημμένοι τοῖς πολεμίοις, καὶ οὐ πόλις αὐτοῖς ἦν, οὐ τεῖχος, οὐ πύργος, οὐχ ὅπλα, οὐ συμμαχία ἀνθρωπίνη, οὐ χρημάτων περιουσία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ᾿ αἰχμάλωτοι καὶ δοῦλοι μεταξὺ δεσποτῶν ὁμοῦ καὶ πολεμίων ἀνεστρέφοντο, τῷ μεγέθει δὲ τῶν συμφορῶν πιεζόμενοι πρὸς τὴν ἄμαχον κατέφυγον χεῖρα, καὶ τῶν ἀνθρωπίνων ἐρημωθέντες, ἀπὸ τῆς ἐρημίας ταύτης ἐπὶ τὸ φιλοσοφεῖν ἤρχοντο. Διὸ καὶ ἔλεγον· «Ἦρα

## ΟΜΙΛΙΑ
## ΣΤΟΝ ΡΚ΄ ΨΑΛΜΟ

«Ὠ δ ὴ τ ῶ ν ἀ ν α β α θ μ ῶ ν». Ἄλλος, «Ἆ σ μ α σ τ ὶ ς ἀ ν α β ά σ ε ι ς».

«Σήκωσα τὰ μάτια μου πρὸς τὰ ὄρη, ἀπὸ τὰ ὁποῖα θὰ ἔλθει ἡ βοήθειά μου». Ἄλλος λέγει, «Σηκώνω τὰ μάτια μου πρὸς τὰ ὄρη, ἀπὸ τὰ ὁποῖα θὰ ἔλθει ἡ βοήθειά μου.

1. Πρόσεχε ψυχὴ ποὺ βρίσκεται σὲ ἀδιέξοδο καὶ ἀμηχανία, διότι ζεῖ μέσα στὰ κακὰ καὶ ἔχει στραμμένο τὸ βλέμμα της πρὸς τὸ Θεό, θέλοντας νὰ τύχει παρηγορίας. Αὐτὸ πάλι εἶναι κατόρθωμα τῶν δοκιμασιῶν καὶ κέρδος ποὺ ἀναπτερώνει καὶ διεγείρει αὐτὴ καὶ τὴν κάμνει νὰ ἐπιζητεῖ τὴν οὐράνια βοήθεια καὶ τὴν ἀπομακρύνει ἀπὸ ὅλα τὰ κοσμικὰ πράγματα. Διότι, ἂν οἱ Ἰουδαῖοι, ποὺ ἦταν χαμηλῆς πνευματικότητας καὶ προσκολλημένοι στὴ γῆ, ἔγιναν τόσο ἀνώτεροι πνευματικά, ἐξ αἰτίας τῆς ταλαιπωρίας τῆς αἰχμαλωσίας, καὶ εἶχαν στραμμένο τὸ βλέμμα τους πρὸς τὸν οὐρανό, πολὺ περισσότερο ὀρθὸ θὰ ἦταν νὰ τὸ κάμνουμε ἐμεῖς στὶς δύσκολες περιστάσεις καὶ νὰ καταφεύγουμε πρὸς τὸ Θεό, ἐμεῖς ποὺ μᾶς ζητεῖται περισσότερη πνευματικὴ τελειότητα. Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι τότε ἦταν κυριευμένοι ἀπὸ τοὺς ἐχθροὺς καὶ δὲν εἶχαν οὔτε πόλη, οὔτε τεῖχος, οὔτε πύργο, οὔτε ὅπλα, οὔτε ἀνθρώπινη βοήθεια, οὔτε ἀφθονία χρημάτων, οὔτε τίποτε ἄλλο παρόμοιο, ἀλλ' ἦταν αἰχμάλωτοι καὶ δοῦλοι καὶ ζοῦσαν ἀνάμεσα σὲ κυρίους καὶ σὲ ἐχθρούς, καταπιεζόμενοι δὲ ἀπὸ τὸ μέγεθος τῶν συμφορῶν κατέφυγαν πρὸς τὴν ἀκατανίκητη βοήθεια, καὶ ἐπειδὴ ἀπομονώθηκαν τελείως ἀπὸ τοὺς ἀνθρώπους, ἀπὸ τὴν ἐγκατάλειψη αὐτὴ ὁδηγοῦνταν *στὴν εὐσεβὴ ζωή. Γι' αὐτὸ ἔλεγαν· «Σήκωσα τὰ μάτια*

*τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Τὰ παρὰ τῶν ἀνθρώπων πάντα ἐγκαταλέλειπται, πάντα φροῦδα, πάντα ἐκποδών· μία λοιπὸν ὑπολέλειπται σωτηρία, φησίν, ἡ παρὰ τοῦ Θεοῦ.*

*«Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν». Εἶδες τὸν Θεὸν πανταχοῦ ἐπιζητοῦντας; ἀπὸ τῆς γῆς, ἀπὸ τοῦ οὐρανοῦ, ἀπὸ τῶν ὀρῶν, ἀπὸ τῆς ἐρημίας, πανταχοῦ αὐτὸν φανταζομένους; εἶδες αὐτῶν τὴν διάνοιαν ὑψηλοτέραν γινομένην, καὶ τὴν πανταχοῦ πρόνοιαν αὐτοῦ ἐκτεταμένην ἀνακηρύττοντας; Οὐ γὰρ ἁπλῶς προσέθηκε «Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν», ἀλλὰ συλλογιζόμενος αἰνιγματωδῶς τοῦτο καὶ λέγων· εἰ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησε, δύναται καὶ ἐν ἀλλοτρίᾳ βοηθῆσαι, καὶ πανταχοῦ, καὶ ἐν βαρβάρῳ χεῖρα ὀρέξαι, καὶ τῆς πατρίδος ἐκπεσόντας διασῶσαι. Εἰ γὰρ τὰ στοιχεῖα ταῦτα λόγῳ μόνῳ παρήγαγε, πολλῷ μᾶλλον ἡμᾶς τῶν βαρβάρων ἀπαλλάξαι δυνήσεται. Ὁρᾶς πῶς φιλοσοφοῦσιν οἱ λίθων ὄντες ἀναισθητότεροι, ἐπὶ τῆς ἀλλοτρίας διατρίβοντες; Οὐκέτι γὰρ ναοῦ μέμνηνται, ἀλλ' οὐρανοῦ καὶ γῆς. Ὅρα πῶς καὶ τὴν δημιουργίαν ἀνακηρύττουσι καὶ τὴν σοφίαν τοῦ Θεοῦ, καὶ τὴν πρόνοιαν. Οἱ γὰρ πρὸ τούτου τῷ ξύλῳ λέγοντες, «Θεός μου εἶ σύ», καὶ τῷ λίθῳ, «Σύ με ἐγέννησας», νῦν τὸν δημιουργὸν τῆς οἰκουμένης ἐπιγινώσκουσιν.*

*«Ἡ βοήθειά μου παρὰ Κυρίου», οὐ παρὰ ἀνθρώπων, οὐδὲ παρὰ ἵππων, οὐ παρὰ χρημάτων, οὐ παρὰ συμμάχων, οὐδὲ παρὰ περιβόλων. «Ἡ βοήθεια ἡμῶν παρὰ Κυρίου». Αὕτη ἀχείρωτος ἡ συμμαχία, αὕτη ἄμαχος ἡ βοήθεια· οὐκ ἄμαχος δὲ μόνον, ἀλλὰ καὶ ῥᾳδία καὶ εὔκολος. Οὐ γὰρ ὁδὸν μακρὰν βαδίσαι δεῖ, οὐ θυρωροὺς κολακεῦσαι, οὐ χρήματα δαπανῆσαι, οὐ πρε-*

1. Ἱερ. 2, 27.

μου πρὸς τὰ ὄρη ἀπὸ τὰ ὁποῖα θὰ ἔλθει ἡ βοήθειά μου». Ὅλες οἱ ἐλπίδες ἐκ μέρους τῶν ἀνθρώπων χάθηκαν, ὅλα ἐξαφανίσθηκαν, ὅλα ἀπομακρύνθηκαν· μιὰ πλέον σωτηρία, λέγει, ἔχει ἀπομείνει, ἡ ἐκ μέρους τοῦ Θεοῦ.

«Ἡ βοήθειά μου θὰ ἔλθει ἀπὸ τὸν Κύριο ποὺ δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Εἶδες ποὺ ἀπὸ παντοῦ ἐπιζητοῦν τὸ Θεό; ἀπὸ τὴ γῆ, ἀπὸ τὸν οὐρανό, ἀπὸ τὰ ὄρη, ἀπὸ τὴν ἐρημιὰ καὶ ποὺ φαντάζονται ὅτι βρίσκεται παντοῦ; Εἶδες τὴ σκέψη τους νὰ γίνεται ὑψηλότερη καὶ νὰ διακηρύσσουν τὴν πρόνοια αὐτοῦ ποὺ ἁπλώνεται παντοῦ; Διότι δὲν πρόσθεσε στὴν τύχη «Ὁ ὁποῖος δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ», ἀλλὰ σκεπτόμενος αἰνιγματικὰ αὐτὸ καὶ λέγοντας· ἂν δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ, μπορεῖ νὰ μᾶς βοηθήσει καὶ στὴν ξένη χώρα καὶ παντοῦ, καὶ νὰ ἁπλώσει τὸ χέρι του καὶ ἐνῶ βρισκόμαστε στὴ βάρβαρη χώρα καὶ νὰ σώσει ἐμᾶς ποὺ χάσαμε τὴν πατρίδα μας. Διότι, ἂν αὐτὰ τὰ στοιχεῖα τὰ δημιούργησε μὲ μόνο τὸ λόγο του, πολὺ περισσότερο θὰ μπορέσει ν' ἀπαλλάξει ἐμᾶς ἀπὸ τοὺς βαρβάρους. Βλέπεις πῶς φιλοσοφοῦν ἐκεῖνοι ποὺ εἶναι πιὸ ἀναίσθητοι καὶ ἀπὸ τοὺς λίθους, ζώντας στὴν ξένη χώρα; Διότι δὲν ἐνθυμοῦνται πλέον τὸ ναό, ἀλλὰ τὸν οὐρανὸ καὶ τὴ γῆ. Πρόσεχε πῶς διακηρύσσουν καὶ τὴ δημιουργία καὶ τὴ σοφία καὶ τὴν πρόνοια τοῦ Θεοῦ. Διότι ἐκεῖνοι ποὺ πρὶν ἀπὸ αὐτὸ ἔλεγαν στὸ ξύλο, «Σὺ εἶσαι Θεός μου», καὶ στὸ λίθο, «Σὺ μὲ γέννησες»[1], τώρα ἀναγνωρίζουν τὸ δημιουργὸ τῆς οἰκουμένης.

«Ἡ βοήθειά μου θὰ ἔλθει ἀπὸ τὸν Κύριο», ὄχι ἀπὸ ἀνθρώπους, οὔτε ἀπὸ ἵππους, οὔτε ἀπὸ χρήματα, οὔτε ἀπὸ συμμάχους, οὔτε ἀπὸ ὀχυρώματα. «Ἡ βοήθειά μου θὰ ἔλθει ἀπὸ τὸν Κύριο». Αὐτὴ ἡ συμμαχία εἶναι ἀκατανίκητη, αὐτὴ ἡ βοήθεια εἶναι ἀκαταμάχητη· ὄχι μόνο δὲ ἀκαταμάχητη, ἀλλὰ καὶ εὔκολη καὶ εὐκολοκατόρθωτη. Διότι δὲν χρειάζεται κανένας νὰ βαδίσει μακρὸ δρόμο, οὔτε νὰ κολακεύσει θυρωρούς, οὔτε χρήματα νὰ ξοδέψει, οὔτε ἀντι-

*σθεῖαν στείλασθαι, ἀλλ' οἴκοι μένοντα δυνατὸν ταύτην ἐπισπάσασθαι τὴν ῥοπήν, μόνον ἂν ἀποστήσας τις ἑαυτὸν τῶν ἀνθρωπίνων, ἐκείνης ἐξέχηται τῆς ἐλπίδος, καὶ ὀξυδερκὲς ἔχῃ τὸ ὄμμα, καὶ ὑψηλὰ βλέπῃ. Διὰ γὰρ τοῦτο καὶ μόνῳ τῷ ζώῳ τούτῳ τὴν διάπλασιν ὄρθιον ἐποίησεν ὁ Θεός, καὶ τοὺς ὀφθαλμοὺς ἐν ὕψει κατέθετο τῆς σαρκὸς διδάσκων καὶ ἀπὸ τῶν αἰσθητῶν, ὅτι δεῖ πρὸς τὸ ὕψος ὁρᾶν. Μόνον γὰρ τοῦτο τὸ ζῶόν ἐστιν διαπεπλασμένον, τὰ δὲ ἄλλα πάντα κάτω βλέπει, καὶ πρὸς γῆν νένευκεν. Οὗτος δὲ πρὸς τὸν οὐρανὸν τέταται, ἵνα τὰ ἐκεῖ περισκοπῇ, καὶ ἐν ἐκείνοις φιλοσοφῇ, καὶ ἐκεῖνα φαντάζηται, καὶ ὀξυδερκὲς ἔχῃ τὸ ὄμμα τῆς ψυχῆς. Διὰ δὴ τοῦτο καί τις σοφὸς ἔλεγε, «Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ»[2], τουτέστι, τῶν κάτω πάντων ἀπήλλακται, καὶ οὐρανοπολεῖ, καὶ μετέωρα φαντάζεται.*

*Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξει ὁ φυλάσσων σε». Ὁρᾷς πόσην ἀπαιτεῖ παρ' ἡμῶν σπουδὴν ὁ λόγος; Ἐπειδὴ γὰρ βοηθείας ἐμνήσθησαν καὶ τὴν ἄνωθεν ῥοπὴν καλοῦσι, παραινεῖ καὶ συμβουλεύει, μονονουχὶ τοῦτο λέγων· εἰ βούλει ταύτης ἀπολαῦσαι, τὰ παρὰ σαυτοῦ εἰσένεγκε. Τί δέ ἐστιν ὃ παραινεῖ; Ἄκουε· «Μὴ δῴης εἰς σάλον τὸν πόδα σου»· τουτέστι, μὴ περιτραπῇς, μὴ σκανδαλισθῇς, καὶ τότε ἕξεις τὸν Θεὸν χεῖρα ὀρέγοντα, οὐκ ἐγκαταλιμπάνοντα, οὐκ ἀφιέντα. Ὥστε παρ' ἡμῖν αἱ ἀρχαί, καὶ τούτου ἡμεῖς κύριοι. Ἐπειδὴ δὲ κύριοι, ὅταν βουλώμεθά τινας ἐπιτυγχάνειν, δεῖ καὶ ἡμᾶς τὰ παρ' ἑαυτῶν εἰσφέρειν (οὕτω γὰρ καὶ ὁ Θεὸς βούλεται), μικρὰ μὲν ὄντα καὶ εὐτελῆ, δεῖ δὲ ὅμως εἰσφέρειν, οὐκ ἀργοῦντας, καὶ σπουδάζοντας διασώσειν. Διὰ τοῦτο καὶ περὶ τὴν*

2. Ἐκκλ. 2, 14.

προσώπους νὰ στείλει, ἀλλὰ μπορεῖ ν' ἀποσπάσει αὐτὴ τὴ βοήθεια παραμένοντας στὴν οἰκία, ἀρκεῖ μόνο ἂν κανείς, ἀπομακρύνοντας τὸν ἑαυτό του ἀπό τὰ ἀνθρώπινα, στηρίζεται σ' ἐκείνη τὴν ἐλπίδα, ἔχει εὐκίνητο τὸ βλέμμα του καὶ βλέπει πρός τὸν οὐρανό. Διότι γι' αὐτὸ μόνο σ' αὐτό τὸ ζῶο ὁ Θεὸς ἔκαμε τὴ διάπλασή του ὄρθια καὶ τοποθέτησε τὰ μάτια στὴν κορυφὴ τοῦ σώματος, διδάσκοντας καὶ ἀπὸ τὰ αἰσθητά, ὅτι πρέπει πρὸς τὸν οὐρανὸ νὰ βλέπει. Διότι μόνο αὐτὸ τὸ ζῶο εἶναι ἔτσι διαπλασμένο, ἐνῶ ὅλα τὰ ἄλλα βλέπουν κάτω καὶ σκύβουν πρὸς τὴ γῆ. Αὐτὸς δὲ κατασκευάσθηκε μὲ τὸ βλέμμα του στραμμένο πρὸς τὸν οὐρανό, γιὰ νὰ παρατηρεῖ τὰ ὅσα ὑπάρχουν ἐκεῖ, νὰ φιλοσοφεῖ καὶ νὰ φαντάζεται ἐκεῖνα καὶ νὰ ἔχει εὐκίνητο τὸ βλέμμα τῆς ψυχῆς. Γι' αὐτό λοιπὸν καὶ κάποιος σοφὸς ἔλεγε, «Τοῦ σοφοῦ τὰ μάτια βρίσκονται στὴν κεφαλή»[2], δηλαδὴ ἔχει ἀπαλλαχθεῖ ἀπὸ ὅλα τὰ κάτω, βλέπει πρὸς τὸν οὐρανὸ καὶ φαντάζεται τὰ οὐράνια.

«Μὴ ἀφήσεις νὰ σαλευθεῖ τὸ πόδι σου, οὔτε νὰ νυστάξει ἐκεῖνος ποὺ σὲ φυλάσσει». Βλέπεις ὁ λόγος πόση προσπάθεια ζητεῖ ἀπὸ ἐμᾶς; Ἐπειδὴ δηλαδὴ θυμήθηκαν τὴ βοήθεια καὶ ζητοῦν τὴν οὐράνια βοήθεια, προχωρεῖ σὲ προτροπὲς καὶ συμβουλὲς καὶ εἶναι σὰν νὰ λέγει τὸ ἑξῆς· ἂν θέλεις ν' ἀπολαύσεις αὐτή, πρόσφερε καὶ σὺ ὅ,τι ἐξαρτᾶται ἀπὸ σένα. Ποιὰ δὲ εἶναι ἡ προτροπή; Ἄκουε· «Μὴ ἀφήσεις τὸ πόδι σου νὰ σαλευθεῖ»· δηλαδή, μὴ ἐκτραπεῖς, μὴ σκανδαλισθεῖς, καὶ τότε θὰ ἔχεις τὸ Θεὸ βοηθό σου, χωρὶς νὰ σὲ ἐγκαταλείπει, οὔτε νὰ σὲ ἀφήνει. Ὥστε σὲ ἐμᾶς βρίσκεται ἡ ἀρχὴ καὶ ἐμεῖς εἴμαστε κύριοι αὐτοῦ. Ἐπειδὴ δὲ εἴμαστε κύριοι ὅταν θέλουμε κάτι νὰ ἐπιτύχουμε, πρέπει καὶ ἐμεῖς νὰ προσφέρουμε ὅ,τι ἐξαρτᾶται ἀπὸ ἐμᾶς (διότι αὐτὴ εἶναι καὶ ἡ θέληση τοῦ Θεοῦ), ποὺ ἴσως εἶναι μικρὸ μὲν καὶ ἀσήμαντο, πρέπει ὅμως νὰ τὸ προσφέρουμε, χωρὶς νὰ χρονοτριβοῦμε, οὔτε νὰ κοιμώμαστε καὶ νὰ ροχαλίζουμε, οὔτε νὰ χάνουμε τὸ θάρρος μας, ἀλλὰ νὰ ἐνεργοῦμε καὶ νὰ φροντίζουμε γιὰ νὰ σωθοῦμε.

*ἐνδεκάτην ὥραν ἐμισθώσατο. Καίτοι τί τοιοῦτον ἔμελλον ποιεῖν περὶ ἑνδεκάτην ὥραν; Ἀλλ' ἵνα ἀφορμὴν ἔχῃ τὴν ἐργασίαν, ἵνα πρόφασιν τῶν στεφάνων. Διό φησι· «Μὴ δῷης εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσσων σε». Ἐὰν τὰ παρὰ σοῦ παράσχῃς, καὶ τὰ ἐκείνου ἕψεται. Ἐκ τούτου καὶ τοιοῦτό τι δείκνυται, ὅτι καὶ τὰ παρ' ἡμῶν ἂν εἰσφέρωμεν, ὅμως καὶ οὕτω τῆς παρ' αὐτοῦ δεόμεθα ῥοπῆς, ἵν' ἐν ἀσφαλείᾳ ὦμεν, ἵνα ἀπερίτρεπτοι μένωμεν.*

*2. Τίς δὲ δίδωσιν εἰς σάλον τὸν πόδα; Ὁ πράγμασιν ἐπιβαίνων ὀλισθηροῖς καὶ οὐκ ἔχουσιν ἰσχυρὰν βάσιν, οἷός ἐστιν ὁ τῶν χρημάτων ἔρως, οἷς ὁ τῶν βιωτικῶν πόθος. Διὰ τοῦτο συνεχῶς περιτρέπονται καὶ καταπίπτουσι, καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμῶσιν ἑαυτοῖς κίνδυνον. Οὐ γάρ ἐστιν ἐκεῖνά ποτε ἀσάλευτα, οὐδέποτέ ἐστιν ἀκίνητα, ἀλλ' ἀεὶ μεταβάλλεται καὶ μεθίσταται καὶ τῶν κυμάτων μᾶλλον ταράττεται, καὶ τῶν ποταμίων ῥευμάτων ταχύτερον διαβαίνει, καὶ ψάμμου πάσης ἐστὶν ἀσθενέστερα καὶ διαρρεῖ.*

*«Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ». Ἂν οὕτω διακείμενος ᾖς, φησίν, «Οὐ νυστάξει, οὐδὲ ὑπνώσει», τουτέστιν, οὐκ ἐγκαταλείψει, οὐ προήσεται, οὐκ ἀφήσει γυμνὸν καὶ ἔρημον. Τοῦτο αἰνίξασθαι θέλων, ἀλλ' οὐχ ἁπλῶς, τέθεικεν, «Ὁ φυλάσσων τὸν Ἰσραήλ». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ τοῦτο ἔργον αὐτοῦ διηνεκές, τὸ ἄνωθεν καὶ ἐκ προγόνων τῶν σῶν ἐν ἀσφαλείᾳ σε καθιστᾶν, οὐ προήσεται τὸ ἔργον τὸ αὐτοῦ, καὶ ὃ σύνηθες αὐτῷ πράττειν οὐκ ἐγκαταλείψει, ἐὰν μὴ σὺ δῷης εἰς σάλον τὸν πόδα σου. Καὶ οὐ μόνον οὐκ*

3. Ματθ. 20, 6.

Γι' αὐτὸ καὶ μίσθωσε ἐκείνους ποὺ βρῆκε τὴν ἑνδεκάτη ὥρα[3]. Ἂν καὶ βέβαια τί τό σπουδαῖο ἐπρόκειτο νὰ κάνουν ἀπὸ τὴν ἑνδεκάτη ὥρα καὶ μετά; Ἀλλὰ γιὰ νὰ ἔχει σὰν ἀφορμὴ τὴν ἐργασία, γιὰ νὰ ἔχει δικαιολογία γιὰ τοὺς στεφάνους. Γι' αὐτὸ λέγει· «Μὴ ἀφήσεις νὰ σαλευθεῖ τὸ πόδι σου καὶ ἂς μὴ νυστάξει ἐκεῖνος ποὺ σὲ φυλάσσει». Ἂν δώσεις αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ σένα, θ' ἀκολουθήσουν καὶ τὰ τοῦ Θεοῦ. Ἀπὸ αὐτὸ γίνεται φανερὸ καὶ τὸ ἑξῆς, ὅτι δηλαδὴ καὶ ἂν ἀκόμη προσφέρουμε αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς, ὅμως καὶ ἔτσι χρειαζόμαστε τὴ βοήθεια αὐτοῦ, γιὰ νὰ εἴμαστε ἀσφαλεῖς καὶ γιὰ νὰ μένουμε ἀμετάτρεπτοι.

2. Ποιός ὅμως ἀφήνει τὸ πόδι του νὰ σαλευθεῖ; Ἐκεῖνος ποὺ βαδίζει ἐπάνω σὲ ὀλισθηρὰ πράγματα καὶ ποὺ δὲν ἔχουν *ἰσχυρὴ βάση*, ὅπως, γιὰ *παράδειγμα*, εἶναι ὁ ἔρωτας τῶν χρημάτων, ὅπως εἶναι ὁ πόθος τῶν κοσμικῶν πραγμάτων. Γι' αὐτὸ συνέχεια ἀνατρέπονται καὶ πέφτουν καὶ γίνονται πρόξενοι γιὰ τὸν ἑαυτό τους τοῦ πιὸ φοβερώτερου κινδύνου. Διότι ἐκεῖνα δὲν εἶναι ποτὲ ἀσάλευτα, ποτὲ δὲν εἶναι ἀμετακίνητα, ἀλλὰ πάντοτε μεταβάλλονται καὶ μετατίθενται, ἀναταράσσονται περισσότερο καὶ ἀπὸ τὰ κύματα, περνοῦν καὶ χάνονται γρηγορώτερα καὶ ἀπὸ τὰ ρεύματα τῶν ποταμῶν καὶ εἶναι ἀσθενέστερα ἀπὸ ὁποιαδήποτε ἄμμο καὶ ἐξαφανίζονται.

«Νὰ δὲν θὰ νυστάξει, οὔτε θὰ κοιμηθεῖ ἐκεῖνος ποὺ φυλάσσει τὸν Ἰσραήλ». Ἂν ἔτσι, λέγει, ζεῖς, «Δὲν θὰ νυστάξει, οὔτε θὰ κοιμηθεῖ», δηλαδὴ δὲν θὰ σὲ ἐγκαταλείψει, δὲν θὰ σὲ ἀπορρίψει, δὲν θὰ σὲ ἀφήσει γυμνὸ καὶ ἔρημο. Αὐτὸ ἤθελε νὰ ὑπαινιχθεῖ καὶ δὲν ἀνέφερε τυχαῖα τὸ «Ἐκεῖνος ποὺ φυλάσσει τὸν Ἰσραήλ». Αὐτὸ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· Ἂν αὐτὸ εἶναι συνεχὲς ἔργο αὐτοῦ, τὸ νὰ σὲ θέτει σὲ ἀσφάλεια ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὴν ἐποχὴ τῶν προγόνων σου, δὲν θὰ παρατήσει τὸ ἔργο του, καὶ δὲν θὰ ἐγκαταλείψει αὐτὸ ποὺ συνηθίζει νὰ πράττει, ἂν σὺ δὲν ἀφήσεις τὸ πόδι σου νὰ σαλευθεῖ. Καὶ ὄχι μόνο

*ἐγκαταλείψει, ἀλλὰ καὶ προστήσεται μετὰ πολλῆς τῆς ἀσφαλείας. Διὸ καὶ ἐπήγαγε λέγων· «Κύριος φυλάξει σε· Κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου». Ἕτερος, «Παρὰ τὴν χεῖρα τὴν δεξιάν σου». Παραστάτης, φησίν, ἔσται σου, σύμμαχος, βοηθός. Ὁρᾷς πῶς καὶ ἐνταῦθα βούλεταί σε ἐνεργὸν εἶναι; Ἀπὸ μεταφορᾶς δὲ τῶν ἐν παρατάξει ἑστώτων, παρὰ τὴν χεῖρά σου στήσεται τὴν δεξιάν, ὥστε ἀχείρωτον εἶναι, ὥστε ἐνεργόν, ὥστε ἰσχυρόν, ὥστε δυνάστην, ὥστε τρόπαιον ἱστᾶν, ὥστε τὴν νίκην αἴρεσθαι, ἐπειδὴ μάλιστα αὕτη ἐστί, δι' ἧς ἅπαντα ἐνεργοῦμεν. Οὐκ ἔσται δέ σοι παραστάτης μόνον, οὐδὲ σύμμαχος, ἀλλὰ καὶ σκέπη. Πάλιν λέγω, διὰ τῶν παρ' ἡμῖν πραγμάτων τοῦ Θεοῦ τὰς βοηθείας χαρακτηρίζει, τὴν ὁλόκληρον αὐτοῦ φυλακὴν καὶ τὴν ἐγγυτάτην συμμαχίαν διὰ τῆς δεξιᾶς καὶ τῆς σκέπης παρίστησιν.*

*«Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα». Καὶ τοῦτο γέγονεν ἡνίκα ἐξ Αἰγύπτου ἐπανήεσαν, καὶ ἐν τῇ ἐρήμῳ διέτριβον. Ἐνταῦθα δὲ τὴν πολλὴν ἄδειαν λέγει. Εἰκὸς δὲ καὶ τότε ἐπανιόντας τοιαύτης τινὸς ἀπολαῦσαι παραδοξοποιίας ἑτέρῳ τινὶ τρόπῳ. Ἐκ περιουσίας τοίνυν αὐτοῦ τὴν πρόνοιαν δεῖξαι βουλόμενος, ὅτι οὐ μόνον τῶν δεινῶν ἀπαλλάττει, ἀλλ' οὐδὲ τὰ τῶν ἀνθρώπων ἀφίησί σε παθεῖν, τοῦτο ἐπήγαγε. Δαψιλὴς γὰρ αὐτοῦ τῆς βοηθείας ἡ χορηγία, ἄφατος ἡ φιλανθρωπία, οὐ πρὸς τὸ μέτρον τῆς χρείας τῆς ἡμετέρας παρέχουσα τὴν παρ' ἑαυτοῦ βοήθειαν, ἀλλ' ὑπερβαίνουσα ταῖς ἀντιδόσεσι καὶ τὰς αἰτήσεις ἡμῶν.*

*«Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ· φυλάξει τὴν ψυχήν σου ὁ Κύριος». Ὁ γὰρ μηδὲ τὰ μικρὰ ταῦτα λυπῆσαί σε συγχωρῶν, ἀλλὰ μέχρι τοσούτου τὴν πρόνοιαν ἐκτείνων τὴν ἑαυτοῦ καὶ τὴν κηδεμονίαν, πολλῷ μᾶλλον ἀφ' ἑτέρων ἀχείρω-*

δὲν θὰ σὲ ἐγκαταλείψει, ἀλλὰ καὶ θὰ σὲ προστατεύσει χαρίζοντάς σου μεγάλη ἀσφάλεια. Γι' αὐτὸ καὶ πρόσθεσε τὰ ἑξῆς· «Ὁ Κύριος θὰ σὲ φυλάξει· ὁ Κύριος θὰ εἶναι ἡ *σκέπη σου καὶ θὰ βαδίζει δίπλα στὸ δεξί σου χέρι»*. Ἄλλος λέγει, «Δίπλα στὸ δεξί σου χέρι». Θὰ εἶναι λέγει συμπαραστάτης σου, σύμμαχός σου καὶ βοηθός σου. Βλέπεις πῶς καὶ ἐδῶ θέλει νὰ καταβάλλεις καὶ σὺ προσπάθεια; Μεταφέροντας τὴν εἰκόνα ἐκείνων ποὺ στέκονται στὴν παράταξη μάχης, λέγει ὅτι θὰ σταθεῖ δίπλα στὸ δεξί σου χέρι, ὥστε νὰ εἶσαι ἀκατανίκητος, δραστικός, ἰσχυρός, κυρίαρχος, νὰ στήνεις τρόπαια, νὰ κερδίζεις τὴ νίκη, ἀφοῦ αὐτὴ πρὸ πάντων εἶναι ἐκείνη γιὰ τὴν ὁποία κάμνουμε τὰ πάντα. Δὲν θὰ εἶναι δὲ μόνο προστάτης σου, οὔτε σύμμαχός σου, ἀλλὰ καὶ σκέπη σου. Καὶ πάλι λέγω, ὅτι χαρακτηρίζει τὴ βοήθεια τοῦ Θεοῦ μὲ τὰ ἀνθρώπινα πράγματα, παριστάνοντας ὁλόκληρη τὴ φρούρησή του καὶ τὴ συμμαχία ποὺ βρίσκεται τόσο κοντά του μὲ τὸ δεξὶ χέρι καὶ τὴ σκέπη.

«Ὁ ἥλιος τῆς ἡμέρας δὲν θὰ σὲ καύσει, οὔτε ἡ σελήνη τὴ νύχτα». Καὶ αὐτὸ συνέβηκε ὅταν ἐπέστρεψαν ἀπὸ τὴν Αἴγυπτο καὶ διέμεναν στὴν ἔρημο. Ἐδῶ δὲ ὁμιλεῖ γιὰ τὴ μεγάλη ἀσφάλεια. Φυσικὸ δὲ εἶναι καὶ τότε ἐπιστρέφοντας νὰ ἀπήλαυσαν κάποια παρόμοια θαυματουργικὴ ἐνέργεια μὲ κάποιο ἄλλο τρόπο. Θέλοντας λοιπὸν νὰ δείξει τὴν πλούσια πρόνοιά του, τὸ ὅτι δηλαδὴ σὲ ἀπαλλάσσει ὄχι μόνο ἀπὸ τὶς συμφορές, ἀλλ' δὲν σ' ἀφήνει νὰ πάθεις οὔτε αὐτὰ ποὺ παθαίνουν οἱ ἄνθρωποι, πρόσθεσε αὐτό. Διότι εἶναι πλούσια ἡ χορηγία τῆς βοήθειάς του, ἀπερίγραπτη ἡ φιλανθρωπία του, παρέχοντας τὴ βοήθειά του ὄχι ἀνάλογα μὲ τὴν ἀνάγκη μας, ἀλλ' αὐτὰ ποὺ χορηγεῖ ὑπερβαίνουν ἐκεῖνα ποὺ ζητοῦμε.

«Ὁ Κύριος θὰ σὲ προφυλάξει ἀπὸ ὁποιοδήποτε κακό· ὁ Κύριος θὰ φυλάξει τὴν ψυχή σου». Διότι ἐκεῖνος ποὺ δὲν ἀφήνει οὔτε αὐτὰ τὰ μικρὰ νὰ σὲ λυπήσουν, ἀλλ' ἐπεκτείνει τὴν πρόνοια καὶ τὴ φροντίδα του μέχρι σὲ τέτοιο

*τόν σε καταστήσει. Ἕκαστον μὲν τῶν ἐπιόντων λυπηρῶν εἴκει καὶ παραχωρεῖ τῷ νεύματι τοῦ Θεοῦ, ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι. Ἀλλ' εἰ καὶ τούτου πολλάκις ἀπήλλαξε τοῦ κακοῦ, ἑτέρου οὐκ ἠδυνήθη ἢ ἠδυνήθη μέν, οὐκ ἠβουλήθη δέ· ἀλλ' ἡ τοῦ Θεοῦ παντοδύναμος καὶ κραταιὰ χείρ, κἂν ὁτιοῦν ἐπέλθῃ, λῦσαι δυνήσεται καὶ ἀπαλλάξαι πάντων, καὶ ἐλεύθερον ἀποκαταστῆσαι.*

*«Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου». Ἕτερος ἑρμηνευτής φησι, «Τὴν προσέλευσίν σου». Εἶδες διηνεκῆ συμμαχίαν πανταχοῦ παροῦσαν, εἰσιόντι, ἐξιόντι; Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς ἀγάπης; τί τῆς φιλανθρωπίας; Ἐνταῦθα μέντοι τὸν βίον ἅπαντα αἰνίττεται· ἐν τούτοις γὰρ ὁ βίος ἅπας, ἐν εἰσόδοις καὶ ἐξόδοις. Καὶ τοῦτο σαφέστερον δηλῶν, ἐπήγαγεν· «Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος». Οὐ πρὸς μίαν ἡμέραν, φησίν, οὐδὲ πρὸς δύο, καὶ τρεῖς, καὶ δέκα, καὶ εἴκοσι, καὶ ἑκατόν, ἀλλὰ διηνεκῶς, ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι· ἀλλὰ πολλαὶ αἱ μεταβολαί, συνεχεῖς αἱ μεταπτώσεις, ἀθρόοι αἱ μεταστάσεις· ὁ σήμερον φίλος, αὔριον ἐχθρός· ὁ σήμερον βοηθός, αὔριον ἐγκαταλιμπάνει. Πολλάκις δὲ οὐκ ἐγκαταλιμπάνει μόνον, ἀλλὰ καὶ πολεμεῖ, καὶ ἐπιβουλεύει πολεμίου παντὸς χαλεπώτερον· ἀλλὰ τὰ τοῦ Θεοῦ ἀκίνητα, διηνεκῆ, ἀθάνατα, μόνιμα, πέρας οὐκ ἔχοντα.*

*Ἵνα οὖν αὐτῶν ἐπιτυγχάνωμεν, καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, ὥστε πολλῆς ἀπολαῦσαι τῆς ἀσφαλείας, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

βαθμό, πολὺ περισσότερο θὰ σὲ καταστήσει ἀκατάβλητο ἀπὸ ἄλλα δυσάρεστα. Τὸ καθένα ἀπό τὰ ἐπερχόμενα λυπηρὰ ὑποχωρεῖ καὶ παραμερίζει μπροστὰ στὸ νεῦμα τοῦ Θεοῦ, πράγμα ποὺ δὲν εἶναι δυνατὸ νὰ συμβεῖ μὲ τοὺς ἀνθρώπους. Ἀλλ' ἂν καὶ πολλὲς φορὲς κάποιος σ' ἀπάλλαξε ἀπὸ αὐτὸ τὸ κακό, ἀπὸ ἄλλο δὲν μπόρεσε, ἢ μπόρεσε μέν, ὅμως δὲν θέλησε, ἀλλὰ τὸ παντοδύναμο καὶ πανίσχυρο χέρι τοῦ Θεοῦ, καὶ ἂν ἀκόμα συμβεῖ ὁ,τιδήποτε, θὰ μπορέσει νὰ σὲ σώσει καὶ νὰ σὲ ἀπαλλάξει ἀπὸ ὅλα καὶ νὰ σοῦ χαρίσει τὴν ἐλευθερία.

«Ὁ Κύριος θὰ φυλάξει τὴν εἴσοδο καὶ τὴν ἔξοδό σου». Ἄλλος ἑρμηνευτὴς λέγει, «Τὴν προσέλευσή σου». Εἶδες συνεχὴ συμμαχία ποὺ εἶναι παντοῦ παροῦσα, καὶ κατὰ τὴν εἴσοδό σου καὶ κατὰ τὴν ἔξοδό σου; Τί θὰ μποροῦσε νὰ ἐξισωθεῖ μὲ αὐτὴ τὴν ἀγάπη; τί μὲ τὴ φιλανθρωπία; Ἐδῶ βέβαια ὑπαινίσσεται ὅλη τὴ ζωή, διότι ἀπ' αὐτὰ συνίσταται ὅλη ἡ ζωή, ἀπὸ εἰσόδους καὶ ἐξόδους. Καὶ γιὰ νὰ δείξει αὐτὸ πιὸ καθαρά, πρόσθεσε, «Ἀπὸ τώρα καὶ στὸν αἰώνα». Ὄχι γιὰ μιὰ ἡμέρα, λέγει, οὔτε γιὰ δυὸ καὶ τρεῖς καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατό, ἀλλὰ συνέχεια, πράγμα ποὺ δὲν εἶναι δυνατὸ νὰ συμβεῖ μὲ τοὺς ἀνθρώπους, ἀλλ' εἶναι πολλὲς οἱ μεταβολές, συνεχεῖς οἱ μεταπτώσεις, ἀδιάκοπες οἱ μετατοπίσεις· ἐκεῖνος ποὺ σήμερα εἶναι φίλος, αὔριο εἶναι ἐχθρός· ἐκεῖνος ποὺ σήμερα εἶναι βοηθός, αὔριο σὲ ἐγκαταλείπει. Πολλὲς φορὲς δὲ ὄχι μόνο σὲ ἐγκαταλείπει, ἀλλὰ καὶ σὲ πολεμεῖ καὶ σὲ ἐπιβουλεύεται χειρότερα ἀπ' ὁποιονδήποτε ἐχθρό, ἐνῶ τὰ τοῦ Θεοῦ εἶναι ἀμετακίνητα, διαρκή, ἀθάνατα, μόνιμα, χωρὶς νὰ ἔχουν τέλος.

Γιὰ νὰ ἐπιτύχουμε λοιπὸν αὐτὰ ἂς προσφέρουμε καὶ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς, ὥστε ν' ἀπολαύσουμε μεγάλη ἀσφάλεια καὶ νὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΚΑ΄ ΨΑΛΜΟΝ

*«Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευσόμεθα».*

*1.* Ἀλλὰ νῦν πολλοὶ καὶ δυσχεραίνουσιν ἐπὶ τῷ ῥήματι κἂν μέν τις εἰς ἱπποδρομίας, ἢ εἰς θέατρα παρανομίας ἀναβαίνων καλέσῃ, πολλοὶ οἱ συντρέχοντες, ἂν δὲ ἐπὶ τὸν εὐκτήριον οἶκον, ὀλίγοι οἱ μὴ ὀκνοῦντες. Ἀλλ' οὐχ οἱ Ἰουδαῖοι οὕτως· οὗ τί γένοιτ' ἂν χαλεπώτερον, ὅταν καὶ ἐκείνων φαίνωνται ῥαθυμότεροι οἱ Χριστιανοί; Πόθεν δὲ οὗτοι οὕτως; Πάλιν λέγω· ἀπὸ τῆς αἰχμαλωσίας ἐγένοντο βελτίους. Ἐντεῦθεν οἱ πρὸ τούτου ναυτιῶντες, καὶ τὸν μὲν ναὸν ἀφέντες, καὶ τὴν ἀκρόασιν τῶν θείων λογίων, ὄρεσι δὲ καὶ νάπαις καὶ βουνοῖς ἑαυτοὺς διδόντες καὶ πολλῇ τῇ ἀσεβείᾳ, τὴν ἐπιθυμίαν ἔστησαν τῆς λατρείας ἐκείνης, καὶ πρὸς τὴν ἐπαγγελίαν αὐτὴν διαθερμαίνονται, καὶ ὀρθοῦνται καὶ ἵστανται καὶ γάννυνται τῇ διανοίᾳ. Ἐπειδὴ γὰρ ἐν λιμῷ κατέστησαν καὶ δίψει, οὐ λιμῷ ἄρτου, καὶ δίψει ὕδατος, ἀλλὰ τοῦ ἀκοῦσαι λόγον Κυρίου, κολασθέντες τῇ τιμωρίᾳ ταύτῃ μετὰ πλείονος τῆς ἐπιθυμίας ταῦτα ἐπιζητοῦσιν, ὡς πρώην ἐξέπεσον. Οὕτω καὶ τὸ ἔδαφος αὐτὸ περιέπλεκον λέγοντες, ὅτι «Εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι· καὶ πάλιν, «Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;» καὶ πάλιν, «Μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμονιείμ, ἀπὸ ὄρους μικροῦ»· καὶ πάλιν· «Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν

---

1. Ἀμὼς 8, 11.
2. Ψαλμ. 101, 15.
3. Ψαλμ. 41, 3.
4. Ψαλμ. 41, 7.

# ΟΜΙΛΙΑ ΣΤΟΝ ΡΚΑ΄ ΨΑΛΜΟ

«Γέμισε ἡ καρδιά μου ἀπὸ εὐφροσύνη ὅταν μοῦ εἶπαν ὅτι θὰ μεταβοῦμε στὸν οἶκο τοῦ Κυρίου».

1. Καὶ ὅμως τώρα πολλοὶ δυσανασχετοῦν μὲ τὰ λόγια αὐτά· καὶ ἂν μὲν κάποιος πηγαίνοντας σὲ ἱπποδρομίες ἢ σὲ θέατρα παρανομίας προσκαλέσει καὶ ἄλλους, πολλοὶ εἶναι ἐκεῖνοι ποὺ τρέχουν μαζί του, ἂν ὅμως στὸν οἶκο προσευχῆς, λίγοι εἶναι ἐκεῖνοι ποὺ θὰ δείξουν προθυμία. Ἀλλ' οἱ Ἰουδαῖοι δὲν ἔπραξαν ἔτσι, πράγμα ἀπὸ τὸ ὁποῖο τί θὰ μποροῦσε νὰ ὑπάρξει φοβερώτερο, ὅταν οἱ χριστιανοὶ φαίνονται πιὸ ἀδιάφοροι καὶ ἀπὸ ἐκείνους; Ἀπὸ ποῦ δὲ αὐτοὶ ἔγιναν τέτοιοι; Πάλι λέγω· ἀπὸ τὴν αἰχμαλωσία ἔγιναν καλύτεροι. Ἐξ αἰτίας αὐτῆς, ἐκεῖνοι ποὺ πρὶν ἀπὸ αὐτὴν ἔνοιωθαν ἀποστροφή, καί, ἀφοῦ ἐγκατέλειψαν τὸ ναὸ καὶ τὴν ἀκρόαση τῶν θείων λόγων, παρέδωσαν τοὺς ἑαυτούς τους στὰ ὄρη καὶ στὰ φαράγγια καὶ στὰ βουνὰ καὶ στὴ μεγάλη ἀσέβεια, ὕψωσαν τὴν ἐπιθυμία τῆς λατρείας ἐκείνης καὶ διαθερμαίνονται ἀπὸ τὴν ὑπόσχεση αὐτή, καὶ ὑψώνονται πνευματικὰ καὶ στέκονται ψηλὰ καὶ ἀκτινοβολοῦν ἀπὸ χαρά. Ἐπειδὴ ἔνοιωσαν πείνα καὶ δίψα, ὄχι πείνα ἄρτου καὶ δίψα νεροῦ, ἀλλὰ ν' ἀκούσουν τὸ λόγο τοῦ Κυρίου[1], ἀφοῦ τιμωρήθηκαν μὲ αὐτὴ τὴν τιμωρία, μὲ πολὺ πιὸ μεγαλύτερη ἐπιθυμία ἐπιζητοῦν αὐτά, τὰ ὁποῖα στερήθηκαν προηγουμένως. Ἔτσι καὶ τὸ ἴδιο τὸ ἔδαφος ἀγκάλιαζαν, λέγοντας, ὅτι «Ἐπόθησαν οἱ δοῦλοι σου ἀκόμα καὶ τοὺς λίθους αὐτῆς καὶ θὰ νοιώσουν συμπάθεια καὶ γιὰ τὸ χῶμα της»[2]· καὶ πάλι, «Πότε θὰ ἔλθω καὶ θὰ παρουσιασθῶ μπροστὰ στὸ Θεό;»[3] καὶ πάλι, «Θὰ σὲ θυμηθῶ ἀπὸ τὴ γῆ τοῦ Ἰορδάνη καὶ τοῦ Ἑρμὼν καὶ ἀπὸ τὸ ὄρος τὸ μικρό»[4]· καὶ πάλι, «Ἔφερα αὐτὰ στὴ μνή-

ψυχήν μου». Τί ἐμνήσθης, εἰπέ μοι; «Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ». Τουτέστιν, ὅτι διηρχόμην τὰς χορείας, τὰς πανηγύρεις, τὴν λατρείαν ἐκείνην.

«Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ». Ἕτερος, «Εὐφράνθην εἰπόντων μοι, εἰς τὸν οἶκον Κυρίου ἤλθομεν. Ἕστησαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ». Εἶδες ἡδονῆς ὑπερβολήν; Ὡς τῶν πραγμάτων ἀπολαύοντες αὐτῶν, καὶ πρὸς τὰ ῥήματα αὐτὰ ἔχαιρον, πολλῷ τῷ πόθῳ περιπλεκόμενοι τὸν εὐκτήριον οἶκον καὶ τὴν πόλιν. Οὕτως ὁ Θεὸς ἀεὶ ποιεῖν εἴωθεν. Ὅταν γὰρ ἔχοντες τὰ ἀγαθὰ μὴ αἰσθανώμεθα, ἐκβάλλει αὐτὰ τῶν χειρῶν τῶν ἡμετέρων, ἵν' ὅπερ οὐκ ἐποίησεν ἡ ἀπόλαυσις, τοῦτο ποιήσῃ ἡ στέρησις, ὅπερ οὖν καὶ αὐτοὶ πεπόνθασιν, ἀντεχόμενοι τῆς πόλεως, ἀντεχόμενοι τοῦ ναοῦ, εἰδότες αὐτῷ χάριν πολλὴν ὑπὲρ ὧν τὴν πατρίδα ἀπέλαβον.

«Ἱερουσαλήμ, οἰκοδομουμένη ὡς πόλις». Ἕτερος, «Τὴν ᾠκοδομημένην ὡς πόλιν». Ἡ τοίνυν κατὰ τοὺς ἑβδομήκοντα τοῦτό ἐστιν, ὅτι οἰκοδομηθήσεται ἡ Ἱερουσαλὴμ ὡς πόλις, τὸν πρὸ τοῦ οἰκοδομηθῆναι χρόνον δηλοῦντος τοῦ λόγου, ἤ, κατὰ τὸν ἕτερον ἑρμηνευτήν, ἀπελάβομεν τὴν Ἱερουσαλήμ, «Τὴν ᾠκοδομημένην ὡς πόλιν», τὰ μετὰ τὴν αἰχμαλωσίαν γενόμενα ἐμφαίνοντα. Ἐπειδὴ γὰρ τότε ἐρημία πολλὴ πανταχοῦ τῆς πόλεως ἦν καὶ ἐρείπια, τῶν πύργων καταβεβλημένων, τῶν τειχῶν ἐρριμμένων, καὶ λείψανα μόνον ἔμενε τῆς ἀρχαίας πατρίδος, ἐπανελθόντες καὶ ἰδόντες τὴν ἐρημίαν, ἀνακαλοῦνται τὴν παλαιὰν ἐκείνην εὐημερίαν, καὶ τὰ ἐγκώμια αὐτῆς διηγοῦνται, λέγοντες, ὅτι ἡ λαμπρὰ καὶ περιφανής, καὶ ἔχουσα ἐκκλησίαν, καὶ ἄρχοντας, καὶ βασιλεῖς, καὶ ἀρχιερεῖς, καὶ πολ-

5. Ψαλμ. 41, 5.

μη μου καὶ ἔνοιωσε ἡ ψυχή μου ἀνακούφιση»[7]. Πές μου, τί θυμήθηκες; «Ὅτι θὰ διέρχομαι καὶ πάλι ἀνάμεσα ἀπὸ τὸ χῶρο τῆς θαυμαστῆς σκηνῆς μέχρι τὸν οἶκο τοῦ Θεοῦ». Δηλαδὴ ὅτι ἀπολάμβανα τοὺς χοροὺς ἐκείνους καὶ τὰ πανηγύρια καὶ τὴ λατρεία.

«Τὰ πόδια μας στέκονταν στὶς αὐλές σου, Ἱερουσαλήμ». Ἄλλος λέγει, «Χάρηκα ὅταν μοῦ εἶπαν ὅτι ἤλθαμε στὸν οἶκο τοῦ Κυρίου. Τὰ πόδια μας στέκονται στὶς αὐλές *σου, Ἱερουσαλήμ»*. Εἶδες *ὑπερβολικὴ εὐχαρίστηση;* Ἐπειδὴ ἀπολάμβαναν αὐτὰ τὰ πράγματα, χαίρονταν καὶ μὲ αὐτὰ τὰ λόγια, ἀγκαλιάζοντας μὲ μεγάλο πόθο τὸν οἶκο τῆς προσευχῆς καὶ τὴν πόλη. Ἔτσι συνηθίζει νὰ ἐνεργεῖ πάντοτε ὁ Θεός. Ὅταν δηλαδὴ ἔχουμε τὰ ἀγαθὰ καὶ δὲν μᾶς συγκινοῦν, τὰ παίρνει ἀπὸ τὰ χέρια μας, ὥστε, ἐκεῖνο ποὺ δὲν ἔκαμε ἡ ἀπόλαυση, νὰ τὸ κάμει ἡ στέρηση, πράγμα λοιπὸν ποὺ ἔπαθαν καὶ αὐτοί, οἱ ὁποῖοι ἀγκαλιάζουν τὴν πόλη, ἀγκαλιάζουν τὸ ναό, καὶ εὐγνωμονοῦν τὸ Θεὸ γιὰ ὅλα ἐκεῖνα ποὺ ἔκαμε ὥστε ν' ἀποκτήσουν τὴν πατρίδα τους.

«Ἱερουσαλήμ, ποὺ οἰκοδομεῖσαι σὰν πόλη». Ἄλλος λέγει, «ποὺ οἰκοδομήθηκες σὰν πόλη». Ἡ λοιπὸν κατὰ τοὺς ἑβδομήκοντα *σημαίνει αὐτό, ὅτι θὰ* οἰκοδομηθεῖ ἡ Ἱερουσαλὴμ σὰν πόλη, καὶ ὁ λόγος αὐτὸς δηλώνει τὸ χρόνο πρὶν ἀπὸ τὴν ἀνοικοδόμηση, ἤ, σύμφωνα μὲ τὸν ἄλλο ἑρμηνευτή, ἀποκτήσαμε τὴν Ἱερουσαλήμ, «ποὺ οἰκοδομήθηκε σὰν πόλη», δηλώνοντας ὁ λόγος τὰ ὅσα συνέβηκαν μετὰ τὴν αἰχμαλωσία. Διότι, ἐπειδὴ τότε ὑπῆρχε μεγάλη ἐρημία σ' ὅλα τὰ μέρη τῆς πόλεως καὶ ὅλα ἦταν ἐρείπια, ἀφοῦ οἱ πύργοι ἦταν γκρεμισμένοι, τὰ τείχη καταστραμμένα, καὶ ὑπῆρχαν μόνο λείψανα τῆς ἀρχαίας πατρίδας, μόλις ἐπέστρεψαν καὶ εἶδαν τὴν ἐρημιά, φέρουν στὴ σκέψη τους τὴν παλιὰ ἐκείνη εὐημερία καὶ διηγοῦνται τὰ ἐγκώμια αὐτῆς, λέγοντας, ὅτι ἡ λαμπρὴ καὶ ἔνδοξη ἐκείνη πόλη, ποὺ εἶχε ἐκκλησία καὶ ἄρχοντες καὶ βασιλεῖς

λῷ κομῶσα τῷ κόσμῳ, τὸ κατηφὲς τοῦτο σχῆμα περιβέβληται νῦν. Καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τῶν ἑξῆς· «Ἱερουσαλήμ, οἰκοδομουμένη ὡς πόλις». Τότε γὰρ οὔπω πόλις ἦν. Δῆλον καὶ ἐξ οὗ ἐπάγει, λέγων· «Ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό». Τὸ γὰρ συγκεκροτημένον αὐτῆς λέγει τῶν οἰκοδομῶν, καὶ τὸ ἀσφαλές. καὶ τὸ πεπυκνωμένον, καὶ ὅτι οὐδὲν ἔρημον εἶχε κατὰ τὸ μέσον, ἀλλὰ πάντοθεν ἦν πεπυκνωμένη, ἀπηρτισμένη, συγκεκροτημένη, συνεχής τις οὖσα καὶ συνημμένη οὕτω πρὸ τῆς αἰχμαλωσίας. Διὸ καί τις ἑρμηνευτής φησι, τοῦτο δηλῶν. «Συνάφειαν ἔχουσα».

2. Εἶτα μετὰ τοῦτο καὶ ἕτερον ἐγκώμιον αὐτῆς φησιν· «Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τοῦ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου». Τούτῳ γὰρ μάλιστα ἐκοσμεῖτο ἡ πόλις· οὐχ οὕτω τῷ μεγέθει καὶ τοῖς οἰκοδομήμασιν, ὡς τῷ πάντας ἐκεῖ συλλέγεσθαι, εἴτε βουλή τις, εἴτε ἐκκλησία ἐγίνετο, εἴτε περί τινων ἦν προκειμένη. Ἐπειδὴ γὰρ ὁ ναὸς αὐτόθι ἦν, καὶ ἡ ἁγιαστία πᾶσα ἐπετελεῖτο, καὶ ἱερεῖς, καὶ Λευῖται, καὶ τὸ ἀνάκτορον, καὶ τὰ ἄδυτα, καὶ τὰ προπύλαια, καὶ θυσίαι, καὶ βωμός, καὶ ἑορταί, καὶ πανηγύρεις, καὶ εὐχαί, καὶ ἀκροάσεις, καὶ ἁπλῶς εἰπεῖν τῆς πολιτείας τὸ σχῆμα ἐκεῖ συγκεκροτημένον ἦν, ἔδει τὰς φυλὰς ἐκεῖ συλλέγεσθαι μάλιστα τρίτον τοῦ ἐνιαυτοῦ ἐν ταῖς ἐπισήμοις καὶ δημοτελέσιν ἑορταῖς, ἐν τῷ πάσχα, ἐν τῇ πεντηκοστῇ, ἐν τῇ σκηνοπηγίᾳ. Οὐ γὰρ ἐξῆν ἀλλαχοῦ.

Λέγων τοίνυν αὐτῆς τὸ ἐγκώμιόν φησιν· «Ἐκεῖ ἀνέβησαν αἱ φυλαί». Καὶ ἕτερος, «Ἐκεῖ ἀνέβησαν σκῆπτρα». Καὶ οὐχ

καὶ ἀρχιερεῖς καὶ ὑπερηφανευόταν γιὰ τὸ μεγάλο ἐξωραϊσμό της, τώρα περιβάλλεται μὲ αὐτὴ τὴ σκυθρωπὴ μορφή. Καὶ ὅτι αὐτὸ σημαίνει, ἄκουσε τὰ ἑξῆς· «Ἱερουσαλήμ, ποὺ οἰκοδομεῖσαι σὰν πόλη». Διότι τότε δὲν ἦταν ἀκόμα πόλη. Γίνεται φανερὸ καὶ ἀπ' αὐτὸ ποὺ προσθέτει, λέγοντας, «Τῆς ὁποίας ἡ συνοχὴ εἶναι ἀδιάσπαστη». Ὁμιλεῖ δηλαδὴ γιὰ τὴν καλὴ συγκρότηση τῶν οἰκοδομῶν της, τὴν ἀσφάλειά της, τὴν πυκνοκατοίκησή της, καὶ ὅτι δὲν εἶχε στὸ κέντρο της τίποτε τὸ ἔρημο, ἀλλὰ παντοῦ ἦταν πρὶν ἀπὸ τὴν αἰχμαλωσία πυκνοκατοικημένη, ὁλοκληρωμένη, σχηματισμένη, συνεχόμενη καὶ στενὰ συνδεδεμένη. Γι' αὐτὸ καὶ κάποιος ἑρμηνευτὴς γιὰ νὰ δηλώσει αὐτὸ λέγει, «Ἡ ὁποία εἶχε συνάφεια».

2. Ἔπειτα, μετὰ ἀπ' αὐτό, ἀναφέρει καὶ ἄλλο ἐγκώμιο αὐτῆς· «Διότι ἐκεῖ ἀνέβηκαν οἱ φυλές, οἱ φυλὲς τοῦ Κυρίου, τὸ μαρτύριο γιὰ τὸν Ἰσραήλ, γιὰ νὰ δοξολογήσουν τὸ ὄνομα τοῦ Κυρίου». Διότι μὲ αὐτὸ πρὸ πάντων στολιζόταν ἡ πόλη· ὄχι τόσο μὲ τὸ μέγεθος καὶ τὰ οἰκοδομήματά της, ὅσο μὲ τὸ ὅτι συγκεντρώνονταν ὅλοι ἐκεῖ, εἴτε γινόταν κάποια συνέλευση τῶν ἀρχόντων, εἴτε συγκέντρωση τοῦ λαοῦ, εἴτε εἶχε ἀποφασισθεῖ σύσκεψη γιὰ ὁρισμένα θέματα. Ἐπειδὴ δηλαδὴ ὁ ναὸς ἦταν ἐκεῖ καὶ ὅλη ἡ ἱεροτελεστία γινόταν ἐκεῖ, καὶ ἐκεῖ ἦταν οἱ ἱερεῖς καὶ οἱ Λευῖτες καὶ τὸ ἀνάκτορο καὶ τὰ ἄδυτα καὶ τὰ προπύλαια καὶ οἱ θυσίες καὶ ὁ βωμὸς καὶ ἐκεῖ γίνονταν οἱ ἑορτὲς καὶ οἱ πανηγύρεις καὶ οἱ προσευχὲς καὶ οἱ ἀκροάσεις καὶ γενικὰ ἐκεῖ ἦταν συγκροτημένη ἡ μορφὴ τῆς πολιτείας, ἔπρεπε οἱ φυλὲς ἐκεῖ πρὸ πάντων νὰ συγκεντρώνονται τρεῖς φορὲς τὸ χρόνο κατὰ τὶς ἐπίσημες ἑορτὲς ποὺ ἑορτάζονταν μὲ τὴ συμμετοχὴ τοῦ λαοῦ, κατὰ τὸ Πάσχα δηλαδή, τὴν Πεντηκοστὴ καὶ τὴ Σκηνοπηγία. Διότι δὲν ἐπιτρεπόταν ἀλλοῦ.

Ἐγκωμιάζοντας λοιπὸν αὐτήν, λέγει· «Ἐκεῖ ἀνέβηκαν οἱ φυλές». Καὶ ἄλλος λέγει, «Ἐκεῖ ἀνέβηκαν σκῆ-

*ἁπλῶς, «Φυλαί», ἀλλά, «Φυλαὶ Κυρίου». Πᾶσαι αἱ φυλαὶ ἦσαν Κυρίου· ἀλλ' οὐκ ἐξῆν αὐταῖς οὐδὲ οὕτως ἐν τῇ οἰκείᾳ πατρίδι ταῦτα ἐπιτελεῖν, ἀλλὰ τούτῳ τετίμητο ἡ μητρόπολις, πάντας συνάγουσα καὶ ἕλκουσα πρὸς ἑαυτήν. Τοῦτο δὲ ἐγίνετο εἰς θεογνωσίας ὑπόθεσιν, ἵνα μὴ πανταχοῦ πλανώμενοι ἀφορμὰς ἔχωσι καὶ ἐξόδους ἐπὶ τὴν τῶν εἰδώλων θεραπείαν. Διὰ τοῦτο ἐκεῖ θύεσθαι, ἐκεῖ εὔχεσθαι, ἐκεῖ πανήγυριν ἔχειν ἐκέλευσε, τῇ στενοχωρίᾳ τοῦ τόπου τὴν πεπλανημένην αὐτῶν διάνοιαν ἀποτειχίζων, ἀναστέλλων τε καὶ ἀναχαιτίζων ἐπὶ τὴν ἀσέβειαν φερομένην. Ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγε· «Φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ».*

*Τί ἐστι, «Μαρτύριον τῷ Ἰσραήλ;». Μαρτυρία μεγίστη, ἔλεγχος, ἀπόδειξις τῆς τοῦ Θεοῦ προνοίας, τὸ μηδεμίαν αὐτοῖς καταλιμπάνεσθαι ἀπολογίαν ἀποσκιρτῶσιν, ἀποπηδῶσι, καὶ πρὸς τὰ εἴδωλα αὐτομολοῦσι. Τῆς γὰρ αὐτοῦ προνοίας, τῆς δυνάμεως, τῆς σοφίας τοῦτο μέγιστον τεκμήριον ἦν. Καὶ γὰρ ἐκεῖ ὁ νόμος ἀνεγινώσκετο, τῶν παλαιῶν κατορθωμάτων διηγήματα καὶ ἱστορίας ἔχων. Ἐκεῖ καὶ εἰς ἀγάπην συνεσφίγγοντο ἀλλήλοις ἐπιμιγνύμενοι. Καὶ γὰρ τῶν ἑορτῶν αἱ ὑποθέσεις τῆς πρὸς ἀλλήλους ἐπιμιξίας ἀφορμὴ καὶ ὑπόθεσις αὐτοῖς ἐγίνοντο, καὶ πλείων ὁ φόβος, καὶ ἀκμάζουσα ἡ εὐλάβεια, καὶ μυρία κατεσκευάζετο καλὰ ἐκ τοῦ συνεῖναι εἰς τὴν πόλιν αὐτούς. «Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου». Τουτέστι, τοῦ εὐχαριστῆσαι, τοῦ λατρεῦσαι, τοῦ εὔξασθαι, τοῦ προσενεγκεῖν, τοῦ θῦσαι, ἅπερ αὐτοὺς εἰς εὐλάβειαν ἐνῆγε, καὶ τὴν τῆς πολιτείας ἀκρίβειαν ἀσφαλεστέραν καθίστη.*

*«Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον*

πτρα». Καὶ ὄχι ἁπλῶς, «Φυλές», ἀλλά, «Φυλές τοῦ Κυρίου». Ὅλες οἱ φυλὲς ἦταν τοῦ Κυρίου, ὅμως δέν ἐπιτρεπόταν σ' αὐτὲς οὔτε καὶ ἔτσι νὰ ἐπιτελοῦν αὐτὰ στὴν πατρίδα τους, ἀλλὰ μὲ αὐτό τὸ προνόμιο εἶχε τιμηθεῖ μόνα ἡ μητρόπολη, συγκεντρώνοντας καὶ προσελκύοντας κοντά της ὅλους. Αὐτὸ δὲ γινόταν ἀφορμὴ νὰ γνωρίσουν τό Θεό, ὥστε, περιπλανώμενοι παντοῦ, νὰ μὴ ἔχουν ἀφορμὲς καὶ ἐξόδους γιὰ τὴ λατρεία τῶν εἰδώλων. Γι' αὐτὸ ἔδωσε ἐντολὴ ἐκεῖ νὰ θυσιάζουν, ἐκεῖ νὰ προσεύχονται, ἐκεῖ νὰ πανηγυρίζουν, κατοχυρώνοντας ἔτσι, μὲ τὸν περιορισμένο αὐτὸ τόπο, τὴν κυριευμένη ἀπὸ τὴν πλάνη διάνοιά τους καὶ ἐμποδίζοντάς την καὶ ἀναχαιτίζοντάς την ἀπό τὸ νὰ ὁδηγεῖται πρὸς τὴν ἀσέβεια. Αὐτὸ ἀκριβῶς λοιπὸν γιὰ νὰ δηλώσει καὶ αὐτός, ἔλεγε· «Φυλὲς τοῦ Κυρίου, μαρτύριο γιὰ τὸν Ἰσραήλ».

Τί σημαίνει, «Μαρτύριον τῷ Ἰσραήλ»; Σημαίνει ἡ πιό μεγαλύτερη μαρτυρία, ὁ ἔλεγχος καὶ ἡ ἀπόδειξη τῆς προνοίας τοῦ Θεοῦ, τὸ ὅτι δὲν θὰ ἔχουν καμιὰ δικαιολογία ὅταν θὰ ἀποσκιρτοῦν, θ' ἀπομακρύνονται καὶ θὰ καταφεύγουν πρὸς τὰ εἴδωλα. Διότι αὐτό ἦταν ἡ πιό μεγαλύτερη ἀπόδειξη τῆς προνοίας, τῆς δυνάμεως καὶ τῆς σοφίας τοῦ Θεοῦ. Καθόσον ἐκεῖ γινόταν ἡ ἀνάγνωση τοῦ νόμου, ποὺ περιεῖχε διηγήσεις καὶ ἱστορίες τῶν παλαιῶν κατορθωμάτων. Ἐκεῖ συσφίγγονταν καὶ ἡ ἀγάπη τους ἐρχόμενοι σὲ σαρκικὴ ἐπιμιξία. Καθόσον οἱ ὑποθέσεις τῶν ἑορτῶν γίνονταν ἀφορμὴ καὶ αἰτία τῆς ἀναμεταξύ τους σαρκικῆς ἐπιμιξίας καὶ αὐξανόταν ὁ φόβος καὶ μεγάλωνε ἡ εὐλάβεια καὶ ἀμέτρητα καλὰ προέρχονταν ἀπὸ τὴ συνεύρεσή τους στὴν πόλη. «Γιὰ νὰ δοξολογήσουν τὸ ὄνομα τοῦ Κυρίου». Δηλαδὴ *γιὰ νὰ τὸν εὐχαριστήσουν, γιὰ νὰ τὸν λατρεύσουν, γιὰ νὰ προσευχηθοῦν, γιὰ νὰ προσφέρουν δῶρα, γιὰ νὰ θυσιάσουν, πράγματα πού τοὺς ὁδηγοῦσαν σὲ εὐλάβεια* καὶ καταστοῦσαν πιὸ ἀσφαλὴ τὸ πρέποντα τρόπο ζωῆς.

«Διότι ἐκεῖ στήθηκαν θρόνοι δικαστικοί, θρόνοι γιὰ

*Δαυίδ». Ἰδοὺ καὶ ἕτερον λέγει τῆς πόλεως προτέρημα. Ποῖον δὴ τοῦτο; Ὅτι αὐτόθι τὰ βασίλεια. Τοῦτο γάρ ἐστιν, «Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυίδ». Ἕτερος, «Τοῦ οἴκου Δαυίδ». Ἡ γὰρ διπλῆ ἀρχή, ἥ τε τῶν ἱερέων, ἥ τε τῶν βασιλέων, ἐκεῖ τὸ ἓν ζεῦγμα εἶχεν, ὥσπερ διπλῷ τινι στεφάνῳ καὶ διαδήματι τῆς πόλεως καλλωπιζομένης διὰ τούτων ἁπάντων. Αὐτόθι οἱ κριταί, ἐφ' οὓς καὶ τὰ ὑπερβαίνοντα τοὺς πολλοὺς ἀνεφέρετο. Εἰ γάρ τις ἐγένετο ψῆφος ἐν ταῖς ἄλλαις πόλεσιν ἀπορίαν τινὰ ἔχουσα, ὥσπερ ἐν ταῖς ἐφέσεσιν, ἐπὶ τὴν τῶν κριτῶν τῶν ἐν Ἱεροσολύμοις γνῶσιν τὴν ψῆφον ἀνέφερον, κἀκεῖθεν ἡ λύσις ἐγίνετο. Ἀλλὰ τὰ μὲν παλαιὰ τοιαῦτα, τὰ δὲ νῦν πολλῷ τούτων ἀτιμότερα. Καὶ γὰρ ἐρημία παντελής, καὶ κατασκαφή, καὶ πυρπόλησις, ὀλίγα λείψανα τῶν οἰκοδομημάτων ὄντα, κατηφὲς τὸ σχῆμα, καὶ ὑπόμνημα μόνον ἔχον τῆς προτέρας εὐημερίας καὶ αἴνιγμα. Διὰ δὴ τοῦτο οὐ κατακλείει εἰς τὰ σκυθρωπὰ τὸν λόγον, ἀλλ' ἐπὶ τὴν ἐλπίδα τῶν φαιδροτέρων ἐπανάγει λέγων· «Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἰερουσαλήμ».*

*Τί ἐστιν, «Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἰερουσαλήμ»; Ἀντὶ τοῦ, ἀξιώσατε, παρακαλέσατε. Ἕτερος δέ φησιν, «Ἀσπάσασθε τὴν Ἰερουσαλήμ». Τουτέστι, δεήθητε, ὥστε αὐτὴν εἰς τὴν προτέραν ἐπανελθεῖν εὐημερίαν, ὥστε ἀπαλλαγῆναι τῶν πυκνῶν πολέμων, ὥστε ἀδείας ἀπολαῦσαι λοιπόν. Ἢ τοῦτο τοίνυν λέγει, ἢ προφητεύει. «Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἰερουσαλήμ». Τουτέστιν, εἰρήνη αὐτὴν καταλήψεται. «Καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε». Ἕτερος, «Ἠρεμήσουσιν». Ἄλλος, «Εὐπαθήσαιεν ἀγαπῶντές σε». Ἐνταῦθα πολλὴ ἡ περιουσία τῆς εὐπραγίας, ὅταν μὴ μέχρις αὐτῆς ἵστηται τὰ ἀ-*

τόν οἶκο τοῦ Δαυίδ». Νά καί ἄλλο προτέρημα τῆς πόλεως ἀναφέρει. Ποιό λοιπόν εἶναι αὐτό; Ὅτι ἐδῶ ἦταν τά ἀνάκτορα. Διότι αὐτό σημαίνει τό «Ἐκεῖ στήθηκαν οἱ δικαστικοί θρόνοι, οἱ θρόνοι γιά τόν οἶκο τοῦ Δαυίδ». Ἄλλος λέγει, «Τοῦ οἴκου τοῦ Δαυίδ». Διότι ἡ διπλή ἐξουσία, καί ἡ τῶν ἱερέων καί ἡ τῶν βασιλέων, ἐκεῖ συνενώθηκαν, καί ἔτσι, σάν μέ κάποιο διπλό στεφάνι καί διάδημα, ἦταν στολισμένη ἡ πόλη μέ ὅλα αὐτά. Ἐκεῖ ἦταν οἱ κριτές, στούς ὁποίους παραπέμπονταν ὅσα ὑπέρβαιναν τήν ἁρμοδιότητα τῶν πολλῶν. Διότι ἄν γινόταν κάποια ψηφοφορία στίς ἄλλες πόλεις, γιά τήν ὁποία ὑπῆρχε κάποια ἀμφιβολία, ὅπως ἀκριβῶς κατά τίς ἐφέσεις, μεταβίβαζαν τήν ψηφοφορία ὥστε νά τήν ἀνακρίνουν οἱ κριτές τῶν Ἱεροσολύμων, καί ἀπό ἐκεῖ δινόταν ἡ λύση. Ἀλλά τά μέν παλιά ἦταν τέτοια, ἐνῶ τά τωρινά εἶναι πολύ πιό δυσάρεστα. Καθόσον ἐπικρατεῖ τελεία ἐρήμωση, τά πάντα εἶναι κατασκαμμένα καί πυρπολημένα, ὑπάρχουν μόνο λίγα λείψανα τῶν οἰκοδομημάτων, εἶναι σκυθρωπή ἡ ὄψη της, καί μόνο ὑπενθυμίζει καί ὑπαινίσσεται τήν προηγούμενη εὐημερία της. Γι' αὐτό λοιπόν δέν τελειώνει τό λόγο στά δυσάρεστα, ἀλλ' ἐπαναφέρει αὐτόν στήν ἐλπίδα τῶν φαιδροτέρων, λέγοντας· «Εὐχηθῆτε λοιπόν εἰρήνη γιά τήν Ἱερουσαλήμ».

Τί σημαίνει «Ἐρωτήσατε δή τά εἰς εἰρήνην τήν Ἱερουσαλήμ»; Λέγετε στή θέση τοῦ 'Ζητῆστε, παρακαλέστε'. Ἄλλος δέ λέγει, «Ἀσπάσασθε τήν Ἱερουσαλήμ». Δηλαδή, προσευχηθῆτε, ὥστε νά ἐπανέλθει στήν προηγούμενη εὐημερία της, ὥστε ν' ἀπαλλαγεῖ ἀπό τούς συνεχεῖς πολέμους, ὥστε ν' ἀπολαύσει πλέον ἀσφαλείας. Ἤ αὐτό λοιπόν ἐννοεῖ ἤ προφητεύει. «Ἐρωτήσατε δή τά εἰς εἰρήνην τήν Ἱερουσαλήμ». Δηλαδή, εἰρήνη θά ἐπικρατήσει σ' αὐτήν. «Καί ἀφθονία ἀγαθῶν σ' ἐκείνους πού σέ ἀγαποῦν». Ἄλλος λέγει, «Θά ἠρεμήσουν». Ἄλλος λέγει, «Θά καλοτυχήσουν ἐκεῖνοι πού σέ ἀγαποῦν». Ἐδῶ προβάλλεται μεγάλη ἡ ἀφθονία τῆς εὐημερίας, ὅταν τά ἀγα-

γαθά, ἀλλὰ καὶ οἱ φιλοῦντες αὐτὴν τούτων ἀπολαύωσιν· ὅπερ ἐν τοῖς ἔμπροσθεν χρόνοις τὸ ἐναντίον ἐγίνετο. Οἱ γὰρ μισοῦντες αὐτὴν καὶ πολεμοῦντες, οὗτοι μάλιστα ἴσχυον, καὶ δυνατώτεροι τῶν ἄλλων ἦσαν, καὶ λαμπρότεροι, καὶ μετ' εὐκολίας τὰ τρόπαια ἵστων. Ἀλλ' οἱ φιλοῦντές σε νῦν, ἐν πολλῇ ἔσονται τῇ ἀδείᾳ. «Οἱ συμπεφραγμένοι σου». Τούτους δὲ ἢ τοὺς μέλλοντας συμπράττειν λέγει, ἢ καὶ αὐτοὺς τοὺς πολίτας.

«Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου». Ἕτερος, «Ἐν τῷ προτειχίσματί σου». Ἄλλος, «Ἐν τῷ περιβόλῳ σου». Τί ἐστιν, «Ἐν τῇ δυνάμει σου»; Ἐν τῇ ὑποστάσει σου, ἐν τοῖς οἰκοῦσί σε, ἐν τῇ εὐθηνίᾳ σου. Ἐπειδὴ γὰρ φθοροποιὸν ὁ πόλεμος, καὶ τοῦτο αὐτὴν ἀπώλεσεν, ἐπεύχεται αὐτῇ εἰρήνην. «Καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου». Ἕτερος, «Ἐν τοῖς βασιλείοις σου». Ἄλλος, «Εὐπάθεια». Ἄλλος, «Ἠρεμία». Οὐ γὰρ δὴ μόνον αὐτοῖς ἀπαλλαγὴν κακῶν προφητεύει, ἀλλὰ καὶ προσθήκην μυρίων ἀγαθῶν, εἰρήνην, εὐπορίαν, εὐετηρίαν. Τί γὰρ ὄφελος εἰρήνης, ὅταν πενία, καὶ πτωχεία, καὶ λιμῷ συζῶσι; τί δὲ ὄφελος εὐθηνίας, ὅταν πόλεμος ἐπίκειται; Διὰ δὴ τοῦτο ἀμφότερα αὐτοῖς ταῦτα προφητεύει τὰ καλά, ὡς καὶ ἐν εὐθηνίᾳ εἶναι, καὶ ταύτην ἔχειν ἐν ἀσφαλείᾳ διὰ τῆς εἰρήνης.

«Ἕνεκα τῶν ἀδελφῶν μου, καὶ τῶν πλησίον μου». Ἢ τοὺς ἐκ γειτόνων φησί, τοὺς ἐφησθέντας αὐτοῖς ἐπταικόσι, καὶ εὔχεται γενέσθαι εἰρήνην, ὥστε κἀκείνους ταπεινωθῆναι καὶ γνῶναι τοῦ Θεοῦ τὴν ἰσχύν, ἢ ἀδελφοὺς τοὺς τὴν πόλιν οἰκοῦντας καλεῖ. Ἕνεκα τοίνυν τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου γενέσθω εἰρήνη, ὥστε ὀψὲ γοῦν ποτε ἀναπνεῦσαι, βελτίους ἀπὸ τῶν συμφορῶν γενομένους. «Ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξε-

θὰ δὲν σταματοῦν μόνο σ' αὐτήν, ἀλλ' ἀπολαμβάνουν καὶ ἐκεῖνοι ποὺ τὴν ἀγαποῦν, πράγμα ποὺ δὲν συνέβαινε στὰ προηγούμενα χρόνια. Διότι ἐκεῖνοι ποὺ τὴν μισοῦσαν καὶ τὴν πολεμοῦσαν, αὐτοὶ πρὸ πάντων ὑπερίσχυαν καὶ ἦταν δυνατώτεροι ἀπὸ τοὺς ἄλλους καὶ λαμπρότεροι καὶ μὲ εὐκολία ἔστηναν τὰ τρόπαια νίκης. Ἀλλὰ τώρα ἐκεῖνοι ποὺ σὲ ἀγαποῦν, θὰ ἔχουν μεγάλη ἀσφάλεια. «Οἱ συμπεφραγμένοι σου». Ἔτσι ὀνομάζει ἢ ἐκείνους ποὺ πρόκειται νὰ συμπράξουν ἢ τοὺς ἴδιους τοὺς πολῖτες.

«Ἂς ἐπικρατήσει εἰρήνη στὴ δύναμή σου». Ἄλλος λέγει «Στὸ ὀχύρωμά σου». Ἄλλος, «Στὸν περίβολό σου». Τί σημαίνει «Ἐν τῇ δυνάμει σου»; Στό στρατόπεδό σου, στοὺς κατοίκους σου, στὰ ὑπάρχοντά σου. Ἐπειδὴ δηλαδὴ ὁ πόλεμος εἶναι καταστρεπτικὸς καὶ αὐτὸς τὴν κατέστρεψε, εὔχεται γι' αὐτὴν εἰρήνη. «Καὶ ἀφθονία ἀγαθῶν στοὺς πύργους σου». Ἄλλος λέγει, «Στὰ ἀνάκτορά σου». Ἄλλος, «Εὐημερία». Ἄλλος, «Ἠρεμία». Δὲν προφητεύει δηλαδὴ γι' αὐτοὺς μόνο ἀπαλλαγὴ ἀπὸ τὰ κακά, ἀλλὰ καὶ προσθήκη ἀμετρήτων ἀγαθῶν, εἰρήνη, εὐημερία, εὐφορία. Διότι τί ὠφελεῖ ἡ εἰρήνη, ὅταν ζοῦν μὲ τὴ στέρηση, τὴ φτώχεια καὶ τὴν πεῖνα; ποιό δὲ τὸ ὄφελος τῆς εὐημερίας ὅταν ὁ πόλεμος βρίσκεται μπροστά τους; Γι' αὐτὸ λοιπὸν προφητεύει γι' αὐτοὺς καὶ τὰ δυὸ αὐτὰ καλά, ὥστε καὶ νὰ ἔχουν εὐημερία, καὶ αὐτὴν νὰ τὴν ἔχουν μὲ ἀσφάλεια, ἔχοντας εἰρήνη.

«Γιὰ χάρη τῶν ἀδελφῶν καὶ τῶν πλησίον μου». Ἢ ἐννοεῖ τοὺς γείτονές τους ποὺ τοὺς εὐσπλαχνίσθηκαν ἂν καὶ τοὺς ἔβλαψαν, καὶ εὔχεται νὰ ἐπικρατήσει εἰρήνη, ὥστε καὶ ἐκεῖνοι νὰ ταπεινωθοῦν καὶ νὰ γνωρίσουν τὴ δύναμη τοῦ Θεοῦ, ἢ ἀδελφοὺς ὀνομάζει τοὺς κατοίκους τῆς πόλεως. Γιὰ χάρη λοιπὸν τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἂς ἐπικρατήσει εἰρήνη, ὥστε ἔστω καὶ ἀργὰ κάποτε ν' ἀναπνεύσουν καὶ νὰ γίνουν καλύτεροι, ἐξ αἰτίας τῶν συμφορῶν ποὺ δοκίμασαν. «Εὐχόμουν εἰρήνη γιὰ χάρη σου.

ζήτησα ἀγαθά σοι». Ἄλλος, «Λαλήσω εἰρήνην ἐν σοί». Ἐπειδὴ εἶπεν, «Ἕνεκεν τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου», δεικνὺς ὅτι οὐ διὰ τὴν ἀξίαν τὴν ἐκείνων, ἀλλ' ἵνα αὐτοὺς μᾶλλον εὐεργετήσῃ τοῦτο εὔχεται, ἐπήγαγεν· «Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν». Τουτέστι, διὰ τὴν δόξαν τὴν αὐτοῦ εὔχομαι τὴν εἰρήνην, ὥστε πάλιν αὐτοῦ τὴν λατρείαν ἐπανελθεῖν, καὶ πλείονα γενέσθαι διδασκαλίαν. Οἱ μὲν γὰρ ἐπὶ τῆς αἰχμαλωσίας ἐτέχθησαν, οἱ δὲ μάρτυρες καὶ τῆς καθόδου καὶ τῆς ἐπανόδου γεγόνασι. Καὶ τῆς λατρείας ἐπιτελουμένης, ἅπαντα ταῦτα παρὰ τῶν πρεσβυτέρων ἐμάνθανον, τὴν παλαιὰν εὐπραγίαν, τὴν εὐημερίαν, ὅτι ἐν τούτοις ὄντες ἐξέπεσον. Ὁρᾷς πῶς αὐτῶν καταστέλλει τὴν ἀπόνοιαν, ἵνα μὴ ὡς ἀξίαν δεδωκότες δίκην, νομίζωσιν ἀπειληφέναι τὰ ἀγαθά, ἀλλὰ μάθωσιν, ὅτι διὰ τὴν τοῦ Θεοῦ δόξαν πρὸς τὴν οἰκείαν ἐπανῆλθον πατρίδα, καὶ μαθόντες μένωσι μετὰ ἀσφαλείας πολλῆς, καὶ μὴ ἁμαρτάνοντες πάλιν τῶν αὐτῶν λάβωσι πεῖραν;

Ταῦτ' οὖν εἰδότες καὶ ἡμεῖς μάλιστα μὲν μὴ πταίωμεν· εἰ δ' ἄρα ποτὲ περιπέσωμεν ἁμαρτήμασι, σπουδάζωμεν ἀνίστασθαι ταχέως, καὶ μὴ παλινδρομεῖν εἰς τὰ πρότερα, ἵνα μὴ τὰ τοῦ παραλύτου ἀκούσωμεν· «Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε ἵνα μὴ χεῖρόν τί σοι γένηται». Διὰ γὰρ τοῦτο οὕτως εἶπε, τούς τε ἐν ἀρετῇ ὄντας παιδεύων διατηρεῖν αὐτὴν μετὰ ἀσφαλείας, τούς τε ἁμαρτημάτων ἀπαλλαττομένους πρὸς τὴν ἀρίστην μένειν μεταβολήν, ὥστε κοινῇ πάντας τῶν ἐπουρανίων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

6. Ἰω. 5, 14.

Γιὰ χάρη τοῦ οἴκου τοῦ Κυρίου τοῦ Θεοῦ μας ζήτησα ἀγαθὰ γιὰ σένα». Ἄλλος λέγει, «Θὰ εὐχηθῶ εἰρήνη γιὰ σένα». Ἐπειδὴ εἶπε, «Γιὰ χάρη τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου», γιὰ νὰ δείξει, ὅτι ὄχι ἐξ αἰτίας τῆς ἀξίας τους, ἀλλ' εὔχεται αὐτό γιὰ νὰ εὐεργετήσει μᾶλον αὐτούς, πρόσθεσε, «Γιὰ χάρη τοῦ οἴκου τοῦ Κυρίου τοῦ Θεοῦ μας». Δηλαδὴ εὔχομαι τὴν εἰρήνη γιὰ τὴ δόξα τοῦ Θεοῦ, ὥστε νὰ ἐπιστρέψει πάλι ἡ λατρεία του σ' αὐτούς, καὶ νὰ γίνει περισσότερη διδασκαλία. Διότι ἄλλοι μὲν γεννήθηκαν ἐνῶ ἦταν αἰχμάλωτοι, ἄλλοι δὲ ὑπῆρξαν μάρτυρες καὶ τῆς καθόδου στὴν αἰχμαλωσία καὶ τῆς ἐπιστροφῆς ἀπ' αὐτήν. Καὶ ἐνῶ τελοῦνταν ἡ λατρεία, ὅλα αὐτὰ τά μάθαιναν ἀπὸ τοὺς πιὸ γέρους, τὴν παλιὰ δηλαδὴ εὐτυχία καὶ εὐημερία, καὶ ὅτι, ἐνῶ ζοῦσαν μέσα σ' αὐτὰ τὰ καλά, τά ἔχασαν. Βλέπεις πῶς συγκρατεῖ τὴν ἀνοησία τους, γιὰ νὰ μὴ νομίζουν ὅτι ἔλαβαν τὰ ἀγαθά, ἀφοῦ τιμωρήθηκαν ἐπάξια, ἀλλά γιὰ νὰ μάθουν, ὅτι ἐπανῆλθαν στὴν πατρίδα τους γιὰ τὴ δόξα τοῦ Θεοῦ, καί, ἀφοῦ τὸ μάθουν, νὰ μένουν ἐκεῖ μὲ ἀσφάλεια, καὶ νά μὴ δοκιμάσουν τὰ ἴδια, ἂν ἁμαρτήσουν καὶ πάλι;

Γνωρίζοντες λοιπὸν καὶ ἐμεῖς αὐτὰ ὅσο εἶναι δυνατὸ νὰ μὴ ἁμαρτάνουμε, ἂν ὅμως κάποτε περιπέσουμε σὲ ἁμαρτήματα, νὰ φροντίζουμε ν' ἀπαλλαγοῦμε γρήγορα ἀπ' αὐτά, καὶ νὰ μὴ ἐπιστρέφουμε στὰ προηγούμενα, γιὰ νὰ μὴ ἀκούσουμε τὰ λόγια πού ἄκουσε ὁ παράλυτος· «Νὰ ἔγινες ὑγιής· μὴ ἁμαρτάνεις πλέον, γιὰ νὰ μὴ σοῦ συμβεῖ τίποτε τὸ χειρότερο»[6]. Διότι γι' αὐτό εἶπε τά λόγια αὐτά, γιὰ νὰ διδάξει καὶ ἐκείνους ποὺ ἀσκοῦν τὴν ἀρετὴ νὰ τὴν διατηροῦν μὲ ἀσφάλεια, καὶ ἐκείνους ποὺ ἀπαλλάσσονται ἀπὸ ἁμαρτήματα νά παραμένουν στό μέρος τῆς ἄριστης μεταβολῆς, ὥστε ὅλοι μαζὶ νὰ ἐπιτύχουν τά οὐράνια ἀγαθά, τά ὁποῖα εὔχομαι ὅλοι μας ν' ἀπολαύσουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΚΒ΄ ΨΑΛΜΟΝ

*«Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ».*

*1.* Ὁρᾷς πανταχοῦ τῆς αἰχμαλωσίας τὸ κέρδος διαλάμπον. Οἱ γὰρ τοῖς βιωτικοῖς ἀεὶ προσηλωμένοι, καὶ Ἀσσυρίοις καὶ Αἰγυπτίοις θαρροῦντες, καὶ περιβολῇ τειχῶν καὶ πλήθει χρημάτων, πάντων ἐκείνων ἀπορρήξαντες ἑαυτούς, ἐπὶ τὴν ἄμαχον καταφεύγουσι χεῖρα, καὶ τῆς ἐλπίδος ἐκείνης ἐκκρέμανται, καὶ ὑψηλὴν κτῶνται διάνοιαν, καὶ τῆς γῆς ἀπαλλαγέντες, καὶ τοῦ περὶ ναὸν ἠσχολῆσθαι, ἐπειδὴ κατέστρεψαν αὐτῶν τὸν ναόν, ἀπὸ τοῦ οὐρανοῦ καλοῦσι λοιπὸν τὸν Θεόν. Οἰκεῖν δὲ ἐν οὐρανῷ λέγεται, οὐχ ὡς τόπῳ περικλειόμενος, ἄπαγε, πάντα γὰρ αὐτὸς πληροῖ, ἀλλ' ὡς ταῖς ἐκεῖ δυνάμεσιν ἐπαναπαυόμενος μᾶλλον· ἐπεὶ καὶ ἐν ἀνθρώποις ἐνοικεῖν λέγεται· «Ἐνοικήσω γὰρ ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω». Γενόμενοι τοίνυν ἐν τῇ βαρβάρων χώρᾳ, οὐ μικρὰ δόγματα ἐπαιδεύθησαν· τό τε πάντων κεχωρίσθαι τῶν βιωτικῶν, τό τε εἰδέναι σαφῶς, ὅτι πανταχοῦ καλούμενος ὁ Θεὸς ἐπινεύει ῥᾳδίως. Ἐπειδὴ γὰρ ἔμελλε τῆς καινῆς λοιπὸν πολιτείας ἡ ἀκτὶς ἀνίσχειν, ἄρχεται τὰ μέλλοντα προανακρούεσθαι ὁ προφήτης, τὴν τῶν τύπων παρατήρησιν παραλύων ἠρέμα πως καὶ δι' αἰνιγμάτων.

«Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως

1. Β΄ Κορ. 6. 16.

## ΟΜΙΛΙΑ ΣΤΟΝ ΡΚΒ΄ ΨΑΛΜΟ

«Πρὸς ἐσένα ὕψωσα τὰ μάτια μου, ποὺ κατοικεῖς στὸν οὐρανό».

1. Βλέπεις ὅτι παντοῦ διαλάμπει τὸ κέρδος ἀπὸ τὴν αἰχμαλωσία. Διότι ἐκεῖνοι ποὺ ἦταν πάντοτε προσκολλημένοι στὰ κοσμικὰ πράγματα καὶ στήριζαν τὴν ἐμπιστοσύνη τους στοὺς Ἀσσυρίους καὶ Αἰγυπτίους, στὰ περιφράγματα τῶν τειχῶν καὶ στὸ πλῆθος τῶν χρημάτων, ἀφοῦ ἀπομάκρυναν τοὺς ἑαυτούς τους ἀπὸ ὅλα ἐκεῖνα, καταφεύγουν στὸ ἀκατανίκητο χέρι, στηρίζονται σ' ἐκείνη τὴν ἐλπίδα, ἀποκτοῦν ὑψηλὸ φρόνημα, καί, ἀφοῦ ἀπαλλάχθηκαν ἀπὸ τὴ γῆ τους καὶ ἀπὸ τὸ ν' ἀσχολοῦνται μὲ τὸ ναό, ἐπειδὴ κατάστρεψαν τὸ ναό τους, καλοῦν πλέον τὸ Θεὸ ἀπὸ τὸν οὐρανό. Λέγεται δὲ ὅτι κατοικεῖ στὸν οὐρανό, ὄχι ὅτι περικλείεται σ' ἕνα τόπο, μακριὰ μιὰ τέτοια σκέψη, διότι αὐτὸς πληροῖ τὰ πάντα, ἀλλὰ μᾶλλον ἐπειδὴ ἐπαναπαύεται στὶς δυνάμεις ποὺ βρίσκονται ἐκεῖ· καθόσον λέγεται ὅτι καὶ στοὺς ἀνθρώπους κατοικεῖ· διότι λέγει «Θὰ κατοικήσω μέσα τους καὶ θὰ περπατήσω ἀνάμεσά τους»[1]. Ὅταν λοιπὸν βρέθηκαν στὴ χώρα τῶν βαρβάρων, διδάχθηκαν μεγάλες ἀλήθειες· καὶ ἀπομακρύνθηκαν ἀπὸ τὰ κοσμικὰ πράγματα καὶ γνώρισαν ξεκάθαρα, ὅτι παντοῦ καλούμενος ὁ Θεὸς μὲ εὐκολία δίνει τὴ συγκατάθεσή του. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο ν' ἀνατείλει πλέον ἡ ἀκτίνα τοῦ νέου τρόπου ζωῆς, ἀρχίζει ὁ προφήτης τὸ προανάκρουσμα γιὰ τὰ μελλοντικὰ πράγματα, μειώνοντας σιγὰ - σιγὰ καὶ μὲ ὑπαινιγμοὺς τὴ διάκριση τῶν τόπων.

«Νά, ὅπως τὰ μάτια τῶν δούλων εἶναι προσηλωμένα στὰ χέρια τῶν κυρίων τους, ὅπως τὰ μάτια τῆς δούλης στὰ χέρια τῆς κυρίας της, ἔτσι τὰ μάτια μας εἶναι προση-

οὗ οἰκτειρῆσαι ἡμᾶς». Ὅρα ἐπίτασιν εὐλαβείας ἐνταῦθα πάλιν· οὐ γὰρ πρὸς βραχὺ μόνον ἐλπίζουσιν, ἀλλὰ διηνεκῶς προσηλωμένοι καὶ κεχηνότες. Διὰ δὴ τοῦτο καὶ τὸ παράδειγμα εἰς μέσον ἤγαγον, τοῦτό τε αὐτὸ αἰνιττόμενοι, ὅτι οὐδαμόθεν αὐτοῖς ἄλλοθεν ἐλπὶς βοηθείας, οὐδὲ συμμαχίας, οὐδὲ πρὸς οὐδὲν ἕτερον βλέπουσιν, ἐπεὶ καὶ ἡ παιδίσκη καὶ ὁ οἰκέτης μίαν ταύτην ἀφορμὴν ἔχουσι καὶ διατροφῆς καὶ ἐνδυμάτων, καὶ τῆς ἄλλης διαγωγῆς, τὸ πρὸς τοὺς κυρίους βλέπειν, καὶ οὐκ ἀφίσταται, ἀλλ' ἕως ἂν λάβῃ παραμένει, κἂν λάβῃ, χάριν οἶδε· καὶ διηνεκῶς τοῦτο ἔργον αὐτοῖς. Τοῦτο τοίνυν θέλων δηλῶσαι, ὅτι καὶ πρὸς αὐτὸν ὁρῶσι, καὶ διηνεκῶς τοῦτο ποιοῦσι, καὶ οὐδεμίαν ἔχουσιν ἑτέραν ἐλπίδα, καὶ ὅτι προσήλωνται τῇ προσδοκίᾳ τῇ ἀπὸ τῆς συμμαχίας ἐκείνης, καὶ ὅτι τὰ αὐτῶν πάντα αὐτοῦ, τῆς παιδίσκης καὶ τῶν δούλων ἐμνημόνευσεν.

Ὅρα πῶς οἱ πρότερον παρακαλούμενοι πρὸς Θεὸν τρέχειν, καὶ ναυτιῶντες καὶ ἀναπίπτοντες, οὗτοι νῦν οὕτως ἐγένοντο τῇ συμφορᾷ βελτίους, ὡς μὴ βούλεται ἀποστῆναι αὐτοῦ, ἀλλὰ παραμένειν καὶ δουλεύειν, καὶ τὰ παρ' αὐτοῦ ζητεῖν, «Ἕως οἰκτειρῆσαι ἡμᾶς». Οὐκ εἶπεν, 'ἕως ἂν ἀποδῷ τὸν μισθόν', οὐδέ, 'ἕως ἂν ἀποδῷ τὴν ἀμοιβήν', ἀλλ', ἕως ἂν ἐλεήσῃ. Καὶ σὺ τοίνυν παράμενε διηνεκῶς, ἄνθρωπε, ἄν τε λάβῃς, ἄν τε μὴ λάβῃς· κἂν μὴ λάβῃς, μὴ ἀποστῇς, καὶ πάντως λήψῃ. Εἰ γὰρ τὸν ἄρχοντα ἐκεῖνον τὸν ὠμὸν προσεδρεία χήρας ἐπέκαμψε, τίνα ἂν ἔχῃς συγγνώμην σὺ οὕτω

2. Λουκᾶ 18, 1-8.

λωμένα πρὸς τὸν Κύριο τὸ Θεό μας, μέχρι ποὺ νὰ μᾶς εὐσπλαχνισθεῖ». Πρόσεχε πάλι ἐδῶ τὴν αὔξηση τῆς εὐλάβειας· διότι ἡ ἐλπίδα τους πρὸς τὸ Θεὸ δὲν περιορίζεται σὲ σύντομο μόνο χρόνο, ἀλλ' ἔχουν συνέχεια προσηλωμένο καὶ καρφωμένο τὸ βλέμμα τους σ' αὐτόν. Γι' αὐτὸ λοιπὸν καὶ ἀνέφεραν αὐτὸ τὸ παράδειγμα, ὑπονοώντας αὐτὸ ἀκριβῶς, ὅτι δηλαδὴ ἀπὸ πουθενὰ ἀλλοῦ δὲν ὑπάρχει γι' αὐτούς ἐλπίδα βοηθείας, οὔτε συμμαχίας, καὶ πρὸς κανένα ἄλλο δὲν βλέπουν, καθόσον καὶ ἡ δούλη καὶ ὁ δοῦλος μιὰ μόνο ἀφορμὴ ἔχουν τῆς διατροφῆς, τῶν ἐνδυμάτων καὶ τῆς ἄλλης συμπεριφορᾶς τους, τὸ νὰ βλέπουν πρὸς τοὺς κυρίους τους, καὶ δὲν ἀπομακρύνονται, ἀλλὰ παραμένουν μέχρι νὰ λάβουν κάτι, καὶ ἂν λάβουν, ἐκφράζουν τὴν εὐγνωμοσύνη τους, καὶ αὐτὸ εἶναι συνέχεια τὸ ἔργο τους. Αὐτὸ λοιπὸν θέλοντας νὰ δηλώσει, ὅτι δηλαδὴ καὶ πρὸς αὐτὸν βλέπουν καὶ αὐτὸ τὸ κάμνουν συνέχεια, καὶ καμιὰ ἄλλη ἐλπίδα δὲν ἔχουν, καὶ ὅτι εἶναι προσηλωμένοι στὸ νὰ περιμένουν τὴ συμμαχία ἐκείνη, καὶ ὅτι ὅλα τὰ δικά τους εἶναι τοῦ Θεοῦ, ἀνέφερε τὸ παράδειγμα τῆς δούλης καὶ τῶν δούλων.

Πρόσεχε πῶς ἐκεῖνοι, ποὺ παλαιότερα προτρέπονταν γιὰ νὰ τρέχουν πρὸς τὸ Θεό, καὶ ἀδιαφοροῦσαν καὶ δὲν εἶχαν τὴ δύναμη νὰ τὸ κάνουν αὐτό, αὐτοὶ τώρα τόσο καλύτεροι ἔγιναν ἐξ αἰτίας τῆς *συμφορᾶς*, ὥστε νὰ μὴ θέλουν ν' ἀπομακρυνθοῦν ἀπ' αὐτόν, ἀλλὰ νὰ μένουν κοντά του, νὰ τὸν ὑπηρετοῦν καὶ νὰ ζητοῦν τὴ βοήθειά του, λέγοντας, «Μέχρι ποὺ νὰ μᾶς εὐσπλαχνισθεῖ». Δὲν εἶπε, 'μέχρι ποὺ νὰ τοὺς δώσει τὸ μισθό τους', οὔτε, 'μέχρι ποὺ νὰ τοὺς δώσει τὴν ἀμοιβή τους', ἀλλά, μέχρι ποὺ νὰ τοὺς ἐλεήσει. Καὶ σὺ λοιπόν, ἄνθρωπε, μένε κοντά του συνέχεια, εἴτε λάβεις, εἴτε δὲν λάβεις αὐτὸ ποὺ ζητᾶς· καὶ ἂν ἀκόμα δὲν λάβεις, μὴ ἀπομακρυνθεῖς, καὶ ὁπωσδήποτε θὰ λάβεις. Διότι ἂν τὸν ἄρχοντα ἐκεῖνον τὸν σκληρὸ τὸν λύγισε ἡ ἐπιμονὴ τῆς χήρας[2], ποιὰ συγγνώμη θὰ ἦταν δυνατὸ νὰ ἔχεις σὺ ποὺ τόσο γρήγορα σταματᾶς τὴν προσπάθειά σου, ἀδιαφορεῖς καὶ γίνεσαι ἀναίσθητος;

ταχέως ἀποπηδῶν, καὶ ἀκηδιῶν, καὶ ναρκῶν; Οὐχ ὁρᾷς πῶς αἱ παιδίσκαι τῶν κυρίων ἐκκρέμανται, οὐ διάνοιαν, οὐκ ὄμμα ἀφιεῖσαι ἔξω πλανᾶσθαι; Οὕτω καὶ σὺ ποίει· ἔπου τῷ Θεῷ μόνον, καὶ πάντα ἀφεὶς τὰ ἄλλα, τῶν ἐκείνου γίνου, καὶ λήψῃ πάντως ἅπερ ἂν αἰτῇς συμφερόντως.

2. «Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπιπολὺ ἐπλήσθημεν ἐξουδενώσεως. Ἐπιπλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν». Εἶδες συντετριμμένην διάνοιαν; Ἀπὸ ἐλέους σωθῆναι ἀξιοῦσι· καὶ οὐδὲ ἀπὸ ἐλέους, κατὰ τὴν ἀξίαν, ἀλλ' ὅτι πολλὴν ἔδοσαν δίκην, καθάπερ καὶ ὁ Δανιὴλ φησίν· «Ὅτι ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη ἐπὶ τῆς γῆς»· τοῦτο δὴ καὶ οὗτοι λέγοντες δι' ὧν ἱκετεύουσιν. Τὴν ἐσχάτην ὑπομείναμεν τραγῳδίαν· πατρίδος ἐξεπέσομεν, ἐλευθερίας· βαρβάρων ἐγενόμεθα δοῦλοι, ὀνειδιζόμενοι διετελέσαμεν, λιμῷ καὶ ταλαιπωρίᾳ καὶ δίψῃ κατειργάσθημεν, διαπτυόμενοι, καταπατούμενοι πάντα τὸν χρόνον ἀνηλώσαμεν· διὰ δὴ ταῦτα ἄνες ἡμῖν καὶ ἐλέησον. Τί δέ ἐστιν, «Ἐπιπλεῖον ἐπλήσθη ἡ ψυχή ἡμῶν»; Καὶ αὐτή, φησίν, ἐξελύθη ἡμῶν ἡ ψυχή, ἐταριχεύθη τῷ μεγέθει τῶν κακῶν. Ἔστι γὰρ πολλοὺς πάσχειν μὲν δεινά, φέρειν δὲ γενναίως, ἀλλ' ἡμεῖς, φησί, καὶ τοῦτο ἀπωλέσαμεν· ἀλύομεν ταλαιπωρούμενοι, κοπιόμεθα. Ἐπειδὴ γὰρ δεόντως ταῖς τιμαῖς οὐκ ἐχρήσαντο, τοῖς ἐναντίοις αὐτοὺς ὁ Θεὸς διορθοῦται, καὶ τοῦτο αὐτὸν πανταχοῦ ἐστι ποιοῦντα ἰδεῖν. Οὕτω καὶ τὸν Ἀδάμ, ἐπειδὴ τῇ οἰκήσει τοῦ παραδείσου οὐκ ἐχρήσατο πρὸς τὸ συμφέρον, τῇ ἐκβολῇ αὐτὸν διώρθωσε· καὶ τὴν γυναῖκα τῇ ὁμοτιμίᾳ γενομένην φαυλοτέραν, τῇ δουλείᾳ καὶ τῇ ὑποταγῇ βελτίω κατέστησε. Καὶ τούτους δὲ αὐτοὺς τοὺς Ἰουδαίους τῇ ἐλευθερίᾳ καὶ τῇ ἐπὶ τῆς οἰκείας ἀδείᾳ χείρους γεγενημένους, καὶ ἀποσκιρτήσαντας, καὶ ἐκδιαιτηθέντας, τοῖς ἐναντίοις διορθοῦται.

3. Δαν. 3, 13 (προσευχὴ Ἀζαρίου)

Δὲν βλέπεις πῶς οἱ ὑπηρέτριες ἔχουν καρφωμένο τὸ βλέμμα τους στοὺς κυρίους τους, μὴ ἀφήνοντας νὰ φύγει ἀπ' αὐτοὺς οὔτε ἡ σκέψη τους οὔτε τὰ μάτια τους; Ἔτσι καὶ σὺ κάμνε· ἀκολούθα μόνο τὸ Θεό, καί, ἀφήνοντας ὅλα τὰ ἄλλα, ἀφοσιώσου σ' ἐκεῖνον, καὶ ὁπωσδήποτε θὰ λάβεις ἐκεῖνα ποὺ ζητᾶς καὶ ποὺ σοῦ συμφέρουν.

2. «Ἐλέησέ μας, Κύριε, ἐλέησέ μας, διότι γιὰ πολὺ χρόνο χορτάσαμε ἀπὸ περιφρόνηση. Γέμισε ὑπερβολικὰ ἡ ψυχή μας ἀπ' αὐτήν». Εἶδες ψυχὴ γεμάτη ἀπὸ συντριβή. Ἀπὸ τὴν εὐσπλαχνία του ζητοῦν νὰ σωθοῦν· καὶ ὄχι νὰ σωθοῦν ἀπὸ τὴν εὐσπλαχνία του ἐπειδὴ τὸ ἀξίζουν, ἀλλὰ διότι τιμωρήθηκαν πάρα πολύ, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Δανιήλ· «Διότι γίναμε μικρότεροι ἀπὸ ὅλα τὰ ἔθνη τῆς γῆς»[3]· αὐτὸ λοιπὸν καὶ αὐτοὶ λέγουν ἱκετεύοντάς τον. Ὑποφέραμε τὴν πιὸ φοβερώτερη τραγωδία· χάσαμε τὴν πατρίδα μας καὶ τὴν ἐλευθερία μας· γίναμε δοῦλοι τῶν βαρβάρων, ζήσαμε περιφρονημένοι, ὑποφέραμε ἀπὸ πείνα, ταλαιπωρία καὶ δίψα, περάσαμε ὅλο τὸ χρόνο μας κάτω ἀπὸ τὸν ἐξευτελισμὸ καὶ τὴν καταφρόνηση· γι' αὐτὸ λοιπὸν συγχώρησέ μας καὶ ἐλέησέ μας. Τί σημαίνει δὲ «Ἐπιπλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν»; Καὶ αὐτή, λέγει, ἡ ψυχή μας παρέλυσε καὶ σάπισε ἀπὸ τὸ μέγεθος τῶν κακῶν. Ὑπάρχουν βέβαια πολλοὶ ποὺ ὑποφέρουν μὲν ἀπὸ κακά, ἀλλὰ τὰ ἀντιμετωπίζουν μὲ γενναιότητα, ἀλλ' ἐμεῖς, λέγει, καὶ αὐτὸ τὸ χάσαμε, ζοῦμε μέσα στὴ στενοχώρια, τὴν ταλαιπωρία καὶ τὰ κλάματα. Ἐπειδὴ δηλαδὴ δὲν χρησιμοποίησαν τὶς τιμὲς ὅπως ἔπρεπε, τοὺς διορθώνει ὁ Θεὸς μὲ τὰ ἀντίθετα, καὶ αὐτὸ μποροῦμε νὰ δοῦμε νὰ κάμνει αὐτὸς παντοῦ. Ἔτσι καὶ τὸν Ἀδάμ, ἐπειδὴ τὴ διαμονή του στὸν παράδεισο δὲν τὴ χρησιμοποίησε γιὰ τὸ συμφέρον του, τὸν διόρθωσε διώχνοντάς τον ἀπὸ ἐκεῖ· καὶ τὴ γυναίκα ποὺ ἔγινε χειρότερη μὲ τὴν ἰσοτιμία, τὴν ἔκαμε καλύτερη μὲ τὴ δουλεία καὶ τὴν ὑποταγή. Καὶ τοὺς ἴδιους δὲ τοὺς Ἰουδαίους, ἐπειδὴ μὲ τὴν ἐλευθερία καὶ τὴν ἀσφάλειά τους εἶχαν γίνει χειρότεροι, καὶ ἀπομακρύνθηκαν ἀπὸ κοντά του καὶ ἀπαρνήθηκαν τὴν πίστη καὶ τὶς ἐντολές του, τοὺς διορθώνει μὲ τὰ ἀντίθετα.

*Οὗτοι καὶ ἐλέους τυχεῖν ἱκετεύοντες, πρὸς τὸν Θεὸν λέγουσιν· «Ἐπιπλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις». Ἕτερος, «Πολλῶν ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν, ἐπιλαλούντων τῶν εὐθηνούντων, ἐξευτελιζόντων τῶν ὑπερηφάνων». Ἄλλος, «Τοῦ μυκτηρισμοῦ τῶν ὑπερφερῶν». Ἄλλος, «Ἐξουδενώσεως αὐτῶν εὐθηνούντων». Οὗτοι μὲν οὖν τοῦ αὐτοῦ ἔχονται νοήματος· τραγῳδοῦσι γὰρ τὴν ταλαιπωρίαν διὰ τοῦ λέγειν, ὅτι «Ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν τῶν ἐξευτελιζόντων· οἱ δὲ ἑβδομήκοντα ἕτερόν φασιν, ὅτι μετασταίη ταῦτα εἰς ἐκείνους, καὶ τῶν αὐτῶν ἀπολαύσαιεν ὧν ἐποίησαν, καὶ καταχθείη τὸ φύσημα αὐτῶν καὶ ἡ φλεγμονή. Ὃ δὴ καὶ γινόμενον πολλάκις ἴδοι τις ἄν· καὶ γὰρ συνεχῶς αὐτὸ ποιεῖν ὁ Θεὸς εἴωθε, τοὺς μεγάλα φυσῶντας καταστέλλων, καὶ τοὺς φλεγμαίνοντας ταπεινῶν, ὥστε αὐτοὺς ἀπαλλαγῆναι τῆς ἐπὶ τὴν κακίαν φερούσης ὁδοῦ. Οὐδὲν γὰρ ὑπερηφανίας χεῖρον. Διὰ τοῦτο πειρασμοὶ καὶ θλίψεις, καὶ σῶμα θνητόν, καὶ αἱ πολλαὶ τῶν πραγμάτων περιστάσεις· διὰ τοῦτο πάθη καὶ νοσήματα, ἵνα μυρίοι χαλινοὶ περίκεινται τῇ ψυχῇ ῥᾳδίως ἐπαιρομένῃ, καὶ πρὸς ὄγκον ὑψουμένῃ.*

*Μὴ τοίνυν θορυβοῦ πειραζόμενος, ἀγαπητέ, ἀλλ' ἀναμνησθεὶς τοῦ προφήτου τοῦ λέγοντος, «Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου», πρὸς φάρμακον δέχου τὴν συμφοράν, καὶ εἰς δέον κέχρησο τῷ πειρασμῷ, καὶ δυνήσῃ πλείονος τυχεῖν ἀνέσεως· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

4. Ψαλμ. 118, 7· 1.

Ἀλλ' *αὐτοὶ παρακαλοῦν* τὸ Θεὸ νὰ τύχουν τῆς εὐσπλαχνίας του καὶ λέγουν· «Ὑπεργέμισε ἡ ψυχή μας ἀπὸ τὴν καταφρόνηση. Ἂς περιέλθει ὁ ἐξευτελισμὸς σ' ἐκείνους ποὺ εὐημεροῦν καὶ ἐξουδένωση στοὺς ὑπερηφάνους». Ἄλλος λέγει, «*Χόρτασε πάρα πολὺ ἡ ψυχή μας ἀπὸ τὶς* κατηγορίες ἐκείνων ποὺ εὐημεροῦν καὶ ἀπὸ τοὺς ἐξευτελισμοὺς τῶν ὑπερηφάνων». Ἄλλος λέγει, «Τὸ ἀντικείμενο χλευασμοῦ τῶν ὑπερεχόντων». Ἄλλος, «Γίναμε ἐξουδένωμα ἐκείνων ποὺ εὐημεροῦν». Αὐτοὶ μὲν ἔχουν στὶς ἑρμηνεῖες τους τὸ ἴδιο νόημα· διότι διατραγῳδοῦν τὴν ταλαιπωρία τους μὲ αὐτὸ ποὺ λέγουν, ὅτι «Χόρτασε ἡ ψυχή μας ἀπὸ τοὺς ἐξευτελισμοὺς τους»· οἱ ἑβδομήκοντα ὅμως ἄλλο λέγουν, νὰ μεταφερθοῦν δηλαδὴ αὐτὰ σ' ἐκείνους ποὺ τοὺς τὰ ἔκαμαν καὶ νὰ καταπέσει ἡ ἀλαζονεία καὶ ἡ ὑπερηφάνειά τους. Αὐτὸ ἀκριβῶς θὰ μποροῦσε κανεὶς νὰ δεῖ νὰ συμβαίνει πολλὲς φορές· καθόσον ὁ Θεὸς αὐτὸ συνηθίζει νὰ κάμνει συνέχεια, νὰ καταστέλλει δηλαδὴ τὸ φρόνημα τῶν πάρα πολὺ ἀλαζόνων καὶ νὰ ταπεινώνει τοὺς ὑπερηφάνους, ὥστε ν' ἀπαλλαγοῦν ἀπὸ τὴν ὁδὸ ποὺ ὁδηγεῖ στὴν κακία. Διότι τίποτε δὲν ὑπάρχει χειρότερο ἀπὸ τὴν ὑπερηφάνεια. Γι' αὐτὸ ὑπάρχουν δοκιμασίες, θλίψεις, σῶμα θνητὸ καὶ οἱ πολλὲς καταστάσεις τῶν πραγμάτων, γι' αὐτὸ ὑπάρχουν πάθη καὶ ἀσθένειες, γιὰ νὰ συγκρατοῦν ἄπειρα χαλινάρια τὴν ψυχὴ ποὺ εὔκολα κυριεύεται ἀπὸ τὴν ὑπερηφάνεια καὶ τὴν ὑπεροψία.

Μὴ λοιπὸν κυριεύεσαι, ἀγαπητέ, ἀπὸ ταραχή, ὅταν δέχεσαι δοκιμασίες, ἀλλ' ἐνθυμούμενος τὰ λόγια τοῦ προφήτη, «Ὑπῆρξε μεγάλη εὐεργεσία γιὰ μένα τὸ ὅτι μὲ ταπείνωσες, γιὰ νὰ γνωρίσω ἔτσι τὶς ἐντολές σου»[4], νὰ δέχεσαι σὰν φάρμακο τὴ συμφορὰ καὶ νὰ χρησιμοποιεῖς ὅπως πρέπει τὴ δοκιμασία, καὶ θὰ μπορέσεις ἔτσι νὰ ἐπιτύχεις μεγαλύτερη ἀνάπαυση ἀπ' αὐτήν, τὴν ὁποία εὔχομαι ὅλοι μας ν' ἀξιωθοῦμε μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΟΜΙΛΙΑ
# ΕΙΣ ΤΟΝ ΡΚΓ΄ ΨΑΛΜΟΝ

*«Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν».*

*1. Ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι, ὅτι μέγας ὁ ἀπὸ τῆς αἰχμαλωσίας καρπός, καὶ ἱκανὸς πρὸς φιλοσοφίαν ἐναγαγεῖν τοὺς προσέχοντας. Ἴδε γάρ, οἱ πρὸς εἴδωλα τρέχοντες καὶ τοῦ Θεοῦ καταφρονοῦντες καὶ πρὸς ἀσέβειαν ἐξοκείλαντες, τί λέγουσι νῦν μετὰ τὴν αἰχμαλωσίαν, καὶ πῶς τὴν ἑαυτῶν σωτηρίαν ἀνατιθέασι τῷ Θεῷ; Καὶ ὁ προφήτης δὲ καθάπερ χοροστάτης ἄριστος τὰ αὐτὰ συνεχῶς αὐτοῖς παρακελεύεται λέγειν. Μετὰ γοῦν τὸ πρῶτος εἰπεῖν, καὶ ἐκείνοις παρεγγυᾷ ὥσπερ μαθηταῖς διδάσκαλος λέγειν· «Εἰπάτω δὴ Ἰσραήλ, εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς». Καὶ γὰρ ἦσαν ἄοπλοι καὶ γυμνοί, καὶ αἰχμάλωτοι καὶ δοῦλοι, καὶ ἄρτι τῶν κακῶν ἀπηλλαγμένοι, καὶ πόλιν ἀτείχιστον ἔχοντες, μᾶλλον δὲ οὐδὲ πόλιν, καὶ πᾶσι μετὰ τὴν ἐπάνοδον προέκειντο θήρα ἕτοιμος, ἀλλ᾽ ἀντὶ τείχους καὶ πύργου ὁ Θεὸς αὐτοῖς γέγονε.*

*Τοῦτο καὶ ἡμεῖς νῦν λέγωμεν· «Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ζῶντας ἂν κατέπιον ἡμᾶς». Τί γὰρ ἂν οὐκ ἐποίησεν ὁ ἐχθρὸς ἡμῶν διάβολος, εἰ μὴ Κύριος ἦν ἐν ἡμῖν; Ἄκουσον τῷ Σίμωνι τί φησιν ὁ Χριστός· «Σίμων, Σίμων, ποσάκις ᾐτήσατο ὁ σατανᾶς συνιάσαι σε ὡς τὸν σῖτον, καὶ ἐγὼ ἐδεήθην*

# ΟΜΙΛΙΑ
# ΣΤΟΝ ΡΚΓ΄ ΨΑΛΜΟ

«Ἂν ὁ Κύριος δὲν ἦταν μαζί μας».

1. Αὐτὸ ποὺ εἶπα πολλὲς φορές, αὐτὸ καὶ τώρα λέγω, καὶ δὲν θὰ παύσω νὰ τὸ λέγω, ὅτι ἦταν μεγάλο τὸ κέρδος ἀπὸ τὴν αἰχμαλωσία καὶ ἱκανὸ νὰ ὁδηγήσει στὴν εὐσέβεια ἐκείνους ποὺ προσέχουν. Διότι πρόσεχε, ἐκεῖνοι ποὺ ἔτρεχαν στὰ εἴδωλα καὶ περιφρονοῦσαν τὸ Θεὸ καὶ εἶχαν ἐκτραπεῖ πρὸς τὴν ἀσέβεια, τί λέγουν τώρα μετὰ τὴν αἰχμαλωσία καὶ πῶς ἀναθέτουν τὴ σωτηρία τους στὸ Θεό; Καὶ ὁ προφήτης δὲ σὰν ἄριστος ἀκριβῶς χοροστάτης προτρέπει αὐτοὺς συνέχεια νὰ λέγουν τὰ ἴδια. Ἀφοῦ λοιπὸν πρῶτος εἶπε αὐτό, παροτρύνει καὶ ἐκείνους ὅπως ἀκριβῶς ὁ δάσκαλος τοὺς μαθητές, νὰ λέγουν· «Ἂς τὸ ὁμολογήσει καὶ ὁ Ἰσραήλ, ἂν δὲν ἦταν ὁ Κύριος μαζί μας, ὅταν ξεσηκώθηκαν οἱ ἄνθρωποι ἐναντίον μας, θὰ μᾶς κατέπιναν ὁπωσδήποτε ζωντανούς». Καθόσον ἦταν ἄοπλοι καὶ γυμνοί, αἰχμάλωτοι καὶ δοῦλοι, καὶ μόλις πρὶν ἀπὸ λίγο εἶχαν ἀπαλλαχθεῖ ἀπὸ τὰ κακά, καὶ ἡ πόλη τους ἦταν ἀτείχιστη, μᾶλλον δὲ οὔτε πόλη εἶχαν, καὶ ἦταν, μετὰ τὴν ἐπιστροφή τους, ἕτοιμο θήραμα γιὰ ὅλους, ἀλλ' ὁ Θεὸς ἔγινε γι' αὐτοὺς τεῖχος καὶ πύργος.

Αὐτὸ καὶ ἐμεῖς ἂς λέμε τώρα· «Ἂν δὲ ἦταν ὁ Κύριος μαζί μας, ὁπωσδήποτε θὰ μᾶς κατέπιναν ζωντανούς». Διότι τί θὰ ἦταν δυνατὸ νὰ μὴ μᾶς κάνει ὁ ἐχθρός μας ὁ διάβολος, ἂν ὁ Κύριος δὲν ἦταν μαζί μας; Ἄκουσε τί λέγει ὁ Χριστὸς στὸν Σίμωνα· «Σίμων, Σίμων, πόσες φορὲς ζήτησε ὁ σατανᾶς νὰ σᾶς ταράξει, ὅπως ὅταν κοσκινίζεται τὸ σιτάρι, καὶ ἐγὼ προσευχήθηκα γιὰ σένα,

περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου;». Πονηρὸν γὰρ τὸ θηρίον καὶ ἀκόρεστον, καὶ εἰ μὴ συνεχῶς ἐχαλινοῦτο, πάντα ἂν ἀνέτρεψε καὶ συνέχεεν. Εἰ γὰρ ἐπὶ τοῦ μακαρίου Ἰὼβ μικράν τινα λαβὼν ἐπιτροπήν, πρόρριζον αὐτοῦ τὴν οἰκίαν ἀνέσπασε, τὸ σῶμα αὐτοῦ διελωβήσατο, τοσαύτην τραγῳδίαν εἰργάσατο, τὴν οὐσίαν διέφθειρε, τοὺς παῖδας κατέχωσε, τὴν σάρκα σκώληκας ἐπιζέσαι ἐποίησε, τὴν γυναῖκα ἐπέστησε, τοὺς φίλους, τοὺς ἐχθρούς, τοὺς οἰκέτας τοιαῦτα εἰπεῖν παρεσκεύασεν, εἰ μὴ μυρίοις κατείχετο χαλινοῖς, πῶς οὐκ ἂν ἅπαντας ἐλυμήνατο;

Διὰ τοῦτο καὶ οὗτος λέγει· «Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν». Καὶ γὰρ καὶ σφόδρα ὀλίγοι ἦσαν, καὶ εὐτελεῖς, καὶ πολλοὶ αὐτοῖς ἐνεπέθεντο ἐπανελθοῦσι. Κἂν τούτῳ δὲ τοῦ Θεοῦ ἡ σοφία ἐδείκνυτο, τῷ μὴ ἀθρόον αὐτοῖς δοῦναι τὴν ἀσφάλειαν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Τοῦτο δὲ ἐποίει τηρῶν αὐτοὺς ἐν τῇ θεογνωσίᾳ, καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας προσγινομένην αὐτοῖς διόρθωσιν οὐκ ἀφεὶς διαρρυῆναι. Ἐπειδὴ γὰρ εἴωθεν ἡ τῶν κακῶν ἀπαλλαγὴ ῥᾳθυμοτέρους ποιεῖν, καὶ ἐν αὐτῇ τῇ δόσει τῶν ἀγαθῶν ἀφίησιν αὐτοὺς συνεχῶς πειράζεσθαι, ἵν' ἔχωσι διηνεκῆ γυμνασίαν φιλοσοφίας τοὺς πειρασμούς. Διά τοι τοῦτο οὔτε ἐν συμφοραῖς ἀφίησιν ἀεὶ τοὺς ἀνθρώπους, ἵνα μὴ ἀποκάμωσιν, οὔτε ἐν ἀνέσει, ἵνα μὴ ῥᾳθυμότεροι γένωνται, ἀλλὰ ταῖς ἐναλλαγαῖς ποικίλλει τὴν σωτηρίαν αὐτῶν.

«Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς». Εἶδες πῶς παρίστησι τὸ θηριῶδες τῶν ἐπιόντων; Καὶ γάρ εἰσιν καὶ ἄνθρωποι τοιοῦτοι, θηρίων ὠμότητα ἐπιδεικνύμενοι, μᾶλλον δὲ καὶ ἐκεί-

1. Λουκᾶ 22, 31.

νὰ μὴ ἐκλείψει ἡ πίστη σου;»[1]. Διότι εἶναι κακό καὶ ἀχόρταγο θηρίο, καὶ ἄν δέν χαλιναγωγοῦνταν συνέχεια, ὅλα θὰ τὰ ἀνέτρεπε καὶ θὰ τὰ γέμιζε ἀπὸ σύγχυση. Ἄν δηλαδὴ στὴν περίπτωση τοῦ Ἰὼβ, ἀφοῦ ἔλαβε καὶ κάποια ἐξουσιοδότηση, κατέστρεψε τὴν οἰκία του ἀπὸ τὰ θεμέλια, τὸ σῶμα του καταβασάνισε, τόσο μεγάλη τραγωδία τοῦ προξένησε, τὴν περιουσία του τὴν κατέστρεψε, τὰ παιδιά του τὰ ὁδήγησε στὸν τάφο, τὸ σῶμα του ἔκαμε νὰ γεμίσει ἀπὸ σκωλήκια, τὴ γυναίκα του ἔφερε ἀντιμέτωπό του, τοὺς φίλους του, τοὺς ἐχθρούς του, τοὺς ὑπηρέτες του τοὺς ὁδήγησε νὰ ποῦν τέτοια λόγια, ἄν δέν συγκρατιοῦνταν μὲ ἀμέτρητα χαλινάρια, πῶς θὰ ἦταν δυνατὸ νὰ μὴ καταστρέψει ὅλους;

Γι' αὐτὸ καὶ αὐτὸς λέγει, «Ἄν δὲν ἦταν μαζί μας ὁ *Κύριος*». *Καθόσον ἦταν πάρα πολὺ λίγοι καὶ ἀσήμαντοι* καὶ πολλοὶ ἐπιτίθενταν ἐναντίον τους ὅταν ἐπέστρεψαν. Ἀλλὰ καὶ ἔτσι φανερωνόταν ἡ σοφία τοῦ Θεοῦ, μὲ τὸ νὰ μὴ δώσει δηλαδὴ σ' αὐτοὺς διὰ μιᾶς τὴν ἀσφάλειά τους, ἀλλὰ ἤρεμα καὶ σιγά σιγά. Αὐτὸ δὲ τὸ ἔκαμνε γιὰ νά διατηρεῖ μέσα τους τὴ γνώση τοῦ Θεοῦ καὶ γιὰ νὰ μὴ ἀφήσει νὰ ἐξαφανισθεῖ ἡ διόρθωση ποὺ ἔγινε σ' αὐτοὺς μὲ τὴν αἰχμαλωσία. Ἐπειδὴ δηλαδὴ συνήθως ἡ ἀπαλλαγὴ ἀπὸ τὰ κακὰ κάμνει τοὺς ἀνθρώπους πιὸ ὀκνηρούς, καὶ μὲ τὴ χορηγία τῶν ἀγαθῶν ἐπιτρέπει αὐτοὺς νὰ δοκιμάζονται συνέχεια, γιὰ νὰ ἔχουν τὶς δοκιμασίες σὰν συνεχὴ ἄσκηση τῆς ἀρετῆς. Γι' αὐτὸ λοιπὸν οὔτε στὶς συμφορὲς ἀφήνει πάντοτε τοὺς ἀνθρώπους, γιὰ νὰ μὴ ἀποκάμουν, οὔτε στὴν ἄνεση, γιὰ νὰ μὴ γίνουν πιὸ ἀδιάφοροι, ἀλλὰ μὲ τὶς ἐναλλαγὲς τῶν καταστάσεων ποικίλει τὴ σωτηρία τους.

«Ὁπωσδήποτε θὰ μᾶς κατέπινε ζωντανούς». Εἶδες πῶς παρουσιάζει τὴ θηριωδία ἐκείνων πού ἐπιτέθηκαν ἐναντίον τους; Καθὸσον ὑπάρχουν καὶ ἄνθρωποι τέτοιοι, ποὺ δείχνουν σκληρότητα ὅμοια μὲ τῶν θηρίων, μᾶλλον δὲ μεταχειρίζονται τοὺς συνανθρώπους τους φοβερώτερα

νων χαλεπώτερον τοῖς ὁμοφύλοις κεχρημένοι. Τὸ μὲν γὰρ θηρίον ἅπαξ ἐμπεσὸν τὸν θυμὸν ἀφῆκε, καὶ ἀνεχώρησεν, ἢ διακρουσθὲν οὐκ ἔτι ἐπῆλθεν, ἄνθρωποι δὲ πολλάκις ἀποτυχόντες, πολλάκις ἐπιτίθενται, αὐτῶν ἐπιθυμοῦντες ἀπογεύσασθαι τῶν σαρκῶν. Τοιοῦτον ὁ θυμός, λογισμὸν οὐκ ἔχων· οὕτω ζεῖ τὸ πάθος καὶ ἀνακαχλάζει. Πῶς οὖν ἂν σβεσθείη τὸ νόσημα; Ἂν τὰ καθ' ἑαυτοὺς λογισώμεθα, εἰ θάνατον ἐννοήσωμεν καὶ τοὺς καθ' ἑκάστην ἀπιόντας ἡμέραν, εἰ τὴν φύσιν αὐτὴν διασκεψώμεθα, ὅτι γῆ καὶ σποδός ἐσμεν. Εἰ δὲ τὸ κάλλος τῆς ὄψεως ἔτι ἀπατᾷ σου τὴν διάνοιαν, βάδισον πρὸς τὰ μνήματα καὶ τὰς θήκας τῶν πατέρων, καὶ ἴδε τοὺς κειμένους, πῶς εἰσιν εἰς χοῦν διαλελυμένοι, καὶ πολλὴν ἐκ τῆς ὄψεως ἀφορμὴν εἰς τὸ συστέλλεσθαι δέξῃ.

Ἀλλὰ μὴ καταγνῷς βαρύτητα τοῦ λόγου. Καθάπερ γὰρ οἱ πυρέττοντες, ἐπειδὰν ἀπαλλαγῶσι τῶν νοσημάτων, ἀέρος δέονται καθαροῦ, οὕτω δὴ καὶ οἱ μαινόμενοι τοῖς πάθεσιν, ἂν εἰς τὰ μνήματα παραγένωνται, ὥσπερ ὑγιεινοῦ τινος χωρίου ἐπιλαβόμενοι, πολλὰ τῶν νοσημάτων ἐξορίζουσι. Καὶ γὰρ ἀρκεῖ τῆς λάρνακος ἡ ὄψις καὶ τὸν σφόδρα ἀπονενοημένον κατενεγκεῖν. Ἀπὸ τούτων παράπεμψον τὴν διάνοιαν εἰς τὴν μέλλουσαν ἡμέραν τὴν φοβεράν, εἰς τὰ βασανιστήρια ἐκεῖνα καὶ τὰς εὐθύνας, εἰς τὰς κολάσεις τὰς οὐκ ἐχούσας παραμυθίαν, ἔνθα οὐδείς σοι παραστήσεται· τούτοις πᾶσι κατέπᾳδε τὰ πάθη. Σκόπει δὲ καὶ τῶν ἀνθρώπων τοὺς ἐν τῷ παρόντι βίῳ ἀπὸ πλούτου πρὸς πενίαν μεταπίπτοντας, ἀπὸ δόξης εἰς ἀτιμίαν· καὶ εἰ βούλει ὀργίζεσθαι, μὴ τῷ συγγενεῖ, ἀλλὰ τῷ πονηρῷ δαίμονι· ἔχεις ἔνθα ἀναλώσεις τὸ πάθος· ἐκείνῳ μηδέποτε καταλλαγῇς, ἐκείνῳ ἀνάλωσον τὴν ὀργὴν

καὶ ἀπὸ ἐκεῖνα. Διότι τὸ μὲν θηρίο ἅπαξ καὶ ὅρμησε, ἄφησε τὸ θυμό του καὶ ἔφυγε, ἢ ἀποκρούσθηκε καὶ δὲν ἐπιτέθηκε ξανά, ἐνῶ οἱ ἄνθρωποι, καὶ ἂν ἀκόμα ἀποτύχουν πολλὲς φορές, ἐπιτίθενται πολλὲς φορές, ἐπιθυμώντας νὰ φᾶνε τὶς σάρκες τους. Τέτοιος εἶναι ὁ θυμός, ἐπειδὴ δὲν ἔχει λογικό· ἔτσι διαθερμαίνει τὸ πάθος καὶ τὸ κάμνει νὰ βράζει. Πῶς λοιπὸν θὰ μποροῦσε νὰ σβήσει τὸ νόσημα; Ἂν ἀναλογισθοῦμε τὰ ἀνθρώπινα, ἂν σκεφθοῦμε τὸ θάνατο καὶ ἐκείνους ποὺ καθημερινὰ φεύγουν ἀπ᾽ αὐτὴ τὴ ζωή, ἂν σκεφθοῦμε κατὰ βάθος τὴ φύση μας, ὅτι εἴμαστε χῶμα καὶ σκόνη. Ἂν ὅμως ἐξαπατᾶ ἀκόμα τὴ διάνοιά σου τὸ κάλλος τοῦ προσώπου, πήγαινε πρὸς τὰ μνήματα καὶ τὶς νεκροθῆκες τῶν πατέρων καὶ κοίταξε τοὺς πεθαμένους, πῶς εἶναι διαλυμένοι σὲ χῶμα, καὶ θὰ λάβεις μεγάλη ἀφορμὴ ἀπὸ αὐτὰ ποὺ θὰ δεῖς νὰ γίνεις πιὸ συνεσταλμένος.

Ἀλλὰ μὴ καταλογίζεις βαρύτητα στὸ λόγο. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ὑποφέρουν ἀπὸ πυρετό, ὅταν ἀπαλλαγοῦν ἀπὸ τὰ νοσήματα, ἔχουν ἀνάγκη ἀπὸ καθαρὸ ἀέρα, ἔτσι λοιπὸν καὶ ἐκεῖνοι ποὺ εἶναι κυριευμένοι ἀπὸ τὰ πάθη, ἂν μεταβοῦν στὰ μνήματα, σὰν νὰ διῆλθαν ἀπὸ κάποιο ὑγιεινὸ μέρος, ξερριζώνουν πολλὰ ἀπὸ τὰ νοσήματα. Καθόσον ἀρκεῖ ἡ ὄψη τῆς λάρνακας νὰ ταπεινώσει καὶ τὸν πάρα πολὺ ὑπερήφανο. Ἀπὸ αὐτὰ μετάφερε τὴ σκέψη σου στὴ μέλλουσα ἡμέρα τὴ φοβερή, στὰ βασανιστήρια ἐκεῖνα καὶ τὶς εὐθύνες, στὶς τιμωρίες ποὺ δὲν ἔχουν παρηγοριά, ὅπου κανένας δὲν θὰ σὲ συμπαρασταθεῖ· μὲ ὅλα αὐτὰ ἀπομάκρυνε τὰ πάθη. Σκέψου δὲ καὶ ἀπὸ τοὺς ἀνθρώπους ἐκείνους ποὺ στὴν παροῦσα ζωὴ μεταπίπτουν ἀπὸ τὸν πλοῦτο στὴ φτώχεια, ἀπὸ τὴ δόξα στὴν περιφρόνηση· καὶ ἂν θέλεις νὰ ὀργίζεσαι, μὴ ἐναντίον τοῦ συγγενῆ σου, ἀλλὰ ἐναντίον τοῦ πονηροῦ δαίμονα· ἔχεις ποὺ νὰ διαθέσεις τὸ πάθος σου· μὲ ἐκεῖνον ποτὲ μὴ συμφιλιωθεῖς, σ᾽ ἐκεῖνον διέθεσε καὶ ἄδειασε τὴν ὀργή

*καὶ δαπάνησον, ἐκείνῳ στῆσον παγίδα, μηδέποτε ἐμπλησθῇς αὐτῷ πολεμῶν.*

*«Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. Χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον». Χείμαρρον ἐνταῦθα καὶ ὕδωρ τὴν ἄφατον ὀργὴν τῶν πολεμίων λέγει· ὕδωρ γάρ ἐστιν ἀτάκτως φερόμενον, καὶ μετὰ πολλῆς τῆς ῥύμης καὶ τῆς βίας παρασῦρον τὸ προστυγχάνον. Οὐ τὴν φορὰν δέ φησιν ἐνταῦθα τῶν κακῶν, ἀλλὰ καὶ τὴν πάροδον. Μὴ τοίνυν καταπέσωμεν, ὅταν ἐπίῃ δεινά. Χείμαρρός ἐστιν οἷα ἂν ᾖ, νέφος ἐστὶ παρατρέχον. Ὅπερ ἂν εἴπῃς λυπηρόν, ἔχει τέλος· ὅπερ ἂν εἴπῃς δεινόν, πρὸς πέρας ἀπαντᾷ. Εἰ γὰρ μὴ τέλος εἶχεν, οὐκ ἂν ἤρκεσεν ἡ φύσις. Ἀλλὰ πολλοὺς παρασύρει, φησίν. Ἀλλ' οὐ παρὰ τὴν οἰκείαν ῥύμην, ἀλλὰ παρὰ τοὺς ῥαθύμους, καὶ ῥαδίως ὑποσκελιζομένους. Ἵνα οὖν μὴ παρασυρῶμεν, καὶ πρὸς τὰ βαθύτερα αὐτοῦ βαδίζωμεν, διασκεψώμεθα τοὺς τόπους αὐτοῦ, ἐπιλαβώμεθα τῆς ἱερᾶς ἀγκύρας, ὥστε μηδὲν ὑπομεῖναι ναυάγιον. Καὶ γὰρ ὁ χειμάρρους μέχρι καιροῦ φοβερός ἐστι, καὶ πάλιν ἀμέτρως ταπεινοῦται.*

*«Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς». Ἕτερος ἑρμηνευτής φησι, «Τότε ἂν τὰ ὕδατα παρέκλυσεν ἡμᾶς, ὡς φάραγξ παρελθόντα κατὰ τῆς ψυχῆς ἡμῶν». «Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον». Ἕτερός φησι, «Τότε παρῆλθον ὑπὲρ τὴν ψυχὴν ἡμῶν ὡς τὰ ὕδατα ὑπερήφανοι». Εἶδες πόση τοῦ Θεοῦ ἡ συμμαχία; πῶς ἐν τοσούτοις κακοῖς οὐκ ἀφῆκεν αὐτοὺς ὑποβρυχίους γενέσθαι; Διὰ γὰρ τοῦτο ἀφίησιν αὔξεσθαι τὰ δεινά, οὐχ ἵνα ἡμᾶς καταδύσῃ, ἀλλ' ἵνα δοκιμωτέρους ἐργάσηται, καὶ τῆς αὐτοῦ δυνάμεως μείζονα παράσχη-*

σου, σ' ἐκεῖνον στῆσε παγίδα, μὴ χορτάσεις ποτὲ νὰ πολεμεῖς αὐτόν.

«Ὅταν ἄναψε ὁ θυμός τους ἐναντίον μας, βέβαιο ἦταν ὅτι θὰ μᾶς καταπόντιζε ὁ θυμός τους σὰν νερό· ἡ ψυχή μας διῆλθε ἀπὸ χείμαρρο· ὁπωσδήποτε διῆλθε ἡ ψυχή μας τὸ νερὸ ἐκεῖνο ποὺ δὲν ἔχει πυθμένα». Χείμαρρο ἐδῶ καὶ νερὸ ὀνομάζει τὴν ἀπερίγραπτη ὀργὴ τῶν ἐχθρῶν· διότι εἶναι νερὸ πού προχωρεῖ ἄτακτα καὶ μὲ πολλὴ ὁρμὴ καὶ βία παρασύρει ὅ,τι συναντᾶ. Δὲν ἐννοεῖ δὲ ἐδῶ μόνο τὴν ὁρμὴ τῶν κακῶν, ἀλλὰ καὶ τὸ πέρασμά τους. Ἂς μὴ χάνουμε λοιπὸν τὸ θάρρος μας ὅταν μᾶς βρίσκουν οἱ συμφορές. Ὅποιες καὶ νὰ εἶναι, εἶναι χείμαρρος καὶ σύννεφο ποὺ περνᾶ γρήγορα. Ὅποιο δυσάρεστο καὶ ἂν ἀναφέρεις, ἔχει τέλος· ὅποιο κακὸ καὶ ἂν ἀναφέρεις, προχωρεῖ καὶ τελειώνει. Διότι ἂν δὲν εἶχε τέλος, δὲν θὰ τὸ ἄντεχε ἡ φύση μας. Ἀλλά, λέγει, παρασύρει πολλούς. Ὄχι ὅμως μὲ τὴ δική του ὁρμή, ἀλλ' ἐξ αἰτίας τῆς ἀδιαφορίας πολλῶν ποὺ εὔκολα παρασύρονται. Γιὰ νὰ μὴ παρασυρθοῦμε λοιπὸν καὶ νὰ μὴ ὁδηγηθοῦμε πρὸς τὰ βαθύτερα αὐτοῦ, ἂς προσέξουμε καλὰ τοὺς τόπους του, ἂς κρατηθοῦμε καλὰ ἀπὸ τὴν ἱερὴ ἄγκυρα, ὥστε νὰ μὴ ὑποστοῦμε κανένα ναυάγιο. Καθόσον ὁ χείμαρρος εἶναι φοβερὸς γιὰ ὁρισμένο χρόνο καὶ ὕστερα πάλι χαμηλώνει ὑπερβολικὰ ἡ ὁρμή του.

«Ὁπωσδήποτε θὰ μᾶς καταπόντιζε τὸ νερό». Ἄλλος ἑρμηνευτὴς λέγει, «Τότε τὰ νερὰ θὰ μᾶς διέλυαν, διότι σὰν ἀπὸ βαθιὰ χαράδρα ἔπεσαν ἐπάνω στὴν ψυχή μας». Ὁπωσδήποτε ἡ ψυχή μας πέρασε ἀπὸ τὸ νερὸ πού δὲν εἶχε πυθμένα». Ἄλλος λέγει, «Τότε πέρασαν ἐπάνω ἀπὸ τὴν ψυχή μας ὑπερήφανοι σὰν τὰ νερά». Εἶδες πόση εἶναι ἡ συμμαχία τοῦ Θεοῦ; πῶς δὲν τοὺς ἄφησε νὰ καταποντισθοῦν μέσα στὰ τόσα κακά; Διότι γι' αὐτὸ ἐπιτρέπει ν' αὐξηθοῦν τὰ κακά, ὄχι γιὰ νὰ μᾶς καταποντίσει μέσα σ' αὐτά, ἀλλὰ γιὰ νὰ μᾶς κάνει πιὸ ἀξιόλογους, καὶ νὰ μᾶς

*ται τὴν ἀπόδειξιν. Ὑπερηφάνους δὲ ἐνταῦθα τοὺς πολεμίους φησίν, οἳ παντὸς χειμάρρου σφοδρότερον καὶ παντὸς ὕδατος ἀφορήτου προσβάλλοντες, οὐδὲν αὐτοὺς παρέβλαψαν. Τὸ δὲ αἴτιον ἡ τοῦ Θεοῦ συμμαχία, ἡ ἄνωθεν ῥοπή, ἡ ἀχείρωτος βοήθεια. Διὰ δὴ τοῦτο καὶ αὐτὸς εἰπὼν τὴν ἀπαλλαγὴν τῶν κακῶν, λέγει καὶ τὸν τὴν ἀπαλλαγὴν παρεσχηκότα, καὶ μετὰ εὐφημίας.*

*2. «Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων». Εἶδες πῶς καὶ τὴν οἰκείαν ἀσθένειαν παρίστησι, καὶ τὴν ἐκείνων ἰσχύν; Οἱ μὲν γὰρ ὡς θηρία καὶ λέοντες ἐπήεσαν, αὐτῶν ἕτοιμοι τῶν σαρκῶν ἀπογεύσασθαι, καὶ τῇ δυνάμει καὶ τῷ θυμῷ καθωπλισμένοι, οἱ δὲ στρουθίου παντὸς ἀσθενέστερον διέκειντο. Τότε γὰρ μάλιστα διαδείκνυται τοῦ Θεοῦ τὰ θαύματα, ὅτε οἱ ἀσθενεῖς τῶν δυνατῶν κρατοῦσιν. Οὐ ταύτῃ δὲ μόνον ἀφόρητος ἦν ἡ ἐπιβουλή, ὅτι οἱ μὲν δυνατοὶ καὶ φοβεροί, καὶ θυμοῦ πολλοῦ γέμοντες, καὶ παρεσκευασμένοι τῶν σαρκῶν ἀπογεύσασθαι, οἱ δὲ ἀσθενεῖς, καὶ ὀλίγοι, καὶ εὐεπιχείρητοι· ἀλλ' ὅτι καὶ ἐν μέσοις ἀπειλημμένοι τοῖς δεινοῖς, εἰς αὐτὰ ἐμβεβηκότες τὰ δυσχερῆ, πάντοθεν πολέμους ἔχοντες περικειμένους, ἀλλ' ὁ εὔπορος καὶ πανταχόθεν δυνάμενος διασώζειν, καὶ μετὰ τὸ ἐμπεσεῖν εἰς τὰ δεινά, μετὰ πολλῆς ἡμᾶς, φησίν, ἀπήλλαξε τῆς εὐκολίας. Ὅπερ οὖν παραστῆσαι βουλόμενος, οὕτως εἶπεν· «Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν». Εἶτα δεικνὺς καὶ πῶς, ἐπήγαγεν· «Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν».*

δώσει μεγαλύτερη απόδειξη τῆς δυνάμεώς του. Ὑπερηφάνους δὲ ἐδῶ ὀνομάζει τοὺς ἐχθρούς, οἱ ὁποῖοι, ἂν καὶ τοὺς ἐπιτέθηκαν πιὸ ὁρμητικὰ ἀπὸ ὁποιοδήποτε χείμαρρο καὶ ἀπὸ ὁποιοδήποτε ἀνυπόφορο νερό, δὲν τοὺς ἔβλαψαν καθόλου. Ἡ δὲ αἰτία ἦταν ἡ συμμαχία τοῦ Θεοῦ, ἡ οὐράνια δύναμη, ἡ ἀκατανίκητη βοήθεια. Γι᾿ αὐτὸ λοιπὸν καὶ αὐτός, ἀφοῦ ἀνέφερε τὴν ἀπαλλαγὴ τῶν κακῶν, ἀναφέρει καὶ ἐκεῖνον ποὺ πρόσφερε τὴν ἀπαλλαγὴ καὶ μὲ λόγια ἐγκωμιαστικά.

2. «Ἂς εἶναι εὐλογημένος ὁ Κύριος, ποὺ δὲν μᾶς παρέδωσε σὰν θήραμα στὰ δόντια αὐτῶν. Ἡ ψυχή μας σὰν σπουργίτης ἐλευθερώθηκε ἀπὸ τὴν παγίδα τῶν κυνηγῶν». Εἶδες πῶς καὶ τὴ δική τους ἀδυναμία παρουσιάζει καὶ τὴ δύναμη ἐκείνων; Διότι ἐκεῖνοι μὲν ὅρμησαν σὰν θηρία καὶ λεοντάρια, ἕτοιμοι νὰ καταφάγουν τὶς σάρκες τους καὶ ὁπλισμένοι μὲ τὴ δύναμη καὶ τὴν ὀργή, ἐνῶ αὐτοὶ ἦταν πιὸ ἀνίσχυροι ἀπὸ ὁποιοδήποτε σπουργίτη. Διότι τότε πρὸ πάντων φανερώνονται τὰ ἄξια θαυμασμοῦ ἔργα τοῦ Θεοῦ, ὅταν οἱ ἀνίσχυροι ὑπερισχύουν τῶν ἰσχυρῶν. Ὄχι μόνο ὡς πρὸς αὐτὸ ἦταν ἀνυπόφορη ἡ ἐπιβουλή, ὅτι δηλαδὴ ἐκεῖνοι μὲν ἦταν δυνατοὶ καὶ φοβεροὶ καὶ γεμάτοι ἀπὸ ὀργὴ καὶ ἕτοιμοι νὰ καταφάγουν τὶς σάρκες τους, ἐνῶ αὐτοὶ ἦταν ἀδύναμοι, λίγοι καὶ εὐκολονίκητοι· καὶ ὅμως, ἂν καὶ εἶχαν περικυκλωθεῖ ἀπὸ τὶς συμφορὲς καὶ καταπιέζονταν ἀπὸ τὶς δυσκολίες καὶ ἦταν ἀπὸ παντοῦ περικυκλωμένοι ἀπὸ πολέμους, ἀλλ᾿ ὅμως ὁ πανίσχυρος καὶ ποὺ ἔχει τὴ δύναμη νὰ σώζει ἀπὸ παντοῦ, καὶ ὅταν περιπέσαμε στὶς συμφορές, μᾶς ἀπάλλαξε, λέγει, μὲ μεγάλη εὐκολία. Θέλοντας λοιπὸν αὐτὸ νὰ δηλώσει, εἶπε αὐτό· «Ἡ ψυχή μας ἐλευθερώθηκε ἀπὸ τὴν παγίδα τῶν κυνηγῶν. Ἡ παγίδα συντρίφθηκε καὶ ἐμεῖς ἐλευθερωθήκαμε». Ἔπειτα γιὰ νὰ δείξει καὶ πῶς, πρόσθεσε· «Ἡ βοήθειά μας ἐπιτεύχθηκε μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Κυρίου, ποὺ δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ».

*Εἶδες τὴν δύναμιν τοῦ προστάτου; εἶδες τὴν ἰσχύν; Καὶ αὐτὰς τὰς ἀφορμὰς τῆς ἐπιβουλῆς ἀνεῖλε. Τοῦτό τις καὶ κατὰ ἀναγωγὴν ἂν ἐκλάβοι ἐπὶ τοῦ διαβόλου, καὶ τοῦ γένους τοῦ τῶν ἀνθρώπων. Δείκνυσι γὰρ πῶς ἐξήρπασε, πῶς ἐξέλυσεν αὐτοῦ τὰς ἐπιβουλάς· τοῦτο γὰρ γέγονεν ἀφ' οὗ πρὸς τοὺς μαθητὰς εἶπε· «Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ». Οὐκ ἔτι γὰρ ἐξ εὐθείας ἡ μάχη, οὐδὲ ἐξίσης ἡ παράταξις, ἀλλ' ὁ μὲν κεῖται πρηνὴς καταπεπτωκώς, σὺ δὲ ἕστηκας ὄρθιος, ἄνωθεν βάλλων· ὁ μὲν ἐκνενευρισμένος, σὺ δὲ ἰσχυρός. Πόθεν οὖν νικᾷ πολλάκις; Ἀπὸ τῆς νωθείας τῆς ἡμετέρας, ἀπὸ τῆς ρᾳθυμίας τῶν καθευδόντων. Ὥστε εἰ βουληθείης ἐναντίον στῆναι, οὐ τολμᾷ παρατάξασθαι. Εἰ δὲ καθεύδοντος περιγίνεται, τοῦτο οὐ τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς σῆς ὀλιγωρίας. Τίς γὰρ οὐκ ἂν κρατήσειε τοῦ καθεύδοντος, κἂν ἁπάντων ἀσθενέστερος ᾖ;*

*Ἐδέθη ὁ ἰσχυρός, τὰ σκεύη αὐτοῦ διηρπάγη, ἡ δύναμις αὐτοῦ κατελύθη, τὸ καταγώγιον ἀνερράγη, αἱ ρομφαῖαι αὐτοῦ ἐξέλιπον. Τί πλέον τούτων βούλει; τίνος ἕνεκεν αὐτὸν φοβῇ; τίνος ἕνεκεν δέδοικας; Πατεῖν ἐκελεύσθης τὸν ἐκνενευρισμένον· πόθεν τρέμεις; εἰπέ μοι· πόθεν ἀγωνιᾷς; Οὐκ ἐννοεῖς οἷον ἔχεις βοηθόν; Οὐδὲ γὰρ μόνον ὁ ἐχθρὸς γέγονεν ἀσθενέστερος, ἀλλὰ καὶ ἡ βοήθειά σου μείζων. Τῆς σαρκὸς τὰ σκιρτήματα κατεστάλη, τῆς ἁμαρτίας τὸ φορτίον ἠφανίσθη, Πνεύματος ἔλαβες χάριν, ἀλείμματος δύναμιν. «Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας,*

---

2. Λουκᾶ 10, 19.

Εἶδες τὴ δύναμη τοῦ προστάτη; εἶδες τὴν ἰσχύ του; Ἀπομάκρυνε καὶ τὶς ἴδιες τὶς ἀφορμὲς τῆς ἐπιβουλῆς. Αὐτὸ θὰ μποροῦσε κανεὶς ἀλληγορικὰ νὰ τὸ δεῖ πραγματοποιούμενο στὴν περίπτωση τοῦ διαβόλου καὶ τοῦ ἀνθρωπίνου γένους. Διότι δείχνει πῶς ἅρπαξε τοὺς ἀνθρώπους ἀπ' αὐτόν, πῶς διέλυσε τὰ ἐπίβουλα σχέδια αὐτοῦ· αὐτὸ δὲ συνέβηκε ἀφοῦ εἶπε πρὸς τοὺς μαθητές του· «Πατᾶτε ἐπάνω στὰ φίδια καὶ τοὺς σκορπιοὺς καὶ ἐπάνω σ' ὅλη τὴ δύναμη τοῦ ἐχθροῦ»*. Διότι δὲν γίνεται ἡ μάχη κατὰ φυσικὸ τρόπο, οὔτε οἱ ἀντίπαλοι εἶναι ἴσοι, ἀλλ' ὁ μὲν διάβολος εἶναι κάτω πεσμένος ὕπτιος, ἐνῶ σὺ στέκεσαι ὄρθιος, πολεμώντας τον ἀπὸ ἐπάνω· ἐκεῖνος μὲν εἶναι ἀποδυναμωμένος, ἐνῶ σὺ ἰσχυρός. Πῶς λοιπὸν νικᾶ πολλὲς φορές; Ἐξ αἰτίας τῆς δικῆς μας ὀκνηρίας καὶ ραθυμίας ἐκείνων ποὺ κοιμῶνται. Ὥστε ἂν θελήσεις νὰ σταθεῖς ἀντιμέτωπός του, δὲν τολμᾶ νὰ σὲ ἀντιμετωπίσει. Ἂν δὲ σὲ νικᾶ ἐνῶ κοιμᾶσαι, αὐτὸ ὀφείλεται ὄχι στὴ δύναμή του, ἀλλὰ στὴ δική σου ἀδιαφορία. Διότι ποιὸς θὰ ἦταν δυνατὸ νὰ μὴ νικήσει ἐκεῖνον ποὺ κοιμᾶται, καὶ ἂν ἀκόμη εἶναι ἀσθενέστερος ἀπὸ ὅλους;

Δέθηκε ὁ ἰσχυρός, τὰ ὅπλα του ἀρπάχθηκαν, ἡ δύναμή του διαλύθηκε, τὸ κατάλυμά του καταγκρεμίσθηκε, οἱ ρομφαῖες του ἐξαφανίσθηκαν. Τί περισσότερο θέλεις ἀπ' αὐτά; γιὰ ποιὸ λόγο τὸν φοβᾶσαι; γιὰ ποιὸ λόγο τὸν τρέμεις; Ἔλαβες ἐντολὴ νὰ πατᾶς τὸν ἀνίσχυρο· Πές μου, γιατί τρέμεις; γιατί ἀγωνιᾶς; Δὲν σκέπτεσαι ποιὸν ἔχεις *βοηθό*; Διότι ὄχι μόνο ὁ ἐχθρὸς ἔγινε *ἀσθενέστερος*, ἀλλὰ καὶ ἡ βοήθειά σου μεγαλύτερη. Τῆς σάρκας τὰ σκιρτήματα ὑποτάχθηκαν, τῆς ἁμαρτίας τὸ βάρος ἐξαφανίσθηκε, ἔλαβες τὴ χάρη τοῦ Πνεύματος, τὴ δύναμη τοῦ χρίσματος. «Ἐπειδὴ ὁ νόμος δὲν μποροῦσε νὰ σώσει τὸν ἄνθρωπο, ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς σάρκας, ὁ Θεός, ἀφοῦ ἔστειλε τὸν Υἱό του μὲ σάρκα ὅμοια μὲ τὴ δική μας τὴν ἁμαρτωλή, καὶ γιὰ προσφορὰ στὴν ἁμαρτία, καταδί-

καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι». Τὴν σάρκα εὐήνιον ἐποίησεν, ὅπλα σοι ἐχαρίσατο, θώρακα δικαιοσύνης, ζώνην ἀληθείας, κράνος σωτηρίας, ἀσπίδα πίστεως, μάχαιραν Πνεύματος, ἀρραβῶνα δέδωκε, τῷ σώματι αὐτοῦ τρέφει σε, τῷ αἵματι αὐτοῦ ποτίζει σε, σταυρὸν σοι ἐνεχείρισεν ὡς δόρυ, δόρυ μηδέποτε καμπτόμενον· ἐκεῖνον ἔδησε, χαμαὶ ἔρριψεν. Ὥστε ἀναπολόγητός σου λοιπὸν ἡ ἧττα, καὶ συγγνώμην οὐκ ἔχεις βαλλόμενος. Μυρίας γὰρ ἔχεις πρὸς τὸ νικᾶν ἀφορμάς. «Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν». Ὁρᾷς οἷον ἔχεις στρατηγόν; οἷον βασιλέα; τὸν τοῦδε τοῦ παντὸς δημιουργόν; τὸν λόγῳ τοσαῦτα σώματα παρενέγκαντα, τοσοῦτον ὄγκον, τοσοῦτον μέγεθος; Μὴ καταπέσῃς, στῆθι γενναίως· οὐδὲν κωλύει τὸ τρόπαιόν σου στῆναι λαμπρόν.

Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, νήφωμεν, ἀγωνιζώμεθα, μὴ καθεύδωμεν, ἀλλὰ τὰ ὅπλα ἀποσμήξαντες, καὶ τὴν προθυμίαν νευρώσαντες, βάλλωμεν διηνεκῶς τὸν πολέμιον, ἵνα λαμπρὰν τὴν νίκην ἀράμενοι, μετὰ πολλῆς τῆς δόξης ἀπολαύσωμεν τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

. . . . . . . . . . . .

3. Ρωμ. 8, 3 - 4.
4. Πρβλ. Ἐφ. 6, 14 - 17.

κασε τὴν ἁμαρτία μὲ τὴ σάρκα του, ὥστε αὐτὸ ποὺ ζητοῦσε ὁ νόμος νὰ ἐκπληρωθεῖ σ' ἐμᾶς ποὺ δὲν ζοῦμε σύμφωνα μὲ τὶς ἐπιθυμίες τῆς σάρκας»[3]. Τὴ σάρκα τὴν ἔκαμε ὑπάκουη, ὅπλα σοῦ χάρισε, θώρακα δικαιοσύνης, ζώνη ἀληθείας, κράνος σωτηρίας, ἀσπίδα πίστεως, μάχαιρα Πνεύματος[4], σοῦ ἔδωσε ἀρραβῶνα, σὲ τρέφει μὲ τὸ σῶμα του, σὲ ποτίζει μὲ τὸ αἷμα του, τοποθέτησε στὸ χέρι σου σὰν δόρυ τὸ σταυρό, δόρυ ποὺ ποτὲ δὲν λυγίζει, ἐκεῖνον τὸν ἔδεσε καὶ τὸν ἔρριψε κάτω. Ὥστε εἶναι ἀδικαιολόγητη πλέον ἡ ἧττα σου καὶ δὲν ἔχεις συγγνώμη ἂν νικηθεῖς. «Ἡ παγίδα συντρίφθηκε καὶ ἐμεῖς ἐλευθερωθήκαμε. Ἡ βοήθειά μας ἔγινε μὲ τὴν ἐπίκληση τοῦ ὀνόματος τοῦ Κυρίου ποὺ δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ». Βλέπεις ποιὸν ἔχει στρατηγό; ποιὸν βασιλέα; τὸν δημιουργὸ ὁλοκλήρου αὐτοῦ τοῦ σύμπαντος; αὐτὸν ποὺ μὲ τὸ λόγο του τόσα σώματα ἔφερε στὴν ὕπαρξη, τόσο μεγάλο ὄγκο καὶ τόσο μέγεθος; Μὴ χάσεις τὸ θάρρος σου, στάσου μὲ γενναιότητα· τίποτε δὲν σὲ ἐμποδίζει νὰ στήσεις τὸ τρόπαιό σου λαμπρό.

Γνωρίζοντας λοιπόν, ἀγαπητοί, αὐτά, ἂς ἐπαγρυπνοῦμε, ἂς ἀγωνιζόμαστε, ἂς μὴ κοιμώμαστε, ἀλλ', ἀφοῦ καθαρίσουμε τὰ ὅπλα καὶ ἐνδυναμώσουμε τὴν προθυμία, νὰ πολεμοῦμε συνέχεια τὸν ἐχθρό, ὥστε, ἀφοῦ ἐπιτύχουμε λαμπρὴ νίκη, ν' ἀπολαύσουμε μὲ πολλὴ δόξα τὴ βασιλεία τῶν οὐρανῶν, τὴν ὁποία μακάρι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΕΥΡΕΤΗΡΙΑ*

## 1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

Γένεσις



Ἔξοδος



Λευιτικὸ



* Οἱ ἀριθμοὶ παραπέμπουν διὰ μὲν τὰ χωρία τῆς Ἁγίας Γραφῆς κατὰ σειρὰν εἰς τὸ κεφάλαιον, τὸν στίχον καὶ τὴν σελίδα, διὰ δὲ τὰ ὀνόματα καὶ πράγματα εἰς τὴν σελίδα ποὺ εὑρίσκονται.

## 2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

### Α

## Β



## Γ



## Δ

## Ε

## Ζ

Ρ



Σ

## Χ



## Ψ



## Ω